Series t.p. wanting

ΤΟΥ ΜΕΓΑΛΟΥ

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΑΠΑΝΤΑ.

MAGNI

HIPPOCRATIS

OPERA OMNIA.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

TOMVS III.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1827.


WELLCOME
LIBRARY
INSTITUTE

CONTENTA TOMI III.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΦΟΡΩΝ.

Ed. Chart. VII. [843.] Foes. I. 675. Ed. Lind. II. (615. 616.)

Περὶ μὲν τῶν γινομένων τῇσι γυναιξὶν ἐφ᾽ ἑκάστοισι τῶν παθημάτων πρότερον εἴρηται. νυνὶ δὲ ἀποφανέω δι᾽ ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ πάμπαν, καὶ διότι οὐ τίκτουσι πρὶν ἰηθῶσι. φημὶ δὲ τοῦτο αἴτιον εἶναι. ἢν στραφῇ τὸ στό(616)μα τῶν μητρέων πάμπαν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκουσιν. οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονὴν, ἀλλ᾽ ἔξω αὐτίκα ἔρχεται. γίνεται δὲ τοῦτο καὶ ἢν ὀλίγον παραστραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν καὶ ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων πάμπαν, οὐδ᾽ οὕτως

HIPPOCRATIS DE HIS QVAE VTERVM NON GERVNT LIBER.

Ac de his quae mulieribus in singulis affectionibus contingunt, ante quidem dictum est, nunc autem quas ob causas mulieres prorsus sint steriles, aut quamobrem, nisi curentur, parere nequeant, mihi aperiendum. Hanc autem istius rei causam esse assero. Si uterorum os a pudendo penitus aversum fuerit, non concipiunt. Neque enim uteri genituram excipiunt, sed confestim foras prodit. Quod etiam contingit, si os uterorum praeter naturam paulum perversum sit. Quod si prosus conniveat uterorum os,

δέχονται, οὐδ' ἢν ἁρμοῖ μεμύκῃ μᾶλλον ἢ δεῖ. δῆλον δὲ τουτέων ἕκαστόν ἐστι τῶν εἰρημένων. [844] ἢν μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν, ἢ ἔρχεται βιαίως ξὺν νούσῳ, ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ' ἤθεα. κἢν ἀποκαθαρθῇ ἡ γυνὴ, ἔστιν ὅτε αὐτῆς ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. ἢν δὲ ὀλίγον παρακεκλιμένον ἢ ἁρμοῖ μεμύκῃ, χωρέει μὲν τὰ καταμήνια, χωρέει δὲ βιαίως καὶ κατ' ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει, ψηλαφώσῃ γυναικὶ, καὶ ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ φορὸς γίνεται· ἔστι δὲ καὶ ὅτε αὐτομάτη. τούτων δὲ ἕκαστον διότι γίνεται, εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νουσήμασιν. ἢν δὲ λεῖαι ἔωσιν αἱ μῆτραι, γίνεται δὲ τοῦτο καὶ φύσει ἐνίῃσι, καὶ ἢν ἕλκεα ἐγγενόμενα μεγάλας οὐλὰς ἐγκαταλίπῃ, καὶ ἢν λεῖαι ἔωσιν, οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αἴτιον ἄλλο ᾖ, ξυλλαμβάνουσιν δὲ οὔ. ἀλλὰ τὸν σπόρον ἔξω χαλῶσι. δῆλον δὲ μάλιστά ἐστι ψηλαφώσῃ, καὶ εἰρο-

neque ſic uteri genituram excipiunt, ut neque ſi plus quam conveniat recenter conniveat. Quae commemorata ſingula patent. Etenim ſi prorſus averſum aut connivens fuerit, menſes nullo modo vel non niſi violenter et cum morbo prodeunt, ſi coactus fuerit uterus a ſanguine pro more converti. Ac etiamſi mulier repurgata fuerit, interdum et uterorum os a pudendo avertitur. Quod ſi paulum declinet, aut derepente conniveat, menſes quidem prodeunt, ſed cum vi et paulatim per multos dies. Quae omnia ita ſe habere contrectanti mulieri manifeſta ſunt, et ſi quid ex his contigerit, cura adhibita mulier foecunda redditur, idque etiam quandoque ſponte. Quae ſingula cur contingant, in morbis muliebribus dictum eſt. Si uteri lubrici fuerint, id autem quibusdam natura contingit, et ſi innata ulcera magnas cicatrices intus reliquerint, mulier utero non concipit. Genituram enim uteri quidem excipiunt, niſi alia quaedam cauſa ſubſit, non tamen concipiunt, ſed ſemen foras elabi ſinunt. Hoc autem contrectanti manife-

Ed. Chart. VII. [844.] Foëſ. I. 675. Ed. Lind. II. (616. 617.)

μένη εἴ ποτε ἐν τῇσι μήτρῃσιν ἕλκεά οἱ ἐγένοντο. τὰ (617) δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τουτέῳ τῷ νοσήματι χωρέει. ἀνίητος δὲ γίνεται ὡς ἐπὶ πλέον ἡ τοιαύτη. γίνεται δὲ καὶ τοῦτο αἴτιον τοῦ μὴ συλλαμβάνειν ἐν γαστρί. ἢν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων καὶ μὴ ταχὺ ὑγιανθῇ, ἀλλὰ μολυνθῇ. παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτὶ ἐὸν, καὶ ὄζει πονηρὸν ἡ γυνὴ, καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τοῦ αἰδοίου κάκοδμος, καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρί. οὐ γὰρ συλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ταύτῃ τὰ καταμήνια χωρέει ὑγιηρῶς. ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον καὶ ἐρωτήσει περὶ τῶν εἰρημένων. μελεδανθεῖσα δὲ φορὸς γίνεται. ὀλίγαι δὲ ἐλπίδες εἰσίν. ἢν δὲ τῶν καταμηνίων ἐλλειφθέν τι ἐν τῇσι μήτρῃσιν ἔκρηξιν ἔχῃ, θερμανθὲν δὲ καὶ αὖθις ψυχωθὲν περὶ τὸ στόμα ἢ ὀλίγον ἐνδοτέρω, οὐδ᾽ οὕτω λαμβάνει ἐν γαστρί. ἔργμα γὰρ τοῦτο ἐπικείμενον οὐ παρίησι τὴν γονὴν ἰέναι ὅκου δεῖ. καὶ ἢν

ſtum eſt, et ei quae rogatur num aliquando in uteris ei ulcera innata fuerint. Menſes vero hoc in morbo non aliter quidem ac ſanis prodeunt, ſed ut plurimum ejusmodi mulier incurabilis exiſtit, eaque cauſa eſt cur utero non concipiat. Si ulcus ex aliqua harum commemoratarum affectionum in uteris obortum fuerit, neque brevi ſaneſcat, ſed ſordidum extiterit, longo enim tempore ulcus permanet, velut quod in aure exiſtit et prave olet mulier, eique interdum ex pudendis ſanies graveolens effluit, neque quamdiu ulcus detinuerit utero concipit, quod uteri genituram non retineant, huic menſes non ſecus ac ſanis prodeunt. Ex contactu autem et interrogatione maxime de praedictis conſtat. Cura tamen adhibita, etſi parva ſpes eſt, foecunda tamen evadit. Si vero ex menſibus aliquid in uteris relictum ruptionem fecerit, quod circa os aut paulo interius calefactum fuerit, quod circa os aut paulo interius calefactum fuerit, rurſusque perfrixerit neque ſic utero concipit. Hoc enim incumbens impedit ne genitura quo opus eſt perveniat. Quod ſi per initia qui-

Ed.Chart.VII. [844.845.] Foës. I. 675. 676. Ed. Lind. II. (617. 618.)
μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει καὶ φορὸς γίνεται. || ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. δῆλον δὲ πάθημα ψηλαφήσει μάλιστά ἐστι, σκληρὸν γάρ τι ἐγγίνεται, καὶ ἢν χάνωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. δῆλον δὲ ἔσται καὶ τοῦτο ψηλαφήσει, καὶ τὰ καταμήνια ἔρχεται ἀλέα καὶ ἐπ' ὀλίγας ἡμέρας. γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο καὶ ὑπὸ νοσημάτων τῶν εἰρημένων. κἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος· ἢν δὲ μὴ, οὐχ ὑγιηρὰ χωρέει τὰ (618) καταμήνια, οἷα τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται. [845] οὐ γὰρ πήγνυται ὑπὸ τοῦ αἵματος νοσεροῦ ἐόντος, ἀλλὰ διουρέει τὴν γονὴν, τὸ αἷμα τὸ κατιὸν ἀπὸ τοῦ σώματος νοσερὸν ἐόν. διουρηθεῖσα δὲ ἡ γονὴ ἐξέρχεται ἔξω τῷ χρόνῳ ἢ ὀλίγῳ ἢ πολλῷ ξὺν ἰχῶρι. δῆλον δέ ἐστι τῷ σώματι τῆς γυναικὸς καὶ τοῖσι καταμηνίοισι. χωρήσει γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης ἤν τε φλεγματώδης ἤν τε ὑδρωποειδὴς εἴη. ἐν τάχει δὲ μελεδανθεῖσα εὔφορος γίνεται. ἢν δὲ μὴ, οὔ. ἢν δὲ γυναικὶ μὴ χωρέῃ τὰ

dem curetur, convalefcit et foecunda redditur. Si vero tempus acceflerit, infoecunda manet. Ex contactu autem potiffimum affectio patet. Durum enim quiddam innafcitur. Et fi plus aequo uteri dehifcant, neque fic concipit. Neque enim femen uteri retinent. Sed et hoc quoque ad contactum manifeftum fiet, menfesque conferti et paucis diebus prodeunt. Haec affectio vero et natura et ex relatis morbis contingit, et fi quidem a natura fuerit, incurabilis eft morbus; fin minus, menfes minime fani prodeunt, cum nimirum mulier fana non fit, neque fic concipit. Neque enim a fanguine morbofo concrefcit, verum fanguis morbofus ex corpore delatus, genituram ferofam reddit, quae ferofa reddita tempore modico vel multo, una cum fanie foras egreditur. Id autem ex mulieris corpore et menfibus patet. Menfes enim ei quales dicti funt ferentur, five bile, five pituita, five aqueo humore abundarit. Brevi autem cura adhibita foecunditati reftituitur, alioqui minime. Si vero mulieri menfes penitus non

Ed. Chart. VII. [845.] Foes. I. 676. Ed. Lind. II. (618, 619.)
καταμήνια πάμπαν ἢ ὑπὸ πάντων τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεις ἐοῦσαι τὴν γονὴν οὐ δέχονται καὶ ἐν τῇσι μήτρῃσι αἵματος ἐνεῖναί τι χρονίου πᾶσα μηχανὴ ὅτι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τοῦ δέοντος, οὐδὲ οὕτω κυΐσκεται. αἴτια δὲ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα. δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. κἢν μὲν φύσει ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται. ἢν δὲ ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει φορὸς ἔσται. καὶ ἢν πλείονα τοῦ δέοντος χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδ᾽ οὕτως ἐν γαστρὶ λαμβάνει. αἱ γὰρ μῆτραι κεκενωμένου τοῦ αἵματος οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης. ἂν δὲ ἄρα καὶ ξυλλάβωσιν, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικὸς ἀποπνίγει τὴν γονήν. δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν ὁκόσα πολλὰ χωρήσει, καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται. ἢν δὲ μὴ φύσει, (619) ἀλλ᾽ ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει φορὸς ἔσται.

prodeant, aut propter ea omnia quae commemorata sunt, ne sic quidem concipit. Neque enim venae sanguine refertae genituram excipiunt, et in uteris aliquid inveterati sanguinis inesse necesse est, quod genituram nutriri prohibet. Quod si pauciores quam conveniat menses prodeunt, neque sic concipit, propter causas in priore morbo commemoratas, quod et ex percontatione patet. Et si quidem natura pauci menses prodeant, incurabilis existit. Si vero ex aliqua commemoratarum affectionum, cura adhibita brevi foecunda erit. Et si plures quam conveniat mulieri menses prodeant, neque sic utero concipiet. Neque enim uteri evacuato sanguine propter imbecillitatem genituram apprehendunt, quod si sane etiam apprehendant, copiosus sanguis ad mulieris uterum derepente delatus genituram suffocat. Id autem etiam ex mensibus qui copiosi prodibunt manifestum est. Et si quidem natura copiosos menses mulier demittit, infoecunda redditur. At si non natura, sed ab aliqua ex commemoratis affectionibus, cura adhi-

Ed. Chart. VII. [845. 846.] Foes. I. 676. Ed. Lind. II. (619.)

καὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπέσῃ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. τό τε γὰρ στόμα σκληρὸν γίνεται καὶ οὐ δέχεται τὴν γονὴν καὶ οἰδέει, καὶ ταύτῃ ἄφορος γίνεται τὸ πάμπαν. δῆλον δὲ τὸ πάθημα τοῦτο διότι γίγνεται. καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω ὁρμῇ ἐς τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. δῆλον γὰρ ὅτι τὸ στόμα τῶν μητρέων ἐκτέτραπται ἀπὸ τοῦ αἰδοίου ἢ μέμυκε, καὶ ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα, ἢ μέμυκε, μελεδανθεῖσα φορὸς γίνεται. δῆλον δὲ ἑκάτερόν ἐστι τῇ ἐρωτήσει καὶ ἀποκρίσει. ἢν γὰρ τὰ καταμήνια ἑκάστῳ ὧδε εἴη, ἡ νοῦσος ταύτῃσι δῆλον ὅτι αἰτίη ἐστί. τοσαῦτα καὶ τὰ τοιαῦτα τῇσι γυναιξίν ἐστι, δι' ἃ οὐ τίκτουσι πρὶν ἂν ἰηθῶσι, καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν. ὥστε [846] θαυμάζειν τὰς γυναῖκας οὐ χρὴ ὅτε εἰσὶ μὲν, οὐ τίκτουσι δὲ πολλάκις. πειρητήρια δι' ὧν δηλοῦται ἡ γυνὴ εἰ κυήσει. γυναῖκα ἢν θέλῃς γνῶναι εἰ κύει, σικύην ποιῆσαι ἢ βούτυρον καὶ γάλα γυναικὸς κουροτρόφου

bita brevi foecunda erit. Et si uterorum os extra pudendum exciderit, neque sic utero concipit. Os enim durum efficitur, neque genituram excipit et intumescit, ideoque infoecunda prorsus redditur. Quam ob causam autem haec affectio contingat manifestum est. Et si menses minime ut convenit prodeant, sed deorsum ad sedem cum impetu ferantur, neque sic utero concipit. Os enim uterorum a pudendo aversum esse, aut connivere patet. Quod si utero in sedem obverso aut connivente cura adhibita fuerit, foecunda redditur. Utrumque vero ex percontatione et responsione manifestum fit. Si enim menses semper sic fuerint, his morbum in causa esse manifestum est. Atque istae ejusmodique causae in mulieribus sunt, ob quas, nisi curentur, non pariunt et ex quibus prorsus infoecundae redduntur, ut proinde mirari mulieres minime oporteat, si quaedam, non tamen saepe, pariant. Tentamenta quibus exploratur in muliere conceptus. Si nosse velis an mulier concepiui sit idonea, butyrum et lac mulieris puerum la-

Ed. Chart. VII. [846.] Foës. I. 676. 677. Ed. Lind. II. (619. 620.)
διδόναι πίνειν, καὶ ἢν ἐρεύγηται, κυήσει· εἰ δὲ μὴ, οὔ. νέτωπον ὀλίγον προστίθεσθαι ἐν εἰρίῳ ἐνελίξασα, κἄπειτα ἕωθεν σκέψασθαι ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν. κἢν μὲν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. || ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. ἥτινι ἂν γυναικὶ ἀπὸ τῶν προσθετῶν μὴ λίην ἰσχυρῶν ἐόντων, ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται, καὶ βρυ(620)γμὸς ἔχῃ, καὶ σκοτοδινῆται καὶ χασμῆται, ἐλπὶς αὐτῇ κυῆσαι μᾶλλον ἢ ἥτις τούτων μηδὲν πάσχει. ἄλλο. μώλυζαν σκορόδου περικαθήραντα τὴν κεφαλὴν ἀποκνίσαντα προσθεῖναι πρὸς τὴν ὑστέρην καὶ ὁρῇν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος. καὶ ἢν ὄζῃ, κυήσει· ἢν δὲ μὴ, οὔ. ἢν θέλῃ γνῶναι ἡ γυνὴ εἰ κυήσει, πινέτω ἄννησον τετριμμένον ἐν ὕδατι ὡς λειότατον καὶ εὑδέτω. καὶ ἢν μὲν κνησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλὸν, κυήσει· ἢν δὲ μὴ, οὔ. κύουσαν γυναῖκα ἢν μὴ ἄλλο γινώσκῃς, ἐν τούτῳ γνώσεις. ὁρῶνται οἱ ὀφθαλμοὶ εἱλκυσμένοι καὶ κοιλότεροι καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος, ἀλλὰ πελιώ-

ctantis potui exhibeto, et si eructaverit, concipiet, sin minus minime. Netopum modicum lana convolutum subter apponito, deinde mane spectato num ejus quod appositum fuit odor ad os pervenerit, quod si sic, concipiet; sin minus, non. Aliud ad idem. Si cui mulieri ex subdititiis non admodum vehementibus dolores ad articulos pervenerint et dentium stridor, tenebricosa vertigo et oscitatio detinuerit, huic concipiendi major spes adest quam cui nihil horum contingit. Aliud. Allium caput unicum habens, capite depurgato et deraso in uterum subdito et postridie spectato num odor ad os perveniat; quod si sic, concipiet; sin minus, minime. Si mulier nosse velit an conceptura sit, anisum ex aqua quam tenuissime tritum bibat et dormiat, quod si quidem pruritus circa umbilicum eam corripiat, concipiet; sin minus, minime. Praegnantem mulierem, si non aliter, ex hoc tamen cognosces, quod oculi contracti et magis cavi videntur, neque eorum candidum nativam habet albedinem, verum lividius cernitur. Quae

τερα φαίνονται. ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἐφῆλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι, καὶ ἀρχόμεναι συλλαμβάνειν μίσοιναι γίνονται καὶ κακόσιτοι, καὶ καρδιωγμοῦ μεσταὶ, καὶ πτυαλίζουσιν. μίλτον καὶ ἄννησον τρῖψαι ὡς λειότατα. εἶτα ἐν ὕδατι διεῖναι καὶ δοῦναι καὶ ἐᾶσαι ὑπνῶσαι. καὶ ἢν μὲν στρόφος γίνηταί οἱ περὶ τὸν ὀμφαλὸν, κύει· ἢν δὲ μὴ γίνηται, οὐ κύει. πάντων δὲ τουτέων ὕστερον πίνειν ἄλητον καὶ μέλι καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ. ὅσαι ἐν γαστρὶ ἔχουσαι ἐφῆλιν ἐπὶ τοῦ προσώπου ἴσχουσιν, ἄῤῥεν κύουσιν. ὅσαι δὲ εὐχροοῦσαι διαμένουσι, θῆλυ ὡς ἐπιτοπουλὺ κύουσιν, ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κύει. ἢν δὲ κάτω, θῆλυ. λαβὼν τοῦ γάλακτος φυρῆσαι ἄλητον καὶ ποιῆσαι ἀρτίσκον, καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ. καὶ ἢν μὲν κατακαυθῇ, ἄῤῥεν κύει· ἢν δὲ διαχανῇ, θῆλυ. [847] τὸ αὐ-(621)τὸ τοῦτο ἐπιτυλίξας ἐν φύλλοισιν ὀπτᾷν, καὶ ἢν μὲν πήγνυται, ἄῤῥεν κύει· ἢν δὲ διαχυθῇ, θῆλυ. θεραπεῖαι κυήσιος πειρητήριοι καὶ παιδογονίης, ἥτις δεῖται, καὶ ἄτεκνος

utero gerunt, in facie maculam habent, quam ἐφῆλιν vocant, ubique concipere coeperint, vinum odio habent et cibos averſantur, oris ventriculi morſu torquentur, et os frequenti ſalivatione redundat. Minium et aniſum tenuiſſime tritum, deinde aqua dilutum exhibeto et dormire ſinito, et ſi ei tormina circa umbilicum ſuboriantur, praegnans eſt, alioqui minime: poſt haec autem omnia, farinam, mel et origanum ex vino et oleo bibat. Quae utero gerentes maculam in facie veluti ex ſolis aduſtione, ἐφῆλιν vocant, habent, eae foemellam geſtant: quae vero bene coloratae permanent, marem plerumque. Si papillae ſurſum converſae fuerint, marem geſtat, ſi deorſum, foeminam. Sumptam lactis portionem cum farina ſubigito, et in paſtillum formato et levi igne torrefacito, et ſi quidem exuratur, marem geſtat, ſi vero diffindatur, foemellam. Hoc idem ipſum ſuper folia emulctum inſpicito, et ſi quidem cogatur, maſculum geſtat, ſi vero diffundatur, foemellam. Curationes quae conceptum explorant in ea quae liberorum procreatione indiget, et liberis caret et quae jam an-

ἐοῦσα καὶ ἤδη κύουσα, ἐοῦσα δὲ ἀτεκνοῦσα. ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ, ὅλος ἢ ἄκρος, καὶ ξυμμεμύκῃ καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον ἢ ἐς τὸν ἀρχὸν κεκύφῃ ἢ ἀνεσπάκῃ ἑωυτὸν ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ᾽ ἑωυτό. ὁπόθεν οὖν ἢ τρηχὺς ᾖ, ἢ πεπωρωμένος. σκληρὸς δὲ γίνεται καὶ ἀπὸ ξυμμύσιος καὶ ἀπὸ πωρώσιος. ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, καὶ φαίνεται πολλῷ ἐλάσσονα ἢ κακίονα τοῦ δέοντος, καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. τὰ μὲν ἐπιμήνια καθ᾽ ὑγείην τοῦ σώματος καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται, κατά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον, καὶ ἀπὸ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις ἂν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον πιεῖν δοῦναι φάρμακον, καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω ἤν τε κάτω μοῦνον, καὶ ἢν μὲν ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ᾽ ὕστερον.

tea praegnans effecta, nunc vero non parit. Ubi uteri ſtomachus totus aut extrema ſui parte durus, aut connivens et non rectus fuerit, ſed in alteram coxendicem converſus, aut in rectum inteſtinum procubuerit, aut ſeſe contraxerit, aut ſtomachi labrum in ſe reductum fuerit. Quacunque igitur ex occaſione aſper et calloſus evadit. At ex concluſione et callo durus fit. His menſes minime aut longe pauciores, aut quam conveniat deteriores et per longius tempus apparent. Et menſes quidem pro corporis et uterorum valetudine exitum habent, et pro connato et juſto eorum caloris et humiditatis modo, et ſtomacho non admodum offenſo. Rurſus autem genituram ob laeſionem non recipit, quaecunque tandem ſtomachum male affectum ne recipiat impedit. Huic poſt fotum univerſo corpori adhibitum, medicamentum purgans bibendum exhibere oportet, facta primum corporis purgatione, ſive ſurſum et deorſum, ſive deorſum ſolum. Et ſi quidem ſurſum purgans medicamentum exhibeas, ante purgationem fomentum non admo-

Ed. Chart. VII. [847.] Foës. I. 677. 678. Ed. Lind. II. (622.)

πυριήσας δὲ μεταπίσαι κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερι(621)κοῦ, προπυριήσας κάτω πίσαι. ὅταν δὲ δοκῇ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῇν ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνὰ, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν. ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα κυπαρίσσου πρίσματα δάφνης φύλλα κεκομμένα, καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. || ὁκόταν δὲ νεόλουτος καὶ νεοπυρίητος ᾖ, ἀνευρύνειν στόμα τῆς μήτρης μήλῃ κασσιτερίνῃ καὶ ἀνορθοῦν ὁμοῦ, ἐὰν δέηται, ἢ μολυβδίνης ἀρξαμένης ἐκ λεπτῆς· εἶτα παχυτέρῃ, ἢν παραδέχηται, ἕως ἂν δοκῇ καλῶς ἔχειν. βάπτειν δὲ καὶ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ, ὅτι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας, εἶτα περὶ ξυληρίοισι μακροῖσι περιαρμόσαι καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον ἑψοῦσα ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ δαῖδα πινέτω ὡς πιοτάτην κατασχίσασα λεπτὰ, καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου Αἰθιοπικοῦ κάλαμον, καὶ λιβανωτὸν ὡς κάλλιστον. τούτου πινέτω νῆστις ὁκόσον δοκέῃ μέτριον

vendum, sed postea. At fomento adhibito, deinde medicamentum deorsum purgans exhibendum. Quod si sursum purgante medicamento minime opus esse videatur, fomento ante admoto per inferiora purgans bibendum exhibeto. Ubi autem corpus bene habere visum fuerit, postea crebro in eo fotu quicunque tandem conducere videbitur insidendo, uteris ipsis fomentum admoveto. In fotus autem cupressi ramenta, et lauri folia tusa immittito et copiosa calida frequenter lavato. Recenter lotae et fotae os uteri specillo stanneo aut plumbeo diducito, simulque si opus fuerit dirigito, initio a tenui ducto, deinde crassiore si admiserit admoto, quoad probe habere videatur. Specillum autem emolliente quodcunque conducere videbitur dissoluto et liquido reddito intingito. Specilla lata posteriore parte conficito, deinde parvulis lignis oblongis accommodatis utitor. Hoc vero tempore taedam pinguissimam in tenuia frustula dissectam, ex vino albo dulci quam suavissimo decoctam bibat, et apii cuminique Aethiopici semen contusum, et thus probatissimum. Ex hoc moderata quantitate bibat diebus

εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν, καὶ ἐσθιέτω σκυλάκια σιαλώδεα δίεφθα, καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκυτάτῳ, καὶ τοῦ ζωμοῦ πινέτω καὶ κράμβην ἑφθὴν καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ δειπνείτω, καὶ λουέσθω δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ, ἢν μὲν προχωρήσῃ κατὰ τὸν στόμαχον καὶ φαίνῃ τινὰ κάθαρσιν ἔξω, πίνειν τέ τι τοῦ πόματος, ἡμέρην μίην ἢ δύο, καὶ [848] τῇσι μήλῃσι παύσασθαι χρεόμενον καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας, προσθέτοισι καὶ φαρμάκοισιν. (623) ἥτινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μαλθακοῦ καὶ ὑγιέος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα καὶ διὰ πλείονος χρόνου καὶ μὴ ὑγιηρὰ, τὴν νοῦσον ἀνευρὼν ἥντινα ἔχουσιν αἱ μῆτραι, ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον ἀπὸ ὁτέου οὐ κυΐσκεται, ὅτε μὲν οὕτως ἔχει, τὴν ἴησιν ποιέεσθαι προσφέρων τὸ δέον. ἢν δὲ ἔχηται τὴν ἴησιν ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. τελευτᾷν δὲ μαλθακώτερα ὡς ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρα, καὶ ὁ στόμαχος καθεστάναι ὀρθῶς ἔχων ἐν

quibus melius habere videbitur, et catulinas carnes pingues percoctas edat, et polypum ex vino dulcissimo coctum jusculum bibat, brassicam quoque coctam vinumque album superbibat, coena abstineat et bis die lavet. Per hoc tempus cibis abstineat, postea si per stomachum processerit et quandam foras purgationem ostenderit, uno aut altero die potionem aliquam bibat, a specillorum usu desistito et uteros subdititiis medicamentis purgare tentato. Cui vero cum stomachus rectus sit et mollis et sanus, beneque habeat et convenienti loco situs sit, menses nullo modo aut pauciores et longiore tempore apparent, minimeque sani, ubi perscrutatus fueris quonam morbo uteri laborant, et num corpus aliquid conserat et inventa causa ex qua non concipit, cum sic quidem habuerit, convenientem curationem adhibeto, si eam recipiat, initio a validioribus, prout opportunum videbitur, ducto et in leviora desinens, quoad uterus bene a purgatione habere et stomachus recte constitutus et idoneo loco

Ed. Chart. VII. [848.] Foës. I. 678. Ed. Lind. II. (623. 624.)

τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ φαρμάκου καὶ ἀπὸ τοῦ ποτοῦ μὴ προχωρήσῃ, μηδὲ πινούσης χρόνου τὸ μέτριον, τοῦτο μὲν παύσασθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ, τοῦ ἀπὸ τῶν μηλέων ἔργου μαλθάξαι τὸ στόμα τοῦ στομάχου, καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθετῷ ἀπό τε τῶν θυμιητῶν φαρμάκων καὶ μαλθακτηρίων. ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν, μαλθάξιος καὶ θυμιήσιος προστιθεὶς φάρμακα, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, ἀρχόμενος ἐκ μαλθακῶν ἐς ἰσχυρότερον, τελευτᾷν δὲ αὖθις ἐς μαλθακὰ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα ἑλκοῖ τὸν στόμαχον, καὶ εἴργει τοῦ καθεστάναι ὀρθὸν καὶ καλῶς ἔχοντα πρὸς τῆς γονῆς τὴν ὑποδοχὴν καὶ τὴν μήτραν ξηρὴν ποιέει. ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμελῆς βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ὥρη δὲ ἐαρινὴ κρατίστη κυή(624)σιος. ὁ δ᾽ ἀνὴρ μὴ μεθυσκέτω, μηδὲ οἶνον λευκὸν πινέτω, ἀλλ᾽ ὡς ἰσχυρότερον καὶ ἀκρητέστερον, καὶ σιτία σιτείσθω ἰσχυρότατα, καὶ μὴ θερμολου-

ſitus eſſe videatur. Quod ſi a medicamento et potione non proceſſerit, neque ſi moderato tempore biberit, hac potione ſuperſedeat. Ubi vero ex ſpecillorum uſu bene habuerit, os ſtomachi emollito et ut dehiſcat viamque ſubdititio praebeat, per medicamenta tum ad ſuffitum tum ad emolliendum accommodata efficito. Cum autem ex emollitione et ſuffitu bene habere videbitur, per ſubdititia medicamenta uteri purgationem quoad habere videatur efficito, progreſſu a levibus ad vehementiora facto, rurſus autem in levia odorata deſinens. Medicamenta enim valentia fere ſtomachum exulcerant, et quominus recto loco conſiſtat et ad genituram ſuſcipiendam bene habeat impediunt, uterumque ſiccum reddunt. Si vero mulieri uteri ad conceptum ex pinguedine offenſi eſſe videantur, eam quam maxime extenuato, et praeter alia gracilem reddito. Vernum autem tempus ad conceptum praeſtantiſſimum. Vir vero minime inebrietur, neque vinum album, ſed valentiſſimum et meracius bibat, cibos edat valentiſſimos, neque calida lavet, viribus valeat,

τείτω, καὶ ἰσχυέτω καὶ ὑγιαινέτω, καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ὅτῳ δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι καὶ τὸν στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλὴν, καὶ μὴ ἀλείψηται μηδέν. ἔπειτα ὀθόνιον ἄνοδμον περιθεῖσα περὶ τὰς τρίχας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ μηδενὸς ὄζοντος καταδῆσαι, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον, ἔπειτα ἀναπαύεσθαι προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, θερμήνασα πρὸς πῦρ ἢ ἥλιον καὶ μαλθάξασα εὖ. ἔπειτα πρωῒ ἀπολύσασα τὸ κεκρύφαλον καὶ τὰ ὀθόνια, ὀσφραίνεσθαι παρασχέτω τινὶ ἑωυτῆς τὴν κεφαλὴν, καὶ ὄζει ἢν καλῶς ἔχῃ τῆς καθάρσιος. εἰ δὲ μὴ, οὐκ ὄζει. || ἄσιτος δὲ ταῦτα ποιείτω. ἢν δὲ μὴ τεκνούσῃ προσθῇς, οὐδέ ποτε ὄζει οὔτε καθαιρομένη οὔτε ἄλλως οὐδ᾽ ἢν κυούσῃ προσθῇς, οὐδ᾽ οὕτως ὀζέσει. ἥτις δὲ κυΐσκεται πολλὰ καὶ ἀρικύμων ἐστὶ καὶ ὑγιαίνει, ἢν [849] προσθῇς μηδὲ καθήρας, ὀζέσει αὐτὴ τῆς κορυφῆς, ἄλλο δὲ οὔ. ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι, καὶ ἡ μὲν γυνὴ ἄσιτος ἔσται, ὁ δ᾽ ἀνὴρ ἀθώρηκτος, ψυχρῷ δὲ λε-

et sanus sit et cibis ad hanc rem minime conducentibus abstineat. At cui mulier expurgata videbitur, et uteri stomachus bene habere, caput lavet et desricet et nullo prorsus illinatur, deinde linteo inodoro loto capillis circumposito, reticulo nihil olente loto deliget, primum subdito linteo, postea galbano ad ignem aut solem calefacto et probe emollito, ad stomachum in subdititio apposito quiescat. Deinde matutino tempore soluto reticulo et linteo, caput olfaciendum alicui praebeat, et si probe purgata fuerit, olet, alioqui non olet. Haec autem jejuna faciat. Quod si ei quae non parit subdideris, nunquam neque purgata neque aliter olebit, neque si praegnanti supposueris, sic olebit. Quae vero crebro praegnans est et facile concipit et bona valetudine fruitur, si etiam non purgatae subdideris, ei vertex olebit, nihilque aliud. Cum vero bene habere cognoveris, ad virum adeat jubeto. Et mulier quidem cibis abstineat, vir autem minime temulentus, sed frigida lotus et qui paucos et con-

Ed. Chart. VII. [849.] Foës. I. 679. Ed. Lind. II. (624. 625.)

λουμένος καὶ εὐωχουμένος σιτία ὀλίγα, ξύμφορα. καὶ ἡ γυνὴ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἔλθῃ παρὰ τὸν ἄνδρα τοῦ πρώτου χρόνου, ἀλλ' ἡσυχαζέτω. γνώσεται δὲ, ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφικέναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῆς αὐτῆς ἡμέρης, ἔσται ὑγρὴ, (625) καὶ ἢν γένηται ὑγρὴ, αὖθις μιγνύσθω τῷ ἀνδρὶ μέχρις ἂν ξυλλάβῃ. ἄλλη θεραπείη. πυριήσας τὸ σῶμα ὅλον, πίσαι, καθῆραι ἄνω καὶ κάτω, εἶτα ὄνειον γάλα μεταπίσαντα πυριῆν τὰς μήτρας δι' αὐλοῦ δύο ἡμέρας, οὔρῳ γυναικείῳ σαπρῷ καὶ λίτρον ἐμβάλλειν, τῇ δὲ τρίτῃ βοείῳ οὔρῳ. τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ τρίψας μαράθρου σπέρμα καὶ ἀκτῆς φύλλα καὶ δάφνην καὶ κυπαρίσσου πρίσματα, ταῦτα ἑψῆσαι ὕδωρ ἐπιχέαντα. δεῖ δὲ μετὰ τὴν πυρίησιν λουσαμένην πολλῷ θερμῷ προστιθέναι στέαρ ἡδυντὸν ἐκ τῆς πυρίης εὐθὺς καὶ ἐς νύκτα. μετὰ δὲ σκευάζειν, ξυμμιγνὺς σμύρναν στακτὴν καὶ βούτυρον καὶ χηνὸς ἄλειφα καὶ ἐλάφου μυελὸν καὶ ῥητίνην καὶ νέτωπον. τουτέων ἴσον ἑκάστου ξυμμίξαντα, διατήξαντα προστιθέναι ἐν εἰρίῳ Μιλησίῳ

ferentes cibos in convivio sumpserit. Quod si mulier se genituram concepisse noverit, primo tempore ne virum adeat, sed quiescat. Noscet autem, si vir se emisisse dixerit, mulier vero propter siccitatem ignoret. Quod si rursus eadem die uterus genituram reddiderit, humidus erit, quo casu rursus cum viro congrediatur quoad concipiat. Alia curatio. Post fomentum universo corpori adhibitum, quod sursum et deorsum purget propinato, deinde lacte asinino postea epoto, uteros duobus diebus per fistulam urina muliebri putrida, nitro immisso foveto, tertio vero urina bubula. Quarto autem et quinto die foeniculi semen tritum, sambuci folia, laurum et cupressi ramenta aqua affusa decoquito. Post fomentum vero ubi copiosa calida laverit, statim a fomento adipem aromatibus conditum sub noctem subdere oportet. Postea haec inter se mixta propinato, myrrham stactem, butyrum, anserinum adipem, cervi medullam, resinam, netopum, haec singula aequis portionibus commixtis liquata,

Ed. Chart. VII. [849.] Foës. I. 697. Ed. Lind. II. (625. 626.)
μαλθακῷ ὡς εὐειροτάτῳ. μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολιβδίοις ἐληλασμένοις ὀκτωδακτύλοισι πέντε. τὸ πρῶτον ἔστω λεπτὸν, τὸ δὲ δεύτερον παχύτερον, καὶ τἄλλα θάτερον θατέρου παχύτερον. ἀναστομοῦνται δὲ πέντε ἡμέρας, αἰεὶ δὲ λουσαμένη προστιθέσθω, καὶ ἀναδείσθω ἐκ τῆς ὀσφύος, ὡς μὴ πίπτῃ, καὶ ὠθείτω τὰ μολύβδια αἰεὶ ἀνωτέρω. τὸ δὲ τελευταῖον ὡς ἀνωτάτω. ἐπὴν δὲ ἀναστομώσῃ, προσθεῖναι καθαρτικὸν, τρίψας κανθαρίδας πέντε καὶ σικυώνης μακρῆς σπόγγον καὶ σμύρναν. ταῦτα μέλιτι ἑφθῷ φορύξαντα καὶ φυρήσαντα βαλάνιον εἰρίῳ κατειλίξαι πλὴν τοῦ ἄκρου. ἔπειτα εἰς ἄλειφα βάψαντα (626) ὡς ἥδιστον προσθεῖναι. χρῆσθαι δὲ καθαρτικῷ καὶ τούτῳ τῇ χολῇ τοῦ ταύρου, καὶ ἄνθει ὀπτῷ καὶ λίτρῳ καὶ σμύρνῃ, μέλιτι ὀλίγῳ διέντα, ὀθόνιον λεπτὸν ἀποδήσαντα καὶ ἄνω τὸ ὀθόνιον περιελίξαντα τῷ φαρμάκῳ προστιθέναι. χρῆσθαι δὲ καὶ βουπρήστει ξὺν τῇ σμύρνῃ, καὶ ἐλατηρίῳ ξὺν τῷ μέλιτι ἑφθῷ, καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε καὶ τῇ σμύρνῃ. ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσαντα κλύσαι τὴν μήτρην. κύμινον

ex lana Milesia, molli bene carminata in subdititio apponito. Postea quinque plumbeis penicillis ad octo digitorum longitudinem ductis uterum dilatato. Primus tenuis esto, secundus vero crassior, reliquique alter altero crassior. Aperiuntur vero per quinque dies et semper ubi lota fuerit supponat, et ne decidant ex lumbis deliget, et penicillos semper altius intrudat, postremum vero quam penitissime. Ubi autem aperuerit, purgans medicamentum subdito, cantharidas quinque tritas et cucurbitae longae interiorem partem spongiosam et myrrham. Haec ex melle cocto subacta et in glandulam ducta, lana parte summa excepta convoluta, deinde oleo suavissimo intincta supponito. Hoc etiam purgatorio utendum, selle tauri, aeris flore usto, nitro et myrrha, haec modico melle diluta ex tenui linteo deligata, et linteo superna parte medicamento obducto, supponito. Utendum etiam bupresti cum myrrha et elaterio cum melle cocto et cantharidibus cum elaterio et myrrha. Postquam purgata fuerit, postridie cum laverit, uterum colluito. Cuminum Ae-

Ed. Chart. VII. [849. 850.] Foës. I. 679. 680. Ed. Lind. II. (626.)

Αἰθιοπικὸν τρίψας καὶ μελάνθιον καὶ ῥητίνην καὶ ἄλειφα καὶ μέλι καὶ οἶνον γλυκύν. ταῦτα μίξας καὶ ἀναχλιήνας κλύσαι. ἐπὴν δὲ κλύσῃς, ἀναστήσας, περιϊέναι κελεύειν, ὅκως τὸ κλύσμα διασείηται. προσθεῖναι δὲ κρόκον καὶ σμύρναν καὶ λιβανωτὸν ἐν ῥάκει λιναίῳ. ἀποδέοντα ξηρὸν ἴσον ἑκάστου. ξυμμίσγοντα χηνός τε ἄλειφα, περιχρίοντα τὸ ῥάκος. τοῦτο δὲ προστιθέναι ἑπτὰ ἡμέρας. τῇ δὲ ὀγδόῃ θυμιῆσαι, σμύρνῃ καὶ ἀσφάλτῳ καὶ κριθῇ εὐώδει ἀλείφατι πεφυρημένα. ἐπὶ μαλθακὸν ἐπιβαλὼν πῦρ, θυμιῆν δι' αὐλοῦ. ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ τρῖψαι κάστορος ὄρχιν, οἶνον λευκὸν παραχέων, καὶ αὐτὸν μήλῃ ἀμφιπλάσας καὶ εἰρίῳ κατελίξας προσθεῖναι ἐς νύκτα. ὄρθρου δὲ ἀνελομένη καὶ διαμαλαξαμένη ἴτω παρὰ τὸν ἄνδρα, καὶ ξυγκοιμηθεῖσα ἀτρεμείτω, καὶ ἂν μὴ ἐπὶ τοῦ πρώτου κυήσῃ, αὖθις προσθεμένη αὐτὸ τοῦτο, [850] παρὰ τὸν ἄνδρα ἐλθέτω. || ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπειδὰν ἔλθῃ τὰ καταμήνια. ληγόντων δὲ χρὴ τὸ κυητήριον προσθεμένη, ξυγκοιμᾶσθαι. τοῦ δὲ πρόσθεν χρόνου μήτε ἡ γυνὴ ἴτω ἆσσον τοῦ ἀνδρὸς μήθ' ὁ

thiopicum tritum, melanthium, resinam, oleum, mel et vinum dulce, haec mixta et tepefacta collutione adhibeto. Ubi collueris eamque erexeris, obambulare jubeto, quo collutio concutiatur. Crocum, myrrham, thus, singula pari portione sicca, lineo linteo deligata subdito et ammixto anserino adipe linteum oblinito, hoc per dies septem supponito, octavo vero suffitum adhibeto ex myrrha, bitumine et hordeo, oleo odorato subactis et in lenem ignem conjectis, per fistulam suffito. At postquam suffitum adhibueris, postero die castoris testem ex vino albo affuso tritum, lana obvolutum et per specillum obductum, sub noctem supponito. Quem cum mane subtraxerit et emollita fuerit, ad virum accedat et ubi condormierit quiescat, sique primo non conceperit, rursus eodem subdito virum adeat. At euntibus mensibus curationem per medicamenta auspicari oportet, desinentibus vero supposito ad conceptum faciente medicamento, viro condormiendum. Ante hoc tempus neque mu-

Ed. Chart. VII. [850.] Foes. I. 680. Ed. Lind. II. (626. 627.)

ἀνὴρ παρὰ τὴν γυναῖκα. (627) ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται εἰωθυῖα πρότερον κυΐσκεσθαι, τοῦ ἀνδρὸς δὲ τὴν γονὴν ἐσδέχονται αἱ μῆτραι ἐς ἑωυτὰς, ἀνάγκη πάγχυ οὐρέειν τὴν γυναῖκα ταύτην. ἐνίοτε μὲν γὰρ ἐν τῆσι μήτρῃσι τὸ πῦον ἐγγίνεται. τὸ δὲ πῦον τὸ ἐν τῆσι μήτρῃσιν ὑπὸ φυμάτων γίνεται. διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης, ἵνα δὴ πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός. τὸ γὰρ πῦον ἀμαυροῖ, ὥστε μὴ προσφέρεσθαι. τέθνηκε γὰρ τὸ πῦον καὶ σήπει τὴν γονήν. δεῖ δὴ τό τε πῦον ἐκκαθῆραι τῶν μητρέων καὶ τὸ φῦμα τὸ ἐν τῇ δελφύϊ καταστῆσαι, ὅκως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν πήγνυσθαι καὶ προσφέρεσθαι. ταχύνειν δὲ χρὴ ἐκκαθαίροντα, πρὶν ἢ πωρωθῆναι τὸ πῦον ἐν τῆσι μήτρῃσι. κλύσαι δὲ χρὴ τὰς μήτρας ὧδε, ἵππειον γάλα ἑψήσας διεὶς διὰ κρίτρης ὡς λεπτοτάτης καὶ καθαρωτάτης, τούτῳ κλύζειν κλυστῆρα ἐπιτήδειον ποιησάμενος. τὸ μὲν ἄκρον τοῦ κλυστῆρος λεῖον ἔστω, οἷόν περ μήλης ἀργύρεον, καὶ παρ᾽ αὐτὰ τετρυπήσθω τοῦ κλυστῆρος ἀπολεῖπον ὀλίγον τὸ τρῆμα. εἶναι δὲ καὶ τὰς ἄλλας ἐκτρή-

lier ad virum, neque vir ad mulierem accedat. Cum autem mulier antea concipere solita non concipit, viri genituram in sese recipientibus uteris, hanc mulierem prorsus sero diluere necesse est. Interdum siquidem pus intra uteros gignitur, quod ex tuberculis in utero subortis contingit. Eam sane ob causam viri genitura in congressu uterum non attingit, quo coalescere possit. Pus enim ut ne adhaerescat eam retundit, cum pus genituram extinguat et corrumpat. Pus igitur ex uteris expurgare convenit, et uteri tuberculum componere, ut ne in posterum genituram concrescere aut admoveri prohibeat. Celeriter igitur prius quam pus in uteris in tosum indurescat expurgare oportet. Uteri vero ad hunc modum colluendi. Lac equinum percoctum per tenuissimum et purissimum lineum excussorium transmissum infundito, idoneo ad infundendum instrumento confecto. Clysteris quidem summa pars laevis esto, velut specilli argentea, supra quam interjecto parvo spatio foramen perforetur. Sint autem et alia foramina hinc et inde singula

Ed. Chart. VII. [850.] Foes. I. 680. Ed. Lind. II. (627. 628.)

σιας, διαλειπέτω δὲ ἶσον ἑκάστη ἔνθεν καὶ ἔνθεν, ἐκ τοῦ πλαγίου τοῦ κλυστῆρος ἑκάστης ἶσον, καὶ μὴ μεγάλα, ἀλλὰ στενά. τοῦ μὲν κλυστῆρος ἡ κορυφὴ στερεὴ ἔστω, τὸ δὲ ἄλλο πᾶν κοῖλον ἔστω ὡς αὐλίσκος. δῆσαι δὲ χρὴ κύστιν συὸς θηλείης. ταύτην δὲ ἑψήσας εὖ μάλα. ἐπὴν δὲ προσδήσας, ἐγχέας τὸ γάλα ἐς τὴν κύστιν ἐς τὰς μήτρας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅκως μὴ τὸ γάλα ῥέῃ. ἐπειδὰν δὲ κλύσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλεις κλύζειν. κείνη δὲ (628) ἐξελοῦσα τὸ κλύσμα, ἐς τὴν μήτρην ἐνθέσθαι. αὐτῇ δὲ εἰ δεήσει ὅκου δεῖ. ἔπειτα δὲ πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἔστ᾽ ἂν τὸ πῦον ἐκρυῇ ἔξω. δῆλον δὲ τοῦτο ἔσται, ἐπὰν μηκέτι ἐξίῃ τὸ πῦον ἅμα τῷ γάλακτι. δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι· τότε χρὴ παύεσθαι, καὶ μετὰ τοῦτο ἐπὴν οὖν ψυχθῇ ὀλίγον, ὀλίγον χρόνον σικυώνης ξηρῆς πεφυκυίας τὸν πυθμένα ἀποτρήσας καὶ τῆς κορυφῆς τὸ ἄκρον ὡς ἂν τετρημένον ᾖ, τοῦτο ὅμοιον ποιήσας τὸ ἄλλο πλὴν τὸ ἄκρον, καθάπερ τοῦ κλυστῆρος τὸν αὐτὸν τρόπον. πάχος δὲ λεπτότερον ὀλίγον ὡς ἀνδρὸς αἰδοῖόν ἐστιν.

aequaliter inter ſe diſtantia, ex obliqua clyſteris parte aequalia ſingula non magna, ſed anguſta. Clyſteris quidem ſummus apex ſolidus eſto, at reliquum totum cavum velut fiſtula, cui ſuis foeminae veſica aqua calida probe emollita et madefacta alliganda. Ubi eam alligaris, infuſo in veſicam lacte, in foramina tenue linteum immittito, ne lac effluat. Poſtquam clauſeris veſicam, alligatam mulieri ipſi quam lavaturus es exhibeto. Illa vero detracto obturamento, in uterum indat. Noſcet autem ipſa ubi indere oporteat. Deinde veſicam manu comprimito, quoad pus foras effluxerit. Quod manifeſtum fiet, ubi pus non amplius cum lacte exierit. Tunc enim cum nullum amplius ineſt, deſiſtere oportere manifeſtum eſt. Ubi igitur paulum recreata fuerit, cucurbitae modico tempore reſiccatae fundum perforato et verticis ſummum ut ſit perforatum; quod reliquum eſt ſimile clyſteri ſummo excepto, efficito, eodemque modo utitor. Sit autem craſſitudine paulo minori quam viri genitale. Hoc

Ed. Chart. VII. [850. 851.] Foës. I. 680. Ed. Lind. II. (628. 629.)
τοῦτο περιθεῖναι ἐς τεῦχος, οἴνου ἐμπλήσας τὸ τεῦχος. ὁ δὲ οἶνος ἔστω ἀνθοσμίας ὡς εὐωδέστατος καὶ ξηρότατος καὶ παλαιότατος. ἔπειτα λίθον μέλανα διαφανῆ ἐμβάλλειν εἰς τὸν οἶνον. ἔπειτα περιθεῖναι σικυώνην ποιήσας χαλκοῦ λευκοῦ, καὶ ἡ γυνὴ ἀμφικαθεζέσθω περὶ τὴν βάλανον τῆς σικύης, τὸ αἰδοῖον ποιήσασα ὁκοῖον δεῖ. ὅκως δὲ ὑπερέξαι τὴν χαλκὴν καὶ ἔξωθεν σικυώνην, δύο δακτύλοιν ἔστω. [851] ὅταν μὴ δύνηται ἡ γυνὴ γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μήνιγγα ἐπιπεφυκέναι ἐν τῷ στόματι τῶν μητρέων. δεῖ δὲ ἰὸν χαλκοῦ καὶ χολὴν ταύρου καὶ ὄφιος στέαρ, ταῦτα ξυμμῖξαι ὁμοῦ, εἶτα εἰρίον λαβὼν ἀναδεῦσαι τῷ φαρμάκῳ, καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον, μέλιτι ὑποχρίσας τὸ ὀθόνιον καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τὴν μεγίστην. εἶτα προστιθέναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην. ὑπτίη δὲ κείσθω. τὴν δὲ ἡμέρην (629) ἀφαιρείσθω, καὶ λουέσθω θερμῷ ὕδατι ἀπὸ μυρσίνης ὡς πλείστῳ. ἔπειτα δι᾽ ἡμέρης προστιθέσθω ἐν ἑκάστῃ νυκτί. μετὰ δὲ συνέστω. ἄλλη θεραπείη. πρασίου τῶν φύλλων λαβόντα πλῆθος, ὥστε τὴν χεῖρα εὖ ἐμπλῆσαι ἐμβαλεῖν ἐς ἀγγεῖον Ἀττικὸν, καὶ ἐπιχέαι ὕδα-

in vas imponito, quod vino odoris ſuaviſſimi et fragrantiſſimi, ſicciſſimo et vetuſtiſſimo impleatur. Deinde lapidem nigrum candentem in vinum mittito. Poſtea cucurbita ex aere albo parata circumpoſita, mulier circum cucurbitae glandem, pudendo qualiter oportet compoſito, inſideat, ita ut cucurbitam aeream et externam duobus digitis ſuperemineat. Ubi mulier genituram excipere non poteſt, membranam uterorum oſculo adnatam eſſe omnino neceſſe eſt. Aeris florem, fel tauri et ſerpentis adipem, haec omnia ſimul commiſcere oportet, deinde medicamento lana excepto et linteo byſſino involuta, linteo melle ſublito glandem ſubditítiam olivae maximae craſſitudine conficito, mox per totam noctem in pudendum ſubdito. Supina autem jaceat et per diem auferat, et quam plurimo myrti decocto calido lavet. Deinde quotidie per ſingulas noctes ſupponat, poſteaque cum viro congrediatur. Curatio alia. Foliorum marrubii plenae manus menſuram in vas Atticum immittito,

Ed. Chart. VII. [851.] Foës. I. 680. 681. Ed. Lind. II. (629.)

τος ποτοῦ κοτύλας Ἀττικὰς τέσσαρας. || καὶ προβρέξαντας ἐννέα ἡμέρας, πίνειν ἑτέρας ἐννέα ἡμέρας νῆστιν, λουσαμένην δύο κυάθους τῆς ἡμέρης ἀπὸ τοῦ πρασίου γλυκέος λευκοῦ ἴσον μίσγουσα. ὅταν δὲ ἔσται τριταίη πίνουσα, πυριήσθω κωνείου φύλλοισιν ἐπὶ πῦρ ἐπιβάλλων ἐννέα ἡμέρας, καὶ μετὰ τὴν πυρίην λούεσθαι, καὶ οὕτω πίνειν εὐθὺς τούτων. ὅταν δὲ τὰς τρεῖς πυριημένη ᾖ, προστίθεσθαι τοῦ πρασίου αὐτέου τετριμμένου λείου δι' ἡμέρης, ἐπὶ τρεῖς ἡμέρας, λινοζῶστιν λείην τετριμμένην, ἐν μέλιτι Ἀττικῷ δὶς τῆς ἡμέρης. προβρεχέσθω δὲ ἐν οἴνου λευκοῦ τρυγὶ χοῒ καὶ ἱππομαράθρου καὶ μαράθρου ῥίζα καὶ δαδὸς ὡς πιοτάτης ὄζοι, καὶ ἐρευθεδανοῦ τεταρτημόριον, καὶ μαράθρου σπέρμα, καὶ περιστερεῶνος ῥίζαι πολλαί. προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα. πίνειν δὲ μετὰ ταῦτα λουσαμένην κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης ἀκρήτου βρεχομένου ἐν τῷ λουτρῷ ἐοῦσαν, καὶ μετὰ ταῦτα κατακλιθεῖσαν ἐκθερμαίνειν ἑωυτὴν καὶ προστίθεσθαι. ἐνταῦθα διὰ τρίτης μετὰ τὸ ποτὸν τὸ ἐκ τῆς χολῆς δι' ἡμέρης, ἐπὶ ἡμέρας ἕξ. ὅτω δὲ μέλλει ἤδη προσεῖναι καλῶς καθάρσιος ἔχουσα, ὑοσκυάμου

aquae potabilis heminis quatuor || Atticis affusis. Ex eo novem diebus macerato per alios novem dies jejuna et lota singulis diebus duos cyathos bibat, passi albi aequali portione admixta. Tribus elapsis diebus, immissis in ignem cicutae foliis, per novem dies suffiatur et post suffitum lavet, atque sic rursus ex eo bibat. Post suffitum tribus diebus adhibitum marrubium ipsum tenuiter tritum quotidie tribus diebus subdat, et mercurialem laeviter ex melle Attico tritam, bis die. Praemacerentur autem in congio faecis vini albi hippomarathri et foeniculi radix, taedae quam pinguissimae rami, rubiae quadrans, foeniculi semen et verbenae radices multae, eaque non minus quam novem diebus macerentur. Post haec autem capite loto, meri macerati heminam per diem in balneo bibat, posteaque reclinata seipsam calefaciat.[1] Indeque post potum tertio quoque die quod ex felle componitur per diem ad sex dies supponito. Cum vero jam probe purgata ad virum accedere volet, hyos-

φύλλα καὶ ῥίζας ἀναζέσας ἐν ὕδατι, πυριήσθω τούτοισιν ὡς θερμοτάτοισιν ἐπὶ τρεῖς ἡμέρας ἐς νύκτας, καὶ λουσαμένη παρὰ τὸν ἄνδρα ἴτω. (630) μετὰ δὲ ταύτην τὴν πυρίησιν καὶ ἐλάφου αἰδοίου αὔου ὑποθυμιῆσαι, καὶ ὅταν ἴδῃς ἔχειν αὖον, τούτου ἐπ᾽ οἶνον λευκὸν κεκρημένον, ἐπιξύων ἐπὶ τρεῖς ἡμέρας διδόναι πίνειν, καὶ ὅταν ὀδύνη ἔχῃ, διδόναι πίνειν, καὶ γὰρ ὠκυτόκιόν ἐστι τοῦτο. ἄλλη θεραπείη. χολὴν ταύρου ἀναζέσαι καὶ στυπτηρίην μηλίην. ἐλάφου δὲ κέρας κατακαύσας τρῖψαι λεῖον, καὶ ξυμμίξας βαλανίοις χρῆσθαι. ἕτερον θεραπευτικόν. κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, τρίψας λεῖον, βάλανον ποιῆσαι, καὶ ἐς νύκτα προσθεῖναι. μετὰ δὲ ταῦτα κατακαύσας τρύγα οἴνου λευκοῦ, τὸ λεπτότατον δηλονότι τῆς τρυγὸς, ἐπειδὰν κατακαύσῃς, ἀφαιρέειν τοῦτο ἐν πτερῷ, ἔπειτα ἐς ὀθόνιον ἀποδήσας προσθεῖναι ἐς νύκτα, καὶ πράσα ἑφθὰ ἐσθιέτω. μετὰ δὲ τοῦτο τράγιον τρίβων καὶ μέλιτι διεὶς [852] προσθεῖναι ἐς νύκτα. μετὰ δὲ τραγίου καρπὸν λεῖον τρίψας ἐν οἴνῳ λευκῷ, διεὶς δᾷδα ἐπιξύων διδόναι πίνειν. μετὰ δὲ ὀρίγανον διὰ δευτέρης ὑποθυμιῆν καὶ οὕτω

cyami foliis et radicibus in aqua decoctis, maxime calidis tribus diebus ad noctem foveatur, et post balneum virum adeat. Post hoc fomentum etiam cervi pudendum siccum suffitu adhibeto, idque siccum ex vino albo aqua temperato derasum per triduum potui exhibeto, cumque partus dolores detinuerint, propinato: hoc etiam partum accelerat. Alia curatio. Fel tauri et alumen melinum fervefacito, cervi vero cornu ustum tenuiter terito, his commixtis in glandulas paratis utitor. Aliud quod curat. Cuminum ex vino nigro decoctum tenuiter tritum, in glandem confectum, ad noctem subdito. Post haec autem vini albi faecem urito, id videlicet quod in faece est tenuissimum ubi usseris, penna auferto, deinde linteo illigatum sub noctem supponito et porrum coctum edat. Post haec autem tragium tritum et melle subactum sub noctem supponat. Deinde tragii fructum laeviter tritum, vino albo dilutum, taedae scobe adjecta, potui exhibeto. Postea origanum altero quoque die suffitu

Ed. Chart. VII. [852.] Foës. I. 681. Ed. Lind. II. (630. 631.)

πρός τὸν ἄνδρα ἴτω. ἄλλη θεραπείη ἐπὶ γυναῖκα μὴ δυναμένην τεκεῖν. ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, τοκήεσσαν ἐθέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσιν ἐπιμηνίοισιν εἴτε χολώδης εἴτε φλεγματώδης εἴη. γνώσῃ δὲ τῶνδε ὁπότερον μᾶλλον, ψάμμον ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν, ὅταν τὰ ἐπιμήνια γίνεται, ἐν τῷ ἡλίῳ ἐπιχέαι ἀπὸ τοῦ αἵματος. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁπότερον ἂν ᾖ καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέει σοι δεῖσθαι. ἔπειτα (631) διαλιπὼν ἡμέρας τινὰς, τὰς ὑστέρας καθαίρειν, καὶ ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστέρων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθὲν καὶ φλεγμῆναν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται. ἢν δὲ γυνὴ μὴ πυρέσῃ τὰ ἔνδοθεν, μηδὲ κυΐσκηται ὑπὸ τῶν ὑστερέων, μηδὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ᾽ ὑπνώσῃ τε καὶ ἀσιτέῃ, μέλιτι μίξας οἶνον ἐγχεέσθω ἐς τὰ αἰδοῖα καὶ σμύρναν ὑποθυμιήσθω. ἐς δὲ τὴν ἕδρην βαλάνους προστίθεσθαι, μίσγουσα χηνὸς ἄλειφα, καὶ εἴσω ἐγχεῖν ἐς τὸ αἰδοῖον. εἶτα καὶ κλύζειν

admoveto, ſicque ad virum accedat. Curatio alia mulieris quae parere nequit. Si mulierem quae parere non poteſt puerperam reddere voles, ex menſibus ſpectare oportet, num biliosa numve pituitoſa fuerit. Utrum autem ex his potius fuerit noſces, ſi cum menſes eunt, ſubſtrata tenui et ſicca arena in ſole ſanguinis aliquid affuderis. Et ſi quidem biliosa fuerit, ſanguis in arena ſiccatus pallidus redditur. Si vero pituitoſa, velut mucus. Horum utrumlibet contigerit, ventrem, ſive ſurſum ſive deorſum tibi opus eſſe videatur, purgato. Deinde intermiſſis aliquot diebus uteros purgato. Et ſi humidius uterorum os fuerit, acria ſubdito, quo morſum et inflammationem ſentiens os uterorum durum efficiatur. Si mulier partibus internis febrem non ſentiat, neque uterorum vitio concipere neque cum viro congredi poſſit, verum et dormiat et cibos averſetur, vinum melle mixtum in pudenda infundatur, et myrrham ad ſuffitum adhibeto, ſedi glandes ſubdito, vinum cum adipe anſerino mixtum intro in pudendum infundito, deinde etiam oleo pari mellis

Ed. Chart. VII. [852.] Foes. I. 681. 682. Ed. Lind. II. (631. 632.)

ἔλαιον, ἐν μέλιτι ἶσον μίξας. ἢν αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι καὶ τρηχύνηται τὸ στόμα αὐτέων καὶ ξυμμεμύκῃ καὶ τὰ ἐπιμήνια αὐτῇ φαίνηται, μηδὲ κυΐσκηται, || ἀλλὰ πυρετὸς λαμβάνει μαλθακὸς καὶ ὀδύναι αὐτέῃ ἐμπίπτουσιν ἐς τὰς ἰξύας καὶ τὴν νείαιραν γαστέρα. ἡ δὲ νοῦσος αὕτη γίνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ διαφθείρῃ. γίνεται δὲ καὶ ἐκ τόκου. ταύτην χρὴ λούειν θερμῷ καὶ πυριῇν. ὅταν δὲ λελουμένη καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ ἀνευρῦναι τὸ στόμα τῶν μητρέων, καὶ προστιθέσθω σμύρναν τρίψασα καὶ νετώπου τὸ ἶσον, ἢ μύρον ἢ ῥόδινον ἐν ῥάκει, καὶ μολύβδου προστιθέσθω ποιήσαντα ὡς βάλανον καταξύοντα, καὶ καταλείφειν βοὸς χολὴν, καὶ γνώσεται ἐν τέσσαρσιν ἡμέραις τὰς ἀγόνους καὶ πυριῇν καὶ φαρμακεύειν. ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ ἀποπιέζοι τὸ στόμα τῶν μητρέων καὶ τὴν γονὴν οὐ δέχονται. ταύτην χρὴ λεπτύναντα φάρμακον πίσαι κάτω, καὶ πρὸς (632) τὰς ὑστέρας προσθεῖναι, ὃ καθαίρει τε καὶ φῦσαν ἐμποιέει. ἢν τὸ στόμα τῶν μητρέων σκληρὸν

portione admixta colluito: si mulieri uteri graciles reddantur, eorumque os exasperetur et conniveat, neque menses ipsi compareant, neque concipiat, verum febris lenta invadit, et dolores in lumbos et imum ventrem incidunt. Hic autem morbus maxime contingit, cum quid intus corruptum fuerit. Fit quoque etiam ex partu. Hanc calida lavare et fovere oportet. Post balneum autem et fotum specillo os uterorum dilatato et myrrham tritam cum pari portione netopi in subdititio apponat, aut unguentum aut oleum rosaceum in linteo, et plumbum ad instar glandis acutum redditum, felle bubulo illitum supponat et intra quatuor dies infoecundas cognosces. Fomentum etiam et medicamentum purgans exhibendum. Quod si praeter naturam crassa evaserit, non concipit. Omentum enim crassum et copiosum superincumbens os uterorum comprimit, neque genituram recipiunt. Huic extenuatae medicamentum deorsum purgans propinare oportet, et ad uteros quod purgat et flatum inducit in subdititio apponere. Si uterorum os durum red-

γένηται ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα. κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι [853] ἔωσιν, ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν μηδὲν δριμύ. ἢν γὰρ ἑλκώσῃ τὸ στόμα τῶν ὑστερέων, ὅταν φλεγμαίνῃ, οὐ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι, ἀλλὰ προστίθεσθαι ἃ μὴ δάκνει, ὑφ᾽ ὧν φλέγμα καθαίρεται. ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι, ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ ἤν τε δὶς δέῃ. μετὰ δὲ πυριῆσαι πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης. οὕτω δὲ πεποιημένον, ἐγχέας εἰς ἐχῖνον θαλάσσης καὶ πράσα ἐμβαλὼν, ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης καὶ περιαλεῖψαι πηλῷ ὡς βελτίστῳ, ὅκως μὴ διαπνέῃ. εἶτα διὰ σχοινοτόνου δίφρου τῶν τετραγώνων διάγειν τὸν αὐλὸν, ὅκως ὑπερέξῃ δύο δακτύλους τοῦ τόνου. εἶτα ὑποκαίειν ἄνθραξι καὶ τὰς καθέδρας φυλάσσειν. ὅταν δὲ καθίζηται καὶ ὁκόταν ἀνίστηται, ὅκως μὴ κατακαυθῇ, ἀλλα καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου καὶ ἀνίστασθαι ἕως ἂν καταψυχθῆναι τὸν αὐλόν. ἐπὶ δὲ τῇ πυρίῃ την δια-

datur, aut cervix, id ex digiti contactu dignofcetur, et fi in coxendicem obverfi uteri fuerint. Cum fic habuerit, acre nihil adhibendum. Si enim os uterorum exulceratum fuerit, cum inflammatione laborarit, periculum eft ne prorfus fterilis evadat. Verum ea fupponenda quae minime mordeant, et ex quibus pituita purgetur. Cum mulieri menfes contigerint et praeterierint, primum quidem caput purgare oportet, deinde bis vel femel, prout opus videbitur, veratrum exhibere, poftea fomentum adhibere, vafe ad fomentum recipiendum ex cucurbita parato. Quo fic in ampli vafis formam, ἐχῖνον vocant, confecto, aqua marina infufa et porris injectis, cucurbitae fiftulam imponito et luto quam optimo, ne quid transpiret, circum obducito. Deinde per fellam ex junceo fune nexam quadrangularem, fiftulam transmittito, ut duobus digitis fedem fuperet. Mox prunis accenfis fubftratis in defidendo obfervet, ne cum defidat aut cum exurgit comburatur, fed vafe quo fomentum excipitur adhuc frigido defideat, et exurgat dum fiftula refrixerit. In hoc

τριβὴν ὅτι πλεῖστον τῆς ἡμέρης μέρος ποιέεσθαι. καὶ τῇ μὲν τοιαύτῃ πυρίῃ ἐπὶ πέντε ἡμέρας χρῆσθαι· δέκα δ' ἀντὶ τῶν πράσων, τῶν σκορόδων τάδε πυρία, καὶ ταύτην τὴν δέσμην κατακόψας, ἐς τὴν θάλασσαν ἐμβαλεῖν. μετὰ δὲ τὰς λοιπὰς τῶν ἡμερέων αὐτῇ τῇ θαλάττῃ μόνῃ πυριήσθω, ὅκως πρόσω μὴ πρόεισιν ἐν πάσῃ τῇ θεραπείῃ. (633) τὴν τελευταίαν δὲ πυρίην ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης, σκυλάκιον ὅτι νεώτατον ἀνασχίσας, ἀρωμάτων παντοδαπῶν εἴδη ὅτι εὐωδεστάτων καὶ ξηροτάτων κόψας, τὰ ἐντοσθίδια ἐξελὼν τοῦ σκυλακίου ἐμπλῆσαι καὶ σάξαι ὅτι μάλιστα τῶν ἀρωμάτων, ξυλήφια δὲ ὑποθεὶς ἐς τὸν ἐχῖνον ἐνθεὶς τὸ σκυλάκιον οἶνον ὡς εὐωδέστατον ἐπιχέαι, καὶ πυρίην διὰ τοῦ αὐλοῦ, καὶ ὅκως κατὰ δύναμιν εἶναι ὅλην τὴν ἡμέρην ἐπὶ ταύτης τῆς πυρίης πυριῆσαί τε καὶ ἐρωτᾶν αὐτὴν, ἢν ἡ ὀδμὴ διὰ τοῦ στόματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων. σημεῖον γὰρ οὐ μικρὸν ἐς ξύλληψιν τῇ θεραπευομένῃ. προσθέτοισι δὲ χρέο, κρόκου ὅσον ἂν βούλῃ, καὶ σμύρνης ὅσον δύο κυάμους, καὶ ἅλας συχνὸν παράμισγε, πρὸς ταῦτα τεκμαιρό-

autem fomento maximam diei partem commorandum, ejusmodique fomento ad dies quinque utendum. Decem vero diebus porrorum loco allia in suffitu adhibeto, eorumque fasciculum contusum in aquam marinam immittito. At reliquis postea diebus ipsa aqua marina sola foveatur, ut ne ulterius in tota curatione progrediatur. Cum vero curationem missam facere voles, hunc postremum fotum adhibeto. Catulum recentissimum dissectum et exenteratum, aromatis omne genus fragrantissimis et siccissimis contusis impleto, et quam maxime refercito. Subditis autem lignis, catulo in vas imposito vinum odoratissimum affundito, et per fistulam fomentum adhibeto, et quantum per vires licebit per totam diem hoc fomento foveto, eam interrogando num aromatum odor per os spirare videatur. Non enim exiguum est ei quae curatur ad conceptum argumentum. Subdititiis glandibus utitor, croci quantum voles, myrrhae duarum fabarum quantitatem, salem plurimum horum ha-

μενος καὶ ταύρου χολῆς ὅσον δύο κυάμους. ἢν δὲ πρηυτέρῳ βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς· ἢν δὲ ἰσχυροτέρῳ, πλέον. ταῦτα τρίψας λεῖα καὶ μέλιτος παραστάξας, τρῖβε ἄχρις ἄν σοι τριβόμενον γένηται, ὥστε δακτύλῳ ἐκμάξαι. ὅσῳ δ' ἂν πλείονα χρόνον τρίβῃς, τοσοῦτον ξηρότερον καὶ γλισχρότερον καὶ βέλτιον ἔσται. || ποιήσας δὲ παχύτερον ἢ βάλανον, καὶ τὸ ἄκρον ὀξὺ ἐκ τοῦ μέσου παχύτερον. ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὴν ὑστέρην προστεθῇ, ἐς τοῦτο ἔμπηξον ξυλήφια ὀριγάνου δύο ποιήσας λεῖα. ἔστω δὲ ἑξαδάκτυλα. εἶτα κατέλιξον τὰ ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ. ἔπειτα ἄνωθεν ῥάμματι κατέλιξον λεπτῷ, καὶ ὑπερεχέτω τὸ ῥάμμα ὅσον τέσσαρας δακτύλους τῶν ξυληφίων. [854] προσχεαμένη δὲ καὶ καθαρὴν ἑαυτὴν ποιήσασα ὅτι μάλιστα (634) προσθέσθαι αὐτὸ τὸ στόμα, ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία, καὶ τὴν νύκτα προσκείσθω. ἔσται δὲ αὐτὴ ἡ κάθαρσις ὑδατώδης. τῇ δευτεραίῃ ἀναστᾶσα λουσάσθω, καὶ ἐπὶ τὴν πυρίην μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. ὅταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης, κηρωτὴ ἔστω πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης ὡς καλλίστη, καὶ ξυμμί-

bita ratione permifceto, et fel taurinum duarum fabarum quantitate. Quod fi mitiore uti voles, fellis minus, fi vero valentiore, plus permifceto. Haec tenuiter trita melle instillato terito, quoad quod teritur tale evadat, ut paftillum efformare poffis. Quo vero plus triveris, eo ficcius, glutinofius et melius evadet. Quo craffiore quam glans fit reddito, et fumma parte acuto et medio craffiore, deinde ita ducto in uterum fubdatur, in hoc duos origani furculos laeves redditos infigito, qui fex digitos longitudine aequent. Mox lana molliffima furculos convolvito, deinde fuperiore parte filo tenui obducito, ita ut filum furculos fere quatuor digitorum longitudine excedat. Ubi autem fefe perfuderit et mundam quam maxime reddiderit, hoc fubdito coxis linteo in os uterorum fubdat, et per noctem maneat. Ipfa autem purgatio aquofa erit. Poftridie ubi furrexerit, lavet, neque ea die fupra fomentum defideat. Ubi fotu adhibito ex eo furrexerit, ceratum fit primo die quam optime para-

ξαι μάλιστα μὲν ἐλάφου μυελόν· εἰ δὲ μὴ, χηνὸς στέαρ. καὶ ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, ἑκάστης ἡμέρης προσχεαμένη καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ἐς τὴν κοιλίην, τῇ κηρωτῇ ἀλειφέτω τὴν ὑστέρην ἑκάστης ἡμέρης. τὰ μὲν ἄλλα ταῦτα πάντα ξύμμισγε τοῖσιν ἔμπροσθεν ἐκτὸς τῆς χολῆς. ὀριγάνου δὲ τρίβων ὡς λειοτάτης ξύμμισγε ἐς τὴν βάλανον καὶ προστιθέσθω. ἄλλο. τὰ μὲν ἄλλα ταῦτα καὶ τὸν αὐτὸν τρόπον πεποιημένα, ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον συμμίξας καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας προστιθέσθω. ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον τρίψας τε λεῖαν ἰσχυρῶς καὶ μέλι παραμίξας καὶ σφαιροειδὲς ποιήσας προστιθέσθω. πλὴν πυρετοὺς ἐμποιέει, καὶ τὸ ἄρθρον οἰδέει, καὶ δηκτικὸν ἰσχυρῶς ἐστι τοῦτο. μέλι ἑψήσας καὶ ἐλλεβόρου κόψας τοῦ μέλανος τὸ λεπτὸν ἢν πλέον ἰσχυρῶς δηκτικὸν ἔσται. ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. τὸν αὐτὸν τρόπον τοῦτον ἑψήσας μέλι ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν ἐμεῖν, καὶ ποιήσας βαλάνιον, τὸν αὐτὸν τρόπον διδόναι προστίθεσθαι. καὶ τοῦτο πυρετῶδες, ἄγει δὲ καὶ αἷμα, ἔνια δὲ τούτων καὶ δέρματα.

tum, cui potissimum cervi medullam; sin minus, anserinum adipem ammisceto. Cumque a fotu surrexerit, singulis diebus ubi se perfuderit et mundam circa ventrem reddiderit, cerato quotidie ventrem illinat. Haec quidem omnia superioribus felle dempto commisceto, origanum autem tenuissime tritum ad glandem permisceto, quam supponat. Aliud. Reliqua quidem eodem modo praeparata, loco vero origani absinthium ammixtum, et ad eundem modum praeparatum supponat. Melanthium ex tritico delectum, tenuiter tritum probeque melle permixtum, in pilam formatum supponat, nisi quod febres excitat et articulum tumefacit, ac valde mordax hoc est. Mel et veratri nigri tenues radices contusas decoquito. Hoc si copiosum fuerit, veratrum vehementer mordet et febrem excitat. Ad eundem modum melli cocto elaterii quantum potione una satis sit admixtum decoquito et glandem confectam eodem modo subdendam dato. Hoc etiam febrem excitat et sanguinem educit,

Ed. Chart. VII. [854.] Foës. I. 683. Ed. Lind. II. (634. 635.)

ἢν δὲ βούλοιο, καὶ τὸ δρακόντιον ξύον, ἔστι δὲ πρηῢ ἐν μέλιτι ἑφθῷ ἢ ὠμῷ, καὶ τοῦτο σφαιροειδὲς ποιέειν, ὁκόσον κικίδα μεγάλην. (635) πειρῶ δὲ φυσικὸς εἶναι, πρὸς τῆς ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν ὁρῶν. τούτων γὰρ οὐδεὶς ἄσταθμός ἐστιν, ἀλλ᾽ ἐξ αὐτέων τουτέων τεκμαιρόμενος πειρῶ ὅλου τοῦ σώματος, κεφαλῆς καθάρσεσι, φαρμακείῃσι, καὶ πυρίῃσι τῆς ὑστέρης καὶ προσθέτοισι χρῆσθαι. στοιχεῖα δέ σοι ταῦτά ἐστιν. ἡ δὲ θεραπείη τουτέων ἐστὶν ἐν μέρει ἑκάστῳ, καὶ ὅ τι ἂν μὴ ποιῇς τούτων, αἰεὶ ἐπὶ τῆς πυρίης διατριβέτω. αὕτη γάρ ἐστιν ἡ μαλθάσσουσα καὶ ἄγουσα τοὺς ἰχῶρας. ὅταν δὲ καταπαύσῃ τῆς θεραπείης ληγόντων τῶν κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τῆς χειρός· ἢν μὲν ἰσχύῃ, ἀπ᾽ ἀμφοτέρων τῶν βραχιόνων, ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου οὗ ἀπόχρη. διαίτῃ δὲ οἵῃ χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσιν ἑτέρωθί μοι δεδήλωται. ἀποθυμιῆν ἢν βούλει, τὰς αἴρας ἐκ τῶν κριθῶν ἐκλέξας ἀλέσας λεπτὰ, καὶ κληματίνον πῦρ ποιήσας ὅτι μαλθακώτατον. ἔπειτα ἐμβαλὼν ἐς τρυβλίον, ἔνθες ἐς ἡμίεκτον, καὶ ῥάκεα

horum etiam quaedam pelliculas. Aut si voles dracontium derasum, quod mite est, cum melle cocto aut crudo permisceto, et in pilam gallae magnae quantitate conficito. Conare autem ut te naturalem medicum exhibeas, ad hominis habitum et vires respiciendo. Horum enim nullus temere et inconsiderate aliquid agit. Verum his in considerationem adhibitis, totius corporis et capitis purgationes, medicationes, uteri fotus et subdititiorum appositiones ad usum accommodato. Haec tibi sunt velut elementa. Horum autem curatio cuique peculiaris est. Cumque horum nihil fuerit, semper in fotu perseverandum. Hic enim emollit et saniosos humores educit. Ubi vero ab hac ratione cessaris, hic quae secundum naturam sunt deficientibus sanguinem ex brachio detrahere oportet, siquidem valida fuerit ex utroque, si vero debilior, ex altero satis

Quanam autem victus ratione in his curationibus utendum sit, alias a me declaratum est. Suffitum si adhibere voles, lolium de tritico lectum tenuiter molitum, igne

περιθεὶς ἵνα μαλθακῶς κάθηται, καθέζεσθαι αὐτὴν κελεύειν ἐπὶ τῷ ἡμιέκτῳ, ὅτι μάλιστα διάγουσαν τὰ σκέλεα. ἡ δὲ θεραπείη ἣν μὲν ἱκανή σοι γένηται, ἐν τετραμήνῳ· εἰ δὲ μὴ, πρὸς ταῦτα σκέπτου, καὶ ὅκως πρὸς ἄνδρα μὴ πρόσεισιν ἐν ᾧ θεραπεύεται χρόνῳ. [855] ἐν δὲ τῇσι θεραπείῃσι διδόναι δαΐδα ἐν ὕδατι καταβρέχων νήστει, ὅσον κύαθον, καὶ τὴν κασσιτερίνην ξυνεχῶς ἔχειν. διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἑψῶν, ἅλας, κύμινον συνεψῶν καὶ χλιηρῶν ῥοφεῖν. αἱ πλατεῖαι θηλύγονοι δοκοῦσιν εἶναι, αἱ δὲ σμι(636)κραὶ καὶ συμμύουσαι, ἀρσενόγονοι. || ἐγκυτήριον. ἄκρον μελανθίου γυναικὶ διδόναι, ἐν οἴνῳ μέλανι στρυφνῷ. γυναικὶ νέῃ οὔσῃ ῥόος ἐρυθρὸς ὀχλεῖ, καὶ φαρμακευομένη κεφαλὴν καθαιρομένη, φλεβοτομουμένη οὐδὲν ὠφελεῖ. δοκεῖ δὲ τοῦτό οἱ αἴτιον εἶναι ὥστε μὴ ξυλλαμβάνειν. ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν ἐν οἴνῳ λευκῷ ἀποζεόμενον πρωῒ καὶ πρὸ δείπνου, ὅ τε ῥόος ἐπαύσατο καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν

ſarmentitio molliſſimo excitato, deinde in catinum conjectum, in ollam dimidiati ſextarii imponito, et linteis mollibus circumpoſitis quo molliter ſedeat, eam quam maxime diductis cruribus ollae inſidere jubeto. Haec curatio ſi tibi quidem ſatis eſſe videatur, quadrimeſtri ſpatio adhibeatur. Sin minus, ad haec attendito, ut ne quo tempore curatur ad virum accedat. Sub his curationibus jejunae taedam ex aqua maceratam cyathi menſura exhibeto, et fiſtulam ſtanneam continenter habeat. Umbilicos veneris ex aqua decoctos, ſale et cumino ſimul incocto, tepidum ſorbendum dato. Lati foeminas, parvi vero et concluſi mares procreare videntur. Ad conceptum ſumme faciens: Melanthium mulieri ex vino nigro acerbo exhibeto. Mulierem juvenculam fluor muliebris ruber infeſtabat; et medicamento ſumpto capite purgato, vena ſecta nihil proficiebat. Haec autem ei cauſa eſſe videbatur ne conciperet. Ei autem radicum aſpalathi decoctum ex vino albo mane et ante coenam exhibebam, fluorque ceſſavit et non longe poſtea concepit et marem peperit. Erat autem colore

Ed. Chart. VII. [855.] Foës. I. 684. Ed. Lind. II. (636. 637.)
ἄρσεν. τὸ χρῶμα λευκόχρως, εὔσαρκος. περὶ μύλης. περὶ δὲ μύλης κυήσιος τόδε αἴτιον. ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται ἥ τε γαστὴρ πλήρης, ὥσπερ κυούσης. κινεῖται δ' οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. σφριγᾷ δὲ τοὺς τιτθοὺς αὕτη, καὶ δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται· οὐ γάρ οἵη τέ ἐστι περιγενέσθαι· ἢν δὲ πολλὰ, ῥήγνυται αὐτέῃ κατὰ τὸ αἰδοῖον ἅμα τε πολὺ καὶ σαρκῶδες. καὶ ἢν μὲν μετριάσῃ, σώζεται· ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅ τι οὐ κινεῖται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν τρίμηνον, τὸ δέ γε θῆλυ τετράμηνον τὴν κίνησιν ἔχει. ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινεῖται, δηλονότι τοῦτό ἐστι. τὸ δέ τι τεκμήριον μέγα ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην μάλιστα μὲν μὴ ἰῆσθαι· εἰ (637) δὲ μὴ, προειπόντα ἰῆσθαι. καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως

candicante et corpore bene habito. De mola. Molae conceptus haec caufa eft. Ubi copiofi menfes paucam et morbofam genituram conceperint, neque genuinus foetus gignitur, venterque non fecus ac gravidae plenus eft, nihil vero in eo movetur neque lac in mammillis innafcitur, pectus tamen turget. Haec biennium, faepe etiam triennium fic habet. Et fi una quidem caro fuerit, mulier, cum fupereffe non poffit, perit, fin multae, ei per pudendum perrumpit fanguis copiofus et carnofus, fique moderate contingat, fervatur, fin minus, profluvio correpta perit. Ac quidem morbus eft ejusmodi. Difcerni autem debet ipfa mole, quodque in ventre non moveatur. Mas enim tertio, foemina quarto menfe motionem habet. Ubi igitur transacto hoc tempore non movetur, hic certe morbus eft. Cujus rei magnum hoc eft indicium, quod in mammis lac non innafcitur. Hanc ne fere quidem curato, aut certe cum praedictione. Ac primum quidem mulierem toto corpore foveto, deinde per fedem uti perpurgetur infufum

Ed. Chart. VII. [855. 856.] Foes. I. 684. Ed. Lind. II. (637.)

διακαθήρῃ. πολλοὶ γὰρ ἴσως κλύσασαν κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκὸς, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως αἷμα ἀγάγῃ· ἢν δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ὡς ἰσχυροτάτοισι, καὶ πιπίσκειν τὸ δίκταμνον τὸ Κρητικὸν ἐν οἴνῳ. εἰ δὲ μὴ, καὶ τὸν καστόριον ὄρχιν, καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον. πρόσβαλλε δὲ ὅτι μάλιστα, καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας. ὅταν γὰρ μὴ γίνηται, ἤν τε ἐκ τόκου ἤν τε καὶ ἄλλως, δαΐδα ὡς πιοτάτην κόψαντα λεπτὴν [856] ἑψεῖν ἐν οἴνῳ λευκῷ, καὶ ἀποχρῆσθαι ὡς τρισὶ κυάθοισι. γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου Αἰθιοπικοῦ σμικρὸν καὶ σεσέλιος πλεῖον, ἢ κεδρίδα. ἢν δὲ πνιγμοὶ ἔωσι, κάστορος σμικρόν. ἢν δὲ ἐκ τόκου καθάρσιος γινομένης μετρίης ἡ γαστὴρ μένῃ, ἢ καὶ φυσᾷ ἀποκεκλεισμένη καὶ ὀδυνώδης γίνεται, ἤν τε ξὺν πυρετῷ ἤν τε ἄνευ πυρετοῦ, ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος ἢ σεσέλιος ἢ ἄλλου τινὸς τῶν εὐωδέων, καὶ πήγανον ἐν οἴνῳ λευ-

immittito. Frequenti enim collutione, concalefacta a medicamento muliere, id quod concrevit et foetus esse putatur, forte commoveris. Quin etiam uteros, quo sanguinem educas, eluito. Alioqui suppositititiis ex bupresti velut violentissimis utendum, et dictamnus Creticus ex vino propinandus, sin minus, castorii testis. Eique posteriore parte ad lateris inanitatem cucurbitulam admoveto, plurimumque detrahito. Sed et quam maxime inita purgationis consideratione, ad uteros admoveto. Cum enim vel ex partu, vel alia ex causa non procedit, taedam pinguissimam tenuiter contusam ex vino albo coquito, quam ad rem tres fere cyathi sufficiant. Aut paeoniae grana quatuor, cumini Aethiopici parum et seseli copiosum, aut cedri baccas. Si vero suffocationes adsuerint, castorii parum. At si ex partu moderata purgatione contingente, venter maneat, aut etiam ex flatu concluso dolor excitetur, vel cum febre vel citra febrem, succi scammoniae potionis quintam partem aut seseli, aut aliud quoddam ex odoratis, et rutam ex vino albo

Ed. Chart. VII. [856.] Foës. I. 684. 685. Ed. Lind. II. (637. 638.)

κῷ. ἢν δὲ μὴ βούληται πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν. οἷον ἐκ χολῆς ταυρείης καὶ μέλιτος καὶ λίτρου. ἢν δ᾽ ἐκ διαφθορῆς καθάρσιος ὀδυνώδης ᾖ καὶ τῶν εὐωδέων διδόμενον μηδὲν ὑπακούῃ καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν. εἶτα ψυχθέντος τὴν ὑγρὴν ἀφελεῖν, διηθή(638)σας μελικρήτου ὅσον τρίτον μέρος μῖξαι, ὅκως γλυκύτερον ἔσται. πιεῖν δὲ τρὶς νῆστιν. ἢν δὲ μὴ παύηται ἡ ὀδύνη μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δείλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθισάτω. ὅταν δὲ διαπυριηθῇ, ἐξαναστήσαντα κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι δὶς καὶ ὕδατι ἅπαξ ἐλαίου ἥμισυ, τὸ ὕδωρ χλιηρῶς κλύζειν καὶ ἐπικοιμηθήτω. προσθετὸν ὑστερέων, ἢν ξυμμεμύκῃ ἢ σκληρὸν ᾖ τὸ στόμα. || σῦκον λευκὸν ἐκκαθήρας καὶ λίτρον Αἰγύπτιον τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον πρόσθετον ποιῆσαι ὅσον κικίδα μὴ μεγάλην ἐν εἰρίῳ μαλθακῷ, ἐς ἴρινον μύρον βάψασα προσθέτω, ἤν τε τρεῖς ἤν τε πλείους ἡμέρας δοκέῃ. πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδει. μετὰ

bibat. Quod si bibere nolit, medicamentum ad sedem illinendam conficito, quale est ex felle tauri, melle et nitro. Si vero ex foetus corruptione purgatio dolorem adferat, neque exhibitis odoratis cedat et febris adsit, lactis caprini heminas duas decoquito, deinde eo refrigerato quod in summo pingue concrevit detrahito, percolato aquae mulsae trientem, quo dulcius evadat, admisceto. Ter autem jejunae bibendum. Quod si dolor non sedetur, neque venter subducatur, sub vesperum in calidae solium desideat. Post fotum surgere jussam ex vino nigro austero aqua diluto, et aquae portioni olei dimidia parte addita, tepido colluito ex eoque dormiat. Quod uteris subditur, si os clausum aut durum fuerit. Ficum albam perpurgatam et nitrum Aegyptium purissimum tenuissime tritum admixtum in pessum subdititium gallae non magnae magnitudine effingito; quem ex lana molli unguento irino imbuta tribus vel pluribus ut visum fuerit diebus supponat. Post hoc fomentum ex odoratis confert, deinde vero molli aliquo subdititio opus

δὲ μαλθακόν τι δεῖ προσθετὸν, ὅ τι ἰχωροειδέα ἄξει μάλιστα. μετὰ δὲ λινοζῶστις. ἢν ᾖ ἁπαλὴ μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. ἐπὶ τοῦ αὐτοῦ. χολὴν ταύρου καὶ ἅλας ἀναζέσαι καὶ θεῖον παραμίσγειν πρὸς μακρὸν μῆκος μέγα σπύρην ψιλὴν προσθέσθαι ἐπὶ δύο ἡμέρας καὶ νύκτας, πρὸς αὐτὰς τὰς ὑστέρας. πάλιν λινοζῶστιν. μετὰ τοῦτο ἐπιπάσσειν σμύρναν ἄκρητον μίξας, διεῖναι ῥοδίνῳ ἄκρῳ καὶ μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. θεραπεία ἐπὶ τὸ αὐτὸ νόσημα. ἶριν εὐώδεα κόψας καὶ διασήσας χωρὶς, κυπέρου ἶσον καὶ ἔκμαγμα ὅσον μαγίδα οἴνῳ ἀνθοσμίῃ διεῖναι. εἶτα ἀλειμματῶδες ποιέειν, καὶ ἐς σπλῆνας ἀλείψας μῆκος (639) σπιθαμῆς ἐς σμικρὴν σιπυΐδα ἐνθεὶς, ὅκως μὴ παραπνέῃ προσθέσθω. ἢν δὲ ἑλκωθῶσιν αἱ μῆτραι ἢ τρηχυνθῇ τὸ στόμα ἢ ὑπὸ προσθέτου τινὸς δηχθῶσιν, ἐν εἰρίῳ χρῖσαι στέαρ, καὶ ῥόδινον ἀλεῖψαι, καὶ κηροῦ μικρόν. ὅταν ἴσχουσα ἐν γαστρὶ διαφθείρῃ, τὸ δὲ ἔμβρυον μηνιαῖον καὶ ἐκφέρειν εἰς τέλος μὴ δύνηται καὶ λεπτὴ παρὰ φύσιν

est, quod potissimum saniosa educat. Postea etiam mercuriali, si tenera fuerit, ex unguento rosaceo in linteo per diem et noctem utendum. Ad idem. Fel taurinum et salem fervefacito, sulphur tenuissime tritum ammisceto, in oblongam magnitudinem spirae in modum convolutum, nudum ad dies duos et noctes in uteros ipsos indito, ac rursus mercurialem. Post hoc myrrham electam aspergito, rosaceo optimo admixto diluito, et unguento irino quam penitissime os linito. Ejusdem morbi curatio. Iridem odoratam tusam et seorsum cribratam, cyperi parem modum et croci recrementum massae manualis magnitudine, vino odorato diluito, deinde linimentum conficito, eo splenia palmi magnitudine illita, parva pyxide reposita ne transpiret subdat. Si vero exulcerati uteri, aut os exasperatum aut ex subdititio aliquo conversi fuerint, lanam adipe linito, rosaceo et pauca cera inungito. Cum praegnans foetum menstruum corrumpit, neque ad extremum perferre potest, et praeter naturam extenuata redditur, huic

γένηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας καὶ αὐτὴν φαρμακεύειν καὶ παχύνειν, οὐ γὰρ δυνήσεται ἐκφέρειν ἐς τέλος, ἔστ᾽ ἂν ἑωυτήν τε ἀναλάβῃ καὶ αἱ ὑστέραι ἴσχωσιν. ἢν δὲ κυΐσκηται μὲν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία ἐς ἀκριβῶς τὸν αὐτὸν χρόνον καὶ μήτε πρότερον μήθ᾽ ὕστερον, καὶ τοῦτο πάθῃ δὶς ἢ τρὶς κατὰ ταῦτα, [857] ἢ καὶ πλείονα χρόνον γεγονότα κατὰ τὸν αὐτὸν τρόπον τοῦτο διαφθείρει, ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδοῦσιν ἐπὶ τὸ μεῖζον τοῦ παιδίου ἐν αὐτέῃσιν αὐξανομένου καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου εἰς τὸ πλεῖον. ἀλλὰ τὸ μὲν αὔξεται, αἱ δὲ μῆτραι οὐδὲν ἐπιδιδοῦσι. διὰ δὴ τοῦτο διαφθείρουσιν αἱ πολλαὶ ἐς τὸν αὐτὸν χρόνον. ταύτην χρὴ κλύσαι τὴν μήτρην, διαφυσῆσαι ὡς μάλιστα προσθέτοισιν ἢ φαρμάκοισι τοῖσδε, τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι καὶ σίλφιον ὀλίγον παραμῖξαι ὀλίγα ἐν πλείονι καὶ καθεφθοτέρῳ τῷ μέλιτι. τοῦτο περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει παραδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα τῆς μήτρης καὶ ὦσαι πόῤῥω, ἕως ἂν περήσῃ ἐς τὸ ἔξω τῆς μήτρης. ὅταν

uteros purgare oportet, eamque medicamentis curare et crassam reddere. Neque enim ad extremum perducere poterit, quoad vires receperit et uteri validiores fuerint. Si vero praegnans quidem fuerit, sed foetus bimestres eodem exacte tempore corrumpat, neque ante neque postea, idque ei bis vel ter eodem modo contingat. Aut etiam si longioris temporis foetum eodem modo corrumpat, huic uteri cum foetus in eis augetur et bimestre aut trimestre spacium excedit, in majorem molem non crescunt. Sed hic quidem augescit, uteri vero nihil increscunt, eamque sane ob causam multae eodem tempore foetum corrumpunt. Huic uterum colluere, aut per subdititia potissimum, aut per haec medicamenta inflare oportet. Colocynthidis medullam interiorem contusam et cribratam et laseris modicum, cum paulo ampliore melle et magis cocto admisceto. Hoc ea crassitudine reddito quam stomachus ad uteri os admittere queat, specillum obductum penitius donec ad internum uterum penetrarit protrudito. Medicamento col-

δὲ ὑποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην καὶ πά-(640)λιν οὕτω τὸ ἐλατήριον καὶ τῆς κολοκυντίδος τῆς ὑγρίης ποιέων ὡσαύτως τῷ προτέρῳ προστιθέναι. ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα, καὶ καυλὸν σιλφίου καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὁκοίη ἂν μέλοι φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. ἐνίοτε δὲ καὶ διὰ πλείονος. τὸ δὲ ὅλον, ὅκως ἂν προσίηται. τὰς δὲ μεταξὺ ἡμέρας μαλθακοῖσι χρῆσθαι. ὅταν δὲ καταστήσῃ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης καὶ φανῆται τὰ ἐπιμήνια ἐπιμείνασα, ὅταν ξηρὴ ἤδη ᾖ, μιγνύσθω τῷ ἀνδρί. ποιέειν δὲ φῦσαν ἐν τῇ μήτρῃ. ὅταν δὲ βούλῃ σκορόδου μώλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ προσθετὰ, καὶ ἥτις ἂν μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ διαφθείρει καὶ τοῦτο πάσχει πλεονάκις, ταύτης τῆς μήτρης καθαίρειν ὕδωρ καὶ αὐτὴν φαρμακεύειν, ὅκως ὕδωρ καθαίρηται. ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται, συμβαίνει δὲ τοῦτο πλείστῃσι τοῦ στομάχου χανόν||τος τῆς μήτρης

liquato, specillum educito, rursus elaterium sic paratum et ex colocynthide silvestri confectum medicamentum, velut prius subdito. Eo vero tempore allium quam plurimum comedat et laseris caulem, reliquaque victus ratione utatur, quae flatum maxime in utero excitare possit. Tertio autem quoque die, quoad bene habere videatur subdititium, apponat. Interdum etiam ex majore intervallo, ad summum vero uti lubens admiserit. At intermediis diebus mollibus utatur. Cum vero per emollientia os uteri suae integritati restitutum fuerit, mensesque comparuerint, pauca interposita mora, ubi jam sicca fuerit, cum viro congrediatur. In utero autem cum flatum excitare voles, allii caput unicum et laseris succum ad subdititia ammisceto. Ac si quae concepit ad decem menses perdurare nequeat, sed foetum corrumpat, idque ei plerumque accidit, huic ex utero aquas purgato, eique medicamenta quibus aqua purgetur exhibeto. At si quae genituram continet non concipiat, quod plurimis contingit uteri stomacho praeter naturam dehiscente, men-

Ed. Chart. VII. [857. 858.] Foes. I. 686. Ed. Lind. II. (640. 641.)

παρὰ φύσιν, τὰ ἐπιμήνια πλείω γίνεται τοῦ προσήκοντος καὶ ὑγρότερα, ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν, τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι. γίνεται δὲ ταῦτα τοῦ τε σώματος καὶ τῶν μητρέων νοσεόντων. ἀλλὰ δεῖ ταύτη κατωτερικὰ διδόναι διαλίποντα, καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς μήτρας ὄξει καὶ θαλάσσῃ, μήλας διαπύρους ἐμβάλλοντα. ἐμβάλλειν δὲ ἐς τὸ πυρίημα κυπαρίσσου πρίσματα, (641) καὶ δάφνης φύλλα κόψας χλωρῆς, καὶ πολυκνήμου αὐτοῦ φύλλα. πυριῆν δὲ ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον. μετὰ δὲ τοῦτον λουέσθω, καὶ ὄξει ἐνεψεῖν λωτοῦ τορνεύματα, καὶ ῥόδινον, καὶ πολυκνήμου αὐτοῦ τὰ φύλλα. ἐπὶ τελευτῆς δὲ θυμιῆν, φλόμου φύλλα κόψας καὶ λωτοῦ τορνεύματα. ἔμπροσθεν δὲ πρὶν ἐκλούσασθαι θυμιῆσαι σμύρνῃ καὶ λιβανωτῷ τρίψας ἴσον ἑκατέρου, καὶ μυρσίνης καὶ δάφνης φύλλα· ταῦτα ἀναμίξας καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ, θυμιῆν νεοπυρίητον ἐοῦσαν δὶς τῆς ἡμέρης πυριῆν νεόλουτον ἐοῦσαν, [858] καὶ τῆς θυμιήσεως ὕστερον λουέσθω, καὶ τὸν στόμαχον καθεστάναι

ses copiosiores et humidiores quam conveniat defluunt, ut proinde quod a muliere prodit ad liberorum procreationem non conferat, sed advenientem viri geniturам corrumpat. Haec autem tum corpore tum utero male affecto eveniunt. Verum huic deorsum medicamenta purgantia per intervalla exhibere, et totum corpus uterosque aceto et aqua marina fovere oportet, specillis ignitis immissis. In fomentum autem injicienda cupressi ramenta et lauri viridis folia contusa, ipsaque polycnemi folia. Adhibendum autem fomentum quo tempore opportunum esse videatur, post quod lavet. Et aceto loti scobem incoquito et rosaceum, et ipsa polycnemi folia. Ad extremum autem suffitum ex verbasci foliis contusis et loti scobe admoveto. Antea vero prius quam lavet suffitus ex myrrha et thure adhibendus, tritis utriusque aequis partibus, et myrti ac lauri foliis. His commixtis et in levem ignem conjectis, suffitum a recenti fomento bis die adhibeto, fomentum autem recenter lotae admoveto e post suffitum lavet, stomachumque pristinae suae naturae

ἐς τὴν ἀρχαίην φύσιν. καὶ ἢν ἐξαρκέουσα ᾖ, πρόσθεν δὲ τούτων πάντων τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα τῇ ἀριστερῇ, καὶ οὕτω τἄλλα ποιέειν. ἢν δὲ ὁ στόμαχος οὕτως ἔχῃ, τὰ δ' ἐπιμήνια μὴ ἴῃ φλαύρως ἢ ἐπὶ τοὔλαττον ἢ πρὸς πλείονα κάθαρσιν τρέπεσθαι τοῖσιν ἄλλοισιν ἅπασι, καὶ οὕτως θεραπεύειν καὶ προστιθέναι, ἢν δέῃ, καὶ ἐκ τῶν πρόσθεν λούων καὶ θυμιῶν καὶ ξηραίνων. ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα καὶ μὴ θέλῃ ἐκβάλλειν, πυροὺς πεφρυγμένους καὶ κατεληλασμένους καὶ σταφίδα κεκομμένην λευκὴν, μελικρήτῳ γλυκερῷ ταῦτα διεὶς ἐλαίου σμικρὸν παραχέων, νήστει πίνειν διδόναι. μετὰ δὲ ῥαφάνου σπέρμα τρίψας καὶ ὄξος καὶ χηνὸς στέαρ, ταῦτα μίξας ἐσθιέτω καὶ προστιθέσθω δάφνης φύλλα τρίβουσα. μετὰ δὲ πινέτω ὀρίγανον καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι ἐπιπάσσουσα δάφνης φύλλα κεκομμένα καὶ τετριμμένα λεῖα κόμμι παραμί(642)ξας, καὶ διεὶς ὕδατι πίνειν διδόναι. οἴος στέαρ καὶ χηνὸς ἄλειφαρ καὶ μέλι ἐς τὸ αὐτὸ μίξας καὶ τρίψας, ἐλλικτὸν διδόναι. σταφυλῖνον τρίβων ὡς λειότατον

restituito. Quod si vires sufficere videantur, ante haec omnia venam in brachio sinistro pertundito, reliquaque eodem modo facito. Si vero stomachus ita habeat, menses autem minime aut vitiose aut parcius decurrant, hunc cum reliquis omnibus ad ampliorem purgationem convertito, sicque curationem adhibeto et subdititia, si opus sit, apponito, ex his quae antea dicta sunt, lavando, suffitum adhibendo et siccando. At si mulier invita abortionem faciat, neque foetum ejicere cupiat, triticum tostum et molitum uvam passam albam contusam, haec aqua mulsa dulci diluta pauco oleo affuso, jejunae potui exhibeto. Postea vero raphani semen tritum, acetum et adipem anserinum, haec mixta comedat et lauri folia trita in subdititio apponat. Deinde origanum et pulegium et polentam ex aqua bibat, lauri foliis contusis et tenuiter tritis gummi ammixto insperfis, haec aqua diluta potui exhibeto. Ovis pingue et anserinum adipem et mel, haec simul mixta et trita delingenda exhibeto. Staphilinum laevissime tritum, et quod in lacte sub-

καὶ γάλακτος ὑπόστασιν ἐν τούτῳ μίξας καὶ χηνὸς στέαρ τήξας, ταῦτα ἀνεψήσας διδόναι ῥοφεῖν. ὀριγάνου τρίψας φύλλα ὡς λειότατα, ἢν μὲν ἔχει, χλωρῆς· εἰ δὲ μὴ, ξηρῆς, διεὶς ἐν ὕδατι πίνειν διδόναι. δάφνης καρπὸν τρίψας ὡς λειότατον καὶ ὑὸς θηλείης στέαρ τήξας καὶ μέλιτι, ταῦτα ὁμοῦ πάντα μίξας καὶ τρίψας, ἐλλιχτὸν διδόναι. σταφυλῖνον τρίβων ὡς λειότατον ἐν οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι. ἢν αἱ μῆτραι μὴ κατέχωσι τὴν γονὴν, μόλυβδον καὶ λίθον ἥτις τὸν σίδηρον ἁρπάζει, ταῦτα τρίψας λεῖα ἐς ῥάκος ἀπόδησον καὶ ἐς γάλα γυναικὸς ἐμβάψας προσθετῷ χρήσθω. χαλκοῦ ἄνθος τρίψας, μέλιτι διεῖναι καὶ προστιθέναι τοῦτο. ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξερεύγωνται τρίτῃ ἡμέρῃ, πᾶσα ἀνάγκη τῆς γυναικὸς, ἢν ταῦτα πάσχῃ, πώρου πεπληρωμένας εἶναι τὰς μήτρας, καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσιν, ἀλλὰ ἀποκλείεται, καὶ διὰ τούτων οὐ δύναται κυῆσαι ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι. τοῦ δὲ πώρου ἥδε ἡ ἐξέλασις. πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα ξυνδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήτρας, ὡς τοὺς ὀφθαλμοὺς ἐπαλεί-

ſidet ſimul mixtum anſerinumque adipem liquatum, haec decocta ſorbenda dato. Origani ſolia laeviſſime trita viridia, ſi habeas, ſin minus ſicca, ex aqua diſſoluta potui exhibeto. Lauri fructum laeviſſime tritum et ſuis feminae adipem cum melle liquatum, haec omnia ſimul mixta et trita delingenda praebeto. Staphilinum laeviſſime tritum, ex vino aqua temperato dilutum bibendum dato. Si uteri genituram non retineant, plumbum et lapidem qui ferrum attrahit, his tenuiter tritis in linteo ligatis muliebri lacte intinctis, in ſubdititio utitor. Aeris florem tritum melle ſubactum, hoc etiam ſubdito. Cum uteri viri genituram tertio die rejectarint, mulieris uteros ubi haec contingunt, calloſa duritie repletos eſſe omnino neceſſe eſt, neque viri genitura in uteris manere poteſt, ſed excluditur, hasque ob cauſas quoad calloſa durities in uteris inſit, concipere nequit. Quae ſic educitur. Pennas minutiſſimas et molliſſimas ſumito, his ſimul colligatis uteros velut oculos illinunt, inungito. Pennis ex ae-

Ed. Chart. VII. [858. 859.] Foeſ. I. 686. 687. Ed. Lind. II. (642. 643.)

φουσιν, ὁμαλύνας τὰ πτερὰ ἀμμάτι ὡς λεπτοτάτῳ, καταδήσας τὰ ἄκρα, εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτὰ, ὑπτίην ἀνακλίνας ὑπὸ τὴν || ὀσφῦν μέσην ὑποθεῖναι προσκεφάλαιον, ὑποθεῖ(643)ναι τὴν μήλην. τὰ σκέλεα τανύσας τῆς γυναικὸς, καὶ διασείσας τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν, ἀναστρέφειν [859] ἄνω καὶ κάτω τὴν μήλην, ἕως ἂν προκύψῃ. ἐπὴν δὲ ἴδῃς ἐν τῷ στόματι τῆς μήτρης, ἢν μὲν μὴ προσίσχηται ἐν τῷ ἰσχίῳ καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον τοῦτο. ἢν δὲ ἐνδέχηται ἐν τῷ στόματι τῆς μήτρης, λαβίδι ὡς λεπτοτάτῃ προμηθευόμενος ἐξελκῆσαι ἡσυχῇ καὶ μὴ βιαίως καὶ μετὰ ταῦτα ξυγκοιμάσθω τῷ ἀνδρί. ἢν κυούσῃ ἐπιφαίνηται, ὀνίδα ξηρὴν, μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐς ῥάκος ἀποδήσας προστιθέναι. γλυκυσίδης τοὺς μέλανας καρποὺς τρίβων ἐν οἴνῳ διδόναι πιεῖν κεκρημένῳ. ἢν δὲ συνοῦσα ἀλγέει τὴν νείαιραν γαστέρα καὶ αἷμά οἱ φανῇ νεαρὸν, λίνον κόψας καὶ βρύον ἁπαλὸν καὶ χήνειον ἔλαιον, ταῦτα μίξας οἴνῳ λευκῷ ὑδαρεῖ, διεὶς διδόναι πίνειν. ἢν αἱ μῆτραι προέλθωσιν ἔξω τῆς φύσιος, πῦρ ἔχει μάλιστα μὲν τὰ αἰ-

quatis et extrema parte filo tenuiſſimo inter ſe colligatis, deinde copioſo roſaceo inunctis, ſupinae mulieri reclinatae ad medios lumbos pulvino ſubſtrato, ſpecillum ſubmittito mulieris cruribus diſtentis et huc et illuc diductis, ſpecillum ſurſum ac deorſum, donec callus promineat obvertito. Quem cum in uteri ore conſpexeris, ſi quidem ad coxendicem non adhaereſcat, ſed ultro ſequatur, id omnium optimum. Quod ſi in uteri ore inhaereſcat, volſella tenuiſſima apprehenſum, ut leniter et citra vim extra has proſpicito, et poſt haec cum viro dormiat. Si praegnanti menſes appareant, ſtercus aſininum ſiccum, minium, ſepiae teſtam tenuiter trita in linteo ligata ſupponito. Paeoniae ſemina nigra trita ex vino aqua temperato propinato. At ſi poſt viri congreſſum imus venter doleat, ſanguisque recens appareat, linum tuſum, muſcum tenerum et anſerinum adipem, haec ex vino albo aquoſo diluta potui exhibeto. Si uteri extra naturam proceſſerint, calor igneus praecipue quidem

Ed. Chart. VII. [859.] Foës. I. 687. Ed. Lind. II. (643. 644.)

δοῖα καὶ τὴν ἕδρην, καὶ τὸ οὖρον τρύζει κατ᾽ ὀλίγον, καὶ δάκνεται τὰ αἰδοῖα. ταῦτα πάσχει εἰς τὸ αὐτὸ πάθος. ἢν δὲ ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ παρακοιμᾶται, ὅταν οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς τὸ ὕδωρ ἐς τὴν ἕδρην, προσχείσθω ὡς ψυχρότατον ἐς τὰ αἰδοῖα καὶ τρῖβον λεῖα προσπλάσσειν. ἔπειτα ὕδωρ πίνουσα, φακὸν, μέλι καὶ ὄξος ξυμμίσγουσα, ἐμείτω, ἕως ἂν αἱ μῆτραι ἀνασπασθῶσιν, καὶ τὴν κλίνην ὑψηλοτέρην πρὸς ποδῶν κεῖσθαι, ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα. σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω, (644) καὶ μὴ λουέσθω καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω. ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμανται οἷόν περ ὄσχη, καὶ ὀδύνη λαμβάνει. τοῦτο δὲ ὅταν ἐκ τόκου ταλαιπωρήσῃ, ὥστε σεῖσαι τὰς ὑστέρας καὶ τῷ ἀνδρὶ ξυγκοιμᾶται ἐν τῷ λοχείῳ. ὅταν οὕτως ἔχῃ, ψύγματα προστίθεσθαι πρὸς τὰ αἰδοῖα, καὶ τὰ ἔξωθεν ὑποκαθῆραι, σίδιον ἐν οἴνῳ μέλανι οἰνώδει ἑψήσας, οὕτω περιπλύνας εἴσω ἀπωθέειν. ἔπειτα μέλι καὶ

pudenda et ſedem detinet urinaque paulatim ſtridet et mordet. Haec ei contingunt ſi recens a partu cum viro dormiat. Cum ſic habuerit, myrti baccis et loti ramentis ex aqua decoctis, eam ſereno coelo per noctem expoſitam, quam frigidiſſimam in pudenda profundat, et laeviter trita apponat. Deinde lentium decocto epoto, melle et aceto admixto, vomat quoad uteri revulſi fuerint, et lecto a pedibus excitato jaceat. Pudendis ſuffitum ex graveolentibus adhibeto, naribus vero ex odoratis. Cibis maxime mollibus et frigidis utatur, et vinum aquoſum album bibat, neque lavet, neque cum viro dormiat. At ſi prorſus extra pudenda exciderint, velut ſcrotum propendent et dolor invadit. Hoc autem contingit ſi recenter a partu adeo laborarit ut uteros quatiat, et puerperii purgamentis euntibus cum viro dormierit. Cum ſic habuerit, quae refrigerant pudendis apponito, et quae foris ſunt vino nigro in quo mali punici putamen decoctum ſit repurgata, ſicque eluta intro retrudito. Deinde mel et reſinam aequis utraque par-

Ed. Chart. VII. [859. 860.] Foës. I. 687. Ed. Lind. II. (644. 645.)

ῥητίνην συντήξας ἴσον ἑκατέρου, ἔγχει ἐς τὰ αἰδοῖα, καὶ κεῖσθαι ὑπτίην, ἄνω τὰ σκέλη ἔχουσαν ἐκτεταμένην. κἄπειτα σπόγγον προσθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἔστ᾽ ἂν δ᾽ οὕτως ἔχῃ, σιτίων δέον ἀπέχεσθαι, ποτῷ δὲ ὡς ἐλαχίστῳ χρέεσθαι, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἰέναι. εἰ δὲ μὴ, ἄκρας περιξέσαι τὰς μήτρας καὶ ἀποπλῦναι τῇ πιτύῃ ἑφθῇ. ἔπειτα πρὸς κλίμακα δήσας τοὺς πόδας, κρούειν κατὰ τὴν κεφαλὴν καὶ τῇ χειρὶ ἐσωθέειν. ἔπειτα ξυνδήσας τὰ σκέλεα, ἐπαλλὰξ ἐᾷν ἡμέρην καὶ νύκτα ἀτρέμα, διδόναι δὲ ὀλίγον χυλὸν πτισάνης. ψυχρὸν δὲ διδόναι μηδέν. τῇ [860] δὲ ἐπαύριον ἐγκατακλίνας ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην καὶ ἀνέλκειν πουλὺν χρόνον, καὶ ὅταν ἀφέλῃς κατακλίνας, ἐγκεῖσθαι καὶ προσφέρειν ἄλλο μηδὲν ἢ τὸν χυλὸν, ἔστ᾽ ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω. ἢν δὲ ἀποπατεῖν ἐθέλῃ, ἀποπατείτω ἀνακειμένη, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν. ἔπειτα ἀνίστασθαι καὶ περιέρ(645)χεσθαι ὡς ἐλάχιστα, καὶ μὴ λουέσθω, σιτίοισιν ὀλί-

tibus eliquata, in pudenda infundito et ſupina cruribus ſurſum reductis jaceat, poſtea admotam ſpongiam ex lumbis deligato. Quamdiu ſic habuerit cibis abſtinendum, potu vero quam minimo quoad dies ſeptem praeterierint utendum. Quod ſi hac curatione intro eant, ſatis eſt. Sin minus, extremos uteros deradito et pini decocto eluito. Deinde pedibus ad ſcalam religatis, juxta caput concutito, manuque intro propulſato. Poſtea alternatis cruribus religatam, quieſcere per diem et noctem ſinito et paucum ptiſanae ſuccum exhibeto, frigidi autem nihil. Poſtero die in coxam reclinatae cucurbitulam maximam admoveto et diutius trahito, cumque detraxeris, reclinatam jacere ſinito, nihilque aliud quam ptiſanae ſuccum exhibeto, quoad dies ſeptem praeterierint. Cibis autem quam molliſſimis et pauciſſimis utatur. Quod ſi alvum exonerare volet, decumbens id faciat, quoad dies quatuordecim elapſi ſint, deinde ſurgat et quam minimum obambulet, neque lavet, cibis paucis

γοισι χρήσθω, τὰ αἰδοῖα τοῖσι κακώδεσι θυμιήσθω, καὶ ἐπὴν ἄρχηται περιχωρέειν, τὴν σφενδόνην φορείτω. ἐξαίρεσις τοῦ ἐμβρύου. ἢν δὲ ἔμβρυον ἐναποθάνῃ ἐν τῇσι γονῇσιν ἐς τελεογονίην χρῆσθαι κατ' ὀλίγον τὸ φαινόμενον κατὰ λόγον θραύοντα. τὸ δέρεον καταλιπόντα προβολὴν τῷ σιδήρῳ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΨΙΟΣ.

|| (351) Αἱ ὄψιες αἱ διεφθαρμέναι αὐτόματοι μὲν κυανίτιδες γιγνόμεναι ἐξαπίνης γίνονται, καὶ ἐπειδὰν γένωνται, οὐκ ἔστιν ἴησις τοιαύτη. αἱ δὲ θαλασσοειδέες γιγνόμεναι κατὰ μικρὸν, ἐν πολλῷ χρόνῳ διαφθείρονται, καὶ πολλάκις ὁ ἕτερος ὀφθαλμὸς ἐν πολλῷ χρόνῳ ὕστερον διεφθάρη. του[36*)]τέου δὲ χρὴ (352) καθαίρειν τὴν κεφαλὴν καὶ καίειν τὰς φλέβας. κἢν ἀρχόμενος θεραπευθῇ ταῦτα, ἵσταται τὸ κακὸν καὶ οὐ χωρέει ἐπὶ τὸ φαυλότερον. αἱ δὲ μεταξὺ τῆς τε κυανίτιδος καὶ τῆς θαλασσοειδοῦς, ἢν μὲν νέῳ ἐόντι γένωνται, πρεσβυτέρῳ γενομένῳ καθίστανται· ἢν δὲ πρεσβυτέρῳ ἐόντι γίγνωνται ἐτέων ἑπτὰ, βέλτιον ὁρῇ. τὰ μεγάλα δὲ πάνυ καὶ λαμπρὰ καὶ ἀπὸ πρόσθεν ὁρῇ μὲν, σαφῶς δὲ

utatur, pudendis suffitum ex graveolentibus adhibeat, cumque circumferri poterit, femorale gestet.

HIPPOCRATIS DE VIDENDI ACIE LIBER.

Oculorum acies corrumpuntur, quae sponte quidem et derepente coeruleae existunt, quod cum evenerit, ejusmodi non curantur. Quae vero aquae marinae speciem referunt, sensim longo tempore corrumpuntur, saepeque alter oculus longo post intervallo corruptus est. In hoc autem caput purgare et venas inurere oportet, ac si quis per initia ex his curetur, vitium sistitur, neque in deterius procedit. Quae vero colore inter coeruleum et aquam marinam ambigunt, si puero quidem contingant ubi, aetate processerit, sedantur. At si septennium egresso fiant, melius cernit, magna autem admodum et lucida et eminus,

*) (Cum Charterii editio hunc libellum non habeat, editionem Iugleri, Helmst. 1792. 8. laudavi.)

οὔ, καὶ ὅ τι ἂν πάνυ πρὸς ἑωυτὸν τὸν ὀφθαλμὸν προσθῇ, καὶ τοῦτο, ἄλλο δὲ οὐδέν. ξυμφέρει δὲ τουτέῳ κάθαρσίς τε καὶ καῦσις τῆς κεφαλῆς. αἷμα δὲ τουτέοισιν οὐ [37] ξυμφέρει ἀφιέναι, οὔτε τῇ κυανίτιδι οὔτε τῇ θαλασσοειδεῖ, καὶ τὸ ὄμμα ἐν τοῖσιν ὀφθαλμοῖσι, τῆς ὄψιος ὑγιέος οὔσης τῶν νεωτέρων ἀνθρώπων, ἤν τε θήλεια ᾖ ἤν τε ἄρσην, οὐκ ἂν ὠφελοίης ποιέων οὐθὲν, ἕως ἂν αὔξηται τὸ σῶμα ἔτι. ὅταν δὲ μηκέτι αὐξάνηται, αὐτέῳ τῷ ὀφθαλμῷ σκεψάμενος τὰ βλέφαρα λεπτύνειν, ξύων, ἢν δοκέῃ προσδέεσθαι καὶ ἐπικαίων ἔνδοθεν μὴ διαφανέσιν. [38] ἔπειτα ἀναδήσας τὰ σκέλεα ἐκτείνας, δίφρον ὑποθεὶς ἀφ᾽ οὗ στηρίζεται τῇσι χερσὶ, μέσον δέ τις ἐχέτω. ἔπειτα διασημήνασθαι τὰς νωτιαίας φλέβας, σκοπεῖν δὲ ὄπισθεν. ἔπειτα καίειν παχέσι σιδήροισι καὶ ἡσυχίῃ διαθερμαίνειν, ὅκως ἂν μὴ ῥαγῇ αἷμα καίοντι. προαφιέναι δὲ τοῦ αἵματος, ἢν δοκέῃ καιρὸς εἶναι. καίειν δὲ πρὸς τὸ ὀστέον ὄπισθεν, ἔπειτα ἐνθεὶς σπόγγον ἠλαιωμένον ἐγκατα[39]καίειν, πλὴν τοῦ πάνυ πρὸς αὐτῷ τῷ ὀστέῳ. ἢν

videt quidem, ſed non aperte, et quodcunque valde oculo admoverit, id etiam videt, aliud autem nihil. Huic autem capitis purgatio et uſtio conducit, at his ſanguinem mittere minime conducit, neque in ea quae colorem coeruleum, neque in ea quae aquae marinae colorem refert. Et oculorum viſum, cum videndi acies ſana fuerit in juvenibus, ſive foemellae ſive mares fuerint, quandiu adhuc corpus increſcit, etiamſi quicquam feceris, minime juveris. At ubi non amplius increſcit, ad oculum ipſum intentus palpebras deradendo extenuato, ſique opus eſſe videatur, ferramentis minime candentibus intus urito. Poſtea religatum extentis cruribus, ſella cui manibus innitatur ſuppoſita medium quis teneat, deinde ſubnotatas dorſi venas retro conſpicito, poſtea craſſioribus ferramentis urito et leviter caleſacito, ut ne ſanguis inter urendum erumpat. Prius autem ſi opportunum videatur ſanguinem mittito. Retro autem ad os usque urito, deinde ſpongia olea imbuta intus urito non tamen admodum ad os ipſum. Quod ſi ad uſtu-

Ed. Ingler. [39. 40. 41.] Foës. I. 688. Ed. Lind. II. (352. 353.)

δὲ προσδέχηται τῷ καυστηρίῳ τὸν σπόγγον, ἕτερον λιπαρώτερον ἐνθεὶς ἐγκατακαίειν. ἔπειτα τοῦ ἄρου ἐν μέλιτι δεύσας, (353) ἐντιθέναι τῇσιν ἐσχάρῃσιν. ὅταν δὲ φλέβα παρακαύσῃς ἢ διακαύσῃς, ἐπειδὰν ἐκπέσῃ ἐσχάρη, ὁμοίως τέταται ἡ φλὲψ καὶ πεφύσηται καὶ πλήρης φαίνεται, καὶ σφύζει ὅτε κάτωθεν τὸ ἐπιῤῥέον. ἢν δὲ διακεκαυμένος ᾖ ὁ κάτωθεν, ταῦτα πάντα ἧσσον πάσχει. διακαίειν δὲ χρὴ αὖθις, ἢν μὴ τὸ πρῶτον διακαύσῃς. τά τε σπόγγια χρὴ ἰσχυρῶς ἐγκατακαίειν, πρὸς τῆς ῥευούσης φλεβὸς [40] μᾶλλον. αἱ ἐσχάραι αἱ μᾶλλον ὀπτηθεῖσαι τάχει ἐκπίπτουσιν. αἱ καιόμεναι οὖλαι πρὸς τὸ ὀστέον καλλίονες γίνονται. ἐπειδὰν δὲ τὰ ἕλκεα ὑγιέα γίνονται, αὖθις ἀναφυσῶνται καὶ ἐπαίρονται, καὶ ἐρυθραί εἰσι παρὰ τὸ ἄλλο, καὶ ὥσπερ ἀναιρησόμεναι φαίνονται, ἕως ἂν χρόνος ἐπιγένηται, καὶ κεφαλῆς καυθείσης καὶ στήθεος. ὁμοίως δὲ καὶ παντὶ τῷ σώματι ὅκου ἂν καυθῇ. ὅταν δὲ ξύῃς βλέφαρα ὀφθαλμοῦ, ξύειν εἰρίῳ Μιλησίῳ, οὔλῳ, καθαρῷ, περὶ ἄτρα[41]κτον περιειλῶν αὐτὴν τὴν στεφάνην τοῦ ὀφθαλμοῦ φυλασσόμενος, μὴ διακαύσῃς πρὸς

ram ſpongiam admittat, altera pinguiore indita, intus urito. Poſtea dracontium melle ſubactum cruſtis imponito. Leviter autem uſta aut peruſta vena, ubi cruſta exciderit, ſimiliter vena diſtenditur, intumeſcit et referta apparet et interdum quae ex inferiore parte affluit, ſalit. Sed ſi inferiore parte peruſtus fuerit, haec ei omnia minus contingunt. Si igitur primum non peruſſerit, iterum perurere oportet et ſpongiis ad venam fluentem magis appoſitis vehementer inurere. Cruſtae magis peruſtae cito decidunt, et cicatrices ad os uſtae pulchriores fiunt. Poſtquam autem ulcera ſaneſcunt, rurſus inflantur et attolluntur et praeter caetera rubeſcunt, et tanquam elevatae apparent, quoad tempus acceſſerit. Idem capite et pectore peruſto, ſimiliterque toto corpore contingit, quacunque in parte uſtio fiat. Cum autem oculi palpebras radis lana Mileſia, criſpa, pura, circa fuſum convoluta radito ea cautione adhibita, ut oculi coronam evites et ne ad cartilaginem peruras. Satis eſſe deraſam palpe-

τὸν χόνδρον. σημεῖον δὲ ὅταν ἀπόχρη τῆς ξύσιος, οὐκ ἔτι λαμπρὸν αἷμα ἐξέρχεται, ἀλλὰ ἰχὼρ αἱματώδης ἢ ὑδατώδης. τότε δὲ χρὴ τινὶ τῶν ὑγρῶν φαρμάκων, ὅκου ἄνθος ἐστὶ χαλκοῦ, τουτέῳ ἀνατρῖψαι. ὕστερον δὲ τὸ τῆς ξύσιος καὶ τὸ τῆς καύσιος, ὅταν αἱ ἐσχάραι ἐκπέσωσι καὶ κεκαθαρμένα ᾖ τὰ ἕλκεα καὶ βλαστάνῃ, τάμνειν τομὴν διὰ τοῦ βρέγματος. ὅταν δὲ τὸ αἷμα || ἀποῤῥυῇ, χρὴ διαχρίειν τῷ ἐναίμῳ φαρμάκῳ. ὕστερον δὲ τουτέου ἔργον καὶ πάντων τὴν κεφαλὴν καθῆραι. [42] τὰ βλέφαρα τὰ παχύ(354)τερα τῆς φύσιος τὸ κάτω ἀποταμὼν, τὴν σάρκα ὁκόσην εὐμαρέστατα δύνῃ. ὕστερον δὲ τὸ βλέφαρον ἐπικαῦσαι, μὴ διαφανέσι φυλασσόμενος τὴν φύσιν τῶν τριχῶν, ἢ τῷ ἄνθει ὀπτῷ λεπτῷ προστεῖλαι. ὅταν δὲ ἀποπέσῃ ἡ ἐσχάρα, ἰητρεύειν τὰ λοιπά. ὁκόταν δὲ βλέφαρα ψωριᾷ καὶ κνησμὸς ἔχῃ, ἄνθος χαλκοῦ βώλιον πρὸς ἀκόνην τρίψας, [43] ἔπειτα τὸ βλέφαρον ἀποτρίψας αὐτέου καὶ τόδε τὴν φολίδα τοῦ χαλκοῦ τρίβειν ὡς λεπτότατα. ἔπειτα χυλὸν ὄμφακος διηθημένον παραχέας καὶ τρίψας λεῖον. τὸ δὲ λοιπὸν ἐν χαλκῷ ἐρυθρῷ παραχέων,

bram indicio eſt, ſi non amplius ſincerus ſanguis, ſed ſanies cruenta et aquoſa effluat. Tum vero liquido aliquo medicamento, in quo flos aeris inſit, defricare oportet. Tandem autem poſt deraſionem et uſtionem, ubi cruſtae ceciderint et repurgata ulcera carne pullularint, ſectionem per ſinciput facere et ubi ſanguis effluxerit, medicamento quod cruentis vulneribus imponitur illinere oportet, ad extremum autem et poſt omnia caput purgare operae pretium eſt. In palpebris natura craſſioribus, carne inferiore parte quam leviſſime poteris reſecta, tandem palpebram minime candentibus ferramentis inurito, pilorum natura vitata, aut aeris flore tenui peruſto, adſtringito. Cum autem cruſta exciderit, velut reliqua curato. Cum palpebrae ſcabie laborant et pruritus detinet, aeris floris glebula in cote trita, deinde palpebram ea defricato. Tumque aeris ſquamam quam tenuiſſime terito, deinde uvae immaturae ſucco percolato affuſo laeviter terito. Quod reliquum eſt in vaſe ae-

κατ᾽ ὀλίγον ἀνατρίβειν, ἕως ἂν πάχος γένηται ὡς μυττωτός. ἔπειτα ἐπειδὰν ξηρανθῇ τρίψας λεῖον, χρῆσθαι. νυκτάλωπος φάρμακον πινέτω ἐλατήριον, καὶ τὴν κεφαλὴν καθαιρέσθω, καὶ [44] κατάξας τὸν αὐχένα ὡς μάλιστα, πιέσας πλεῖστον χρόνον. ἐπανιεὶς δὲ διδόναι ἐν μέλιτι βάπτων ἧπαρ βοὸς ὠμὸν καταπιεῖν μέγιστον ὡς ἂν δύνηται, ἓν ἢ δύο, ἤν τινι οἱ ὀφθαλμοὶ ὑγιέες ὄντες διαφθείροιεν τὴν ὄψιν, τουτέῳ χρὴ ταμόντα κατὰ τὸ βρέγμα ἐπαναδείραντα, ἐκπρίσαντα τὸ ὀστέον ἀφελόντα τὸν ὕδρωπα, ἰῆσθαι, καὶ οὕτως ὑγιέες γίνονται. [45] ὀφθαλμίης τῆς ἐπετείου καὶ ἐπιδημίου ξυμφέρει κάθαρσις κεφαλῆς καὶ τῆς κάτω κοιλίης, καὶ εἰ ἔχοι τὸ σῶμα, αἵματος ἀφαίρεσις ξυμφέρει πρὸς ἔνια τῶν τοιούτων ἀλγημάτων, καὶ σικύαι κατὰ τὰς φλέβας. σῖτος ὀλίγος ἄρτος καὶ ὕδατος πόσις. κατακεῖσθαι δὲ ἐν σκότῳ, ἀπό τε καπνοῦ καὶ πυρὸς καὶ τῶν ἄλλων λαμπρῶν πλα(355)γίων, ἄλλοτε ἐπὶ τὰ δεξιά, ἄλλοτε ἐπ᾽ ἀριστερά. μὴ τέγγειν τὴν κεφαλὴν, ἐπειδὰν οὐ ξυμφέρει. κατάπλασμα ὀδύνης μὴ ἐν[46]ιούσης, ἀλλ᾽ ὡς ῥεύματος ἐπέχοντος οὐ συμφέρει. οἰδη-

ris rubri affuſum paulatim terito, dum craſſitudine intritum ex allio referat, ubi reſiccatum fuerit, leviter trito utitor. Luſcitioſo remedium, ſi medicamentum deorſum purgans bibat, et caput purgetur. Cervicem quam maxime pertundito, et diu premito. Ubi vero remiſerit jecinoris bubuli crudi, melle imbuti fruſtum quam maximum poterit, unum aut duo devoranda exhibeto. Si quis oculis ſanis videndi aciem corruptam habeat, huic ſectione ad ſinciput facta, inſuperque cute ab oſſe remota et oſſe exciſo aqua detracta, medelam adhibeto. Ad lippitudinem annuam, ac populariter graſſantem, capitis et inferioris alvi purgatio conducit. Ad quosdam etiam hujusmodi dolores, ſanguinis detractio confert, ſi corpus ſanguine redundet cucurbitaeque ad venas admotae, panis modicus in cibo et aquae potio. Loco obſcuro jaceat, fumum, ignem, aliaque ſplendida fugiens ex obliquo, modo in dextram, modo in ſiniſtram. Caput ne madefaciat, ſiquidem minime confert. Cataplasma admovere non exiſtente dolore minime confert,

μάτων ἀνωδύνων καὶ μετὰ τὰ δριμέα φάρμακα τῆς ὀδύνης ἐπαλειφόμενα, ἐπειδὰν ἥ τε ὀδύνη παύσηται καὶ διαχωρισθῇ κατὰ τὴν ἐσάλειψιν τοῦ φαρμάκου, τότε συμφέρει καταπλάσσειν τῶν καταπλασμάτων ὅ τι ἄν σοι δοκέῃ ξυμφέρειν. οὐδὲ διαβλέπειν ξυμφέρει πουλὺν χρόνον. δάκρυον γὰρ προκαλέεται οὐ δυνάμενος ὁ ὀφθαλμὸς πονέειν, πρὸς τὰ λαμπρά, ἀλλ' οὐδὲ ξυμμύειν πουλὺν χρόνον, ἢν ἔχῃ ῥεῦμα θερμὸν μάλιστα. θερμαίνει γὰρ τὸ δάκρυον ἰσχόμενον. ῥεύματος δὲ μὴ ἔχοντος μετά γε τοῦ ξηροῦ τὴν ὑπάλειψιν ξυμφέρει ποιέεσθαι.

verum velut ad sistendam fluxionem. In tumoribus dolore carentibus, et post acria medicamenta quae doloris causa illinuntur, ubi dolor quieverit et post medicamenti inunctionem decesserit, tum cataplasmata quaecunque tibi usui esse videbuntur adhibeto. Neque diu contueri confert. Oculus enim cum splendidis resistere nequeat, lachrymam provocat. Sed neque diu connivere conducit, praesertim si fluxio calida detinuerit. Retenta namque lachryma calefacit. Cum vero fluxio non adfuerit, cum sicco quidem pulvillo illitionem facere confert.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΤ' ΙΗΤΡΕΙΟΝ.

Ed. Chart. XII. [3. 14.] Foës. I. 740. Ed. Lind. I. (614. 615.)

Ἢ ὅμοια ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντη πάντως γιγνωσκομένων. ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἐστὶ, ἃ καὶ τῇ ὄψει καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστι αἰσθέσθαι. ἃ καὶ οἷς γιγνωσκόμενα, πᾶσιν ἐστὶ γνῶναι.

[14] Τὰ δ᾽ ἐς χειρουργίην κατ᾽ ἰητρεῖον· ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ὄργανα, (615) τὸ φῶς, ὅκου, ὅκως, ὅσα, ὅκως, ὁκότε, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος,

HIPPOCRATIS LIBER DE OFFICINA MEDICI.

Principio quaenam ſimiliter aut diſſimiliter ſe habeant videndum; idque ex his quae maximi ſunt momenti, aut facillime cognoſcuntur, aut quavis via et ratione comprehenduntur: quae et viſione et tactu et auditione percipiuntur: quaeque in viſionis, auditionis, tactus, narium, linguae et intelligentiae ſenſum cadunt, ex quibus omnis cognitio noſtra conſtat.

Iſta autem in manu curantis officio ſpectantur. Aeger, agens, miniſtri, inſtrumenta, lumen, quo loco, quomodo, quaenam, quemadmodum et quando, corpus, quae ad agendum ſunt accommodata, tempus, modus, locus. Is qui

ὁ τόπος, ὁ δρῶν ἢ καθήμενος ἢ ἑστεώς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν. αὐγῆς μὲν οὖν δύο εἴδεα, τὸ μὲν κοινὸν, τὸ δὲ τεχνητόν. τὸ μὲν οὖν κοινὸν οὐκ ἐφ' ἡμῖν, τὸ δὲ τεχνητὸν καὶ ἐφ' ἡμῖν. ὧν ἑκατέρου δισσαὶ χρήσιες ἢ πρὸς αὐγὴν ἢ ὑπ' αὐγήν. ὑπ' αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις καταφανής τε ἡ μετριότης. τὰ δὲ πρὸς αὐγὴν ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπρότητα τρέπειν τὸ χειριζόμενον, πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ ἢ ὁρῆν αἰσχρόν. οὕτωσὶ δὲ τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ, τὸν δὲ χειρίζοντα ἐναντίον τῷ χειριζομένῳ, πλὴν ὥστε μὴ ἐπισκοτάζειν. οὕτω γὰρ ἂν ὁ μὲν δρῶν ὁρῴη, τὸ δὲ χειριζόμενον οὐχ ὁρῷτο. πρὸς ἑωυτὸν δὲ καθημένῳ πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γούνασι. διάστασιν δὲ ὀλίγον συμβεβῶτες. γούνατα δὲ ἀνωτέρω βουβώνων σμικρὸν διάστασιν ἀγκῶσιν θέσει καὶ παραθέσει. ἱμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως, ὁμοίως, ἀγκῶσιν ὤμοισι.

agit ſive ſedens ſive ſtans, accommodate tum ad ſeipſe tum ad id quod manu tractatur, tum ad lucem ſe habeat. At lucis duo cum ſint genera, commune quidem in nobis ſitum non eſt, quod autem arte conſtat, penes nos eſt. Utriusque vero duplex uſus exiſtit, aut adverſi luminis aut averſi. Averſi quidem luminis exiguus eſt uſus et moderatio manifeſta. Quod ad adverſum vero lumen attinet, ex eo quod praeſens eſt et confert, id quod manu curatur ad luminis ſplendorem convertere oportet, niſi ſi quae aut latere convenit aut conſpici turpe eſt. Atque hoc pacto id quidem quod manu tractatur lumine adverſum, eum vero qui curat ei qui curatur ex adverſo eſſe oportet, dum ne lumini officiat. Ita namque et qui opus exercet cernere poterit, neque quod manu tractatur cernetur. Quod autem ad ſeſe attinet, ſic ſedeat ut pedes ſecundum eam quae ſurſum eſt rectitudinem e directo ad genua ſiti ſint, parvo intervallo inter ſe conjuncti. Genua vero ad ſuperiorem inguinum regionem paulo diducta ſint, ita ut cubiti ſua poſitione et in latera appoſitione, iis innitantur. Veſtis ſit decenter compoſita explicata, aequabiliter, ſimiliter, in cubitis atque humeris.

[25] Πρὸς δὲ τὸ χειριζόμενον τοῦ μὲν πρόσω καὶ ἐγγὺς καὶ ἄνω καὶ κάτω, καὶ ἔνθα ἢ ἔνθα ἢ μέσον. τοῦ μὲν πρόσω καὶ ἐγγὺς ὅριον ἀγκῶνες· εἰς μὲν τὸ πρόσθεν γούνατα μὴ ἀμείβειν, εἰς δὲ τὸ ὄπισθεν πλευράς. τοῦ δὲ ἄνω μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖ(616)ρας ἔχειν. τοῦ δὲ κάτω μὴ κατωτέρω ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν ἔχειν ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας. τὰ μὲν κατὰ μέσον οὕτως. τὰ δὲ ἔνθα ἢ ἔνθα μὴ ἔξω τῆς ἕδρης. κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προβαλλόμενον τὸ σῶμα καὶ τοῦ σώματος τὸ ἐργαζόμενον. ἑστεῶτα δὲ δεῖ καὶ ἐπ' ἀμφοτέρων βεβῶτα ἐξ ἴσου τῶν ποδῶν ἅλις. δρῆν δὲ τῷ ἑτέρῳ ἐπιβεβαῶτα, μὴ τῷ κατὰ τὴν δρῶσαν χεῖρα. ὕψος γούνατι πρὸς βουβῶνα ὡς ἐν ἕδρῃ, καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά. ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω ἢ ἑστεὼς ἢ καθήμενος ἢ κείμενος ὅκως ἂν ῥήϊστα, ὧδε ὡς σχῆμα ἔχων διατελέει, φυλάσσων ὑπόῤῥυσιν, ὑπόστασιν, ἔκτριψιν,

In eo vero, quod manu tractatur, ultra quidem et prope et ſupra et infra, et quod in hanc vel illam partem declinat, aut quod medium eſt ſpectatur. Ejus quidem quod ultra et prope, termini ſunt cubitorum gibbi, in anteriorem quidem partem, ſi genua, in poſteriorem vero, ſi coſtas non pertranſeant. Quod ad ſurſum attinet, ut ne ſupra mammas ſummae manus perveniant. Deorſum autem, ut ne inferius quam ut pectore ad genua incumbente, ſummae manus rectum angulum ad brachia faciant. Atque haec quidem medio modo ſe habent. In hanc vero vel in illam partem, ne extra ſedem declinet, ſed prout converſionem fieri convenit, corpus et eam corporis partem, quae agit, protendat. Stantem autem utrisque ex aequo pedibus abunde inſiſtere oportet, ſed altero inſiſtentem agere, non eo qui eſt ad agentem manu, ita ut genu ad inguina ſublatum ſit perinde atque ubi ſedebat. Ac in caeteris iidem termini ſervandi ſunt. At qui tractatur reliqua corporis parte manu curanti ſubſerviat, aut ſtans aut ſedens, quo quam facillime ita in ea figura perſeveret, obſervans defluxionem, ſubſiſtentiam, in latus converſionem, declivitatem, ſic ut eam quam oportet et figuram

Ed. Chart. XII. [25. 30.] Foes. I. 741. 742. Ed. Lind. I. (616 617.)

καταντίαν, ὡς ὃ δεῖ σώζεσθαι καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει.

[30] || Ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν. δακτύλων κορυφὰς ἐς χρῆσιν ἀσκέειν. δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν, ὅλῃ δὲ καταπρηνεῖ, ἀμφοτέρῃσι δὲ ἐναντίῃσι. δάκτυλον ἐκφῦναι μέγα τὸ ἐν μέσῳ τῶν δακτύλων καὶ ὑπεναντίον τὸν μέγαν τῷ λιχανῷ. νοῦσος δὲ δι' ἣν καὶ βλάπτονται οἷσιν ἐν γενετῇσι, ἐν τροφαῖς εἴθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων δακτύλων κατέχεσθαι δῆλον. τὰ ἔργα πάντα ἀσκέειν ἑκατέρῃσι δρῶντα καὶ ἀμφοτέρῃσιν ἅμα. ὅμοιαι γάρ εἰσιν (617) ἀμφοτέρῃσι, στοχαζόμενον ἀγαθῶς, καλῶς, ταχέως, ἀπόνως, εὐρύθμως, εὐπόρως, ὄργανα μὲν καὶ ὅτε καὶ οἵως εἰρήσεται. ὅκου δεῖ μὴ ἐμποδὼν τὸ ἔργον, μηδὲ ἐμποδὼν τῇ ἀναιρέσει. παρὰ τὸ ἐργαζόμενον δὲ τοῦ σώματός ἐστι. ἄλλως δὲ ἢν δίδω ἑτοίμως ὀλίγῳ πρότερον ἔστω. ποιείτω δὲ ὅταν κελεύῃς. οἱ δὲ περὶ τὸν ἀσθενέοντα τὸ μὲν

et formam ejus partis quae tractatur tueatur, cum se medico exhibet et manu tractatur, eumque habitum servat, in quo postea contineri debet.

Ungues neque longiores neque breviores digitorum extremis verticibus esse oportet, quos sic in usum adhibere convenit. Digitis quidem summis, indice fere ad pollicem admoto, manu autem integra prona, ambabus vero adversis. Digitorum autem apta a natura habitudo est, ut magnum sit intervallum quod est inter digitos medium, et pollex indici ex adverso constituatur. Morbo vero eos male affici constat, quibus ex primo ortu aut educatione pollex ab aliis digitis contineri assuevit. Qui agit, ad opera omnia adhibeat utrasque manus et ambas simul, cum sint similes, ad id quidem animum advertens, ut ambabus utatur recte, decore, cito, sine labore, concinne, prompte. Instrumenta certe et quando et qualiter parata esse debeant, dicetur. Sed ea ubi oportet posita, juxta eam corporis partem quae tractatur, ita ut ne quid opus remoretur, neque in assumendo impediat. Quod si ab altero exhibeantur, is paulo ante paratus sit et ubi jusseris imperata faciat. Qui vero aegrotanti adsistunt,

Ed. Chart. XII. [30. 35. 40.] Foef. I. 742. 743. Ed. Lind. I. (617.)

χειριζόμενον παρεχόντων ὡς ἂν δοκῇ, τὸ δὲ ἄλλο σῶμα κατεχόντων, ὡς ὅλον ἂν ἀτρεμέῃ, σιγῶντες, ἀκούοντες τοῦ ἐφεστῶτος.

[35] Ἐπιδέσιος δύο εἴδεα, εἰργασμένον καὶ ἐργαζόμενον. ἐργαζόμενον μὲν ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως. ταχέως μὲν ἀνύειν τὰ ἔργα. ἀπόνως δὲ ῥηϊδίως δρῆν. εὐπορίη δὲ ἐς πᾶν ἑτοίμη. εὐρυθμίη δὲ ὁρῆσθαι ἡδέως. ἀφ᾽ ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται. εἰργασμένον δὲ ἀγαθῶς, καλῶς. καλῶς μὲν ἁπλῶς, εὐκρινέως, ἢ ὅμοια, ἢ ἴσα. ἴσως καὶ ὁμοίως, ἢ ἄνισα καὶ ἀνόμοια. ἀνίσως καὶ ἀνομοίως. τὰ δὲ εἴδεα, ἁπλοῦν, ἔγκυκλον, σκέπαρνον, σιμὸν, ὀφθαλμὸς, ῥόμβος καὶ ἡμίτομον. ἁρμόζον τὸ εἶδος τῷ εἴδει καὶ τῷ πάθει τοῦ ἐπιδεομένου.

[40] Ἀγαθῶς δὲ δύο εἴδεα τοῦ ἐπιδεομένου. ἰσχύος μὲν ἢ πιέξει ἢ πλήθει ὀθονίων. τὸ μὲν οὖν αὕτη ἡ ἐπίδεσις ἴηται, τὸ δὲ τοῖς ἰωμένοισιν ὑπηρετέει. ἐς μὲν || οὖν ταῦτα

quod manu curatur prout traditum fuerit, exhibeant, reliquum autem corpus in quiete contineant, tacentes et ei qui praeeſt auſcultantes.

Deligationis duo ſunt genera, unum ejus quae adhuc fit, alterum ejus quae jam facta eſt. Ad eam quae fit quidem ſpectat, cito, ſine dolore, prompte, concinne. Celeritas quidem in operis abſolutione, indolentia vero in agendi facilitate conſiſtit. At promptitudo in eo, quod ad quidvis praeſto eſt, concinnitas vero in viſus delectatione ſpectatur. Atque iſta quanam exercitatione comparentur, dictum eſt. Ad eam vero quae jam facta eſt rectum et decorum pertinet. Decorum quidem in eo quod ſimplex eſt aut diſtinctum ſpectatur, ſi ſimilibus aut aequalibus aequalia aut ſimilia, aut inaequalibus et diſſimilibus inaequalia et diſſimilia adhibeantur. Atque hujus generis ſunt ſimplex, rotundum, aſcia, ſimum, oculus, rhombus et dimidiatum. Ita ut forma formae et affectioni partis quae deligatur apte reſpondeat.

Rectum autem in deligatione duobus modis ſpectatur. Robur quidem aut appreſſu aut linteorum multitudine conſtat. Ac ipſa quidem deligatio partim medetur, partim

νόμος. ἐν δὲ τουτέοισι μέ(618)γιστα ἐπιδέσιος. πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστᾶναι, μηδὲ ἐρηρεῖσθαι, ἀλλὰ ἡρμόσθαι μὲν, προσηναγκάσθαι δὲ μὴ, ἧσσον μὲν τὰ ἔσχατα, ἥκιστα δὲ τὰ μέσα.

Ἅμμα καὶ ῥάμμα νεμόμενον μὴ κάτω, ἀλλ' ἄνω ἐν παρέξει καὶ σχέσει καὶ ἐπιδέσει καὶ πιέξει. ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν τὸ ἅμμα. τὸ δὲ ἅμμα μήτε ἐν τρίβῳ μήτε ἐν ἔργῳ, μήτε ἐκεῖσε, ὅκου ἐνεόν. ὡς μὴ ἔσω ἐνεὸν κείσεται. ἅμμα δὲ καὶ ῥάμμα μαλθακὸν, οὐ μέγα. εὖ γε μὴν γνῶναι ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω.

[48] Ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς. ταύτην δὲ κατ' ἴξιν. τὰ δ' ὑπεναντία ἀπὸ δύο ἀρχέων. ἢν δὲ ἀπὸ μιῆς, ἐφ' ὅπερ ὅμοιον ἐς τὸ

medentibus subservit. Atque haec quidem in iis lex observanda est. In his autem circa deligationem maxime attendere oportet, ut appressus ita fiat, ut quae sunt imposita neque abscedant neque innitentur, sed apte quidem componantur, non cogantur idque in extremis minus, minimum vero in mediis.

Nodus et filum non deorsum, sed sursum ferantur, dum pars affecta medicis exhibetur, ad curationem accommodatur, deligatur et ad habitum, quo postea contineri debet, comparatur. Principia non ea parte qua ulcus est injicienda, sed hinc vel inde nodus faciendus. Neque vero nodum facere oportet ea parte quam terimus, neque qua agimus, neque qua parte inane est, ne in vanum collocetur. Nodus et filum molle sit, non magnum. Probe tamen istud attendere convenit, deligationem omnem ad loca declivia et in acutum tenuata tendere, velut in capite ad superiorem quidem partem, in tibia vero ad inferiorem.

Deligatio a dextris ad sinistra et a sinistris ad dextra ducatur, praeterquam in capite, hoc enim in directum deligandum est. Quae vero partes inter se opponuntur, fascia

Ed. Chart. XII. [48.] Foëſ. I. 743. Ed. Lind. I. (618. 619.)

μόνιμον. οἷον τὸ μέσον τῆς κεφαλῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον. τὰ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅπη μὲν συγκάπτεται, ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύην. εἰ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα οἷον ἡ μύλη· προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα, ἀναλήψιος δὲ τοῦ σύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσιν καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος· ὁμολογέει δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέραν (619) μασχάλην περιβολὴ, βουβῶνος δὲ ἡ περὶ τὸν ἕτερον κενεῶνα, καὶ κνήμης ἡ ὑπὲρ γαστροκνημίης. ὁκόσοισι μὲν ἄνω ἡ φυγὴ, κάτωθεν ἡ ἀντίληψις. οἷοι δὲ κάτω, τοὐναντίον, οἷσι δὲ μὴ ἔστι οἷον ἡ κεφαλὴ, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθέντα πλανωδέστατα κατέχει. ὁκόσοισι δὲ μὴ εὐκαταλήπτως τοῖς ὀθονίοισι, μηδὲ

ex duobus initiis deligandae. Quod ſi ab uno incipis, ad ſimilitudinem, per eum locum, in quo firmiter haereat, deducenda, velut eſt capitis pars media, et ſi quid aliud eſt hujus generis. Quae ad motionem ſunt idonea, velut articuli qua parte quidem inflectuntur, quam minimis et maxime contractis linteis obvolvenda ſunt, veluti poples: at ubi contenduntur, explicatis et latis velut genu mola. Inſuper quoque circundare vinculum quoddam oportet, ad ea quidem comprehendenda, quae circum articulos ſunt, tum vero ad retinendam totam deligationem, in iis corporis partibus quae quieſcunt et demiſſiores ſunt, velut ſupra et infra genu. In humero quidem faſciarum involutio quae ad alteram axillam injicitur, convenit. In inguine vero ea quae fit per alteram lateris mollitudinem et in tibia, quae ſupra ſuram. Quibus quidem ſurſum vinculorum evolutio elabitur, deorſum apprehenſio fiat, quibus vero deorſum, contra. At in quibus hoc non datur, ut in capite, in his quam maxime aequabili loco comprehenſiones facere et minime obliqua deligatione uti oportet, quo poſtrema involutio firmiſſime circumjecta, ea quae vel maxime errabunda ſunt contineat. Quae autem linteis neque commode compre-

Ed. Chart. XII. [48. 55.] Foës. I. 743. 744. Ed. Lind. I. (619. 620.)
εὐαναλήπτως ἔχει ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυῤῥαφῆς.

[55] Ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτὰ, ἑλίσσειν ἀμφοτέροισιν ἅμα καὶ ἑκατέροισιν χωρὶς ἀσκέειν, τῇ πρεπούσῃ δὲ ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν ὀθονίων τεκμαιρόμενον χρέεσθαι. ἑλίξιος κεφαλαὶ σκληραὶ, ὁμαλαὶ, εὐκρινέες. τὰ δὲ δὴ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων. τὰ δὲ μήτε πιέζειν μήτε ἀποπίπτειν.

Ὧν δὲ ἔχεται ἐπίδεσις ἢ ὑπόδεσις ἢ ἀμφότερα. ὑπόδεσις μὲν αἰτίη ὥστε ἢ ἀφεστῶτα προστεῖλαι, ἢ ἐκπεπταμένα συστεῖλαι ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία. παρασκευάζειν δὲ ὀθόνια κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, μὴ ἔχοντα συῤῥαφὰς μηδ᾽ ἐξεστίας, καὶ ὑγιέα ὥστε τανύειν φέρειν καὶ ὀλίγῳ κρέσσω, μὴ ξηρὰ, (620) ἀλλ᾽ ἔγχυμα χυμῷ ᾧ ἕκαστα σύντροφα. ἀφεστεῶτα μὲν ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ

hendi, neque apte retineri possunt, ea filis per injectionem aut suturam adhibitis, retineri debent.

Vincula munda, levia, mollia et tenuia esse oportet, eaque ambabus simul manibus involvenda, aut utrisque invicem opus exercendum. Conveniente autem deligatione utendum, adhibita in rationem linteorum tum latitudine tum crassitudine. Fasciarum involutarum capita dura, aequabilia, explicata sunto. Quae sane futurum est ut decidant, ea deteriora sunt ubi cito decidunt: partim vero sunt ejusmodi, ut neque comprimant neque decidant.

Quae autem deligatio appetat, aut subligatio aut utraque, haec sunt. Subligatio quidem efficit, ut quae abscesserunt adducantur, vel quae expansa sunt coarctentur, aut contracta diducantur aut perversa dirigantur, aut contra. Jam vero lintea paranda sunt levia, tenuia, mollia, munda, lata, nullas neque suturas, neque extantes linorum eminentias habentia, neque adeo valentia ut extensionem ferre possint, pauloque praestantiora, non acida, sed succo singulis accommodato madentia. In his certe quae abscesserunt, ita ut sublimia sedem quidem attingant, neque tamen

μή· ἦρχθαι δὲ ἐκ τοῦ ὑγιέος, τελευτᾷν πρὸς τὸ ἕλκος. ὡς τὸ μὲν ὕπέον ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπιξυλλέγηται.

[65] Ἐπιδεῖν τὰ μὲν ὀρθὰ ἐς ὀρθὸν, τὰ δὲ λοξὰ λοξῶς, ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται, ἐξ οὗ ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ᾽ ὅμοια ταῦτα ἕξουσι μύας, φλέβας, νεῦρα, ὀστέα, ἀναλελάμφθαι δὲ ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν. ὧν δὲ ἂν ἀποστῇ, τἀναντία. ὧν δ᾽ ἂν ἐκπεπταμένα, συστεῖλαι, τὰ μὲν ἄλλα τὰ αὐτὰ, ἐκ πολλοῦ δέ τινος δεῖ τὴν συναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν τὸ πρῶτον ἥκιστα, ἔπειτα ἐπὶ μᾶλλον ὅριον τοῦ μάλιστα τὸ συμψαύειν. ὧν δὲ συνεσταλμένα διαστεῖλαι. σὺν μὲν φλεγμονῇ τἀναντία, ἄνευ δὲ ταύτης παρασκευῇ μὲν τοιαύτῃ, ἐπιδέσει δὲ ἐναντίῃ.

[72] Διεστραμμένα δὲ διορθῶσαι. τὰ μὲν ἄλλα κατὰ

comprimant. Initio autem a sana parte ducto ad ulcus desinendum est, ut quod subest emulgeatur, neque praeterea quicquam colligatur.

Atqui deliganda sunt recta in rectum, obliqua vero oblique, eo modo figurata, in quo neque dolor neque compressio neque relaxatio adsit, ut eum habitum non mutent, cum ad apprehensionem aut positionem sit transitus, verum ut similiter se habeant ista omnia, nempe musculi, venae, nervi et ossa, sintque recte disposita et bene retenta. Apprehendi autem et jacere eo habitu convenit, qui secundum naturam sit et dolorem minime faciat. In quibus autem abscessio facta est, contra. Ast ubi quae expansa sunt contrahere oportet, in caeteris quidem eodem modo. Ex longinquo tamen quodam intervallo contractio, sensimque progressu facto compressio facienda est, primo quidem minimum, postea magis, ita ut maximae compressionis contactus terminus statuatur. In iis vero quae contracta sunt diducendis, ubi quidem inflammatio adest, contrariam rationem adhibere oportet: quae si abest, eodem quidem apparatu, contraria autem deligatione utendum.

In perversis quoque dirigendis caetera quidem eodem

Ed. Chart. XII. [72. 76.] Foes. I. 745. Ed. Lind. I. (620. 621.)
|| τὰ αὐτά. δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπαγαγεῖν ὑποδέσει, παρακολλήσει, ἀναλήψει. τὰ δὲ ἐναντία ἐναντίως. (621) σπληνῶν μήκεα, πλάτεα, πάχεα· πλήθεα, μῆκος ὅση ἡ ἐπίδεσις, πλάτος τριῶν ἢ τεσσάρων δακτύλων, πάχος τριπτύχους ἢ τετραπτύχους, πλῆθος κυκλεῦντας μὴ ὑπερβάλλειν, μηδὲ ἐλλείπειν. οἷσι δὲ ἐς διόρθωσιν μῆκος κυκλεῦντας πλάτος καὶ πάχος τῇ ἐνδείῃ τεκμαίρεσθαι, μηδὲ ἀθρόα πληρεῦντας. τῶν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο, τῇ πρώτῃ ἐκ τοῦ σίνεος εἰς τὰ ἄνω τελευτώσῃ, τῇ δὲ δευτέρῃ ἐκ τοῦ σίνεος εἰς τὰ κάτω. κατὰ τὸ σῖνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα. τὰ δὲ ἄλλα κατὰ λόγον. ἡ δὲ ἐπίδεσις πουλὺ τοῦ ὑγιέος προσλαμβανέτω.

[76] Ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος, πλῆθος μὲν μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίῤῥεψιν, μηδὲ ἐκθήλυνσιν. μῆκος δὲ

modo fieri debent. Quae autem recesserunt ea per subligationem, agglutinationem, apprehensionem adducere oportet, contraria vero contra. Spleniorum longitudo, latitudo, crassitudo, multitudo talis esto. Longitudine deligationem aequent, latitudine trium sint aut quatuor digitorum, crassitudine triplicia aut quadruplicia, multitudine, ut in orbem convoluta neque plura sint neque pauciora. At quibus ad directionem adhibentur, longitudinem, in orbem convolutione, latitudinem et crassitudinem, ex eo quod deficit conjiciemus, dum ne confertim compleamus. Linteorum autem subligationes duae cum sint, una ex loco affecto in superiorem partem, altera ex parte affecta in inferiorem partem desinit. Ad locum affectum appressus maxime fieri debet, extremis partibus minime, in reliquis vero pro ratione. Deligatio quoque magnam ejus quod sanum est partem occupet.

Quod ad fasciarum multitudinem, longitudinem, latitudinem attinet, multitudo quidem tanta esse debet, ut ne affectae parti cedat et ferularum compressionem impediat, neque pondere molesta sit neque vinculi alteram in partem propensionem, neque effoeminationem afferat. Quod

Ed. Chart. XII. [76. 81.] Foës. I. 745. Ed. Lind. I. (621. 622.)

καὶ πλάτος τριῶν ἢ τεττάρων ἢ πέντε ἢ ἕξ. πήχεων μὲν μῆκος, δακτύλων δὲ πλάτος, καὶ παρέρματος περιβολαὶ τοσαῦται ὥστε μὴ πιέζειν. μαλθακὰ δὲ μὴ παχέα. ταῦτα πάντα ὡς ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος. νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ, κατ᾽ ἄκρα σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσεως. παχύτατοι δὲ ᾗ ἐξέῤῥιπτε τὸ κάτηγμα. ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσει φυλασσομένων τῶν ὑπερχόντων. οἷον κατὰ δακτύλους ἢ σφυρὰ, τῇ θέσει ἢ τῇ βρα(622)χύτητι. παρέρμασι δὲ ἐρμάζειν μὴ πιέζειν τὸ πρῶτον. κηρωτῇ μαλθακῇ καὶ λείῃ καὶ καθαρῇ.

[81] *Ὕδατος θερμότης, πλῆθος. θερμότης μὲν κατὰ τῆς ἑωυτοῦ χειρὸς κατασχεῖν. πλῆθος δὲ χαλάσαι μὲν καὶ ἰσχνῆναι τὸ πλεῖστον ἄριστον. σαρκῶσαι δὲ καὶ ἁπαλῦναι τὸ μέτριον. μέτριον δὲ ἐν τῇ καταχύσει ἔτι μετεωριζομένου, δεῖ πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται,*

ad longitudinem vero et latitudinem pertinet, tres aut quatuor aut quinque aut ſex longitudine quidem cubitos, latitudine autem digitos aequare debent. Tot itidem ſint ſtabilimenti circumvolutiones, ut ne comprimant. Mollia autem ſint et minime craſſa quae adhibentur, eaque omnia pro partis affectae longitudine et craſſitudine. Ferulae autem laeves, aequales, circa extrema reſimae ſint oportet et ab utraque parte deligatione paulo breviores, craſſiſſimae vero qua parte fractura erupit. At in partibus quae ſuapte natura incurvae ſunt et excarnes, velut circa digitos et talos, in iis vitare ferularum appoſitionem juxta ea quae eminent oportet, aut breviores apponere. Stabilimenta vero primam deligationem fulciant, at non comprimant. Cerato utendum molli, laevi et puro.

In aqua calor et copia ſpectanda ſunt. Calor quidem tantus ut ſupra medici manum affuſa ferri poſſit. Copia vero, ubi laxandum quidem et attenuandum, maxima: ubi autem carne implendum et molliendum, modica optima eſt. In perſundendo autem ea moderatio eſſe debet, ut dum pars adhuc attollitur, prius quam concidat deſiſtamus. Primum namque attollitur, deinde attenuatur. In promi-

Ed. Chart. XII. [81.] Foes. I. 745. 746. Ed. Lind. I. (622. 623.)
ἔπειτα δὲ ἰσχναίνεται. θέσις δὲ μαλθακὴ, ὁμαλὴ, ἀνάῤῥοπος τοῖσιν ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνη καὶ ἰσχίῳ, ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπεται. σωλῆνα παντὶ τῷ σκέλει ἢ ἡμίσει. ἐς τὸ πάθος δὲ βλέπειν καὶ τἄλλα ὅσα βλάπτει δῆλα.

|| Πάρεξις δὲ καὶ διάτασις καὶ ἀνάπλασις καὶ τὰ ἄλλα κατὰ φύσιν. φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον. ἐς δὲ ταῦτα ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐκ μὲν τοῦ ἐλινύοντος καὶ ἀφειμένου τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τουτέου γὰρ ῥήϊστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὅμοια ταῦτα (623) ἔχουσιν,

nentibus corporis partibus poſitus mollis, aequabilis eſſe debet et qui ſurſum tendat, velut in calcaneo et coxendice, ita ut neque reflectantur neque evertantur. Canalem toti potius parti quam dimidiae ſubjicere oportet. Ad affectum autem animum intendere convenit, et caetera quaecunque ex eo palam oriuntur incommoda.

Exhibitio autem, diſtentio, conſormatio caeteraque ſecundum naturam accommodata eſſe debent. Natura vero, quandoquidem in actionibus conſideratur, ex operis actione quonam ſpectet conjectandum. Quod autem ad iſta attinet, attendendus eſt quieſcentis habitus et communis et qui in conſuetudinem venit. In quieſcente quidem ac remiſſo in rectum proceſſus ſpectandus eſt, qualis eſt in manus figura. In communi extenſio et inflexio, veluti ubi cubitus cum brachio ad angularem prope figuram accedit. In conſueto autem, quod non alias figuras facilius ferre poſſint, cujusmodi in cruribus eſt extenſio. In eo enim habitu diu facillime ſine immutatione perſeverarint. In immutatione autem ex diſtentione in habitum aut poſi–

Ed. Chart. XII. [81. 92. 95.] Foës. I. 746. 747. Ed. Lind. I. (623.)
εἰς ἕξιν ἢ θέσιν μῦες, φλέβες, νεῦρα, ὀστέα, ἢ μάλιστα εὔθετα καὶ εὔσχετα.

[92] Διάτασις μάλιστα, τὰ μέγιστα καὶ πάχιστα καὶ ὁμαλὰ καὶ ὅκου ἀμφότερα. δεύτερα, ὧν τὸ ὑποτεταγμένον. ἥκιστα, ὧν τὸ ἄνω. μᾶλλον δὲ τοῦ μετρίου βλάβη, πλὴν παιδίων ἔχειν ἀνάντη σμικρῶν. διορθώσιος παράδειγμα τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές. ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι, ἡ σκληρὴ δῆσαι, ἡ μαλακὴ λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη παχῦναι.

[95] || Ἐπιδεῖν δὲ τὸ πρῶτον ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σῖνος. ἥκιστα τὰ ἄκρα. ἡρμόσθαι δὲ μὴ πεπιέχθαι τῷ πλήθει μὴ ἰσχύει. τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δ' ὑστέρην ἧσσον, τρίτῃ χαλαρά. εὑρεθήτω δὲ τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακόν. τῇ τρίτῃ δὲ τὸ ἐπιδεθὲν λυθὲν, ἰσχνότερον

tionem, similiter ista se habeant, musculi, venae, nervi, ossa, aut bene admodum sint deposita et bene retenta.

Distentio praecipue ad ea quae maxima, crassissima et aequalia et utraque ossa fracta habent, accommodatur. Secundo loco ubi os subjectum, minime vero ubi id quod supra laesum est. Quae si justo major fiat, noxiam adfert, praeterquam in pueris. Partes autem ipsas paulum acclives habere oportet. Ad directionem, pro exemplo proponatur, quod est ejusdem nominis conjugatum, simile, sanum. Frictio vim habet solvendi, vinciendi, carnem augendi, minuendi. Dura quidem vinciendi, mollis solvendi, multa minuendi, mediocris implendi.

In deligando autem, imprimis quidem qui deligatur, qua parte noxia est, se maxime dicat esse compressum, extremis partibus minime et fascias tam apte appositas esse sentiat, ut stabilitae quidem sint, non autem appressae, non vi, sed numero, ac ea quidem die ac nocte paulo magis premi, postridie minus, tertia laxari. Postridie autem in extremis quidem partibus tumor mollis reperiatur. Tertio vero die pars deligata ubi soluta fuerit, gracilior de-

Ed. Chart. XII. [95. 98.] Foes. I. 747. 748. Ed. Lind. I. (623. 624.)

παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. τῇ δὲ ὑστεραίῃ ἐπιδέσει ἢν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ. ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσιν πιεχθήτω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλείοσιν. τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα, εὑρεθήτω ἰσχνὰ χαλαρὰ τὰ ὀστέα. ἐς δὲ νάρθηκας δεθέντα, ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐᾷν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν μέσῳ. (624) νάρθηκας διὰ τρίτης ἐρείδειν.

Ἡ ἀνάληψις, ἡ ἀπόθεσις, ἡ ἐπίδεσις, ὡς ἐν τῷ αὐτῷ ᾖ διαφυλάσσειν. κεφάλαια σχημάτων, ἔθη, φύσεις ἑκάστου τῶν μελέων, τὰ εἴδεα ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἑστάναι, κατακεῖσθαι ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι. ὅτι χρῆσις κρατύνει. ἀργίη δὲ τήκει, ἢ πιέξει, ἢ πλήθει.

[98] || Ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, ἢ οἰδήματα ἀφλέγμαντα ἐξεργᾶται ἐκ τοῦ τρώματος ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δέ τι καὶ

prehenditur, idque per omnes deligationes obſervandum eſt. Poſtera deligatione an decenter deligatum apparuerit cognoſcendum ac deinceps magis ac pluribus linteis adſtringendum, tertio item die magis ac pluribus. Septimo vero die poſt primam deligationem reſoluta oſſa gracilia et laxa deprehendantur. At ferulis alligata ſi gracilia, ſine prurigine et ulcere fuerint, ad vigeſimum a noxa diem ſinere oportet. Quod ſi aliqua ſuſpicio ingruit, ſolvere interim et ferulas tertio quoque die confirmare convenit.

Obſervandum autem eſt ut apprehenſio, depoſitio et deligatio eodem ſint ſtatu. Figurarum ſcopi ex conſuetudine et cujusque membri natura petuntur. Species vero ex curſu, via, ſtandi et jacendi ratione, ex actione et remiſſione. Nam et uſus roborat, otium vero colliquat. An compreſſione, an linteorum copia adſtrictio fieri debeat animadvertendum.

At vero ubi ſugillata, contuſa, vulſa, aut tumores ſine inflammatione ex vulnere fiunt, ſurſum quidem plurimum, paulum autem deorſum deligare oportet, dum brachium aut

Ed. Chart. XII. [98. 100.] Foes. I. 748. Ed. Lind. I. (624. 625.)
ἐς τὸ κάτω. μὴ κατάντη τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος, τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα καὶ μάλιστα ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον ἐπιδέσει, πιέξει. ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον ἢ ἰσχύει. μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ, πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων καὶ καταχύσει χρῆσθαι πλέονι.

[100] Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα ἢ διαστήματα ἢ ἀποσπάσματα ἢ ἀποκλάσματα ἢ διαστρέμματα. οἷα τὰ κυλλὰ, τὰ ἑτερόῤῥοπα, ἔνθεν μὲν ἐξέστη συνδιδόντα, ὅπη δὲ συντείνοντα, ὡς ἐς τἀναντία ῥέπῃ ἐπιδεθέντα ἢ πρὶν ἐπιδεθῆναι σμικρῷ μᾶλλον ἢ ὥστε ἐξ ἴσου εἶναι, καὶ τοῖσιν ἐπιδέσμοισι καὶ τοῖσι σπλήνεσι καὶ (625) τοῖσιν ἀναλήμμασι καὶ τοῖσι σχήμασι, κατατάσει, ἀνατρίψει, διορθώσει, ταῦτα καὶ καταχύσει πλείονι

crus non propendeat, initio facto ex vulnere et maxime firmato, circa extrema minimum, circa vero media modice et in deligando aut comprimendo vinculi extrema parte ad superiores corporis partes reducta. Quin et ista numero potius quam vi fieri debent. Ad haec autem maxime valent lintea tenuia, levia, mollia, pura, lata, sana, ut absque ferulis contineantur. Copiosiore item aquae perfusione est utendum.

At ubi articuli suis sedibus elabuntur, aut iis illaesis quae circa ipsos sunt nervosae partes intorquentur, aut ossa quae naturaliter se mutuo contingunt, aliquo intervallo distant aut cum divulsis iis quae ossa colligant, ipsa quae mutuo se contingebant plurimum secedunt, aut ubi ossa prope articulum per totam ossis crassitudinem abrumpuntur, aut distorquentur, velut quae vara dicuntur, in alteram partem inclinantia, ea vinculis deligare oportet, qua parte quidem excesserunt remittendo, ab ea autem in quam excesserunt intendendo, ita ut ubi deligata fuerint, in contrariam ac prius quam deligarentur partem inclinent, paulo magis quam ex aequo idque vinculis, spleniis apprehensionibus et figuris, tum etiam extensione, frictione, directione, ad haec etiam uberiore perfusione.

[102] Τὰ δὲ μινυθήματα, πολὺ προσλαμβάνοντα τοῦ ὑγιέος ἐπιδεῖν ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ συντακέντα πλέονα ἢ αὐτόματα ἐμινύθη, ἢ ἄλλῃ ἢ τῇ ἐξ ἐπιδέσει παραλλάξαντα ἐκκλίνει ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήσεται. βέλτιον δὲ καὶ τὸ ἄνωθεν οἷον κνήμης καὶ τῶν μηρῶν καὶ τὸ ἕτερον σκέλος τῷ ὑγιεῖ συνεπιδεῖν. ὡς ὁμοιότερον ᾖ καὶ ὁμοίως ἐλινύῃ καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται. ὀθονίων πλήθει μὴ πιέξει. ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον καὶ ἀνατρίψει χρώμενον σαρκούσῃ καὶ καταχύσει ἄνευ ναρθήκων.

[111] || Τὰ δὲ ἑρμάσματα καὶ ἀποστηρίγματα οἷον στήθει, πλευρῇσι, κεφαλῇ καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα. τὰ μὲν σφυγμῶν ἕνεκεν, ὡς μὴ ἐνσείηται. τὰ δὲ καὶ τῶν διαστάσεων τῶν κατὰ τὰς ἁρμονίας ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν ἐρεισμάτων χάριν. ἐπί τε βήχεων ἢ πταρμέων ἢ ἄλλης κινήσεως. οἷα τὰ κατὰ τὸν θώρακα καὶ κεφαλὴν ἀποστηρίγματα γίγνεται. τουτέων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι

Extenuata vero multum ſanae partis comprehendendo deligare oportet, ut ex affluxione contabefactae partes, amplius quam ſuapte natura extenuatae, diverſo vinculo permutatae ad incrementum tendant, carniumque reſtaurationem efficiant. Praeſtat autem ſuperiorem partem ut in tibia et femoribus, ſimulque alterum crus cum parte ſana deligare, ut ſimilius ſit et aeque conquieſcat pariterque alimento prohibeatur, idque ſuſcipiat. Idque linteorum numero, non appreſſu, laxando primum id quod maxime indiget et frictione quae carne impleat, utendo, atque perfuſione absque ferulis.

Quod ad fulcra ac ſtabilimenta attinet, ea pectori, coſtis, capiti, caeterisque id genus adhibentur, partim quidem pulſuum gratia, ut ne quid concutiatur, partim vero ad juncturarum diſtantias in capitis oſſibus firmandas. Ad tuſſim autem et ſternutamentum aut aliam motionem, qualia thoraci et capiti ſtabilimenta admoventur, in quibus omnibus eadem deligationis commoderatio ſervanda eſt. Nam

τῆς ἐπιδέσεως. ᾗ μὲν γὰρ τὰ σίνη μάλιστα πιέζει, ὑποτιθέναι οὖν εἰρίον μαλθακόν τι ἁρμόζον τῷ πάθει. ἐπιδεῖν δὲ μὴ μᾶλλον πιεζεῦντα ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, τάς τε διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τὰ ἔσχατα ἀλλήλων, μήτε ἀμφὶ τοῖσι πταρμοῖσι καὶ βη(626)ξὶν, ἀλλ' ὥστε ἀποστήριγμα εἶναι καὶ μήτε διαναγκάζηται μήτε ἐνσείηται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΓΜΩΝ.

[153] || (II. 708) Ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ κατηγμάτων ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι. αὐτὴ γὰρ ἡ δικαιοτάτη φύσις. ἢν δέ τι ἐγκλίνῃ ἢ τῇ ἢ τῇ, ἐπὶ τὸ πρηνὲς ῥέπειν. ἐλάσσων γὰρ ἡ ἁμαρτὰς ἢ ἐπὶ τὸ ὕπτιον.

Οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πουλύ. αὐτὸς γὰρ ὁ ἐπιδεόμενος τὴν χεῖρα ἀπορέγει, οὕτως ὑπὸ τῆς δικαίης φύσεως ἀναγκαζόμενος. οἱ δὲ ἰητροὶ σοφιζόμενοι δῆθεν ἐστὶν οἱ ἁμαρτάνουσιν.

qua noxia eſt, eo praecipue comprimere oportet. Subjicienda igitur lana mollis, affectui accommodata, deligatione vero ea utendum quae non amplius comprimat, quam ut ne pulſus cieantur, aut juncturarum diſtantiae ad extrema ſe mutuo contingant, neque circa ſternutamenta et tuſſes partes affectas agitari prohibeat, ſed ita ſtabilimento ſit ut neque cogantur neque concutiantur.

HIPPOCRATIS DE FRACTIS LIBER.

Eorum quae ſuis ſedibus exciderunt et fracta ſunt medicum quam rectiſſimas extenſiones facere convenit. Id enim maxime ſecundum naturam rectum eſt. Quod ſi quid in hanc vel illam partem inclinet, praeſtat in pronum tendere. Levius enim eam in partem peccatur quam in ſupinam.

Qui igitur nihil in conſilium adhibent, plerumque nihil peccant, quippe cum qui deligatur aequiſſima natura duce manum ita porrigat. Qui vero medici ſapientiam ſibi

Ed. Chart. VII. [153. 160.] Foes. I. 750. Ed. Lind. II. (708 709.)

σπουδὴ μὲν οὖν οὐ πολλὴ χεῖρα κατεαγυῖαν χειρίσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν. ἀναγκάζομαι δὲ πλείω γράφειν περὶ αὐτέου, ὅτι οἶδα ἰητροὺς σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει, ἀφ' ὧν ἀμαθέας αὐτέους ἐχρῆν δοκέειν εἶναι. ἀλλὰ γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται. τὸ γὰρ ξενοπρεπὲς οὔπω ξυνιέντες εἰ χρηστὸν, μᾶλλον ἐπαινέουσιν ἢ τὸ ξύνηθες, ὃ ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ ἀλλόκοτον ἢ τὸ εὔδη(709)λον. ῥητέον οὖν ὁκόσας ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν ἀποδιδάξαι, τὰς δὲ διδάξαι περὶ τῆς φύσεως τῆς χειρός. καὶ γὰρ ἄλλων ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστίν.

[160] Τὴν μὲν οὖν χεῖρα, περὶ οὗ ὁ λόγος, ἐδόκεέ τις καταδῆσαι καταπρηνέα ποιήσας. ὁ δ' ἠνάγκαζεν οὕτως ἔχειν, ὥσπερ οἱ τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσιν, καὶ οὕτως ἔχουσαν ἐπέδει, νομίζων ἑωυτῷ εἶναι τοῦτο αὐτέῃ τὸ κατὰ φύσιν, καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα ἅπαντα τὰ ἐν

falso arrogant, ii nimirum peccant. Nullius ergo est negotii manum fractam tractare, idque cuivis prope dixerim medico proclive est. Qua de re plura mihi dicenda sunt, quod medicos novi qui ex figuranda manu in deligatione sapientiae opinionem prae se ferebant, cum ex eo ignari potius existimandi essent. Verum enimvero multa hoc modo hac in arte aestimari solent. Quod enim peregrinum est, necdum constat an utile sit, consueto, quod jam norunt utile esse, anteponunt, quodque ab usu communi abhorret, ei quod est probe cognitum. Exponendum igitur in medicorum erroribus de manus natura, quosnam tum docere tum dedocere velim. Nam et aliorum corporis ossium doctrinam haec oratio continet.

Manum itaque, quod in praesenti quaestione versatur, quidam pronam deligare visus est. Eam vero statui coëgit sagittariorum habitu, cum humerum praetendunt, atque ita habentem deligavit, hunc esse ratus naturalem ejus habitum. Cujus rei testimonium afferebat, quod omnia cubiti ossa re-

Ed. Chart. XII. [160.] Foëſ. I. 750, 751. Ed. Lind. II. (709.)

τῷ πήχει, ὅτι ἰθυωρίην κατάλληλα εἶχε τήν τε ὁμοχροίην, || ὅτι αὐτὴ καθ' ἑωυτὴν τὴν ἰθυωρίην ἔχει οὕτω καὶ ἐκ τοῦ ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν. οὕτω δὲ ἔφη καὶ τὰς σάρκας καὶ τὰ νεῦρα πεφυκέναι, καὶ τὴν τοξικὴν ἐπήγετο μαρτύριον. ταῦτα λέγων καὶ ταῦτα ποιέων σοφὸς ἐδόκεεν εἶναι. τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθη, καὶ ὁκόσα ἰσχύϊ ἐργάζονται καὶ ὁκόσα τεχνήμασιν, οὐκ εἰδὼς ὅτι ἄλλο ἐν ἄλλῳ τὸ κατὰ φύσιν σχῆμά ἐστιν καὶ ἐν τῷ αὐτέῳ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ φύσιν ἐστὶν καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ. ἄλλο μὲν γὰρ σχῆμα ἐν ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο δὲ ἐν σφενδόνησιν, ἄλλο δὲ ἐν λιθοβολίησιν, ἄλλο ἐν πυγμῇ, ἄλλο ἐν τῷ ἐλινύειν. ὁκόσας δ' ἄν τις τέχνας εὕροι, ἐν ᾗσιν οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρέων κατὰ φύσιν ἐστὶν, καὶ ἐν ἑκάστῃ τῶν τεχνέων, ἀλλὰ πρὸς τὸ ἅρμενον ὃ ἂν ἔχῃ ἕκαστος καὶ πρὸς τὸ ἔργον ὃ ἂν ἐπιτελέσασθαι θέλῃ σχηματίζονται αἱ χεῖρες. τοξικὴν δὲ ἀσκέοντι, εἰκὸς τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης

ctitudinem inter ſe habebant, tum partium aequabilitatem, quod illa ipſa eandem directionem prae ſe ferret, idque tam exterioribus partibus quam interioribus. Ita quoque et carnes et nervos a natura comparatos eſſe dicebat, ſagittariamque artem in teſtimonium adducebat, ex iisque tum dictis tum factis ſapientiae perſuaſionem ſibi ſumpſerat, caeterarum artium immemor, quae aut viribus aut artificiis opus ſuum moliuntur, non advertens alium eſſe in alio habitum ſecundum naturam. Quin et in eodem opere, ſi res ita tulerit, aliam eſſe dextrae manus figuram ſecundum naturam, aliam ſiniſtrae. Alius eſt enim habitus ſecundum naturam jaculatoris, alius funditoris, alius in lapidatione, alius in pugillatu, alius in quiete. Quascunqne vero artes quis inveſtigaverit, in iis non eadem ſecundum naturam manuum figura eſt, ſed in unaquaque arte et ad conveniens inſtrumentum, quod habet quisque, et ad opus, quod perficere intendit, manuum figurae accommodantur. Qui autem ſagittandi artem exercet, ei hanc manus alte us figuram validiſſimam eſſe par eſt. Hoc

χειρός. [162] (710) τοῦ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι, ἐν τουτέῳ τῷ σχήματι ἐρεῖδον ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισιν τοῦ πήχεος καὶ τοῦ βραχίονος, ὡς ἓν εἴη τὸ πᾶν, καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου κέκλασται ἐν τουτέῳ τῷ σχήματι. εἰκὸς μὲν οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον εἶναι τὸ χωρίον καὶ μὴ ἡσσᾶσθαι, μηδὲ ξυνδιδόναι ἑλκομένης τῆς νευρῆς ὑπὸ τῆς δεξιῆς χειρὸς, καὶ οὕτως ἐπὶ πλεῖσιον μὲν τὴν νεύρην ἑλκύσει, ἀφήσει δὲ ἀπὸ στερεωτάτου καὶ ἀθροωτάτου. ἀπὸ τῶν τοιουτέων γὰρ ἀφεσίων τῶν τοξευμάτων ταχεῖαι καὶ αἱ ἰσχύες καὶ τὰ μήκεα γίνονται. ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν. τοῦτο μὲν γὰρ εἰ ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτω ἔμελλεν, πόνους ἂν ἄλλους πολλοὺς προσετίθει μείζονας τοῦ τρώματος, τοῦτο δ᾽ εἰ συγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα οὔτε τὰ νεῦρα οὔτε αἱ σάρκες ἔτι ἐν τῷ αὐτέῳ ἐγίνοντο, ἀλλὰ ἄλλη μετεκοσμεῖτο κρατέοντα τὴν ἐπίδεσιν, καὶ τί ὤφελος ἐστὶ τοξικοῦ σχήματος, καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος, εἰ εἴα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρασχέσθαι.

enim habitu brachii pars cardinem referens, in ulnae ſede innixa, ulnae et brachii oſſa perinde in directum diſtendit, quaſi totum unum ſit. Eoque ſtatu ſit recurvata articuli reflexio. Hoc igitur modo locum iſtum minime flecti plurimumque intendi oportet, neque nervo quem dextra tendit concedere, neque ab eo ſuperari. Ita ut plurimum quidem adducendo chorda trahatur, firmiſſimo autem et maxime repentino impetu emittatur. Sic enim emiſſae ſagittae celeriore impetu longiusque feruntur. Deligatio vero cum ſagittandi arte nihil habet commercii. Qui namque deligatam manum ita continere volet, longe alios majores quam vulnus dolores afferet. Quod ſi flectere jubeat, neque oſſa neque nervi neque carnes amplius eodem ſtatu conſiſtent, ſed ſuperata deligatione alio transmutabuntur. Quid ergo utilitatis ſagittariorum habitus afferat non video. Ideoque fortaſſe non peccaret qui ſapientiae opinionem ſibi vendicat, ſi permitteret ut vulneratus ipſe manum porrigeret.

Ed. Chart. XII. [164.] Foës. I. 751. 752. Ed. Lind. II. (710. 711.)

[164] Ἄλλος δ᾽ αὖθις τῶν ἰατρῶν ὑπτίην τὴν χεῖρα δοὺς, οὕτω κατατείνειν ἐκέλευεν καὶ οὕτως ἔχουσαν ἐπέδει, τοῦτο νομίζων τὸ κατὰ φύσιν εἶναι, τῷ τε χροῒ σημαινόμενος καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, ὅτι φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπὸν, ᾗ ὁ σμικρὸς δάκτυλος κατ᾽ ἰθυωρίην εἶναι τοῦ ὀστέου. || ἀφ᾽ ὁκοίου τε τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν. ταῦτα τὰ μαρτύρια ἐπήγετο, ὅτι κατὰ φύσιν οὕτως ἔχει, καὶ ἐδόκεεν εὖ λέγειν. ἀλλὰ τοῦτο μὲν (711) εἰ ἡ ὑπτία ἡ χεὶρ κατατείνοιτο ἰσχυρῶς προίοι ἄν. γνοίη δ᾽ ἄν τις τὴν ἑωυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. ἐπεὶ καὶ ἀνὴρ ἥσσων κρέσσονα διαλαβὼν οὕτως ἐν τῇσιν ἑωυτοῦ χερσὶν ὡς κλᾶται ὁ ἄγκων ὕπτιος, ἄγοι ἂν ὅπῃ ἐθέλοι. οὔτε γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅ τι χρήσαιτο τῷ ξίφει, οὕτω βίαιον τοῦτο τὸ σχῆμά ἐστίν. τοῦτο δὲ εἰ ἐπιδήσας τις ἐν τούτῳ τῷ σχήματι ἐῴη, μέζων μὲν πόνος, εἰ περιΐοι, μέγας δὲ καὶ εἰ κατακέοιτο. τοῦτο δὲ εἰ συγκάμψαι τὴν χεῖρα, ἀνάγκη συν-

Rurſus vero alius quidam medicus ſupinam manum exhibens, ſic componere jubebat eoque ſtatu devinciebat, eum naturalem eſſe ratus, tum ex cutis planicie conjecturam faciens, tum quod oſſa ſic ſe habere ſecundum naturam exiſtimaret, ex eo quod os ad manus juncturam prominens juxta parvum digitum e directo illius oſſis ſitum videatur, ex quo homines ulnam metiuntur. Atque his argumentis cum eſſe naturalem habitum contendebat, rationique conſentanea dicere videbatur. Verum hic habitus, ſi ſupina manus collocetur, vehementem dolorem afferet. Eum vero habitum dolori primum opportunum quivis comperiet, ſi quis ita manum ſuam componat. Si quidem imbecillior robuſtiorem ita collocatum ut cubiti flexura ſupina reflectatur, manu comprehenſum quocunque volet deduxerit. Neque enim ſi gladium hac manu teneat, eo uti poſſit, usque adeo violenta iſta figura eſt. Ad haec ſi deligatam manum quis eo habitu ſinat, majorem quidem dolorem ſi obambulet, magnum tamen etiam ſi decumbat ſentiet. Quod ſi quis ma-

Ed. Chart. XII. [164.] Foes. I. 752. Ed. Lind. II. (711. 712.)

ἄγειν τοὺς μύας καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. ἠγνόει δὲ καὶ τάδε τὰ ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης. τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστι· τὸ δ' ἐν τῇ συγκάμψει ἐὸν ἀπ' ὅτευ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, τοῦτο δὲ τοῦ βραχίονος ἡ κεφαλή ἐστιν. ὁ δὲ ᾤετο τωὐτὸ ὀστέον εἶναι τοῦτό τε κἀκεῖνο· πολλοὶ δὲ καὶ ἄλλοι. ἔστι δ' ἐκείνῳ τῷ ὀστέῳ τωὐτὸ ὁ ἀγκὼν καλεόμενος, ὃν ποτὶ στηριζόμεθα. οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται, τοῦτο δὲ τὰ νεῦρα ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ εἴσω μέρεος καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν χεῖρα διεστραμμένα γίνεται. τείνει τε γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρεῖται. αὗται τοσαῦται καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός. εἰ δ' ὡς ἐγὼ κελεύω χεῖρα κατεαγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς ἰθὺ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον τὸ ἐς τὸν ἀγκῶνα τεῖνον. (712) ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ πρὸς

num flectat, musculos contrahi et ossa aliam habere figuram prorsus necesse est. Quin et praeter caetera hujus habitus incommoda hoc quoque accessit, quod ignorant os ad manus juncturam juxta parvum digitum prominens, hoc quidem ad ulnam pertinere illud autem in cubiti flexu, quod ulnam metitur, brachii caput esse. Idem vero esse os hoc et illud hic existimavit, itemque multi alii. Sed qui cubiti gibbus, sive ἀγκὼν dicitur, cui nempe innitimur, idem est quod illud. Sic igitur manum supinam habenti hoc quidem os distorqueri videtur. Praeterea vero nervi ipsi qui a manus junctura et digitis interiore parte procedunt, supina manu distorquentur. Hi enim ad os brachii, unde ulnae modus definitur, tendunt. Tales quidem tamque multi errores existunt de manus natura, tantaque ignoratio. Quod si quis manum fractam velut jubeo statuat, is os quod est ad parvum digitum et ad cubiti gibbum tendit, recta convertet, nervique ex manus ju n tura ad brachii extrema in directum

Ed. Chart. XII. [164. 167.] Foës. I. 752. 753. Ed. Lind. II. (712.)

τοῦ βραχίονος τὰ ἄκρα τείνοντα. ἀναλαμβανομένη δὲ ἡ χεὶρ ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ᾧπερ καὶ ἐπιδεομένη ἄπονος μὲν ὁδοιπορέοντι, ἄπονος δὲ κατακειμένῳ καὶ ἀκάματος. καθίκνυσθαι δὲ χρὴ τὸν ἄνθρωπον οὕτως ὅκως ᾖ τὸ ἐξέχον τοῦ ὀστέου πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει, εἰ ἱκανῶς ἐξίθυνται. τοῦ γε μὴν ἐμπείρου οὐδ' ἂν τὴν χεῖρα λάθοι ἐπαγομένην τὸ ἐξέχον ψαυόμενον.

[167] Τῶν δὲ ὀστέων τοῦ πήχεος, ὧν μὴ ἀμφότερα κατέηγεν, ῥάων ἡ ἴησις ἢν τὸ ἄνω ὀστέον τετρωμένον εἴη, καίπερ παχύτερον ἐόν. ἅμα μὲν ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γίνεται ἀντὶ θεμελίου, ἅμα δ' ὅτι εὐκρυπτότερον γίνεται, πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ. παχείη γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον καὶ οὐκ εὐξυγκρυπτὸν καὶ κατατάσιος || ἰσχυροτέρης δεῖται. ἢν δὲ τοῦτο μὴ ξυντριβῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις ἀρκέει. ἢν δὲ ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος

procedent. Manus vero dum ſuſpenſa retinetur, eodem habitu quo deligata, collocabitur, ita ut ne deambulanti quidem dolorem ullum, aut decumbenti laborem ac defatigationem adferat. Hominem autem ita ſtatui oportet, uti oſſis pars quae prominet clariſſimo lumini, quantum conceditur, obverſa ſit, ut nec eum qui compoſitionem aggreditur lateat num abunde ſit in directum conſtituta. Neque enim peritum artificem manum admoventem os prominens contactu latere poſſit.

Quando autem cubiti os utrumque fractum non eſt, os ſuperius vulneratum faciliorem curationem admittit, etſi craſſius exiſtit, partim quidem quod ei ſanum fundamenti loco ſubtenditur, partim vero quia facilius lateat, niſi id circa manus juncturam contigerit. Craſſior enim caro ſuperiore parte adnata eſt, os vero inferius neque carnem habet, neque facile latet, extenſioneque vehementiore indiget. Sin vero non hoc, ſed alterum comminutum fuerit, levis intenſio ſatis eſt. At ubi utrumque fractum eſt, valentiore in-

Ed. Chart. XII. [167.] Foeſ. I. 753. Ed. Lind. II. (712. 713.)

δεῖται. παιδίου μὲν γὰρ ἤδη εἶδον καταθέντα μᾶλλον ἢ ὡς ἔδει. οἱ δὲ πλεῖστοι ἧσσον τείνονται ἢ ὡς δεῖ. χρὴ δ᾽, ἐπὴν τείνωσιν, τὰ θέναρα προσβάλλοντα διορθοῦν. ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πολλῇ, ὡς μὴ περιπλέη τὰ ἐπιδέσματα, οὕτως ἐπιδεῖν ὅπως μὴ κατωτέρω ἄκρην τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ἀλλὰ σμικρῷ καὶ ἀνωτέρω, ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιῤῥέη, ἀλλὰ ἀπολαμβάνηται. ἔπειτα (713) ἐπιδεῖν τῷ ὀθονίῳ τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα. ἐρείδων μὲν οὖν, μὴ πιέζων δὲ κάρτα, ἐπὴν δὲ περιβάλλῃ κατὰ τὠυτὸ δὶς ἢ τρὶς ἐπὶ τὸ ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιῤῥοαὶ τοῦ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι. χρὴ δὲ μὴ μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια. τῶν δὲ δευτέρων ὀθονίων τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάτηγμα. περιβαλὼν δὲ ἅπαξ ἐς τὸ αὐτὸ, ἔπειτα νεμέσθω ἐς τὸ κάτω καὶ ἐπὶ ἧσσον πιέζων καὶ ἐπὶ μεῖζον διαβιβάσκων, ὡς ἂν αὐτέῳ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀνάπαλιν δραμῆσαι κεῖθι, ἵνα περ τὸ ἕτερον ἐτελεύτησεν. ἐνθαῦτα μὲν οὖν τὰ ὀθόνια ἐπ᾽ ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεδέσθω, ἢ ἐπὶ ὁκότερα

tenſione opus eſt. Puerum quidem plus aequo diſtentum vidi: plerique tamen minus quam res poſtulat diſtenduntur. Intenta vero manuum volis admotis dirigenda ſunt. Deinde adhibito cerato non ita quidem multo, ne deligamenta defluant, ita deligare, ut ne ſummâ manus cubiti flexu inferior, verum paulo etiam ſuperior collocetur, quo ſanguis intercludatur, neque ad extremitatem defluat. Tum demum linteo deligare, initio ad fracturam injecto ſic ut firmet quidem, non tamen vehementer comprimat. Ubi circa eundem locum iterum atque tertio faſciam involveris, ſurſum feratur, quo ſanguinis affluxus retineatur, ibique deſinat, eamque minime longam eſſe oportet. Altera vero faſcia, initio quidem ſupra fracturam injecto, ac ſemel eodem voluta, tum demum deorſum feratur, minusque comprimendo longiora ſpatia transcurrat, quo poſſit ad eum locum, in quo prior finiit, recurrere. Atque hic quidem lintea ad dextram aut ſiniſtram deducantur, aut in utram-

Ed. Chart. XII. [167. 174.] Foes. I. 753. 754. Ed. Lind. II. (713. 714.)
ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατεηγότος καὶ ἐφ᾽ ὁκότερα ἂν περιῤῥέπειν ξυμφέρῃ. μετὰ δὲ ταῦτα σπλῆνας κατατείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ· καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον. ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν ὡς ἐναλλὰξ, ὁτὲ μὲν ἐπὶ δεξιὰ, ὁτὲ δὲ ἐπ᾽ ἀριστερὰ, καὶ τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος, ἐς τὸ ἄνω ἄγειν. ἔστι δ᾽ ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω. τὰ δὲ ὑπόξηρα ἀκέεσθαι τοῖσιν σπλήνεσι κυκλεῦντας. τῷ δὲ πλήθει τῶν περιβολέων μὴ πᾶν ἀθρόον ξυνδιορθοῦντα, ἀλλὰ κατὰ μέρος. προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ τὸν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε.

[174] || Πλῆθος δὲ τῶν ὀθονίων ἱκανὸν τὸ πρῶτον αἱ δύο μοῖραι. σημεῖα δὲ τοῦ καλῶς ἰητρευμένου ταῦτα καὶ ὅρος ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεκται, καὶ ἢν φαίη μὲν πεπιέχθαι, ἡσύχως δὲ καὶ μάλιστα (714) εἰ κατὰ τὸ κάτηγμα φαίη τοιαῦτα τοίνυν φάναι χρὴ πεπρηγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον. σημεῖα δὲ ταῦτα τῆς μετριότητος, τὴν μὲν ἡμέρην ἣν ἂν ἐπιδεθῇ καὶ τὴν νύκτα δοκείτω

libet partem ad fracturae habitum accommodatae huc vel illuc inclinare convenit. Post haec splenia modico cerato illita superinjicienda, sic enim lenius et firmius haerebunt. Quae ita deinde fasciis alligare oportet, ut permutato ordine inter se modo quidem in dextra, modo etiam in sinistra ferantur, ac plurimum sane ab inferiore parte sursum, interdum quoque a superiore deorsum ducantur. Extremae vero partes in angustum extenuatae, spleniis in orbem ductis curandae pluribus fasciarum obvolutionibus, non confertim, sed sensim totum corrigentes. At circa manus juncturam eas laxe variis in locis circumdare oportet.

Quod ad linteorum copiam attinet, primo duae portiones satis esse possunt: inde autem recte esse curatum conjicies, isque est deligati terminus, si interrogatus num prematur, ipse premi quidem se dixerit, sed leviter, idque praecipue circa fracturam. Atque haec ita se habere perpetuo fateatur necesse est qui deligatur. Modus vero his signis deprehenditur, si eadem die ac nocte qua deligatus

αὐτὸς ἑαυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι, ἀλλ' ἐπὶ μᾶλλον. τῇ δ' ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν. μετριότητος γὰρ σημεῖον τῆς πιέξιός σου. τελευτώσης δὲ τῆς ἡμέρης, || ἐπὶ ἧσσον δοκείτω πεπιέχθαι, τῇ δὲ τρίτῃ χαλαρά σοι δοκείτω εἶναι τὰ ἐπιδέσματα. κὴν μέν τι τούτων τῶν εἰρημένων ἐλλίπῃ, γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἐστὶν ἐπίδεσις τοῦ μετρίου. ἢν δέ τι τῶν εἰρημένων πλεονάζῃ, χρὴ γινώσκειν ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου, καὶ τουτέοισι σημαινόμενος τὸ ὕστερον ἐπιδέων, ἢ χαλᾷν μᾶλλον ἢ πιέζειν. ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον καὶ διορθωσάμενον, κὴν μετρίως τὸ πρῶτον κατατίχῃς ἐπιδήσας, ταυτὴν τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ μᾶλλον ἢ ἐκείνην πιέσαι. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον. ἢν μὲν τοῦτο πρότερον ἐπιδέῃς, ἐξαρείαται ἐκ τούτου οἱ ἰχῶρες ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα. ἢν δέ τι ἄλλο πρότερον πιέξῃς, ἐς τοῦτο ἐξαρείαται ἐκ τοῦ πιεχθέντος. ἐς πολλὰ δ' εὔχρηστον τὸ ξυνιέναι. οὕτως οὖν ἄρχεσθαι μὲν ἀεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πιέξιν ἐκ τουτέου τοῦ χωρίου, τὰ

est, ipſe ſibi magis non minus compreſſus eſſe videatur. Poſtero etiam die ad ſummam manum exortus tumor parvus ac mollis moderatae compreſſionis tibi erit indicio. At deſinente die ſe minus compreſſum ſentiat, tertioque die vincula laxa videantur. Noſſe autem oportet ex his quae dicta ſunt, ſi quod deſideretur laxius, ſi quid ſuperet, arctius quam conveniat vinculum fuiſſe compreſſum. Atque hac conjectura adhibita, deinceps vel laxiores vel arctiores faſcias admovere licebit. Tertio vero poſt extenſionem et directionem die ſolvere membrum convenit, ac ſi primis diebus tibi moderata deligatio contigerit, iſtam paulo arctius conſtringens, initio etiam ſupra fracturam ut prius injecto. Sic enim ubi primum fracturam devinxeris, ſanies ad extremam utramque membri partem exprimitur. Sin alia parte prius conſtrinxeris, inde ad fracturam expreſſio ſiet. Quod intellexiſſe quidem ad multa conducit. Inde igitur deligationem et compreſſionem initium ducere ſemper opus

Ed. Chart. XII. [174. 178.] Foës. I. 755. Ed. Lind. II. (714. 715.)

δ' ἄλλα κατὰ λόγον, ὡς ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς, ἐπὶ ἧσσον τὴν πίεξιν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασιν μηδέποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα. ἔπειτα δὲ πλείοσιν ὀθονίοισιν χρὴ ἐπιδεῖν ἑκάστην (715) τῶν ἐπιδεσίων. ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλόν οἱ πεπιέχθαι ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα. καὶ τὰ ἄλλα δὲ κατα λόγον καὶ ἀμφὶ τῷ οἰδήματι καὶ ἀμφὶ τῷ πονέειν καὶ ἀμφὶ τῷ ῥηΐζειν κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. ἐπὴν δὲ τριταῖος ᾖ, χαλαρώτερά οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα. ἔπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν οἷσιπερ ἤμελλεν ἐπιδεῖσθαι, καὶ ἔπειτα αὐτὸν πάντα ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων. [178] ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα. τὸ δ' ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ τὸ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ καὶ πάνυ λε-

est. In reliquis vero ea ratio servanda est, ut quo longius a fractura recesseris, eo minorem compressionem facias, laxa tamen nunquam ex toto vincula circumducantur, sed adhaerescant. Deinde pluribus linteis unaquaeque deligatio vincienda. Ac interrogatus fateatur se paulo magis quam antea compressum esse, maximeque ad fracturam. In reliquis eadem observanda ratio, tum quod ad tumorem tum dolorem tum allevationem attinet, quae in prima deligatione. Ubi tertius advenerit dies et vincula laxiora senserit, dein solvere convenit rursusque paulo arctius vincire, idque omnibus injectis fasciis, quibus deligandus erit. Postea eadem omnia, quae in primis deligationum circuitibus, circa aegrotum contingant. Ubi autem ad diem tertium ventum est, qui septimus est a prima deligatione, si recta deligatio fuerit, tumor in summa manu isque non admodum magnus aderit, ac deligatus locus cum vinculum injicietur, tenuior ac gracilior conspicietur. Septimo vero die etiam admodum

πιὸν καὶ τὰ ὀστέα τὰ κατηγότα ἐπὶ μᾶλλον κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ἡ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέσαντα ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ, ἐπὴν δὲ ἐπιδήσῃς τοῖσιν ὀθονίοισιν, τοὺς νάρθηκας περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν, ὡς χαλαρωτάτοισιν ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. μετὰ δὲ ταῦτα ὅ τε πόνος αἵ τε ῥαστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισιν τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φᾷ χαλαρὸν εἶναι, τότ᾽ ἔπειτα χρὴ τοὺς (716) νάρθηκας ἐρείσασθαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἄλλα κατὰ λόγον, εἴπερ καὶ ἡ ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεζε. παχύτατον δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα, μὴ μὲν πολλῷ. ἐπιτηδεύειν δὲ χρὴ μάλιστα μὲν κατ᾽ ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κείσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ. ἢν δὲ

tenuis, et offa fracta facilius tractantur, et ad directionem adducuntur. Hisque hoc modo fe habentibus directione facta, deligationem ad ferulas excipiendas accommodare oportet, paulo amplius quam antea comprimendo, nifi quis major dolor a tumore, qui in fumma manu eft, excitatus fuerit. Ubi vero fafcias deligaris, ferulae funt apponendae et quam maxime laxis vinculis comprehendendae, ita ut quiefcant, neque quicquam ferularum appofitio ad manus compreffionem addat. Poft haec in dolore et tolerandi facilitate eadem quae in primis vinculorum circuitibus fpectentur. Abhinc tertio die, fi vinculum laxum fenferit, tum demum ferulae circa fracturam praecipue firmandae funt, reliquaque etiam pro ratione, fi quidem vinculum laxum potius fuerit quam adftrictum. Craffiorem autem neque tamen multo ferulam effe oportet, qua fractura eminet. Maximaque adhibenda eft diligentia, ne vel e regione pollicis ferula ftatuatur, verum in hanc vel in illam partem, neque e regione parvi digiti, qua offis eft eminentia in manus junctura, fed hac vel illac. Sin forte conducit his locis

Ed. Chart. XII. [178. 180.] Foes. I. 755. 756. Ed. Lind. II. (716.)
ἄρα πρὸς τὸ κάτηγμα ξυμφέρει κεῖσθαι κατὰ ταῦτά τινας τῶν ναρθήκων, βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν. κίνδυνος γὰρ ἑλκώσιος καὶ νεύρων ψιλώσιος. χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξιν πάνυ ἡσυχῇ οὕτω τῇ γνώμῃ ἔχοντας, ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέωνται, ἀλλ' οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέωνται.

|| Ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν καὶ μήτε κνησμοί τινες λυπέωσι μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾷν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσιν νάρθηξιν ἔστ' ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γίνηται. ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν. [180] ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τε καὶ φύσις φύσιος καὶ ἡλικίη ἡλικίης διαφέρει. ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα ἢ τὸ πρόσθεν. ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν ἢ τὸ πρότερον, καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ

ferulas quasdam ad fracturam adhiberi, eas aliis breviores esse oportet, ut ne ad ossa juxta manus juncturam eminentia pertingant. Sic enim exulcerationis aut denudationis nervorum periculum imminet. Tertio autem quoque die ferulas admodum leviter obfirmare oportet, in consilium adhibentes, ut nec ultra adstringant, quam ut vinculum contineant.

Quod si sub prioribus vinculis ossa abunde esse directa probe cognoveris, et neque pruriginis, neque exulcerationis metus ullus subest, sic alligatas ferulas ultra vigesimum diem sinere oportet. Nam plerumque triginta ad summnm diebus cubiti ossa in totum coalescunt: nihil tamen est perpetuum. Nam et natura a natura et aetas ab aetate plurimum distat. At ubi resolveris, aquam calidam affundere, pauloque minus quam antea comprimendo, et paucioribus quam prius fasciis religare convenit, ac demum tertio quoque die resolvere, et minus quidem comprimendo, paucio-

Ed. Chart. XII. [1 0.] Foës. I. 756. Ed. Lind. II. (716. 717.)

δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. ἐπὴν δὲ, ὅταν τοῖσιν νάρ-(717)θηξιν δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου ἢ ὀλίγῳ πρόσθεν καὶ αὖθις μετεπιδῆσαι. δίαιτα δὲ τουτέοισιν οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται ἢ ὀστέα ἔξω ἐξίσχει ἀρκέει ὑποφαύλη. ἐνδεέστερον δὲ χρὴ διαιτᾷν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας, καὶ ὄψοισιν ἁπαλοῖσιν χρῆσθαι ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσι, οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ κατηγμάτων ἰήσιος. ὥστε χειρίζειν χρὴ ὥστε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅ τι δ᾽ ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται ἢ πεπλεόνασται. ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται αἱ ἰητροὶ, καίτοι πᾶσαν μελέτην καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν, ἐστὶ μὴ ὀρθῶς ποιεύμενα. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα

ribus quam antea fasciis deligare. Quod, si alligatis ferulis, ossa non recte posita, aut aliud quid vulnerato molestum esse suspicio sit, dimidio temporis spatio aut paulo ante solvere, itemque religare oportet. At quibus circa initia cute integra ossa foris non eminent, iis abunde est victus ratio mediocris. Pauciore tamen victu ad decimum usque diem utendum, praesertim cum ex toto quiescant; ac obsonia liquida adhibenda, quae ventrem modice deducant: vino vero et carnibus abstinendum: post haec paulatim reficiendi. Atque ista oratio velut aequa quaedam lex de fracturarum curatione instituta est. Quae ita tractanda sunt, ut ex his justa curatio procedat. Sin vero secus contingat, scire licet in ipsa curatione aliquid vel deficere vel redundare. Ad haec in hoc simplici modo ad ea animum intendere oportet, quae non admodum advertunt medici, quamvis, nisi recte procedant, curam omnem totamque vinciendi rationem corrumpere valeant. Nam si os utrumque, aut inferius tantum fractum sit, vinctique manus mitella

Ed. Chart. XII. [180. 186.] Foës. I. 756. 757. Ed. Lind. II. (717. 718.)
ἔχῃ ἀναλελαμμένος, τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἄκρην τε τὴν χεῖρα ἐν || τῇ ταινίῃ ἔχει καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ (718) κάτω μέρος διεστραμμένον ἔχων. χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.

[186] Ἢν δὲ ὁ βραχίων καταγῇ, ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τουτέῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος ἐπιδεθήσεται. ἐπὴν δ' ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον ὁκοῖοι οἱ στειλαιοί εἰσι τῶν σκαφίων, κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στειλαιὸς ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθικνεῖσθαι τὸν ἄνθρωπον,

quadam excipiatur, quae magna ſui parte fracturam contineat, hinc vero et inde manus dependeat, huic in ſuperiorem partem os perverti neceſſe eſt. Sin vero oſſibus ſic fractis, ſummam manus partem et eam, quae eſt ad cubiti flexum, mitella excipiat, quod autem in cubito eſt reliquum dependeat, in inferiorem partem os depravatum erit. Oportet igitur mitella lata et molli maximam cubiti partem et manus juncturam aequaliter ſublatam eſſe.

At vero brachio fracto, ſi quidem manu porrecta diſtentio adhibeatur, brachii muſculus intentus deligabitur, atque ubi vinctus cubitum inflexerit, brachii muſculus figuram immutabit. Brachii igitur aequiſſima diſtentio haec eſt lignum cubitale, aut paulo brevius, cujusmodi ſunt ligonum manubria, ab utraque parte ſune deligatum ſuſpenſum eſſe oportet. Homo autem alto quodam ſedili collocatus manu ſuperincumbat, ſicut manubrium ſub ala ita ſtatuatur vix ut ille conſidere poſſit, ſed prope ſuſpenſus

σμικροῦ δέοντα μετέωρον εἶναι. ἔπειτα θέντα τι ἄλλο ἔφεδρον καὶ ποθέντα σκύτινον ὑποκεφάλαιον ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχοίη ὕψιος τοῦ πήχεως πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκύτος πλατὺ καὶ μαλθακὸν ἢ ταινίην πλατείην ἀμφιβάλλοντα, τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ τι μετρίως ἕξει κατατείνειν. εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅστις ἐῤῥωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθῶς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσιν θέναρσι τὸ ὀστέον. ῥηϊδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις, ἥν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα (719) καὶ τἄλλα πάντα ὥσπερ πρότερον παρῃνέθη χειριζέτω, καὶ ἐρωτήματα ταῦτα ἐρωτάτω, καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν, ἢν μετρίως ἔχῃ ἢ οὔ, καὶ διὰ τρίτης ἐπιδείτω, καὶ ἐπὶ μᾶλλον πιεζέτω, καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξιν δησάτω, καὶ ἢν ὑποπτεύσῃ μὴ κα-

maneat. Tum fuppofito firmo aliquo, et fuperdato pulvino uno fcorteo aut pluribus, ea altitudine quae oblique collocato cubito ad rectum angulum refpondeat: praeftiterit quidem ex corio lato et molli, aut fafcia lata fuperinjecta grave aliquod pondus, quod modice intendat, fuspendere. Alioqui vir robuftus fic collocatum cubitum ad cubiti flexuram vi quadam deorfum deducat. Medicus vero erectus, altero pede altiore loco collocato, ad curationem aggrediatur et manuum palmis os componat. Quod certe facile fiet, haec enim intendendi ratio laudabilis eft, fi quis ea probe utatur. Poftea injectis circa fracturam fafciarum initiis, ad deligationem accedat, caeteraque omnia quemadmodum antea monuimus, ad curationem accommodet, easdemque interrogationes atque eadem indicia adhibeat, ut intelligat num moderate fe habeant necne et tertio quoque die deligationem admoveat, magisque comprimat. Septimo aut nono die ferulae circumdandae. Ac fi metus fit os non recte repofitum effe, medio fpatio

Ed. Chart. XII. [186. 191.] Foës. I. 757. 758. Ed. Lind. II. (719.)

λῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω καὶ εὐθετησάμενος μετεπιδησάτω.

[191] || Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλῃ, λύειν χρὴ καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισιν καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον δίαιταν καὶ πλείω χρόνον. τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρῶν. προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος καὶ διαστρέφεσθαι φιλέει, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἆλλα πάντα ὀστέα εἰς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλέει διαστρέφεσθαι, ἐπὴν κατεαγῇ, χρὴ τοίνυν, ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τοῦ πλευρέων σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι ἢ ἄλλο τι ὃ τουτέῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρὴ ὅπως μὴ ᾖ ἄγαν

ſolvere poſteaque, ubi recte collocatum fuerit, religare oportet.

Firmatur autem brachii os diebus fere quadraginta. Quos ubi exceſſerit, reſolvendum, minusque adſtrictis faſciis ac paucioribus vinciendum. Victus quoque ratio exquiſitior quodammodo ac diuturnior quam antea adhibenda, conjectura ex tumore qui in ſumma manu eſt ejusque viribus, ſumpta. Illud praeterea animadvertendum, brachium ſuapte natura in exteriorem partem inclinari, eoque ſi male curetur diſtorqueri ſolere. Quin et reliqua omnia oſſa, qua parte naturaliter diſtorta ſunt, eo, ubi fracta curantur facile perverti conſuerunt. Si qua igitur talis eſt ſuſpicio, faſcia lata brachio circumjicienda et ad pectus circumducenda. Cumque quieſcere volet, inter cubiti gibbum et coſtas ſplenium quoddam multiplex involutum, aut aliud quidpiam ejusmodi ſubjiciendum. Hac enim ratione incurvati oſſis directio fiet. Ea tamen cautione adhibita, ut ne nimis ad interiorem partem ducatur.

ἐς τὸ ἔσω μέρος. [192] πούς δὲ ἀνθρώπου ἐκ πολ(720)λῶν καὶ μικρῶν ὀστέων σύγκειται, ὥσπερ χεὶρ ἄκρη. κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης ἢ τῶν δακτύλων ἄρθρον ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται, καὶ ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων, τὸν μὲν αὐτὸν τρόπον πιεζεῦντα, διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷά περ καὶ ἐν τοῖσι κατήγμασι καὶ περὶ τοῦ πεπιέχθαι καὶ περὶ τοῦ χαλαρὰν εἶναι. ὑγιῆ δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσιν τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι καὶ αὐτέῃ τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι

Pes autem hominis ex multis et parvis ossibus non secus ac summa manus constat. Quae neque fere frangi consuerunt, nisi ab acuto aliquo et gravi, una quoque carnosae partis vulnus accedat. Sed de vulneratorum curatione, ubi de ulceribus agetur, dicemus. Quod si quid suo loco moveatur, aut digitorum articulus aut aliud quodpiam os ex his quae primam plantam constituunt, quam ταρσὸν vocant, in suam quodque sedem compellendum, non secus ac in manu. Curatioque adhibenda per ceratum, splenia et fascias non secus ac in fracturis, ferulis praetermissis, eodem modo comprimendo, ac tertio quoque die deligando. Interrogandus quoque is qui vincitur, perinde etiam ac in fracturis, adstrictane sit, an laxa deligatio. Sanescunt autem perfecte omnia viginti diebus, nisi si quae cum tibiae ossibus communionem habent, eique e directo respondent. Quo tempore decumbere confert, id tamen non sustinent qui morbum parvi facientes obambulant prius quam sani sint. Ideoque plerique non integre con-

οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως· ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέουσιν, φλαύρως ξυναλθάσσεται τὰ ἄρθρα τὰ κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. τὰ δὲ κοινωνέοντα τοῖς τῆς κνήμης ὀστέοισιν μείζω τε τῶν ἑτέρων ἐστὶν καὶ κινηθέντων τούτων πουλυχρονιωτέρα ἡ ἄλθαξις. ἴησις μὲν οὖν ἡ αὐτή. ὀθονίοισι δὲ πλείοσι χρέεσθαι καὶ σπλήνεσιν, καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐστιδέειν. πιέζειν δὲ (721) ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι. || ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρέεσθαι, ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ᾽ ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες ἐν τοῖσιν αὐτέοισιν χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων, ἅπερ ἐπὶ τοῖσιν πρόσθεν, καὶ τὰς μετεπιδέσιας ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα

valescunt, sed subinde non injuria eos doloris sensus commonefacit. Nam cum totum corporis onus pedes sustineant, ubi nondum sani deambulant, articuli agitati non recte curantur, eaque de causa subinde ad tibiam dolores sentiunt. Quae vero cum tibiae ossibus communionem habent, tum reliquis majora sunt, tum agitata longius tempus ad curationem postulant. Curandi tamen eadem est ratio. Plures autem fascias et splenia adhibere oportet, omninoque utraque parte deligare et adstringere, ut reliqua omnia ea potissimum parte qua os emotum est, eoque primum fascias circumducere. At quoties fasciae solvuntur, calida multa utendum. Ea namque in omnibus articulorum laesionibus liberaliter affundenda. Compressiones vero et laxamenta iisdem temporibus fieri, eadem quae supra signa ostendunt. Quod et ubi religare expedit, itidem factitandum. Hi autem, si decumbere non graventur, quadraginta fere diebus in totum convalescunt.

ἡμέρῃσι μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι. ἢν δὲ μὴ, πάσχουσι ταῦτα ἃ καὶ πρότερον καὶ ἐπὶ μᾶλλον.

[197] Ὅσοι δὲ πηδήσαντες ἀφ᾽ ὑψηλοῦ τινὸς ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ ὀστέα, φλέβια δ᾽ ἐκχυμοῦνται ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος πουλύς. τὸ γὰρ ὀστέον τοῦτο οὐ σμικρόν ἐστιν, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης, κοινωνέει δὲ φλεψὶ καὶ νεύροις ἐπικαίροισιν. ὁ τένων δὲ ὁ ὀπίσθιος τούτῳ προσήρτηται τῷ ὀστέῳ; τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ πλείστῳ τουτέοισι χρῆσθαι καὶ ὀθονίοισι πλείοισι. ἐπὶ τουτέοισι δεῖ καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων, καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχον τὸ ἀμφὶ τῇ πτέρνῃ, ἐᾷν οὕτως. ἢν δὲ παχὺ καὶ σκληρὸν, οἷα μετεξέτεροι ἴσχουσιν, κατατέμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώσκοντα. ἐπιδεῖν δὲ ἀγαθῶς οὐ παντὸς ἀνδρὸς ἐστὶ τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ τὰ ἄλλα τὰ κατὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα περι(722)βαλλόμενος, ὁτὲ δὲ περὶ τὸν τένοντα, αἱ

Sin minus, cum his quae prius expofita funt, tum etiam gravioribus malis afficiuntur.

Qui ab alto defilientes calci vehementi cum impetu innituntur, iis offa quidem diducuntur, venulae, carne circa os collifa fanguinem effundunt, tumorque ac dolor multus fupervenit. Neque enim hoc os exiguum eft, fubterque e directo tibiae prominet, et communionem cum venis et nervis magnis habet. Huic quoque offi pofteriore parte tendo annectitur. Curandi autem funt cerato, fpleniis et fafciis calidaque liberaliter affundenda et pluribus fafciis utendum, tum praecipue etiam quam optima et leniffima adhibenda. Quod fi cutis quae calcem ambit natura mollis extiterit, fic finere oportet. Sin craffa et dura, qualis in caeteris cernitur, ea aequaliter incidenda et attenuanda eft, neque tamen vulneranda. Ifta autem recte deligare non eft cujusvis. Si quis enim eo modo devinciat, quo caetera circa malleolos vinciuntur, partim quidem ad pedem, partim vero ad tendinem

ἀποσφύγξιες αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ θλάσμα ἐγένετο· [200] καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης. καίτοι ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν ἀντισχεῖν τὸ νόσημα. καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ᾽ ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος ἢ ἐν κνήμῃ τρώματος γινομένου, ἐπικαίρου καὶ χρονίου καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γενομένου. ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια καὶ ὀχλάδεα καὶ πολλάκις ἀναῤῥηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ δ᾽ ἡσυχίῃ. ὥς τά γε ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς τῇ ἄλλῃ λύμῃ. καὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι καὶ ὀλιγήμεροι κτείνοντές τε. γένοιντο δ᾽ ἂν καὶ φλεβῶν αἱμοῤῥόων πελιώσιες, ναυσιώσιες καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος. γένοιτο δ᾽ ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρό-

faſcia circumjecta, hujusmodi faſciarum conſtrictiones calcem qua colliſio extitit ſejungunt, unde ei ſiderationis periculum impendet. Quod ſi accidat, toto aevo perdurat. Nam quae aliae ſunt ſiderationes, velut ubi ex decubitu negligenter collocato calce is nigreſcit, aut, ſive ex inſigni et diuturno tibiae aut femoris vulnere, quod calci communicatum fuerit, ſive ex alio morbo, diu ſupini aegri decubuerint: eae tamen iis diuturnae et moleſtae ſunt et quae ſaepe recrudeſcunt, niſi optima diligentia et longa quiete curentur. Quare quaecunque hujusmodi ſiderationes contingunt, eae praeter aliam noxam, corpus quoque in ſummum diſcrimen adducunt. Febres enim admodum acutae ſuperveniunt, aſſiduae, cum tremore et ſingultu, mentem tentantes et quae paucis diebus aegrum e medio tollant. Exiſtunt quoque venarum ſanguinem fundere ſolitarum livores, eaeque veluti nauſeabundae ſanguinem reſundunt, et cancro propter compreſſionem occupantur. Poſſunt etiam iſta incidere absque alia ſideratione. Atque haec quidem ad ve-

τατα θλάσματα γίνεται. ταῦτα μέντοι πλεῖστα ἡσυχαίως ἀμφιθλᾶται καὶ οὐδεμίη πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε χρὴ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιέειν χρὴ καὶ τὴν ἐπίδεσιν τὴν πλείστην || ποιεέσθαι ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα, ἄλλοτε (723) πρὸς τὰ μέσα, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται, καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν, πολλοῖσι δὲ τοῖς ὀθονίοισιν. ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ, ἀπολῦσαι δὲ τριταῖον καὶ αὖθις μετεπιδῆσαι. [203] σημεῖα δὲ τάδε, ἢν παλιγκοτέῃ, ἢ οὔ· ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν καὶ τὰ μελάσματα καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίνεται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. ἀλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ ὥσπερ εἴρηται, καὶ ὅσα μὴ ξυνεχῇ πυρεταίνηται, ἢν δὲ ξυνεχῇ πυρεταίνηται, μὴ

hementissimas collisiones referenda sunt. Plurima tamen leviter colliduntur, ac neque magnum studium aut diligentiam requirunt, nihilominus recte tractari debent. Ubi autem vehemens illisio incumbere videbitur, tum fulcire, tum quae dicta sunt facere convenit. Tum vero maxima fasciae parte ad calcem circumjecta, partim summum pedem, partim medium, interdum etiam quae ad tibiam sunt, oppositis inter se ductibus obvolvere, tum vicinas partes omnes hinc et inde, velut ante dictum est, vinculis comprehendere, neque vehementem quidem compressionem, sed multas tamen linteorum convolutiones facere. Praestat autem eodem aut postero die, veratri potionem exhibere tertioque die solvere, ac rursus deligare. Recrudescat vero necne morbus his indiciis cognoscetur. Namque ubi sanguis e venis refusus, aut quae nigricant, quaeque his vicina sunt aliquantulum rubescunt aut obdurescunt, periculum est ne recrudescat. Quod si febre vacet aeger, sursum purgante medicamento utendum, velut dictum est, quod idem etiam convenit, ubi febris non est assidua. Eo namque si febris fue-

φαρμακεύειν. ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων. ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ. ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν, τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται καὶ μὴ σκληρά. ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσιν ἐκχυμώμασιν τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν. ὅσα δὲ σὺν σκληρίσμασιν πελιοῦται, κίνδυνος μὲν μελανθῆναι, τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ, ὅκως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δ᾽ ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμέοι

Ἡ δὲ κνήμη δύο ὀστέα ἐστὶ, τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ (724) οὐ πολλῷ λεπτότερον. ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς καὶ ἐπίφυσιν κοινὴν ἔχει. ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται. τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται καὶ ἐπίφυσιν ἔχει, καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ. ὀλισθαίνει δὲ ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδός.

rit assidua, abstinendum, ut et cibis ac sorbitionibus potioneque utendum aquae non vini, sed aquae mulsae acidae, ὀξυγλυκὲς vocant. At si nullus recrudescentis morbi metus est, sugillata et nigrores circumvicinaeque partes citra duritiem aliquantulum ex virore pallescunt. Id quod certum est in omnibus sugillatis indicium, non futurum ut unquam morbus recrudescat. Quae vero cum duritie livent, ea certe ne nigrescant periculum est. Ac danda est opera ut pes plerumque reliquo corpore paulo altior collocetur. Sanus autem, si quiescat, intra sexaginta dies evadet.

At vero tibiam duo ossa constituunt, quorum quidem unum altero hac parte longe tenuius, illa vero parte paulo tenuius est. Cohaerent autem inter se qua parte pedem contingunt, communeque habent ossis accrementum, sed in tibiae directione non cohaerent. Ad femur vero adnato quodam osse conjunguntur, quod septum medium habet. Osque alterum qua parte parvum digitum spectat, paulo longius producitur. Ac ossium tibiae natura sic se habet. Atque haec utraque ossa interdum quidem qua pedem con-

Ed. Chart. XII. [203. 207.] Foës. I. 760. 761. Ed. Lind. II. (724.)

ὁτὲ μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα, ὁτὲ δὲ ἡ ἐπίφυσις ἐκινήθη, ὁτὲ δὲ τὸ ἕτερον ὀστέον. ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρέων, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. ἴησις δὲ παραπλησίη οἵηπερ ἐκείνῳ. τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων, ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. ἐς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν ὁ δὲ ἔνθεν τείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν, ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ ἢ ἄλλο τι ὅ τι τούτῳ ἔοικεν, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν. ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα τὰς ἀρχὰς τῶν ἱμάντων ἢ πρὸς ὕπερον ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας, τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα ἀνακλᾷν, || τοὺς δὲ ἀντιτείνειν, ἄνωθέν τε τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης.

[207] Ἔστι δὲ καὶ τὰ ἄνω τοῦ σώματος ἀνάγκη προσλαβεῖν. τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύ-

tingunt, una cum adnato osse suis sedibus excidunt, quandoque vero adnatum os dimovetur, quandoque etiam alterum os. Haec sane, modo homines quiescant, minus molestiae exhibent quam quae in prima manus junctura existunt. Curatio vero in utroque assimilis. Nam et hic per intentionem repositio, velut in illis molienda. Quanquam eo valentiorem haec intentionem desiderant, quo validius hac parte corpus est. Ut plurimum tamen duo viri satis sunt, qui in diversa contendant: sin minus, valentiorem intentionem moliri proclive est. Aut enim humi defosso rotae modiolo, aut alia quapiam re huic simili molle aliquid ad pedem circumdare oportet, deinde loris bubulis latis pedem circumvincire, eorumque capitibus aut ad pistillum aut ad aliud lignum alligatis, lignum, summa eujs parte in modiolum immissa, reflectere, quosdam vero a superiore parte humeris apprehensis et poplite, in diversum extendere.

Sed et superiori corporis parti vis hoc modo, si lubet, adhiberi potest. Ligno tereti, laevi, alte defosso pars ejus

Ed. Chart. XII. [207. 212.] Foës. I. 761. Ed. Lind. II. (724. 725.)

ξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιήσασθαι (725) παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν. τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀποθέειν τὸν γλουτὸν, ὡς μὴ περιέλκηται τὸ σῶμα. τοῦτο δὲ καὶ ἢν περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπέπηγεν. αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται. προσεπιλαμβανέτω δέ τις κατὰ γόνυ καὶ οὕτως ἀντιτείνοιτο. τοῦτο δ᾽ ἢν παρὰ τὸ γόνυ βούληται, ἄλλους ἱμάντας περιδήσας ἢ περὶ τὸν μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων ἐς τὴν πλήμνην, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. τοῦτο δὲ ἢν βούλῃ ἀντὶ τῶν πλημνέων δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην. ἔπειτα πρὸς τῆς δοκίδος, ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων καὶ ἀνακλῶν τὰ ξύλα, κατατείνειν τοὺς ἱμάντας. ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν, ἐπ᾽ ἐκείνων τὴν κατάτασιν ποιέεσθαι. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. [212]

quaedam extans media in crura ad interfemineum ſtatuatur, ne corpus ad eos qui a pedibus extenſionem faciunt, delabatur. Deinde ne in crus quod intenditur inclinet, aliquis a latere aſſidens natem repellat, ne corpus circumducatur. Idem quoque fiet, ſi ad utramque alam ligna affigantur, brachiaque protenſa ſerventur, alius autem genu apprehenſo ita in diverſa contendat. Quin etiam, ſi placet, hoc molieris aliis habenis ad genu vel femur alligatis, ſi alterum rotae modiolum ad caput defoderis, et habenis ad aliquod lignum quod in rotae modiolum defixum ſit, religatis, contrariam ei quae ad pedes fit extenſionem feceris. Quin ſi lubet modiolorum loco, ſubtenſa lecto mediocri trabecula, deinde ad ejus capita hinc et inde lignis obſirmatis et reflexis, lora intendere licebit. Quod ſi placet, per aſellos ab utraque parte collocatos, extenſionem molieris. Sunt et alia quam plurima diſtentionum genera. Praeſtat autem eum, qui in magna urbe medicinam factitat, lignum habere praeparatum, in quo vis omnis contineatur, quae tam in fractis quam

Ed. Chart. XII. [212.] Foës. I. 761. 762. Ed. Lind. II. (725. 726.)
ἄριστον δὲ ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται πάντων τῶν κατηγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύσιος. ἀρκέει δὲ τὸ ξύλον, ἢν ᾖ τοιοῦτον, οἷον οἱ τετράγωνοι στύλοι οἷοι δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος καὶ πάχος. ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν. ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορ(726)θώσαντα οὖν χρὴ τοῖσι θέναρσιν τῶν χειρῶν, τοῖσι δὲ ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δὲ ἐπὶ θάτερα κατώτερον τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δὲ ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένα ἐπιδεῖν χρή· ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν, ἔστ᾽ ἂν ἐπιδήσῃς. ἐπιδεῖν δὲ τὸν τρόπον καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας κατὰ τοῦτο ποιέεσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο καὶ τὴν πίεξιν μάλιστα κατὰ ταυτό. προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει ἢ τὸ ἐν τῇ χειρί. || ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ

luxatis omnibus restituendis, tum per extensionem, tum per vectis molitionem adhibetur. Ad hoc satis erit lignum longitudine, latitudine et crassitudine, quales columnae querneae quadrangulae fieri assolent. Abunde igitur distento crure articulus jam prompte reponitur. Sublimis enim in directum supra pristinam sedem tollitur. Ergo manuum palmis componere decet, partim supra prominens os urgendo, partim infra malleolum contra propellendo. Repositum articulum intentum, si fieri potest, deligare oportet, sin lora prohibeant, iis solutis, dum vinculum injectum sit, in diversa diducere. Deligandum vero eodem modo, fasciarum initiis qua parte os prominet similiter injectis, primisque orbibus quam plurimis eodem volutis et spleniis plurimis ad id adhibitis, illicque potissimum adstrictis. Praetereaque hinc et inde plurimum vinculo circumdandum. Hic vero articulus prima deligatione magis comprimendus quam qui in manu est. Injecto vinculo pars deligata reliquo corpore

Ed. Chart. XII. [212. 215.] Foes. I. 762. Ed. Lind. II. (726. 727.)
ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθὲν, τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα. τὰ μὲν γὰρ σμικρὸν, τὰ δὲ μέγα ὀλισθαίνει. τὸ ἐπίπαν δεῖ ἰσχναίνειν μᾶλλον καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων, καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα καὶ κατακεῖσθαι. μετεπιδῆσαι δὲ τὸ ἄρθρον οὔτε τι κωλύει τριταῖον οὔτε κατεπείγει, καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ παροιχόμενα, καὶ ἢν μὲν ἀτρέμα κατακεῖσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ (727) ὀστέα αὖθις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῷτο μὲν ἂν οὐ ῥᾳδίως τῷ σκέλεϊ, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ᾽ ἂν πολὺν χρόνον.

[215] Ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει τῷ χρόνῳ, λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δὲ ἔξω, τὸ εἴσω. τὰ πλεῖστα δὲ ἐς τὸ εἴσω

superior statuatur. Situs autem is esse debet, ut pes quam minime dependeat. At corporis extenuationem talem feceris, prout gravis luxatio fuerit, si quidem nonnulla leviter, alia multum luxantur. Omnino magis et diutius in crurum quam brachiorum vulneribus extenuandum est, quippe cum haec illis sint majora et crassiora. Quin etiam corpus quiescere et jacere necesse est. Solvere vero articulum tertio quoque die, posteaque deligare neque quicquam prohibet neque urget. Reliquaque omnia similem praecedentibus curationem habeant. At si quietus jaceat, satis esse possunt quadraginta dies, dummodo in pristinam sedem ossa reverterint. Sin quiescere nolit, et crure difficilius utetur diutissimeque vinctum gestare cogetur.

At vero ubi ossa suis sedibus non integre restituuntur, sed aliqua ex parte deficiunt, temporis lapsu coxa, femur et tibia emacrescunt. Ac si quidem intro luxatio facta est, exteriore parte, si extra, interiore parte attenuatio fieri solet.

Ed. Chart. XII. [215.] Foës. I. 762. Ed. Lind. II. (727.)
ὀλισθαίνει. ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισὶ, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν. ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐῤῥωμένοι, ὁ μὲν ἔνθεν ὁ δ᾽ ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ, καὶ ἢν κνήμης ὀστέα κατηγυίης κατατείνῃς καὶ ἢν μηροῦ. καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων ὁκότερον ἂν τουτέων ἐπιδέῃς, οὐ γὰρ ταῦτα ξυμφέρει σκέλει τε καὶ χειρί. πήχεος μὲν γὰρ καὶ βραχίονος, ἐπὴν ἐπιδεθῶσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χεὶρ, καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς τὰ σχήματα τῶν σαρκῶν ἑτεριοῦται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πολὺν χρόνον, οὐ γὰρ πολλάκις ἐν τοιούτῳ εἴθισται, ἀλλ᾽ ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσιν, ξυγκεκάμφθαι κατὰ τὸν

Plerumque tamen intro excidunt. Cum autem utraque tibiae ossa absque ulcere fracta fuerint, validiorem intentionem requirunt. Ac si pars ossis aliqua plurimum super alteram efferatur, aliquem ex ante commemoratis intendendi modis adhibere convenit. Satis tamen esse possunt extensiones quas per homines molimur. Nam et plerumque duo valentes viri, qui hinc et inde in diversa contendunt, satis sunt. Intendere autem in directum pro naturali habitu, ac secundum tibiae et femoris rectitudinem oportet, sive tibiae fractae, sive femoris ossa intendas. Quin et utrumvis devinxeris, ita extenta utraque deliganda sunt. Neque enim eadem deligationis ratio et cruri et manui confert. Si quidem ubi cubiti et brachii ossa fracta deligantur, manus suspensa excipitur. Ac si ea extenta deligaveris, carnium figurationes in cubiti inflexione immutantur. Nequit enim cubiti flexura longam extensionem ferre, cum non eo habitu, sed plerumque incurvata detineri consueverit. Quin et manu vulnerata, cum homines obambulare possint, eam ad cubiti flexum incurvare opus habent. Crus vero, cum obambu-

Ed. Chart. XII. [215. 216.] Foes. I. 762. 763. Ed. Lind. II. (727. 728.)
ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν καὶ ἐν τῷ ἑστάναι εἴθισται (728) ὁτὲ μὲν ἐκτετάσθαι, ὁτὲ δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν, καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα, διὰ τοῦτο εὔφορον αὐτῷ ἐστιν τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται. ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. [216] δια οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μά||την πονέεσθαι. καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν, ἢν τινά γε προσχωρέῃ. ὅταν δὲ δὴ ἱκανῶς καταταθῇ, ῥηΐδιον ἤδη καθορθῶσθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρέων ἀπευθύ-

lando tum ſtando partim quidem extentum, partim vero prope extentum eſſe in inferiorem partem naturaliter ſoleat, nec non ſane reliquum corpus vehere debeat, iccirco extenſionem facile, ferre cum opus eſt, poteſt. Quin etiam in cubili plerumque hoc habitu extentum continetur. At poſtquam vulneratum eſt, ad ſervilem animi demiſſionem homines neceſſitate adiguntur, cum erigi nequeant, adeo ut neque inflecti, neque exurgere eis in mentem veniat, ſed eo habitu jacentes quieſcant. Has igitur ob cauſas neque intenſionis neque deligationis eadem figura manui et cruri convenit. Quod ſi ſatis eſſe poteſt extenſio quae per homines adhibetur, nihil amplius fruſtra laborandum eſt. Machinas enim admovere ubi res non exigit, abſurdum eſt. At ſi ſatis eſſe nequit per viros adhibita extenſio, etiam quiddam ex violentis quod commodum ſit admoliri opus eſt. Diſtentione abunde facta, oſſa facile componuntur et ad naturalem ſtatum adducuntur, manuum palmis directa

νοντα καὶ ἐξευκρινέοντα. ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν κατατεταμένα, ἤν τ' ἐπὶ δεξιὰ, ἤν τ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτέοισιν τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα, καὶ περιβαλλέσθω κατὰ τοῦτο τὰς πρώτας περιβολάς. κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ (729) πλέω αὐτὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδέῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διαστρέφεσθαι ἢ τῇ ἢ τῇ, μήτε λορδὸν μήτε κυφὸν εἶναι. μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον ἢ λινέον ἢ ἐριτέον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι ἢ ἄλλο τι ὃ τούτῳ ἔοικεν.

[217] *Περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅ τι ξυμβουλεύσω ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται, οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ ἢ ἔνθα*

et convenienter aptata. Compoſita autem oſſa extenta faſciis deliganda, eo primum circumjectis faſciis ſive ad dextram ſive ad ſiniſtram ducendae ſint. Quarum tamen initia qua parte os fractum eſt injiciantur, ibique primum obvolutae deinceps ad ſuperiorem tibiae partem deligando tendant, quemadmodum in aliis fracturis dictum eſt. Faſcias vero latiores et longiores, multoque plures in crure quam in manu eſſe oportet. Atque ubi devinxeris, ſupra molle aliquot et aequabile deponere, ut ne in hanc vel in illam partem pervertatur, aut in anteriorem aut poſteriorem partem inflectatur. Ad id vero plurimum confert pulvinum lineum, aut laneum, mollem, non durum, medium in longitudinem, aut aliud quid tale cruri ſupponere.

Canales namque, qui cruribus fractis ſupponuntur, ſubjici debeant, necne, ambigendum mihi videtur. Proſunt etenim, non tamen quantum exiſtimant qui eos ſupponunt. Nam neque in quiete ut putant, crus continent neque dum reliquum corpus in hanc vel illam partem convertitur, ca-

Ed. Chart. XII. [217. 218.] Foës. I. 763. Ed. Lind. II. (729. 730.)
ἢ ἔνθα ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελεῖται αὐτὸς ὁ ἄνθρωπος. οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι ἢ τῇ ἢ τῇ. ἀλλὰ μὴν ἀστεργέστερόν τε ξύλον ὑποτετάσθαι, ἢν μὴ ὅμως ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ. χρηστότατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσιν καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν, ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσίν ἐστιν καὶ τὸν ἰατρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται. καίτοι ἀτεχνέστερόν γέ ἐστιν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ. ἐπεί τοί γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ καὶ ὁκόσα ἂν ῥέποι. ὑποκρινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, (730) ἅπερ [218] καὶ πρότερον εἴρηται. καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι καὶ τὸ οἴδημα οὕτως ἐξαείρασθαι ἐς τὰ ἄκρεα καὶ τὰς χαλάσιας οὕτως καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρισκέσθω ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ

nales prohibent quominus crus ſequatur, niſi homo ipſe diligenter advertat, neque rurſus crus vel in hanc vel in illam partem moveri absque reliquo corpore prohibent. Quin etiam durum videtur et aſperum lignum ſubjici, niſi ſimul molle aliquid in ipſum imponatur. Maxime tamen eſt uſui, cum ſtratum ſubſternitur, ac dum ad deſidendum aeger progreditur. Poteſt igitur cum canali et ſine eo bene vel male res confici. Vulgo tamen perſuaſum eſt etiam medicum minus eſſe culpae obnoxium, ſi canalis ſubjiciatur, etſi minus id ex arte eſt. Crus ſi quidem ſuper re aliqua aequabili et molli omni ex parte rectum jacere oportet, quandoquidem neceſſe eſt ab ea perverſione, quae fit in membri depoſitione, quocunque aut quantumcunque ſe vertat, deligationem ſuperari. Vinctus autem ad eadem quae prius dicta ſunt interrogatus reſpondeat. Nam et vinculum ejusmodi eſſe convenit, et tumorem extremis partibus eodem modo aſſurgere, eodemque modo vincula laxari et tertio quoque die reſolvi, ac poſtea deligari, necnon vin-

μᾶλλον ποιέεσθαι καὶ πλέοσι τοῖσιν ὀθονίοισιν. περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γούνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ᾽ ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ αὖ παραγωγότερα ὀστέα, ἐνακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος ἢ ἐναταῖος ἢ ἑνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται.

[220] || Τῶν δὲ ναρθήκων τὰς ἐνέδρας φυλάττεσθαι κατά τε τῶν σφυρῶν τὸν ἴξιν καὶ κατὰ τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢν ὀρθῶς ἰητρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαι τινὸς διορθώσιος, ἤ τινα ἕλκωσιν ὀῤῥωδέῃς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα καὶ εὐθετησάμενον μετεπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ,

ctam partem graciliorem esse, vinculaque arctiora et per plures fascias adhibere, eaque ad pedem laxe obvolvere, nisi fractura ad genu proxime accedat. Intendi quoque moderate ac dirigi quoties deligantur ossa debent. Nam si curatio recte instituatur, tumorque ex sententia succedat, cum tenuior ac gracilior vincta pars futura sit, tum etiam ossa facilius adducentur intentionique magis cedent. Septimo autem aut nono aut undecimo die ferulae, velut in aliis quoque fracturis dictum est, admovendae.

Eae tamen ne e regione malleolorum ac supra tendonem qui ex tibia in pedem fertur insideant, adhibenda cautio est. Tibiae vero ossa quadraginta diebus, si recte curentur, firmantur. Quod si os aliquod directione indigere suspiceris, aut alicujus exulcerationis metus sit, interjecto tempore ubi resolveris ac probe collocaris, religato. At si alterum tibiae os fractum sit, imbecilliore quidem intentione opus est, sed nec ea tamen deficere aut supine adhiberi debet. Ac po-

Ed. Chart. XII. [220.] Foës. I. 764. Ed. Lind. II. (730. 731.)

οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει, μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα. ὅ τι γὰρ ἂν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυναίτερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἰητρείη ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀν(731)τικνημίου καλεομένου ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶν καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστιν καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναιτ᾽ ἂν τουτέου κατεηγότος. ἢν δὲ τὸ ἔξω ὀστέον κατεηγῇ, πουλὺ μὲν εὐφορώτερον φέρουσι, πουλὺ δ᾽ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυντεθῇ, ἐπίσαρκον γάρ ἐστιν ἐπὶ πόδας τε ταχέως ἵστανται. τὸ πλεῖστον γὰρ τοῦ ἀχθέντος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ σκέλει καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ κατὰ τὸ σκέλος τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπεροχέει τὸ ὕπερθεν τοῦ σώματος, αὕτη δὲ εἴσωθεν πέφυκε τοῦ σκέλους καὶ οὐκ

tissimum quidem in prima deligatione fracta omnia quantum convenit, vel certe quam celerrime semper intendenda sunt. Quod enim non recte compositis ossibus vinculo adstrictum fuerit, id majore dolore locum urget. Reliqua curatio eadem est. Ex ossibus vero quod ex anteriore tibiae parte, quae ἀντικνήμιον dicitur, intro vergere conspicitur molestiorem curationem facit, majoremque intentionem postulat, ac nisi ossa recte componantur, latere non potest. Totum enim et carnis expers se prodit, eoque fracto multo tardius crure insistere queunt. Quod si os externum fractum est, tum multo levius ferunt tum longe facilius latet, etiamsi non recte repositum fuerit, cum carnosum sit, citoque pedibus insistunt. Maximam quippe oneris partem os sustinet, quod anterioris tibiae, quae ἀντικνήμιον dicitur, interiore parte situm est simulque una cum crure, onus etiam quod cruri e directo impositum est ferendo, plurimum laboris subit. Nam femoris caput quod superiorem corporis partem subvehit, interiore cruris parte, non exteriore, idque

ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῖ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ᾽ οὐχὶ τῇ ἔξωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ εἴσω τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. [221] ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐκ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου. ἀνομοίως γὰρ ὁ ἀγκὼν τε καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγέντος ταχεῖαι αἱ ἐπιβάσιες, τοῦ δὲ εἴσωθεν κατεαγέντος βραδεῖαι αἱ ἐπιβάσιες.

[222] Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναι(732)το κρατέειν ἡ ἐπίδεσις ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα ἂν ἀφιῶσιν οἱ τείνοντες. [223] παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι κρατήσουσι τῆς ἐπιδέσιος, ἀλλ᾽ οὐ κρατηθήσονται. || περὶ οὗ οὖν ὁ λόγος διατείνειν εὖ καὶ ἀδια-

e directo anterioris tibiae ſitum habet. Tum vero reliqua dimidia corporis pars huc magis ſuo momento quam in exteriorem partem inclinat. Adde quod internum os externo craſſius eſt, non ſecus ac in cubito, quod in directum minimo digito reſpondet, tenuius eſt et longius. At in inferiore articulo non ſimiliter os longius ſubtenditur. Neque enim ſimiliter articulus ad cubiti gibbum et poples flectuntur. Eas igitur ob cauſas exteriore quidem oſſe fracto celeriter, interiore vero tardius incedunt.

At vero ſi femoris os fractum ſit, omni ope annitendum ut extenſio eaque non minus quam par eſt fiat. Superans enim intenſio nullam laeſionem afferet. Nam neque ſi diducta per vim extenſionis oſſa religaris, ſic diducta vinculo contineri poterunt, ſed cum primum intenſio remiſerit, inter ſe concurrent. Hic enim carnes craſſae ac validae deligationem ſuperant, non ab ea ſuperantur. In eo igitur de quo agitur, intenſio valida fieri debet ſic nullam ut in par-

στρέπτως χρὴ, μηδὲν ἐπιλείποντα. μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸ μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γινομένη καὶ ξυγκρυφθείη ἂν καὶ οὐ μέγα τὸ σφάλμα· σκέλος δὲ βραχύτερον γενόμενον χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν. ὥστε λυσιτελέει τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. ἰσόῤῥοπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει. καὶ ὑποκρινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν, καὶ πονεέτω κατ᾽ αὐτὰ καὶ ῥηΐζέτω καὶ μετεπιδείσθω ὡσαύτως, καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσιν. προσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς μᾶλλόν ἐστιν ἐς τὸ ἔξω μέρος ἢ ἐς τὸ ἔσω καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ

tem vertatur nihilque deficiat. Neque enim ſine magno dedecore ac noxa femur brevius redditur. Manus quidem certe brevior celari poterit, neque id magnum peccatum eſt. Crus vero brevius redditum hominem claudum efficiet. Id enim ſanum quod eſt longius arguit. Adeo ut ei qui male curari debeat utrumque crus potius quam alterum frangi ſit conducibile. Sic enim ſeipſe aequis in utramque partem momentis libraverit. Cum autem abunde intenderis ac manuum palmis compoſueris, eodem quo antea ſcriptum eſt modo deligandum eſt, tum faſciarum initiis velut dictum eſt injectis tum iis ad ſuperiorem partem deductis. Aeger etiam ad eadem, ut prius, reſpondeat, iisdemque partibus doleat ac levius habeat et ſolitus vinculis ſimiliter religetur, ferulaeque eodem modo adhibeantur. Femur vero quinquaginta diebus firmatur. Inſuper animadvertendum eſt femur exteriore potius parte quam interiore, ac magis anteriore quam poſteriore parte incurvari, ideoque in has partes ubi recte non curatur diſtorqueri ſolere. Quin etiam his partibus

κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν, ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν (733) οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷά περ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ παρήνηται. [224] προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον καὶ τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πληχάδα καλεομένην προσεπιδέηται. καὶ γὰρ ἄλλως ξυμφέρει καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. [225] ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας καὶ ἔνθεν καὶ ἔνθεν ἱκανῶς, καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθέεσθαι χρὴ, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται. [226] τὰ δὲ οἰδήματα κατ᾽ ἰγνύην ἢ κατὰ πόδα ἢ κατά τι ἄλλο ἐξαειρεύμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι πολλοῖσι ῥυπαροῖσιν, εὐκατεργασμένοις, οἴνῳ καὶ ἐλαίῳ ῥήνας, κηρωτῇ ὑποχρίων καταδεῖν, καὶ ἢν πιέζωσιν οἱ νάρθηκες, χαλῶν θᾶσσον. ἰσχναίνειε δ᾽ ἂν, εἰ ἐπάνω ἐς τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατω-

quam reliquis minus carnosum est, ita ut cum pervertitur latere nequeat. Si quid igitur ejusmodi suspectum est, eadem moliri oportet, quae in brachio distorto consuluimus. Pauca praeterea lintea ad coxam et ilia in orbem circumducenda, tum ut inguina tum etiam articulus ad locum inter crura medium, qui πληχὰς Graecis, hoc est gressura dicitur, devinciatur. Quod cum alias confert tum ut ne extremae ferulae ad partes vinculis carentes admotae eas laedant. Ferulae siquidem a nuda parte abunde utrinque semper recedere debent, in iisque admovendis ea perpetuo cautio adhibenda est, ut ne ad ossa in articulis naturaliter prominentia neque ad nervum qui circa articulum est imponantur. Tumores vero in poplite aut pede aut alia quapiam parte ex compressione sublati, multis lanis succidis probe carptis, vino et oleo respersis, cerato sublito devinciendi sunt ferulaeque, si premant, cito laxandae. Quin et tumores extenuabuntur, si sursum versus ad ferulas tenuibus fasciis eos devinxeris,

Ed.Chart.XII.[226—228.] Foef.I.765.766. Ed.Lind.II.(733.734.)
τάτω ἐπὶ τὸ ἄνω νεμόμενος. [227] οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο καὶ ὑπερθείη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. ἀλλ᾽ οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ· γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα ἢ κατακεκραμμένον ἔχῃ ἢ κνῆται τῇ χειρὶ ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.

|| Σωλῆνα δὲ εἰ μέν τις ὑπ᾽ αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, (734) βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι. ἀσηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον καὶ ὃ ἥκιστα δεῖ, τοῦτ᾽ ἂν ἐποτρύνοι ποιέειν. ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. πᾶσαν γὰρ ἂν τυρβὴν παρέχοι τῇσιν ἐπιδέσεσιν καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης ὅστις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη [228] ἂν εἴη τούτῳ τοὺς μύας ἄλλοτε καὶ ἄλλοτε σχῆμα ἴσχειν. ἀνάγκη δ᾽ ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου

initio ab imis partibus facto ſurſum procedendo. Ita enim celerrime tumor extenuabitur et ſupra priorem deligationem transferetur. Hoc tamen deligationis modo utendum non eſt, niſi periculum ſit, ne tumor puſtulis aut nigritie vitietur. Tale autem nihil contingit, niſi fractura valde comprimatur aut dependeat aut manu ſcalpat aut aliquid aliud quod irritet ad corpus offenderit.

At ſi quis canalem femori ſubjiciat, qui ſpoplitem non excedat, is potius laedat quam proſit. Neque enim corpus neque tibiam ſine femore moveri prohibuerit. Quin popliti adhibitus moleſtiam afferet et ad id quod minime eſt opus impellet. Genu namque flecti minime opus eſt. Si quis enim aut femore devincto aut tibia genu inflectat, is vinculorum rationem totam perturbabit, tum neceſſe erit ut muſculi alias alio habitu collocentur et oſſa fracta dimoveantur. Imprimis igitur conandum ut poples extendatur. Canalis ergo erit uſui qui a coxa ad pedem ſuppoſitus ſimiliter contineat

Ed. Chart. XII. [228. 230. 231.] Foës. I. 766. Ed. Lind. II. (734. 735.)

ὠφελέειν ὑποτιθέμενος, καὶ ἄλλως κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται. εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο ἢ ἐς τὸ πλάγιον, εὐκατασχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. ἢν οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος. πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι ὡς εὐθέως ἔχοι καὶ ἐν τοῖσι κατὰ κνήμην καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιώρηται ὁ πούς τῆς ἄλλης κνήμης ἡρματισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ᾖ τοῦ μετρίου ἠρτισμένη, ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τῷ ὀστέῳ τούτῳ κατὰ τὸ ἀντικνήμιον τοῦτο κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι καὶ (735) αἱ πωρώσιες ἀσθενέστεραι. [230] ταῦτα μὲν δὴ ὅσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει δὲ μὴ μηδὲ ἄλλως ἕλκος ἐγένετο. [231] οἷσι

praecipueque fi ad poplitem cum canali fafcia laxa circumjiciatur, velut infantes in cunis fafciari folent. Ubi enim femur in fuperiorem partem aut ad latus diftorquebitur, ita cum canali melius detinebitur. Canalis igitur a fummo ad imum usque aut nullus adhibendus. Caeterum imae calci magna cura adhibenda, ut tum in tibiae tum in femoris fracturis apte collocetur. Etenim fi pes dependeat, tibia reliqua obfirmata offa in anteriore tibiae parte gibba apparere neceffe eft. At fi calce plus aequo fublimius obfirmato, reliqua tibia aliquartulum dependeat, os in anteriore tibiae parte praeter modum cavum apparere neceffe eft, idque eo magis fi hominis calx fuapte natura grandior fuerit. Caeterum tardius firmantur omnia offa imbecillioreque callo obducuntur, nifi naturalem pofitum nacta fuerint aut in eodem habitu immota permanferint. Atque ifta quidem de offis fractura, in qua neque offa eminent, neque alioqui ulcus acceffit, dicta fint. Quibus vero fimplici modo et absque

Ed. Chart. XII. [231. 233.] Foës. I. 766. 767. Ed. Lind. II. (735.)

δὲ τὰ ὀστέα κατέηγεν ἁπλῷ τρόπῳ καὶ μὴ πουλυσχιδεῖ, αὐθήμερα ἐμβληθέντα ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχίδων ὀστέων ἀπιέναι ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα κατεηγότα οὐκ ἐξίσχει οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παρασχίδας ὀστέων ἐούσας ἐπιδόξους εἶναι, ἀναπλῶσαι τοὺς τοιούτους.

Οἱ μὲν μήτε μέγα ἀγαθὸν μήτε μέγα κακὸν ποιέοντες ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινὶ ἢ πισσηρὴν ἐπιθέντες ἢ ἔναιμον ἢ ἄλλο τι ὧν εἰώθασιν ποιέειν. ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν ἢ || ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισιν συχνοῖσι πειρῶνται ἐπιδεῖν καὶ νάρθηξιν κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθόν τι ποιέει, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλὰ τινὶ ὀγκηρότερα τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίνεται. [233] γένοιτο δ' ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν ἢ

fragmentis ossa fracta sunt, eodem aut postero die restituta atque in suas sedes reposita nec metuitur ut fragmentum aliquod ab osse abscedat, aut etiam quibus ulcus quidem accessit, ossa tamen fracta non eminent, neque fractura ejusmodi est, ut ossium fragmenta expectari debeant, eos simpliciter curare oportet.

At quidem certe nonnulli qui neque multum prosunt aut obsunt ulceribus medentur, imposito aliquo medicamento purgante aut certe picato, aut medicamento quod cruentis vulneribus adhibetur, aut aliquo quopiam quod componere consueverunt. Ego vero eos qui splenia vino imbuta aut lanam succidam vel id genus aliquid devinciunt laudo. At ubi ulcera pura evaserint aut jam coaluerint, tunc pluribus linteis adhibitis devincire et ferulis dirigere conantur. Haec sane curandi ratio ut aliquid confert, ita neque multum laedit. Ossa tamen non perinde suis sedibus firmantur, verum aliquanto plus quam par sit ea parte corpora intumescunt. Quin etiam breviora redduntur quibus utraque aut

Ed. Chart. XII. [233. 234.] Foes. I. 767. Ed. Lind. II. (735. 736.)

πήχεος ἢ κνήμης. ἄλλοι δ᾽ αὖ τινες εἰσὶν οἳ ὀθονίοισιν τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως καὶ ἔνθεν καὶ ἔνθεν ἐπιδέουσιν τοῖς ὀθονίοισιν, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσιν καὶ ἐῶσιν ἀνεψύχθαι. ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλ(736)κος τῶν καθαρτικῶν τι καὶ σπλήνεσιν οἰνηροῖσιν ἢ εἰρίοισιν ῥυπαροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴησις κακὴ καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασιν καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστιν τὸ γινώσκειν καθ᾽ ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου καὶ καθ᾽ ὁποῖον μάλιστα πεπιέχθαι καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρὴ καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς [234] τις βάλληται μηδὲ πιέζῃ ᾗ μάλιστα χρὴ, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἐφ᾽ ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὐτὴ ἡ ἰητρική. ἀνάγκη γὰρ τῷ οὕτως ἐπιδεομένῳ τὸ οἶδος ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος, καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθῇ, μάλιστα κατὰ τὴν

cubiti aut tibiae offa fracta funt. Rurfus nonnulli hujusmodi fracturis linteis ftatim medentur, atque utrimque fafcias convolvunt, ulcus vero nudum relinquunt et perfrigerari finunt. Deinde ad ulcus adhibito aliquo medicamento purgante tum fpleniis vino imbutis ac lana fuccida curationem inftituunt. At prava eft haec curandi ratio eaque qui utuntur, cum in his tum etiam in reliquis fracturis plurimum a recta intelligentia aberrare probabile eft. Inprimis enim confert noffe qua ratione fafciae initium injiciendum fit, et qua parte maxime comprimendum, quantum item conferat, fi quis fafciae initium recte circundet et qua parte maxime convenit comprimat, tum quantum detrimenti fequatur, fi neque quis probe fafciae initium circumjiciat, neque qua maxime parte convenit, fed hinc et inde comprimat. Ac fane quidem quid ex utrisque contingat, in fuperioribus dictum eft, et ipfa quoque medela ejus rei teftimonium adfert. Sic enim devincto tumorem ad ulcus affurgere neceffe eft. Nam fi fane carnofa pars hinc atque hinc

Ed. Chart. XII. [234. 235.] Foës. I. 767. Ed. Lind. II. (736. 737.)

διάληψιν οἰδήσειεν ἂν καὶ ἀχροιήσειεν. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεσμένον τὸ ἕλκος εἶναι, δακρυῶδες δὲ καὶ ἀνεκπύητον εἶναι, ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι ἀποστατικὰ γενέσθαι, [235] σφυγμῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἶδος ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ᾽ ἂν σφιν παλιγκοτέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ᾽ ἧσσον καὶ ἥν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. (737) οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ᾽ ἄλλην τινὰ ἀτυχίην. οὐ μέντοι γε ἂν ἔγραφον περὶ τουτέου τοσαῦτα, εἰ μὴ εὖ μὲν ἤδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γε-

devincta intermedio quodam ſpatio relicto, praecipue juxta illud intermedium ſpatium intumeſcat, ac decolor reddatur, cur non iſta in ulcere contingent? Neceſſario igitur ulcus decolor ac labris expanſis evadet lachrimoſumque ac minime ſuppurans reddetur, et oſſa alioqui minime abſceſſura abſceſſum facient, ne n on ulcus pulſu ac igneo calore affligetur. Coguntur item inſuper propter tumorem cataplaſmata imponere, quod etiam iis qui hinc atque inde devinciuntur incommode cedit, cum ad reliquum pulſum pondus etiam inutile accedat. Tandem vero vincula reſolvunt ubi malum recruduerit, ac de reliquo curationem absque vinculo perſequuntur. Nihilominus autem etſi aliud vulnus nacti fuerint, eandem curandi rationem adhibent. Neque enim deligationem hinc et inde adhibitam et ulceris perfrigerationem, verum aliud quoddam infortunium cauſam reputant. Neque ſane ad tam multa ea de re ſcribenda adductus eſſem, niſi mihi liquido conſtaret et inutilem eſſe hanc deligationem et a plurimis iſtam medendi

γραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα εἴτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην ἰητρεύειν, ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίαν. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι, τὰ δὲ πέριξ κηρωτῇ λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα τινὶ ἐσχισμένα ἔστω ἢ εἰ μὴ ἕλκος εἶχεν, καὶ ᾧ ἂν πρώτῳ ἐπιδέηται, συχνῷ ἔσται τοῦ ἕλκεος πλατύτερον. τὰ γὰρ στενώτερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος. τὸ δὲ οὐ χρή. || ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος [236] καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν. βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος. πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε. ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται, τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ

rationem usurpari, operaeque pretium futurum ut ista dediscerent. Atque ea quae supra sunt exposita recte fuisse tradita testantur, quae vel maxime vel minimum comprimendae sunt fracturae. Oportet autem, ut breviter dicam, quibus nulla ossis abscessio futura est, eandem medendi rationem adhibere, quae ubi quidem ossa absque ulcere fracta sunt, cum distentiones aptationesque ossium tum etiam eandem deligationem admovere. Ulceri namque splenium tenue duplex cerato picato illitum circumdandum proximaeque partes cerato liquido inungendae. Fasciae vero reliquaque aliquanto latius fissa esse debent, quam si ulcus non adesset, et quo primum deligatur, multo latius sit quam ulcus. Quae enim ulcere angustiora sunt, ulcus ipsum cingunt, quod minime convenit, sed prima convolutione totum ulcus comprehendendum, ita ut superiore ac inferiore parte linteum excedat. Linteum igitur e directo ulceri injiciendum pauloque minus quam si citra ulcus esset arctandum, deligatioque quo supra dictum est

Ed. Chart. XII. [236. 237.] Foës. I. 768. Ed. Lind. II. (735. 736.)
τρόπου τοῦ μαλθακοῦ ἴστωσαν. μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιού(736)τοισιν ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἐλάσσω ἔστω τῶν πρότερον εἰρημένων, ἀλλὰ τινὶ καὶ πλείω. ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν, πεπιέχθαι δὲ μὴ, φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾷν, ὥσπερ καὶ ἐν τοῖσιν πρόσθεν εἴρηται. μετεπιδεῖν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γένηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος, ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον, καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων [237] ἰητρευμένων ἑλκέων. ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη καὶ ἐθανατώθη, θᾶσσον περιῤῥήγνυται καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ ἢ ἐν τῇσιν ἄλλῃσιν. ἐς ὠτειλάς τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευ-

modo circumagenda. Sint autem ſemper lintea ac praecipue in his molliora quam ſi integra cutis eſſet, neque pauciora quam prius dictum eſt, quin etiam aliquanto plura. Ei vero qui deligatus eſt ita accommodentur, ut obſirmata non autem appreſſa videantur, praecipueque qua parte ulcus eſt, ea obſirmata eſſe aſſerunt. Eademque tempora eſſe debent quibus firmius adaptata et quibus laxiora eſſe ſentiat, velut ſupra dictum eſt. Deinde tertio quoque die reſolvenda rurſusque devincienda eademque omnia quae ſupra facienda, niſi quod in totum haec quam illa aliquanto minus comprimenda ſunt. Ac ſi ratione conſentanea fiant, ulceris quidem locus reliquaque omnia quae vinculo continentur, ſemper graciliora deprehendentur celerioresque ſuppurationes erunt quam in alia ulcerum curatione. Caruncuiae quoque quae in vulnere nigreſcunt et emoriuntur, celerius ſub hac curatione abruptae excidunt, ulcusque hoc modo quam aliter curatum maturius ad cica-

Ed. Chart. XII. [237. 238.] Foës. I. 768. Ed. Lind. II. (736. 737.)

μένον. πάντων δὲ τούτων αἴτιον ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται, ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥστε ἄνευ ἑλκωσίων ὀστέα κατηγνύμενα. τοὺς δὲ νάρθηκας οὐ χρὴ προστιθέναι. διὰ τοῦτο καὶ τὰ ὀθόνια χρὴ τούτοισιν πλείω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτερα προστίθενται, ἢν μέντοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστιθέναι, ἀλλ᾽ (737) ὥστε καὶ χαλαρῶς προστιθέναι, προθυμευμένοις ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισιν. τὴν μέντοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται καὶ οἷσιν ὀστέα ἐξίσχει. καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι ἐπὶ τοῖσιν ἰσχυροτάτοισιν τρώμασιν ἀκριβεστέρην καὶ πουλυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν. [238] ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ᾖ, ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος ἢ ὑπὸ νάρθηκος ἐνέδρης

tricem devenit. Horum autem omnium causa est, quod pars quidem vulnerata et quae circum vicinae sunt graciles redduntur. In reliquis quidem omnibus eadem curatio quae in fracturis absque ulcere adhibenda, ferulae tamen neutiquam sunt admovendae. Propterea que hic quoque quam alibi copiosioribus linteis opus est, tum quod minus comprimantur tum quia ferulae tardius adhibeantur. Quas tamen si admoveris, advertendum ut ne e regione ulceris, sed ut laxiores adhibeantur, neque ut ulla magna ab iis abstrictio fiat, quod in his quoque quae prius scripta sunt dictum est. Accuratam autem victus rationem eamque longiore tempore iis instituere oportet, quibus circa initia ulcus accedit et quibus ossa eminent. Ac, ut in summa dicam, quo graviora vulnera sunt, eo accuratiore et longiore victus ratione utendum. Eadem autem curatio ulceribus instituenda, quae quidem ossibus fractis circa initia non insunt, verum aut ex nimia linteorum compressione ant ferularum insessione aut alia quapiam ex causa

Ed. Chart. XII. [238.] Foëf. I. 768. 769. Ed. Lind. II. (737. 738.)

ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα, ἢν ἕλκος ὑπῇ τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν, καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν σκληρὸν γίνεται τῶν τοιουτέων, καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις, ἐξαείρεται, ἀτὰρ καὶ αὖθις ὑποτρέχει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς λύσαντα χρὴ, ἢν μὲν ᾖ κνησμὸς, κατὰ τὰς ὑποδεσμίδας ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. ἢν δὲ τούτων μὲν μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον εὑρίσκεται μέλαν ἐπὶ πουλὺ ἢ ἀκάθαρτον, καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων τουτέους οὐδὲν χρὴ ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ᾽ ἰητρεύειν τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ἀκραίοις πάνυ χαλαροῖσιν, καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει αἰεὶ ἐς τὸ ἄνω καὶ (738) πεπιέχθαι μὲν μηδαμῇ, || ἡρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα ἐπὶ ἧσσον. τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν

fub ipfa curatione oriuntur. Ulcus certe fubeffe ex dolore et pulfu cognofcitur, tum fi tumor qui in extremis partibus eft indurefcit appreffoque digito exprimitur, cito tamen recurrit. Solvere igitur, fi quid tale fufpiceris, oportet: ac fi quidem fub primis fafciis aut alia quapiam devincta parte pruritus fuerit, cerato picato in alterius vicem utendum. Quod fi nihil horum quidem contingat, ulcus autem ipfum irritatum nigrum admodum aut fordidum deprehendatur, futurumque fit ut carnes fuppurent nervique infuper excidant, hos neque ex toto refrigerare, neque quicquam iftas fuppurationes vereri oportet, fed de caetero quidem eodem modo curare velut eos quibus circa initia ulcus acceffit. Lintea autem admodum laxa tumori qui in extremis partibus exiftit primum injici debent, ac deinde circumagendo fenfum femper tendere, ac nullo quidem modo comprimi, verum ita aptari ut maxime ulceri obfirmata, minus autem reliquis partibus fentiantur.

καθαρὰ ἔστω καὶ μὴ στενὰ, τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω ὅσον περ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο ἢ ὀλίγῳ ἔλασσον, [239] ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπληνίον τῇ λευκῇ κηρωτῇ κεχρισμένον. ἤν τε γὰρ σὰρξ ἤν τε νεῦρον μελανθῇ, προσεκπεσεῖται. τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν ὥσπερ τὰ πυρίκαυτα, μετεπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι. ἀτρεμέειν δὲ ἐπὶ μᾶλλον ἢ τὸ πρόσθεν καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρὴ εἴτε σὰρξ εἴτε νεῦρον τὸ ἐκπεσούμενόν ἐστιν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον, πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται ἢ εἴ τις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. καίτοι καὶ ἢν ἐκπέσῃ τὸ ἐκπυησόμενον, θᾶσσόν τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον καὶ θᾶσσον ὠτειλοῦται. πάντα μὴν ἐστιν ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. προσσυμβάλλεται δὲ καὶ τὰ σχήματα ἢν οἷα χρὴ εἶναι καὶ ἡ ἄλλη δίαιτα καὶ τῶν ὀθονίων ἡ ἐπιτη-

Haec autem prima lintea munda neque angusta sunto eaque copia quanta si cum ferulis deligatio fiat aut paulo minor. Ulceri vero splenium impositum cerato albo illitum abunde est. Caro namque aut nervus ubi nigritiem conceperint, ut praeterea etiam decidant necesse est. Neque enim acribus talia, sed lenibus velut ambusta curare oportet. Tertio etiam quoque die solvere ac rursus deligare convenit, ferulas autem non apponere, tum magis etiam quam antea conquiescere et cibo abstinere. Animadvertendum quoque est, ubi aut caro aut nervus excidere debeant, hoc modo multo minus late serpere multoque citius decidere, ac proximas partes longe graciliores fieri, quam si resolutis linteis ulcus quopiam ex medicamentis purgantibus nutriatur. Quin etiam si quid suppuraturum est exciderit, citius sub illa curatione quam sub alia tum carne replebitur tum celerius cicatrice obducetur. Haec quidem in eo vertuntur omnia ut rectam et moderatam deligationem instituas. Ad quod etiam insuper conferunt convenientes habitus et reliqua victus ratio ac linteorum habili-

Ed.Chart.XII.[240.241.] Foës.I.769.770. Ed.Lind.II.(738.739.)

δειότης. [240] ἢν δ᾽ ἄρα ἐξαπατηθῇς ἐν τοῖς νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ᾽ ἐπίδοξα ᾖ ἀναπλῶσαι, οὐ χρὴ ὀῤῥωδέειν τὸν τρόπον τῆς ἰητρείης. οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο, ἢν μοῦνον οἷος ἔσῃ τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης. πῦον γὰρ (739) συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος καὶ ὀργᾷν φαίνεται. πυκνότερον οὖν μετεπιδέεσθαι διὰ τὸν πλάδον, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται, καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος καὶ τὰ περιέχοντα ἰσχνά.

|| Ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ᾽ ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πῦον, ἀλλ᾽ [241] εὐαπόῤῥυτον ᾖ καὶ πυκνότερον μετεπιδεῖν ἔστ᾽ ἂν ἀποστῇ τὸ ὀστέον καὶ νάρθηκας μὴ προστιθέναι. ὁκόσοισι δὲ μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος γένηται, ἤν τε ἐξ ἀρχῆς προγνῷς ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰητρείης δεῖται, ἀλλὰ

tas. Quod ſi ſane recenti vulnere deceptus oſſium abſceſſum futurum non exiſtimaveris, quae tamen educi debere ſpes eſt, nullo modo formidandus eſt hic curationis modus. Nullum enim magnum incommodum continget, ſi modo rectam et innoxiam deligationem manu accommodaveris. Sub hac autem curatione os abſceſſurum indicatur, ubi pus copioſius ab ulcere profluit et pars affecta impetu ad excretionem ferri videtur. Crebrius igitur ob redundantem humiditatem religare oportet, cum et alias febres excitentur, et ſiquidem admodum vinculis comprimantur, tum ulcus tum proximae partes graciles efficiuntur.

At quibuscunque quidem tenuia admodum oſſa abſcedunt, in his haud multa mutatione opus eſt, tantum laxior vinctura adhibenda, ut ne pus intercludatur, ſed facile effluat ſaepiusque dum os abſceſſerit reſolvenda nullaeque ferulae apponendae. Quibus vero os grandius abſcedere ſperas, ſive id per exordia praeſenſeris ſive etiam poſtea cognoveris, non amplius eadem medela opus eſt. Verum

Ed. Chart. XII. [241. 243. 244.] Foës. I. 770. Ed. Lind. II. (739. 740.)

τὰς μὲν κατατάσιας καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν ἡμισπιθαμιαίους μὴ ἐλάσσους. ὁκοῖον δὲ ἄν τι καὶ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι. μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ ἢ ὥστε δὶς περικνέεσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον, μακροτέρους δὲ συχνῷ ἢ ὥστε ἅπαξ περικνέεσθαι. πλῆθος δὲ ὁκόσους ἂν ξυμφέρει ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα χρὴ ἐκ μέσου ἀρχόμενον ὡς ἀπὸ δύο ἀρχῶν ὑπόδεσμος ἐπιδεῖται, περιελίσσειν. κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. [243] ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιέειν καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος, καὶ πιέχθω μὲν μὴ, ἀλλ᾽ ὅσον ἑρμασμοῦ ἕνεκεν τοῦ ἕλκεος προσκείσθω. [244] ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἐπιτιθέναι χρὴ πισ(740)σηρὴν, ἤ τι τῶν ἐναίμων ἤ τι τῶν ἄλλων φαρμάκων ὅ τι ξύντροφόν ἐστιν ἐπιτέγξει καὶ ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας πυκνὰ, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἰρία πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ

memborum quidem in directum tensiones, eodem quo supra dictum est modo faciendae. Splenia vero duplicata sunto latitudine quidem semidodrantali neque minora, conjectura ad id tamen ex vulnere cujusmodi fuerit sumpta. Longitudine autem paulo quidem breviora quam ut suo circumactu membrum laesum bis comprehendant, multo tamen longiora quam ut semel circumducantur. At multitudine tot facere oportet, quot res postulat. Haec vino nigro austero intincta ex medio initio facto velut fascia quae ex duobus capitibus primum circumdatur, convolvenda ac deinde alternatis capitibus asciae modo incurva dimittenda. Atque haec supra ulcus et hinc atque hinc adhibenda sunt, ac ne comprimi quidem, verum eatenus ulceri adhaerescere ut obfirmentur debent. Ulceri autem ceratum quod picem habeat imponendum, aut aliquod ex iis quae cruentis vulneribus adhibentur, aut aliud aliquod medicamentum quod perfusioni sit accommodatum. Ac aestate quidem splenia vino subinde imbui debent, hieme autem lanae multae succidae

Ed. Chart. XII. [244. 245.] Foës. I. 770, 771. Ed. Lind. II. (740.)

καὶ ἐλαίῳ ἐπικείσθω. ἰξάλην δ' αἰγὸς χρὴ ὑποτετάσθαι καὶ εὐαπόῤῥητα ποιέειν, φυλάσσοντα τοὺς ὑποῤῥόους, [245] μεμνημένον ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσιν αὐτοῖσι σχήμασιν πολλὸν χρόνον κείμενοι ἐκτρίμματα δυσάκεστα ποιέουσιν.

|| Ὅσους δὲ μὴ οἷόν τε ἐπιδέσει ἰήσασθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων ἢ τῶν εἰρησομένων, τούτους περὶ πλείονος χρὴ ποιέεσθαι, ὅκως εὐθέτως σχήσωσιν τὸ κατεηγὸς τοῦ σώματος κατ' ἰθυωρίην προσέχοντα τὸν νόον, καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ κατωτέρω. εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι ὅκως κατάτασιν δικαίην καὶ μὴ βιαίην σχήσῃ τὸ κατεηγὸς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. εἰσὶ μὲν οὖν τινὲς οἳ ἐπὶ πᾶσι τοῖς τῆς κνήμης κατήγμασιν, καὶ τοῖσι ἐπιδεομένοισι καὶ τοῖσι μὴ ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσιν πρὸς τὴν κλίνην ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν. οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα, οὐδέν τε ἧσσον τὸ

vino atque oleo madentes ſuperimponendae. Pellis vero caprina ſubſternenda et ut humores facile effluant, defluvia obſervanda, mente repulans loca haec, ſi longo tempore eodem habitu perſeverent, curatu difficiles attritus contrahere.

At qui non ullo ex antedictis modis aut ex iis qui poſtea referentur ſub vinculis ſanari queunt, eos maximam curam adhibere oportet, ut partem corporis fractam recte atque e directo collocatam habeant, ea animadverſione ut excitetur potius quam dependeat. Quod ſi cui recte atque expedite opus exercere in animo eſt, is machinas adhibere neceſſe habet, quo juſta ac minime violenta diſtentione pars corporis fracta intendatur, quod praecipue in tibia facere licet. Quidam igitur crure fracto, ſive vinculum aliquod ſive nullum adhibeatur, pedem ſummum ad lectum aut aliquod aliud lignum juxta lectum deſoſſum devinciunt. At hi quidem ut nihil utile afferunt, ita plane nocent. Neque enim haec pedis vinctura quicquam ad extenſionem con-

Ed. Chart. XII. [245. 246.] Foës. I. 771. Ed. Lind. II. (740. 741.)

ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα, καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο, οὔτ᾽ ἂν ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ (741) τοῦ ἄλλου σώματος ἢ τῇ ἢ τῇ οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα καὶ τὰ ὀστέα τῷ ποδὶ προσηρτημένα ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. εἰ δὲ μὴ προσεδέδετο, ἧσσον ἂν διεστρέφετο. [246] ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος. εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος Αἰγυπτίου τοιαύτας οἵας φοροῦσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσιν πολλὸν χρόνον πεπεδημένοι, αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας, τοὺς μὲν πρὸς τοῦ τρώματος βαθυτέρους, τοὺς δὲ πρὸς τῶν ἄρθρων βραχυτέρους, εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαὶ, ἁρμόζουσαι δὲ ἡ μὲν ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ κάτωθεν τοῦ γόνατος, ἐκ δὲ πλαγίης ἑκατέρη διττὰ ἑκατέρωθεν ἔχοι προσηρτισμένα ἢ ἁπλοῦ ἱμάντος ἢ διπλόου, βραχύτερα ὥσπερ ἀγκύλας τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος, καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν. κἄπειτα κραναΐνας ῥάβδους

fert, cum reliquum corpus nihilominus ad pedes defluat, eaque de causa non amplius extenditur, ac neque quicquam ad directionem conducit, quin etiam obest. Converso namque in hanc vel illam partem reliquo corpore, nihil prohibebit vinculum quo minus pes et annexa illi ossa reliquum corpus sequantur. Quin si alligatus non fuerit, minor fiet perversio, cum in reliqui corporis motione minus deseratur. Possunt autem duo orbes ex corio Aegyptio consui, quales gestare consueverunt qui diu in magnis compedibus detenti sunt, sintque hi undique tunicis cincti, qua quidem vulnus est altioribus, ad articulos autem brevioribus. Sint praeterea tumidi quidem et molles atque ita acommodati, ut unus quidem supra malleolos, alter vero infra genu collocetur. A latere vero utroque habeat bina utrimque appensa retinacula breviora velut ansas ex simplici aut duplici loro, partim quidem ex utroque malleolo, partim vero ex utroque genu. Ac superior orbis altera eadem habeat eodem modo e directo respondentia. Deinde virgae corneae sumantur ae-

Ed. Chart. XII. [246—248.] Foes. I. 771. 772. Ed. Lind. II. (741. 742.)

λαβὼν ἴσον τὸ μέγεθος ἀλλήλησιν ἐχούσας, πάχος μὲν ὡς δακτυλιαίας, μῆκος δὲ ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα, [247] ἐπιμελεόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσῃ. εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων καὶ πλέω καὶ τινὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων, καὶ τινὶ καὶ βραχυτέρας καὶ μικροτέρας, ὡς καὶ μᾶλλον διατείνειν ἢν βούληται. || ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. [248] ταῦτα τοίνυν εἰ καλῶς μηχανοποιηθείη, τήν τε κατάτασιν δικαίην παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην καὶ τῷ (742) τρώματι πόνος οὐδεὶς ἂν εἴη. τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δὲ ἐς τὸν μηρόν. αἵ τε ῥάβδοι εὐθετώτεραι αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τῶν σφυρῶν, ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης. τό τε τρῶμα εὐκατάσκηπτον καὶ εὐβάστακτον. οὐδὲ γὰρ ἐμποδὼν εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι, καὶ ἤν τις κούφως βούλοιτο ἐπιβάλλειν, ὥστε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ μὲν οὖν αἵ τε

quali inter se magnitudine, crassitudine quidem digitali, ea vero longitudine, ut inflexae ad suspensa retinacula apte conveniant, eo adhibito studio, ut summi virgarum fines non in corpus, sed in extremas orbium eminentias incumbant. Tria vero aut plura virgarum paria esse debent et aliae aliis aliquanto longiores et breviores ac minores, quo, si lubet, magis distendere possis. Virgaeque hinc et inde ex utraque malleorum parte collocentur. Haec igitur si crebro molitus fueris, et justam intensionem et ex directo aequabilem praestabunt, vulnerique nullum dolorem afferent. Nam si quae fiunt expressiones, partim quidem ad pedem, partim vero ad femur ablegantur, virgaeque hinc atque inde a malleolis rectius collocantur, ut ne tibiae situm impediant, ac probe vulnus decumbat et sustineatur. Neque vero quicquam prohibet duas superiores virgas, si quis velit inter se jungere ac leve aliquid, si lubet injicere, ita ut injectum sublime supra vulnus extet. Orbes igitur si lenes,

σφαῖραι προσηνέες καὶ καλαὶ καὶ μαλθακαὶ καὶ κεναὶ ῥαφεῖεν καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς ἢ καλῶς μηχανᾶσθαι ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι.

[249] Τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα καὶ τὰ ξὺν ἕλκεσιν καὶ τὰ ἄνευ ἑλκέων, τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν εἰρίοισιν ῥυπαροῖσιν καὶ οὐδέν τι ἄτεχνον δοκοίη τοῦτο εἶναι. ὅσοι μὲν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων μὴ ἔχοντες ὀθόνια, εἰρίοισι παρασκευάσασθαι, τουτέοισι πλείστη συγγνώμη. οὐ γὰρ ἄν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίου ἐπιδῆσαι ἐπὶ τὰ τοιαῦτα. εἶναι δὲ χρὴ πάμπολλα καὶ πάνυ καλῶς εἰργασμένα καὶ μὴ τραχέα. τῶν γὰρ ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας εἴρια ἐπιδέειν δικαιέουσι, (743) τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισιν ἐπιδέοντες πιεζέουσι καὶ κατατείνουσιν, τότε μάλιστα οὗτοι

molles, firmi et recenter consuti fuerint, virgarumque intensio, velut jam dictum est, recte facta sit, optimum erit commentum. Sin horum quicquam non recte procedat, oberit magis quam profuerit. Caetera autem artificia aut recte aut nullo modo molienda sunt. Turpe enim et ab arte abhorrens aliquid molientem in ipso artificio deficere.

Fracturas porro tam cum ulcere quam sine ulcere plerique medici primis diebus lana succida curant, neque id ab arte alienum videtur. Qui sane ad recenter vulnerata, linteorum inopia, lanam comparatam habere coguntur, iis magna venia debetur. Neque enim in linteorum penuria, quicquam lana longe melius ad haec deliganda adhiberi potest. Ea vero quam plurima tum probe carpta neque aspera esse debet. Pauca namque et prava parum habet virium. At qui uno aut altero die lanam deligare aequum esse putant, tertio vero et quarto injectis linteis comprimunt, tumque plurimum distendunt, ii in eo quod in re

πουλύ τι ἰητρικῆς καὶ κάρτα ἐπίκαιρον ἀσυνετέουσιν. ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ στυφελίζειν πάντα τὰ τρώματα. ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι καὶ μηλώσιας δὲ πάσας φυλάττεσθαι χρὴ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν καὶ ὁκόσοισιν ἄλλοισι τρώμασιν ἠρέθισται. τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισιν τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ καὶ ὅσα ἂν ἐς πυρετοὺς ἴει. καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τίνι γὰρ οὐκ ἐπικοινωνέει τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νουσήματα; εἰ μή τις φήσειε καὶ τἄλλα νοσήματα ἕλκεα εἶναι. ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν. [250] πολλαχῇ δὲ ἠδέλφισται τὰ ἕτερα τοῖσιν ἑτέροισιν. ὁκόσοι μέντοι δικαιέουσιν εἰρίοισιν χρῆσθαι, ἔστ᾽ ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν, ἔπειτα κατατείνειν τε καὶ κατορθοῦν καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φανεῖεν. καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθεν καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς

medica imprimis est advertendum, admodum inscienter se gerunt. Tertio namque et quarto die duriter et aspere vulnerata minime tractari debent et, ut uno verbo complectar, iis diebus omni specilli demissione aliisque quibus vulnera irritantur abstinendum. In totum enim pleraque vulnera tertio ac quarto die recrudescere consueverunt, tum quae ad inflammationem et sordes tendunt tum quae ad febres deveniunt. Atque hoc praeceptum, si quod aliud, magnum est operae pretium attendere. Quid enim est praecipui in re medica usus non in ulceribus modo, verum etiam multis in aliis morbis, cum quo communionem non habeat? Nisi si quis alios quoque morbos ulcera esse dixerit. Quae sane oratio quandam habet probabilitatem. Multis enim modis alii cum aliis cognationem habent. At qui lanis uti aequum censent, quoad septem dies praeterierint, deinde tum intendere tum componere et fasciis devincire, ii non perinde inscientes videri debent. Nam et maxime accommodatum inflammationi tempus praeterierit, et ab his diebus ossa la-

ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἥσσᾶται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσιν καὶ παρασκευάζει νάρθηξιν τελέως ἐπιδεῖν· οὗτος δὲ ὁ τρόπος πολὺ ὕστεροῖ. [251] βλάβας δέ τινας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν.

|| Ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα (744) καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἥδε ἡ κατάτασις. [252] σιδήρια χρὴ ποιέεσθαι ἐς τοῦτον τὸν τρόπον ὅνπερ οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέονται τὸ μέν τι πλατύτερον, τὸ δέ τι στενώτερον. εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω ὡς τοῖς μάλιστα ἁρμόζουσιν τις χρήσαιτο. ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα, πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου ἐρείδοντα, πρὸς δὲ τὸ ἀνώτερον τῷ ἀνωτέρῳ τοῦ σιδηρίου, ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη

xari et bene coaptari poterunt. Ista tamen curandi ratione longe potior est quae per exordia fascias devincit. Haec enim septimo die efficit uti deligationi per ferulas suscipiendae plane idonei reddantur, quod in illa multo posterius contingit. Sed et alias quasdam habet noxas, quas longum esset percensere.

At quibus ossa fracta cute eminentia in suam sedem collocari non possunt, ea hoc modo reconduntur. Ferramenta facienda ad vectium similitudinem, quibus in lapidicinis utuntur, hac quidem parte latiora, altera vero angustiora. Tria autem aut etiam plura esse debent, quo maxime accommodata in usum adhibeantur. His deinde suppositis una inter extendendum ita molitionem aggredi oportet, ut ima sui parte inferiori ossi, summa vero superiori innitantur, non secus, ut uno verbo complectar, quam si quis ad lapidem aut lignum commovendum validam vectis molitionem adhibeat. Sint autem ferramenta quam maxime fieri potest valida, ne inflectantur. In eoque magnum est subsidium, si et ferramenta sint idonea et

Ed. Chart. XII. [252. 253.] Foes. I. 773. Ed. Lind. II. (744. 745.)

μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις ὡς χρή. ὁκόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ καὶ μόχλευσις καὶ σφήνωσις. ἄνευ δὲ τούτων ἢ ἑνός δή τινος ἢ πάντων οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελέουσιν. οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις· ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δ᾽ ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ παραξὺ ὃ παραφέρει, παραγλύψαντα χρὴ τοῦ ὀστέου ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθήμερα ἢ δευτεραῖα, τριταῖα δὲ μὴ, τεταρταῖα δὲ ὡς ἥκιστα, καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, (745) ὀχλήσαντι δὲ, ἐν ταύτῃσιν τῇσιν ἡμέρῃσιν φλεγμονὴν ἂν ποιήσειε καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον. [253] σπασμὸν μέντοι ἐμβάλλοντι πουλὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα εὖ χρὴ εἰδέναι, καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης, λυσιτελέει

convenientem quis molitionem adhibeat. Ex omnibus namque machinamentis, quae convenienter ad usum homines comminiscuntur, violentissima haec tria exiſtunt, aselli circumactio, per vectem molitio et cunei adactio. Ac nisi aut unum aliquod, aut omnia adhibueris, nihil ex his omnibus, quae magna vi nituntur, perfici possit. Quare negligenda non est haec per vectes molitio. Hac siquidem ratione, aut nulla alia, ossa in suas sedes reconduntur. Quod si sane pars ossis, quae super aliud effertur, minime idoneam vecti sedem exhibet, sed acutum quid prominet, illud scalpro utrimque limandum, quo firmius vecti insideat. Eodem autem die aut postero molitionem et extensionem adhibere convenit, sed non tertio, quarto vero et quinto minime. His etenim diebus lacessita ossa, etiam si suis sedibus restituta non sint, inflammatione tentantur, ac nihilominus etiam ubi restituta fuerint. Quin etiam reposito osse multo magis excitabitur nervorum distentio quam non reposito, quod probe nosse convenit. Et enim si re-

δὲ ὀπίσω ἐμβάλλειν τὸ ὀστέον εἰ οἷόν τε εἴη ἀόχλως. οὐ γὰρ ἐπὶ τοῖσιν χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλ' ἐπὶ τοῖσιν ἐντεταμένοισι μᾶλλον, περὶ οὗ νῦν ὁ λόγος. οὐ χρὴ οὖν ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν ταύτῃσιν, ἀλλὰ μελετᾷν ὅκως ἥκιστα φλεγμαίνῃ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσῃ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τότε ἧσσον κωλύειν ἢ πειρῆσθαι ἐμβάλλειν, ἢν ἐλπίζῃς κρατήσειν. ἢν δὲ μὴ, οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλέεσθαι. ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι τοῦ ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι ἤν τε μή. χρὴ δὲ ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ὡς ἔφην, τῷ τρόπῳ τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ἐπὶ τὸ πολὺ ὡς ἐπὶ δύο ἀρχέων ὑποδεσμὶς ὑποδεῖται. [254] τεκμαίρεσθαι δὲ χρὴ πρὸς

posito osse nervorum distentio supervenit, in angusto spes est. Praestatque, si id sine molestia fieri possit, os retro compellere. Neque enim his quae plus justo laxiora sunt nervorum distentiones et rigores accedunt, sed his quae magis intenduntur, qua de re nunc agitur. His igitur praedictis diebus nullam molestiam exhibere oportet, sed operam dare ut ulcus quam minime inflammatione tentetur, maximeque ad pus perveniat. Elapsis vero septem diebus, aut etiam paulo pluribus, si febris absit neque ulcus inflammatione vexetur, tunc minus obstat quo minus reponere tentemus, si id nos consequi posse non diffitemur. Alioqui nil opus est frustra aut sibi molestiam aut alteri exhibere. Ubi igitur ossa in suam sedem compuleris, discessionem factura sint necne, quaenam ad ea curandi ratio accommodari debeat, jam est expositum. Ac si quidem discessura ossa speraveris, in his omnibus deligatio ex linteis, quo dixi modo, ut plurimum a mediis orsa instituenda est, velut quae ex duobus initiis primum fascia circumdatur. Ulceris autem forma in considerationem ad-

Ed. Chart. XII. [254. 255.] Foës. I. 773. 774. Ed. Lind. II. (745. 746.)

τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρὸς καὶ ἐκπεπληγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν. [255] τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν ξυντρόφως ἔχει, τοῖσι δὲ ἐπ᾽ ἀριστερὰ, τοῖσι δὲ ἀπὸ δύο ἀρχέων. ὁκόσα δὲ κατηπο(746)ρήθη || ὀστέα ἐμπεσεῖν. ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν. ψιλοῦται δὲ ἐνίων μὲν τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλωθεν ἀμφιθνήσκουσιν αἱ σάρκες. καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος σεσάπρισται ἔνια τῶν ὀστέων, τῶν δ᾽ οὔ, καὶ τῶν μὲν μᾶλλον, τῶν δ᾽ ἧσσον, καὶ τὰ μὲν σμικρὰ, τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν ὁκότε τὰ ὀστέα ἀποστήσεται. τὰ μὲν γὰρ διὰ μικρότητα, τὰ δὲ διὰ τὸ ἐπ᾽ ἄκρου ἔχεσθαι θᾶσσον ἀφίσταται, τὰ δὲ διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι καταξηρανθέντα καὶ σαπρὰ γενόμενα. πρὸς δὲ τούτοις διαφέρει τε καὶ ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες, τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι. καὶ

hibenda est, quo quam minimum hiantibus ac diductis labris sub vinculo existat. Interdum etenim accommodate vinculum ad dexteram ducitur, interdum vero ad sinistram, aliis etiam ex duobus initiis ortum habet. At quae suis sedibus ossa restitui non potuerunt, ea discessionem esse factura nosse convenit, necnon quae prorsus carne nudata sunt. Nudantur vero quibusdam parte superiore, nonnullis quoque in orbem quoquoversus carnes emoriuntur. Et nonnullis quidem sub diuturno vulnere ossa quaedam cariem experta sunt, aliis vero minime, et his quidem magis, illis autem minus, ac partim quidem parva, partim etiam magna. Ob relatas igitur causas uno verbo explicari non potest, quo tempore ossa discessionem sint factura. Quaedam etenim ob parvitatem, nonnulla etiam quod in summo contineantur, celerius discedunt. Alia vero minime, verum arefacta et cariem sentientia desquamantur. Ad haec etiam multum inter se curandi ratio differt. His igitur in totum celerrime ossa abscedunt, quibus citissime pus coit, celerri-

Ed. Chart. XII. [255. 256.] Foës. I. 774. Ed. Lind. II. (746. 747.)

γὰρ αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν αὗται μετεωρίζουσιν τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται, ἔνια γὰρ εἰς ἑξήκοντα ἡμέρας ἀφικνεῖται. τὰ μὲν [256] γὰρ ἀραιότερα τῶν ὀστέων θᾶσσον ἀφίσταται, τὰ δὲ στερεώτερα βραδύτερον, τὰ δὲ ἄλλα τὰ μείω πολλὸν ἐνδοτέρω, ἄλλα δ᾽ ἄλλως.

Ἀποπρίειν δ᾽ ὀστέον ἐξέχον ἐπὶ τῶνδε τῶν προφασίων χρὴ, ἢν μὴ δύνηται ἐμβάλλειν, μικροῦ δέ τινος αὐτῷ δοκέῃ δεῖν παρελθεῖν καὶ οἷόν τε ᾖ παραιρεθῆναι, ἤν τε ἀσηρὸν ᾖ καὶ θραῦόν τι τῶν σαρκίων καὶ δυσαισθησίην παρέχει, ψιλὸν δὲ τυγχάνει ἐὸν καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. τὰ δ᾽ ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρῖσαι οὔτε μὴ ἀποπρῖσαι. σαφέως γὰρ (747) εἰδέναι χρὴ ὅτι ὀστέα ὅσα τελέως στερέεται τῶν σαρκῶν καὶ ἐπιξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν τεταγμένων σημείων

meque etiam atque optime caro producitur. Quae enim in laesa parte caro subnascitur, ea fere in sublime ossa attollit. Totus quidem testae ossis ambitus, si quadraginta diebus discessionem facit, recte abscedere existimandus est, cum tamen quaedam sexagesimum attingant. Rariora quidem certe ossa citius, solidiora tardius, quaeque etiam minora sunt, multum infra hoc spatium atque alia aliter discedunt.

His autem de causis os eminens praecidi debet, si in suam sedem compelli nequit, ac tantum non reponi posse videatur, si detrahi queat, si noxium fuerit et carnem aliqua ex parte vulneret, sensusque molestiam afferat. Quin si denudatum fuerit, id quoque auferri debet. Reliqua praecidantur necne non multum refert. Prorsus enim constat quae carne in totum privantur et arefiunt, ea penitus quoque discessionem esse factura. At quae in squamas resolvi sperantur, ea praecidi non debent. Ex propositis autem indiciis conjiciendum est quaenam penitus discessionem fa-

Ed. Chart. XII. [256. 257.] Foës. I. 774. 775. Ed. Lind. II. (747.)

τὰ τελέως ἀποστησόμενα. ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθεν γέγραπται, τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι δὲ χρὴ μὴ καταψυχροῖσι τέγγειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων κίνδυνος. κίνδυνος δὲ καὶ σπασμῶν. προκαλέεται γὰρ ἀεὶ σπασμὸν τὰ ψυχρὰ, ποτὲ δὲ καὶ ἕλκη. εἰδέναι δὲ χρὴ ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γενέσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύηται καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπέστη. [257] ὅσοις δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέσχεν, οὗτοι οὐ μάλα περιγίνονται. τὰ γὰρ ὀστέα μεγάλα καὶ πολλυμύελα καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα νεῦρα καὶ μύες καὶ φλέβες. καὶ ἢν μὲν ἐμβάλλοις, σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι· μὴ ἐμβληθεῖσι δὲ πυρετοὶ ὀξέες καὶ ἐπίχολοι καὶ λιγνυώδεες καὶ ἐπιμελαίνονται. περιγίνονται δὲ οὐχ ἧσσον οἷσι μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέσχεν ἢ οἷσι τὸ

ctura sint, ad eaque hujusmodi curatio per splenia et vini perfusionem, velut in abscessuris ossibus ante scriptum est, adhibenda. Cavendumque ne frigidis per exordia perfundantur, horroris enim cum febre nervorumque distentionis metus impendet. Frigida namque nervorum distentionem accersunt, quandoque vero etiam exulcerant. Nosse autem convenit illic brevius necessario membrum fieri, ubi utrumque os fractum et aliud super aliud excedens curatum fuerit, cuique totus etiam testae ossis ambitus discesserit. At quibus femoris aut brachii os eminens est, ii aegre supersunt. Nam cum ossa grandiora sunt et medullosa, tum vero multi et insignes nervi simul vulnerantur, et musculi et venae. Ac si quidem reposueris, nervorum distentiones supervenire consueverunt, non repositis autem febres acutae, biliosae, cum singultu et nigritie. Nihilo autem minus supersunt quibus neque in suas sedes sunt condita, neque ut reconderentur tentatum est. Potius vero supersunt quibus ossis pars inferior quam quibus superior eminet. Superesse

Ed. Chart. XII. [257.] Foës. I. 775. Ed. Lind. II. (747. 748.)
ἄνω. περιγίνονται δ᾽ ἂν καὶ οἷσιν ἐμβληθείη, σπανίως γε μήν. μελέται γὰρ μελετέων μέγα διαφέρουσιν καὶ φύσιες φυσίων τῶν σωμάτων εἰς εὐφορίην. διαφέρει δὲ μέγα καὶ (748) ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ἐξέχῃ. πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει, ὧν ἔνιαι τιτρωσκόμεναι σφάγιαί εἰσιν. εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισιν τρώμασιν τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβαλεῖν, ἐλπίζοις δὲ ἐμβάλλειν, καὶ μὴ πολλὴ ἡ παράλλαξις ᾖ τοῦ ὀστέου καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, φιλέουσι γὰρ ξυνδεῖν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν ξυλλαμβάνοιτο.

Ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν προπῖσαι χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ, εἰ δὲ μὴ, οὐδ᾽ ἐγχειρέειν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ οἵη περ κεφαλῆς ὀστέα κατεηγυίης καὶ ψυχρὸν μηδὲν προσφέρειν. σιτίων δὲ στερῆσαι

etiam possunt, sed raro quidem quibus intro sunt condita. Curationes enim et corporum naturae, quod ad ferendi levitatem attinet, longe aliis aliae praestant. Multum quoque refert an interiore parte brachii ac femoris ossa eminent. Multae enim et insignes venarum productiones per interiorem partem feruntur, quarum nonnullae, si vulnerentur, hominem jugulant. Sunt et exteriore parte quaedam, verum pauciores. Quare in hujusmodi casibus quodnam periculum impendeat non est ignorandum, idque in tempore praedicendum. Quod si in suam sedem compellere cogeris, idque te consequi posse speres, neque multum ossa inter se cesserunt, musculique in seipsos non contrahuntur, quod saepe fieri assolet, his per vectem molitio cum distentione bene contulerit.

Ubi restitueris, veratrum molle eodem die propinare convenit, si eodem die restitueris, alioqui ne tentare quidem oportet. Ulcus autem eodem modo quo capitis ossa fracta curandum est, neque frigidi quicquam admovendum, ac

Ed. Chart. XII. [258. 259.] Foës. I. 775. Ed. Lind. II. (748. 749.)

τελέως, [258] καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ἐπὶ ὕδωρ ἐπιστάζοντα τουτέῳ διαιτᾷν, ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατος πόματι χρῆσθαι· καὶ ἢν μὲν πυρεταίνῃ ξυνεχῶς, τεσσαρεσκαίδεκα ἡμέραις τὸ ἐλάχιστον οὕτω διαιτᾷν, ἢν δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρῃσιν. [259] ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον φαύλην δίαιταν ἄγειν. καὶ οἷσιν ἂν μὴ βληθῇ τὰ ὀστέα, καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιέεσθαι καὶ τῶν ἑλκέων τὴν μελέτην καὶ τὴν δίαιταν ὡσαύτως, καὶ τὸ ἀπαιωρεύμενον τοῦ σώματος μὴ κατατείνειν, (749) ἀλλὰ καὶ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν. ἀλλ' ἤν τις καλὴν ἔχῃ τὴν ἀποφυγὴν, αἵ τε γὰρ ἐλπίδες ὀλίγαι καὶ οἱ κίνδυνοι πολλοὶ, καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν ἐγγυτέρω τοῦ θανάτου ἀγάγοι ἢ σωτηρίης. τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα καὶ τὰ διακινήματα τῶν ὀστέων εὐηθέστερα πουλὺ τῶν κατ' ἀγκῶνα

cibo penitus interdicendum. Ac si quidem aeger natura biliosus fuerit, nonnihil mellae odoratae in aquam instillando eo victu sustinendus est. Si vero bile non abundet, aquae potione utendum. Quod si febre continenti detineatur, diebus quatuordecim ut minimum eo victu tolerari debet, sin febre vacet, septem diebus. Deinde sensim progressu facto pro ratione ad simplicem victus rationem revocandus. At quibus ossa intro condita non fuerint, tum eadem medicamenti potio adhibenda, tum eodem modo ulcus nutriendum, atque eodem victu perseverandum. Itidemque elatam corporis partem distendere non oportet, quin potius contrahere, quo laxior qua parte ulcus est efficiatur. Ossium quoque discessio longiore tempore fit, quemadmodum etiam ante dictum est. Taliaque praecipue vitanda sunt, si quis modo id honeste facere potest, cum et spes in angusto sit et pericula multa impendeant, ac nisi reposueris, imperitiae artis existimatio tibi subeunda sit, sin reposueris, aegrum potius ad mortem praecipites quam ad sanitatem reducas. Ubi ossa ex toto suis sedibus moventur, aut pau-

Ed.Chart.XII.[259.260.262-264.] Foëf.I.775.776. Ed.Lind.II.(749.)

κινημάτων καὶ ὀλισθημάτων. τό τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον ὡς ἐπὶ μεγέθει ἢ τὸ τοῦ || βραχίονος [260] καὶ δικαίην φύσιν μοῦνον ἔχον καὶ ταύτην περιφερέα. τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα καὶ βαθμίδας πλείονας ἔχον. [262] πρὸς δὲ τούτοις τὰ μὲν κνήμης ὀστέα παραπλήσια μῆκός ἐστι καὶ σμικρόν τι οὐκ ἄξιον λόγου τὸ ἔξω ὀστέον ὑπερέχει οὐδενὸς μεγάλου κώλυμα ἐόν, ἀφ' οὗ πέφυκεν ὁ ἔξω τένων ὁ παρὰ τὴν ἰγνύην. τὰ δὲ τοῦ πήχεος ὀστέα ἄνισά ἐστιν καὶ τὸ βραχύτερον παχύτερον συχνῷ, τὸ δὲ λεπτότερον πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον. [263] ἐξήρτηται μέντοι καὶ τούτων τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων. πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσεως τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον ἤπερ τὸ παχύ. ἡ μὲν οὖν φύσις τοιουτότροπος τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος, [264] καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα πολλάκις μὲν ὀλισθαίνει, ῥηϊδίως δὲ ἐμπίπτει. φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται οὐδὲ δεσμὸς

lum excedunt, id multo mitius in genu quam in cubiti flexu contingit. Femoris enim articulus pro magnitudine magis ſuccinctus quam brachii eſt, atque hic unus aequabilem habet naturam eamque rotundam. At brachii articulus cum magnus eſt tum plures habet cavitates. Adde quod tibiae quidem oſſa longitudinem habent inter ſe ſimilem et paulum quid ne effatu quidem dignum, quod exteriore parte eſt, excedit nihilque memorabile prohibet, ex quo exterior poplitis tendo ortum ducit. Cubiti vero oſſa inaequalia ſunt, quodque brevius longe plenius eſt, quod tenuius, multum ſupra articulum fertur et excedit. His tamen nervis qui ſunt ad communem oſſium conjunctionem annectitur. In brachio autem os tenue majorem connexionis nervorum partem habe quam craſſum. Atque horum quidem articulorum et oſſium in cubiti flexu natura eſt hujusmodi. Ex quo naturae modo oſſa quae in genu articulo ſunt, saepius quidem elabuntur, at facilius reconduntur. Ac neque inflammatio magna, neque articuli vinculum accedit. Plu-

τοῦ ἄρθρου. ὀλισθαίνει δὲ τὰ πλεῖστα εἰς τὸ εἴσω μέρος, ἔστι (750) δ' ὅτε καὶ ἐς τὸ ἔξω, ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. τούτων ἁπάντων αἱ ἐμβολαὶ οὐ χαλεπαὶ, ἀλλὰ τὰ μὲν ἔξω καὶ ἔσω ὀλισθαίνοντα καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινὸς, τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν, μὴ μὴν πολλῷ. [265] κατάτασις δὲ ὡς ἐπὶ τὸ πουλὺ μετρίη ἀρκέει, τῇ μὲν κατατείνειν τὴν κνήμην, τῇ δὲ ἀντιτείνειν τὸν μηρόν.

Τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀχλωδέστερά ἐστιν τῶν κατὰ τὸ γόνυ καὶ δυσεμβολώτερα καὶ διὰ τὴν φλεγμονὴν, ἢν μή τις αὐτίκα ἐμβάλοι. ὀλισθαίνει μὲν γὰρ ἧσσον ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ καὶ δυσθετώτερα καὶ ἐπιφλε[266]γμαίνει μᾶλλον καὶ ἐπιπωροῦται. ἔστι δὲ καὶ τούτων τὰ μὲν πλεῖστα σμικραὶ ἐγκλίσιες, ἄλλοτε ἐς τὸ πρὸς τῶν πλευρέων μέρος, ἄλλοτε τὸ ἔξω. οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκὸς, ἀλλὰ μένον τι κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βραχίονος, ᾗ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἔχει. τὰ μὲν οὖν τοιαῦτα κἂν τῇ ἢ τῇ ὀλισθῇ, ῥηΐδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη κατ' ἰθυωρίην τοῦ βρα-

rimum autem in interiorem partem excidunt, interdum vero in exteriorem, nonnunquam etiam in poplitem. Quorum omnium difficiles non ſunt repoſitiones. Verum ubi in exteriorem ac interiorem partem moventur, homo humili aliquo ſedili, crure paulo quidem ſublimiore collocato ſedeat. Fereque mediocris extenſio ſatis eſt, ut altera quidem parte tibiam, altera femur in diverſa contendas.

At quae ſunt in cubiti flexu oſſa, majorem moleſtiam exhibent quam quae in genu, majoreque negotio ob inflammationem reponuntur, niſi protinus reſtituantur. Minus quidem certe quam illa ſuis ſedibus moventur, ſed aegrius in ſuum locum reconduntur et collocantur, inſuperque inflammationem magis contrahunt et callum obducunt. Sunt autem horum magna quidem ex parte parvae inclinationes, interdum ad coſtas, interdum in exteriorem partem. Neque tamen articulus totus loco movetur, ſed quodammodo in brachii cavo ſubſiſtit, qua parte os cubiti excedit. Haec igitur ubi in hanc vel illam partem excidunt, facile reponuntur, ac ſatis eſt

Ed. Chart. XII. [266.] Foës. I. 776. 777. Ed. Lind. II. (750. 751.)
χίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν, τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα, τὸν δὲ ἐν τῇ ἑτέρῃ πρὸς τὸ ἐξεστεὺς ὄρθρον τὸ θέναρ προσβάλλοντα ὠθέειν, τῇ δ᾽ ἑτέρῃ ἀντωθέειν προσβάλλοντα ἐγγὺς τῷ ἄρθρῳ. ἐνακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμήνῃ ἐμβάλλῃ τις. ὀλισθαίνει δὲ ὡς ἐπὶ τὸ πουλὺ μᾶλλον ἐς τὸ ἔσω μέρος, ὀλισθαίνει καὶ ἐς τὸ ἔξω. εὔδηλα δὲ τῷ σχήματι καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα καὶ ἄνευ ἰσχυρῆς κατα(751)τάσιος. χρὴ δὲ τῶν ἔσω ὀλισθαινόντων τὸ μὲν ἄρθρον ἀπωθέειν ἐς τὴν φύσιν, τὸ δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα· ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον ἢ ἔνθα ἢ ἔνθα ὑπὲρ τὸ ὀστέον τοῦ πήχεος τὸ ἐξέχον ἐς τὸ κοῖλον τοῦ βραχίονος, γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο, ἢν δὲ || γένηται, οὐκ ἔτι ὁμοίως ἡ κατάτασις ἡ ἐς ἰθυωρίην γινομένη ἐπιτηδείη τῶν τοιουτέων ὀλισθημάτων. κωλύει γὰρ ἐν τῇ

brachium in directum extendere, ita ut unus ad manus juncturam intendat, alter sub ala comprehensum retineat, medicus autem altera manu ad emotum articulum admota, prominentiore palmae parte propellat, altera vero prope articulum injecta in contrariam partem impellat. Atque hujusmodi luxationes non aegre repositioni parent, si prius, quam inflammatione occupentur, recondantur. Ut plurimum autem magis in interiorem partem elabuntur, luxantur quoque et in exteriorem. Quae habitu manifesta fiunt, eaque plerumque etiam absque valida intensione in suas sedes restituuntur. In his autem quae in interiorem partem elabuntur, articulum in naturalem sedem propellere oportet, cubitum vero in pronum magis conversum circumagere. Atque magna quidem ex parte quae in cubiti flexu luxationes contingunt, sunt hujusmodi. Quod si articulus in hanc vel illam partem ultra cubiti os, quod in brachii cavum prominet, moveatur, quod quidem raro contingit, sed si accidat, non amplius similiter extensio in directum facta ad hujusmodi luxata accommodata fuerit. In hujusmodi namque extensione quod a cubito prominet, quo minus bra-

τοιαύτῃ κατατάσει, τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. χρὴ τοίνυν τοῖσιν οὕτως ἐκβεβληκόσι τὴν κατάτασιν ποιέεσθαι τοιαύτην, οἵη περ πρόσθεν γέγραπται, ἐπήν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ, ἀπὸ μὲν τῆς μασχάλης ἐς τὸ ἄνω τείνεσθαι, ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ ἐς τὸ κάτω ἀναγκάζειν. οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπερεωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος. ἢν δὲ ὑπερεωρηθῇ, ῥηϊδίη ἡ κατάτασις τοῖσι θέναρσιν τῶν χειρῶν. τὸ μὲν ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθέειν, τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον τὸ παρὰ τὸ ἄρθρον ἐμβάλλοντα ἀντωθέειν, τὸν αὐτὸν τρόπον ἄμφω, ἧσσον μέντοι. ἡ τοιαύτη κατάτασις τοῦ τοιούτου ὀλισθήματος δικαιοτάτη. ἐμβληθείη δὲ καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος, ἧσσον δὲ ἢ οὕτω.

Ἢν δὲ ἐς τοὔμπροσθεν ὀλισθῇ ὁ βραχίων, ἐλαχιστάκις μὲν τοῦτο γίνεται, ἀλλὰ τί ἂν ἐξαπίνης ἐκπάλησις οὐκ ἐκβάλλοι; πολλὰ γὰρ καὶ παρὰ τὴν οἰκείαν φύσιν ἐμπίπτει, κἢν μέγα τι ᾖν τὸ κωλῦον. ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα τι

chium ſupra ferri poſſit prohibet. In his igitur quae ſic ſuo loco mota ſunt, ejusmodi extenſionem adhibere convenit, quae prius deſcripta eſt ubi quis brachii fracta oſſa deligat, ita ut ab ala quidem in ſuperiorem partem tenſio fiat, ab ipſo autem cubiti gibbo deorſum cogamus. Hac enim maxime ratione brachium ſupra ſuum ſinum ſublime tolletur. Quod ſi accidat, facile in ſuam ſedem reconduntur, ubi manuum palmis partim quidem os brachii elapſum propellentes reponimus, partim vero os cubiti quod juxta articulum eſt, in partem contrariam impellimus, in utroque eodem modo, minus tamen. Atque haec diſtentio in hoc luxamento juſtiſſima videtur. Quin et intenſione in directum in ſuam ſedem recondi queat, minus tamen quam ſi hoc modo intendatur.

At ſi in anteriorem partem brachium elabitur, quod quidem raro admodum contingit, ſed quid non ejicit repentina motio? Multa namque ſuis ſedibus excidunt, etſi magnum quoddam ſit impedimentum. In hac autem articuli

Ed. Chart. XII. [266. 267.] Foës. I. 777. Ed. Lind. II. (751. 752.)

τὸ ὑπερβαινόμενον τὸ ὑπὲρ τὸ παχύ(752)τερον τῶν ὀστέων καὶ τῶν νεύρων συχνὴ κατάτασις. ὅμως δὲ δή τισιν ἐξεπάλησεν. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ χρῆμα τοῦ ἀγκῶνος κάμψαι δύνανται. εὔδηλον δὲ καὶ τὸ ἄρθρον ψαυόμενον. ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ καὶ πυρετώδεες γίνονται· ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμ[267]βολον. χρὴ δὲ ὀθόνιον σκληρὸν εἰλιγμένον ἀρκέσει μὴ μέγα ἐνθέντα πλάγιον ἐς τὴν καμπὴν τοῦ ἀγκῶνος ἐξαπίνης ξυγκάμψαι τὸν ἀγκῶνα καὶ προσαγαγεῖν ὡς μάλιστα τὴν χεῖρα πρὸς τὸν ὦμον. ἱκανὴ μὲν οὖν αὕτη ἡ ἐμβολὴ τοῖσιν οὕτω ἐκπαλήσασιν. ἀτὰρ καὶ ἐς τὸ ἰθὺ κατάτασις δύναται εὐθετίζειν τοῦτον τὸν τρόπον τῆς ἐμβολῆς. τοῖσι μέντοι θέναρσιν τῆς χειρὸς χρὴ τὸν μὲν ἐμβάλλοντα ἐς τὸ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν ὀπίσω ἀπωθέειν, τὸν δέ τινα κάτωθεν ἐς τὸ τοῦ ἀγκῶνος ὀξὺ ἐμβάλλοντα ἀπωθέειν ἐς τὴν ἰθυωρίην τοῦ πήχεος ῥέποντα. δύναται δὲ ἐν τουτέῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος κἀκείνη

emotione magnum quiddam supra os crassius fertur et multa nervorum contentio. nihilominus tamen quibusdam sua compage movetur. Hujus autem emotionis indicium est, quod nulla ex parte cubitum flectere queunt, et articulus ad contactum manifestus est. Nisi igitur subito reconditus fuerit, graves vehementesque inflammationes cum febre oriuntur. Quod si statim occurratur, nullo negotio in suam sedem reponitur. Oportet autem linteo duro convoluto non magno in cubiti flexu transverso imposito derepente cubitum inflectere et manum quam maxime fieri potest ad humeri caput adducere. Haec igitur reponendi ratio iis quidem sic emotis abunde est. Quin etiam in directum distentio hunc repositionis modum adaptare potest. Prominentioribus tamen manuum palmis ad brachii partem ad flexuram quidem extantem injectis, alter in posteriorem partem propellere, alter vero ab inferiore parte iisdem in cubiti eminentiam injectis, in contrariam partem e regione cubiti impellere debet. Ad hunc quoque luxationis modum

Ed. Chart. XII. [267.] Foës. I. 777. 778. Ed. Lind. II. (752. 753.)

ἡ κατάτασις ἡ πρόσθεν γεγραμμένη, ὡς χρὴ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ καταθῇ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται.

|| Ἢν δὲ εἰς τοὐπίσω βραχίων ἐκπέσῃ, ὀλιγάκις δὲ τοῦτο γίνεται, ἐπωδυνώτατον δὲ τοῦτο πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀκρητοχόλων, θανατωδέων καὶ ὀλιγημερέων, οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχοις, βιάσασθαι χρὴ ἐκατανύσαντα τὸν ἀγκῶνα (753) καὶ αὐτόματον ἐμπίπτει. ἢν δέ γε φθάσῃ πυρετήνας, οὐκ ἔτι χρὴ ἐμβάλλειν. κατατείνειεν γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ᾽ ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σίνεα κατ᾽ ἀγκῶνα καὶ ὀχλώδεα. τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἐστὶν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, τὸ οὔτε ξυγκάμπτειν οὔτε κατατανύειν ὁμοίως δύναται. δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν ξύγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν δια-

adhiberi poteſt intendendi ratio prius deſcripta, qua oſſa brachii fracta, ubi devincienda ſunt, extenduntur. Atque ubi diſtentio facta eſt prominentioribus manuum partibus admotis, velut prius dictum eſt, conformare oportet.

At ſi poſteriorem in partem brachium exciderit, quod tamen raro contingit, is caſus maximos omnium dolores febresque aſſiduas mere bilioſas, lethales et quae intra paucos dies hominem e vita tollant, inducit. Quibus id accidit, brachium extendere nequeunt. Si ergo ſtatim a principio affueris, vi cubitum intendere oportet ac ſponte in ſuum locum reſtituetur. Quod ſi febris praeoccuparit, recondi non amplius debet. Vi enim adhibita dolor intenderetur. Ac, ut uno verbo dicam, neque ullus alius articulus, ac minime omnium cubitus, dum febris adeſt, in ſuam ſedem compellendus eſt. Aliae quoque graves noxae ac moleſtae in cubiti gibbo contingunt. Nempe os iſtud craſſius quandoque ab altero dimovetur, tuncque neque curvari neque extendi ſimiliter brachium poteſt. Id autem manifeſtum fit, ſi quis cubiti flexum, qua vena ſcinditur et ſupra

Ed. Chart. XII. [266. 268.] Foes. I. 778. Ed. Lind. II. (753. 754.)

σχίδα τῆς φλεβὸς τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκ ἔτι ῥηΐδιον ἐς τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν. οὐδὲ γὰρ ἄλλην οὐδεμίην ῥηΐδιον ξυμφυάδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν. ὡς δ' ἐπιδέειν χρὴ ἐν ἄρθρῳ ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται. ἔστι δ' οἷσι κατήγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποτεταγμένον τῷ βραχίονι. ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, καὶ ἐπὴν τοῦτο κινηθῇ, πυρετῶδες καὶ κακόηθες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ. ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτῃ ὑπερέχει. ὅταν δὲ [268] ἀπαγῇ ταύτῃ ᾗ ὑπερέχει ἡ κεφαλὴ τοῦ βραχίονος, πλανωδέστερον τὸ ἄρθρον γίνεται, ἢν παντάπασιν ἀποκαυλισθῇ. ἀσινέστερα δὲ, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντα τὰ κατηγνύμενα τῶν ὀστέων ἐστὶν ἢ οἷσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφιφλᾶται ἐν τούτοισι τοῖσι χωρίοισιν. ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ ἐκεῖνα, ἢν ἐκπυρωθῇ (754) ξυνεχεῖ πυρετῷ. ὀλίγα γε μὲν

lacertum fertur, manu contingat. Quod ubi accidit, non facile in suam naturam restituitur. Neque enim ulla alia duorum inter se ossium connexio, ubi dimota est, facile in pristinam sedem reponitur, verum diductis ossibus eam partem turgidiorem esse necesse est. Qua autem ratione articulus vinciendus sit, in malleoli deligatione dictum est. Interdum vero os cubiti brachio subjectum frangitur, quandoque etiam cartilaginea ejus pars, ex qua tendo in posteriore brachii parte enascitur. Quod cum sit, febrem et maligna vitia inducit. Articulus tamen suo loco manet, aequaliter enim ipsius basis hac parte excedit. Cum vero qua parte brachii caput supereminet discesserit, magis vagatur articulus quam si penitus transversus frangatur. Ac, ut uno verbo complectar, minores noxae sunt sub ossibus fractis quam si iis non fractis, venae tamen ac nervi insignes iis locis conterantur. Haec enim magis quam illa praecipitant, si febre continua incendantur. Verum hujusmodi

Ed. Chart. XII. [268.] Foes. I. 778. 779. Ed. Lind. II. (754.)

τὰ τοιαῦτα κατήγματα γίνεται. ἔστι δ' ὅτε αὕτη ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν κατάγνυται. οὕτω δὲ δοκέω κακοσινώτερον εἶναι πολλῷ, πολλῷ τινὶ εὐηθέστερον τῶν κατ' ἀγκῶνα σινέων ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει ἐμβάλλειν καὶ μάλιστα ἰητρεύειν γέγραπται, καὶ ὅτι παραχρῆμα ἐμβάλλειν καὶ μάλιστα ἄρθρον ξυμφέρει διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλέει τὰ νεῦρα ξύντασιν ποιέεσθαι καὶ κωλύειν ἐπὶ πόσον χρόνον τήν τε ἔκτασιν ὅσηνπερ φιλέει ποιέεσθαι, τήν τε ξύγκαμψιν. ἰητρεύειν δὲ πάντα παραπλησίως ταῦτα ξυμφέρει καὶ ὁκόσα ἄγνυται || καὶ ὁκόσα διΐσταται καὶ ὁκόσα ὀλισθαίνει. πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι καὶ σπλήνεσιν καὶ κηρωτῇ ἰητρεύειν, ὥσπερ καὶ τἄλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος ἐν τούτοισι παντάπασι δεῖ τοιοῦτον ποιέεσθαι, οἷόν περ οἷσιν βραχίων ἀπεδεῖτο καταγεὶς καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασιν καὶ τοῖσι κινήμασιν καὶ τοῖσι κατήγμασιν

quidem fracturae raro evenire consueverunt. Interdum quoque ipsum brachii caput juxta productionem frangitur. Idque cum longe magis noxium esse videatur, iis quae circa cubitum contingunt multo est levius. Qua igitur ratione luxata singula in suas sedes reponi potissimumque curari conveniat, scriptum est, quodque articulum protinus in suum locum compelli ob celerem nervorum inflammationem maxime conferat. Etenim si quae suo loco mota sunt statim recondantur, una etiam nervi contendi solent, aliquantoque tempore consuetam tum extensionem tum inflexionem impedire. Haec autem omnia simili modo curare convenit, tum quae franguntur tum quae inter se dissident tum quae luxantur. Cuncta enim pluribus fasciis et spleniis ac cerato haud aliter quam reliquae fracturae curanda sunt. In his etiam cubiti gibbum talem prorsus habitum habere convenit, qualis ubi brachium fractum aut cubitus deligabatur. His enim omnibus tam luxationibus quam emotionibus et fracturis maxime communis est habitus, nec non

τοῦτο τὸ σχῆμά ἐστιν· κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν καὶ τὸ ἐκτανύειν ἕκαστα καὶ ξυγκάμπτειν. ἐντεῦθεν γὰρ ὁδοὶ ἐς ἀμφότερα παραπλήσιοι. εὐοχώτατον δὲ καὶ εὐαναλήπτον αὐτῷ τῷ κάμνοντι τοῦτο τὸ σχῆμα. ἔτι δὲ πρὸς τούτοις εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος, εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλίγον. εἰ δ᾽ αὖ ξυγκεκαμμένη, μᾶλλον (755) εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη εἰ τὸ διὰ μέσου σχῆμα ἔχουσα πωρωθείη κρέσσων. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα.

Ἐπιδεῖν δὲ χρὴ τήν τε ἀρχὴν τοῦ πρώτου ὀθονίου βαλλόμενον κατὰ τὸ βλαφθὲν, ἤν τε καταγῇ ἤν τε ἐκστῇ ἤν τε διαστῇ, καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι καὶ ἐρηρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι χρὴ τοῦ τε πήχεος καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκάτερον ἢ ὡς οἱ πλεῖστοι ποιέουσιν, ὅκως ἐξαρύεται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσεπιβαλλέσθω

ad eam quae poſtea ſequitur diſtentionem, et ad ſingula extendenda et flectenda. Inde enim ſimiles ad utraque viae ineundae ſunt. Praeterea hoc habitu aegroto membrum facile continetur et appenſum excipitur. Ad haec etiam ubi callus firmandus eſt, ſi quidem porrecta manu callus obducatur, eum minime adeſſe praeſtaret, cum magno ſit impedimento, parum vero proſit: ſin autem manu inflexa callus obducitur, magis ex uſu fuerit. At longe expeditius meliusque fuerit, ſi manu medio habitu collocata callus obfirmetur. Ac de habitu quidem hactenus.

Deligare vero oportet primo faſciae capite ad laeſam partem injecto, ſive fracta ſit ſive exciderit ſive dehiſcat, ibique primas convolutiones circumdare, ita ut ea parte maxime obſirmentur, ſed utrimque minus. Vinculo quoque cubitus et brachium communiter comprehendendum, quod utriusque multo majorem partem occupet quam plerique ſoleant, quo quam longiſſime a loco laeſo in hanc vel illam partem tumor exprimatur. Vinculo inſuper eminentia etiam

δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος, ἤν τὸ σῖνος κατὰ τοῦτο ᾖ ἤν τε μὴ, ἵνα τὸ οἴδημα ἐνταῦθα περὶ αὐτὸ ξυλλέγηται. περιφεύγειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει ὅκως μὴ κατὰ τὴν καμπὴν πολλῷ τοῦ ὀθονίου ἠθροισμένον ἔσται ἐκ τῶν δυνατῶν. πεπιέχθαι δὲ κατὰ τὸ σῖνος ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαβέιω αὐτὸν περὶ τῆς πιέξιος καὶ τῆς χαλάσιος. ταῦτα καὶ κατὰ τοὺς αὐτοὺς χρόνους [269] ἕκαστα ὥσπερ τῶν ὀστέων τῶν κατεηγύτων ἐν τῇ ἰητρείῃ πρόσθεν γέγραπται, καὶ αἱ μετεπιδέσιες διὰ τρίτης ἔστωσαν. χαλᾷν δὲ δοκεέτω τῇ τρίτῃ, ὥσπερ καὶ τότε, καὶ νάρθηκας προσπεριβάλλειν ἐν τῷ ἱκνεομένῳ χρόνῳ. οὐδὲν γὰρ ἀπὸ τρόπου καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι καὶ τοῖσι μὴ, ἢν μὴ πυρεταίνῃ. ὡς χαλαρωτάτους δὲ τοὺς μὲν ἀπὸ τοῦ βραχίονος κατατεταγμένους, τοὺς δὲ ἀπὸ τοῦ πήχεος κειμένους. ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες. ἀναγκαῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισιν, παραλλάσσειν δὲ παρ᾽ ἀλλήλους, ᾗ ἂν ξυμφέρει τεκμαιρόμενον πρὸς τὴν (756) ξύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθεσιν τοιαύτην χρὴ ποιέεσθαι, ὥσπερ καὶ τῶν ναρ-

cubiti circumdanda, ſive ea parte noxa ſit ſive non, ut ne circa ipſam tumor colligatur. Vitandum etiam in vinciendo, quoad ejus fieri poterit, ne vinculum ad cubiti flexum multum coacervetur. Compreſſio quoque quam maxime qua parte noxa eſt facienda, caeteraque, quod ad vinculi compreſſionem ac laxamentum attinet, eadem iisdemque temporibus ſingula adhibenda, quae in oſſium fractorum curatione prius ſcripta ſunt. Tum tertio quoque die vincula reſolvenda. Tertio item die laxa eſſe ſentiantur, non ſecus ac in fracturis. Ferulae quoque ſuo tempore circumdandae. Nihil enim abſurdum eſt, tam iis quibus oſſa fracta ſunt quam quibus fracta non ſunt adhibere, niſi febris adfuerit. Quam laxiſſimae autem partim quidem ad brachium adaptentur, partim etiam ad cubitum collocentur, neque eae craſſae. Admoveri quoque eas inaequales neceſſe eſt ac inter ſe cedentes, quatenus conferat conjectura ad flexum adhibita. Quin et ſplénia eadem ratione, qua ferulas dixi-

Ed. Chart. XII. [269. 289. 290.] Foës. I. 779. 780. Ed. Lind. II. (756.)

θήκων εἴρηται, ὀγκηροτέρους δὲ ὀλίγῳ κατὰ τὸ σῖνος προστιθέναι. τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς τεκμαίρεσθαι καὶ ἀπὸ τῶν πρόσθεν γεγραμμένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΘΡΩΝ.

[289] || (756) Ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαίνον τὸν ἐς τὴν μασχάλην. ἄνω δὲ οὐδέποτε εἶδον οὐδὲ ἐς τὸ ἔξω. [290] οὐ μέντοι διϊσχυριείω γε, εἰ ὀλισθαίνοι ἂν ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ ὅ τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὄπωπα, οὐδὲ τοῦτο ὅτι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰητροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθαίνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι παντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος ἐξέχουσα ἐς τοὔμπροσθεν. ἐγὼ δέ ποτε τὸ τοιοῦτον οὐ φὰς ἐκπεπτωκέναι ἤκουσα φλαύρως ὑπό τε τῶν ἰητρῶν ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα· ἐδόκεον γὰρ αὐτοῖσι ἠγνοηκέναι μοῦνος, οἱ δὲ ἄλλοι πάντες

mus, sunt apponenda, sed qua parte vitium est, paulo pleniora. Temporis vero opportunitatem cum ex inflammatione tum ex iis quae supra scripta sunt conjicere oportet.

HIPPOCRATIS DE ARTICVLIS LIBER.

Humeri articulum uno modo, in alam videlicet, excidere vidi, nunquam autem in superiorem aut exteriorem partem. Non tamen excidat necne contenderim, licet de eo aliquid dicere possim. Verum neque in priorem partem unquam vidi, nec excidere posse existimo. Etsi quibusdam medicis eam in partem plurimum luxari videtur. Sed maxime falluntur in iis, quorum carnes circa articulum et brachium tabes occupavit. In quibus brachii caput in anteriorem partem prominere prorsus videtur. Atque ego cum aliquando hujusmodi articulum excidisse negarem, eam ob rem tum apud medicos tum apud vulgum male audivi. Solus enim ignarus, alii vero omnes periti sunt habiti, rem-

Ed. Chart. XII. [290. 292. 293.] Foes. I. 780. Ed. Lind. II. (756. 757.)

ἐγνωκέναι καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀναγνῶσαι, εἰ μὴ μόλις ὅτι τόδ᾽ ἐστὶ τοιόνδε. [292] εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τῶν (757) σαρκέων τὴν ἐπωμίδα, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσειε δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην καὶ τὴν κληῗδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂν ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα. πέφυκε γὰρ ἐς τοὔμπροσθεν προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος. τὸ δ᾽ ἄλλο ὀστέον τοῦ βραχίονος ἐς τὸ ἔξω καμπύλον. ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ἔῃ, ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατ᾽ ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται, καὶ οὐκ [293] ἔτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος οὐδέποτε εἶδον, οὐδὲ εἰς τοὔμπροσθεν ἐκπεσὸν, οὐ μὴν ἰσχυριείω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσῃ ἂν οὕτως ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. εὐπαίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας

que ita se habere vix illis persuadere potui. Si quis ex brachio, superiore humeri parte, carnem detraxerit, ex ea quidem parte, qua musculus sursum tendit, tendonem quoque nudarit, qui juxta alam et jugulum ad pectus fertur, brachii caput, licet non exciderit, anteriore parte multum prominere conspicietur. Natura enim brachii caput in anteriorem partem pronum est, reliquum vero brachii os in exteriorem partem incurvatur. Brachium vero lati scapularum ossis cavo adjacet, ubi ad costas porrigitur. At cum in anteriorem partem manus tota extenditur, tunc brachii caput recta cavum lati scapularum ossis spectat, neque amplius anteriore parte prominere videtur. Sed quod in proposita quaestione versatur, nunquam anteriorem in partem prolapsum vidi, neque tamen de eo sic excidat necne verbis contenderim. Ubi igitur brachium in alam elabitur, cum multis contingat, complures id in suam sedem reponere norunt. Omnes autem nosse modos quibus medici recon-

τοὺς τρόπους οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι καὶ ὡς ἄν τις αὐτοῖς τοῖσι τρόποισι τούτοισι μάλιστα χρῷτο. χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. κράτιστος δὲ ὁ ὕστατος γεγραψόμενος, ὅσοισι μὲν οὖν πυκινὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν. ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον. τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος. [295] τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος, ὑποτείνας (758) τοὺς δακτύλους ἀναγκάζοι ἀπὸ τῶν πλευρέων ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος ἕνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν ἀντωθέῃ πρὸς τὰς πλευράς. ξυμφέρει δὲ κρατερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, ἢ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτω ποιοίη. ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. [296] ἔστι δὲ ἐμβολὴ ὤμου καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα

dere consueverunt, quaque ratione his quam optime quis utatur, eruditi est. Modus quoque optimus adhibendus, ubi validissima vi opus esse conspexeris. Optimus vero ille est, qui postremus paulo post adscribetur. Quibus igitur humerus frequenter elabitur, ii per se ut plurimum in suam sedem reponere possunt. Immissis enim sub alam alterius manus digitorum nodulis, articulum sursum propellunt, cubiti vero gibbum ad pectus adducunt. Ad hunc quoque modum medicus in suum locum compellet, si interiore articuli prolapsi parte sub alam immissis digitis, ipse quidem capite ad summum humerum obfirmato a costis reducat, genibus vero ad cubiti flexum brachio admotis ad costas repellat. At qui reponit, manus eum habere robustas convenit, aut ipse quidem manibus et capite id praestet, alius vero quidam cubiti gibberum ad pectus adducat. Reponitur quoque humerus, si cubito in posteriorem partem ad spinam reducto, tum altera manu quod in cubito eminet sursum re-

Ed. Chart. XII. [296. 297.] Foës. I. 780. 781. Ed. Lind. II. (758.)

τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾷν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐνερείδειν. [297] αὕτη ἡ ἐμβολὴ καὶ ἡ πρόσθεν εἰρημένη οὐ κατὰ φύσιν ἐοῦσαι ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν.

|| Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι. χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ τῆς χειρὸς τῆς σιναρῆς κατατείνειν αὐτὴν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόττον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραὶ πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη, οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ

flectatur, altera vero articulus retro obfirmetur. Hic reponendi modus cum superiore, etsi non sunt secundum naturam, articulum tamen circumducentes in suam sedem compellunt.

At qui calce reponere tentant, ii prope ad naturalem repositionem accedunt. Homine quidem humi supino reclinato, eum qui reponit humi sedere quam in partem articulus exciderit, oportet, deinde affecta manu suis manibus apprehensa, eam extendere, calce vero sub alam immisso, dextro quidem in dextram, sinistro in sinistram, in contrariam partem impellere. In alae cavum autem immitti rotundum aliquid quod congruat debet. Quam ad rem maxime accommodatae sunt parvae admodum pilae ac durae, quales multae e corio sui assolent. Nisi enim quid tale indatur, ad brachii caput calx pervenire nequit. Manu quippe extensa ala cavatur, tendonibus hinc et inde alam adversum inter se constringentibus. Alius vero ab altera

θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται (759) τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης. ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ εἰς τὴν μασχάλην περὶ τὴν σφαίρην, περιβεβλημένου τοῦ ἱμάντος καὶ κατέχοντος, λαβόμενον ἀμφοτερέων τῶν ἀρχῶν τοῦ ἱμάντος ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαίρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. [298] ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ, ὡς κατωμίζουσιν ἐς ὀρθόν. μείζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ἐπὶ τὴν μασχάλην ὀξὺν, κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρῃ οὕτω στοχασάμενον ὅκως ἀμφὶ τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσ-

ejus qui extenditur parte considens, hominem ad integrum humerum contineat, ut ne dum manus affecta in diversum tenditur, corpus circumducatur. Demum habenam mollem justae latitudinis, quae pilam sub alam impositam circumeat et contineat, utroque capite prehensam quidam supra caput ejus qui extenditur sedens et os summi humeri pede calcans in diversum contendat. Pila autem quam maxime fieri potest intro ad latus, non ad brachii caput accedat. Est et alius restituendi modus, cum in erecti et stantis humerum aeger sustollitur. Eum autem, qui in humerum tollit majorem esse oportet, apprehensaque laborantis manu sublatum humerum in alam subjicere, deinde velut sedi insidentem aliquantulum convertere, id in animum inducentem ut ex humero suo suspensum alā hominem attollat. Ipse vero excitato humero ea parte se magis quam altera attollat suspensique hominis brachium ad pectus suum quam celerrime compellat. In eoque habitu ubi hominem suspensum tenuerit, insuper

Ed. Chart. XII. [298. 299.] Foes. I. 782. Ed. Lind. II. (759. 760.)

ανασειέτω, ὁκόταν μετεωρήσῃ τὸν ἄνθρωπον ὡς ἀντιῤῥέποι τὸ ἄλλο σῶμα αὐτῷ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ἔῃ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθέν τις κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ἀρμένων δέονται ἐπεισενεχθῆναι. χρήσαιτο δ᾽ ἄν τις καὶ ἄλλοθι.

[299] Ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπο(760)λισθάνοι, ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος κρέμασθαι μικροῦ δέῃ ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸ ὕπερον ἔστω, τὸ δὲ ἐπιθάτερα τοῦ σώματος καταναγκαζέτω τις ὑπερβάλλων κατὰ τὸν

concutiat, quo reliquum corpus et in contrariam partem, ex adverso brachii quod continetur propendeat. Quod si levis admodum homo fuerit, huic praeterea levis aliquis puer a tergo appendeat. Atque hi omnes repositionis modi ad palaestram valde sunt accommodati, quod eo nulla inferri instrumenta desiderent. Quibus tamen alibi quoque quis uti possit.

Quin etiam qui pistillo in suam sedem compellunt prope ad naturalem reponendi modum accedunt. Pistillum autem molli quadam fascia convolvendum, quo minus elabatur, atque inter costas et brachii caput subter adigendum. At si breve quidem pistillum fuerit, collocari aliquo sedili homo debet, sic ut aegre brachium pistillo circumducatur, fere autem longius esse pistillum oportet, prope ut stans ex eo dependeat. Deinde brachio quidem et cubito circa pistillum porrecto, ex altera corporis parte manibus ad cervicem juxta jugulum injectis deorsum quis urgeat. Hic re-

Ed. Chart. XII. [299. 300.] Foës. I. 782. 783. Ed. Lind. II. (760. 761.)
αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶν καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν. [300] ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν τῇ, τὸ δὲ τῇ ἀντισηκωθείη μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὁ ὦμος, εἰ καὶ καταπεπήγει, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος ἢ τῇ ἢ τῇ. χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τὸ ἄνωθεν στρογγύλον ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσδιαναγκάσῃ τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

|| Κρατίστη μέντοι πασέων ἐμβολέων ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον ἢ τετραδάκτυλον τὸ ἐπίπαν, πάχος δὲ ὡς διδάκτυλον ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευράς, (761) ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειεν

positionis modus fere secundum naturam est et recondere articulum, si probe apparetur, potest. Quin et per transversum in scala lignum quidam alius hujusmodi modus atque etiam melior obitur, propterea quod suspensum corpus in hanc vel in illam partem securius ex aequo libretur. Ad id enim quod pistilli formam habet, licet humeri articulus adhaereat, periclitatur tamen corpus ne in hanc vel in illam partem oberret. At supra scalae gradum deligari rotundum aliquid debet, quod in alae cavum convenienter aptetur, insuperque brachii caput in suam sedem compellat.

Ex omnibus autem reponendi modis hic optimus. Lignum esto latitudinis fere quidem quinque aut quatuor digitorum, crassitudinis vero duorum aut etiam tenuius, longitudinis autem bicubitalis, aut paulo minus. Cujus alterum extremum rotundum sit et angustissimum ea parte maximeque tenue. Superciliosam autem habeat eminentiam in summa rotunditatis parte paulum extantem, qua non latus, sed brachii caput attingit, ut huic supposita alae

Ed. Chart. XII. [300. 301.] Foes. I. 783. Ed. Lind. II. (761.)
τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος. [301] ὀθονίῳ δὲ ἢ ταινίῃ μαλθακῇ κατακεκολλήσθω ἄκρην τὸ ξύλον, ὅκως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου, ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα κατά τε τὸν πῆχυν κατά τε τὸν καρπὸν τῆς χειρὸς, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιέεσθαι ὅκως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὅκως ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ τὸ σῶμα, κατὰ δὲ τὴν μασχάλην ὁ στρωτήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα, ἐπὶ θάτερα δὲ τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι, ἐπ᾽ ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κρατίστος ἐμβολῆς ὤμου, δικαιότατα μὲν

ad coſtas adaptetur. Lignum quoque quo lenius reddatur, extrema ſui parte linteum aut faſciam mollem agglutinatam habeat. Deinde ligni capite ſub alam intro, quantum fieri poteſt, inter coſtas et brachii caput impulſo, manus tota ad lignum porrecta alligari debet, ut ad brachium et ad cubitum et ad volam manus quam firmiſſime quieſcat. Imprimis vero id elaborandum eſt, ut ligni ſumma pars brachii capite ſuperato quam penitiſſime alam ſubeat. Poſt haec trabeculae transverſae inter duas columnas probe alligatae, manus una cum ligno ſuperimponenda, ſic ut altera quidem parte manus, altera corpus, ad alam vero trabecula ſtatuatur. Demum in alteram partem manus una cum ligno circa trabeculam deorſum urgenda, in alteram vero reliquum corpus. Trabecula autem ita alte vinciatur, ut totum corpus ſublime ſummis pedibus inſiſtat. Haec reponendi humeri ratio longe optima cenſetur. Juſtiſſi-

Ed. Chart. XII. [301. 302.] Foes. I. 783. Ed. Lind. II. (761. 762.)

γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος. δικαιόταται δὲ αἱ ἀντιῤῥοπαὶ, ἀσφαλέες δὲ τῷ ὀστῷ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν (762) κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη. οὐ μὴν ἀλλ᾽ ἐμβάλλειν γάρ μοι δοκέει καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέῃ κατὰ χώρην, ἀλλ᾽ ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα. [302] πάνυ μὲν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα. ἐσκευάσθαι μέντοι χρὴ τὸ ξύλον ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ, κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβαλλέειν

mam enim molitionem facit, si vel solum intro magis quam brachii caput lignum immittatur, justissimaeque fiunt in utramque partem librationes et ossi brachii securitatem praestant. Recentia igitur opinione citius reconduntur ac prius quam extensio facta videatur. Quin etiam ubi inveteraverint, haec sola repositio restituere potest, nisi jam temporis lapsu caro quidem articuli cavitatem occupaverit, et brachii caput locum in quem declinavit, consuetudine tritum jam sibi fecerit. Enimvero tamen ita inveteratum brachii luxum reponere mihi posse videtur. Quid non enim justa molitio moveat? Non tamen loco manere posse existimo, sed ut consuevit prolapsurum. Idem quoque efficies, si per scalam vi admota eundem reponendi modum adhibueris. Admodum item idonea fuerit sella magna Thessalica, super quam vis adhibeatur, si recens sit luxatio. Paratum tamen lignum velut dictum est oportet. Sed et aegro in sella in latus collocato, brachium cum ligno super eam partem, in quam dorso recumbunt,

Ed.Chart.XII.[302.304.305.] Foës.I.783.784. Ed.Lind.II.(762.763.)
ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν καὶ ὑπὲρ δίκλειδος θύρης. χρέεσθαι δὲ τούτοισιν ἃ ἂν τύχῃ παρεόντα.

[304] || *Εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ ξυντεταμένος ἐών.* [305] *καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τῶν νεύρων τὴν ἀπάρτισιν, ἣν χαλαρά τε ἔῃ φύσει καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρει. συχνοὺς γὰρ ἂν τις ἴδοι οἳ οὕτως ὑγροί εἰσιν, ὥστε, ὁπόταν ἐθέλωσιν, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίστανται ἀνωδύνως καὶ καθίστανται ἀνωδύνως. διαφέρει μέντοι καὶ σχέσις τις σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρ(763)κωμένοισιν ἐκπίπτει τε ἧσσον ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον ἐμπίπτει τε ῥᾷον. σημήϊον δὲ ὅτι ταῦτα οὕτως ἔχοι*

transmitti debet, et in alteram quidem partem corpus, in alteram vero brachium cum ligno deorsum impelli. Idem quoque impulsio super biforem januam facta efficit. Iis autem prout sese obtulerint utendum.

Naturam igitur alteri plurimum praestare, ut quae prolapsa sunt facile recondantur, animadvertere oportet. Et certe acetabulum ab acetabulo distat, cum hoc quidem facile, illud vero aegrius superetur. Plurimum etiam discriminis habet nervorum colligatio, quae iis quidem remissa, illis vero intenta est. Etenim in articulis humor hominibus inest, ob nervorum compagem, qui natura laxi sunt et facile intenduntur. Complures namque ita humidos videas, ut, cum velint, iis articuli sua sede citra dolorem moveantur, rursusque absque dolore restituantur. Quin et habitus quidam corporis discrimen habent. Iis enim qui bene habitis sunt membris et carnosis et articulus minus elabitur et aegrius reconditur. Ubi vero so-

τόδε. τοῖσι γὰρ βουσὶ τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι τοῦ χειμῶνος τελευτῶντος. τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ. [306] καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει ὅτι πάντων τῶν προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα. οὗτοι γὰρ μάλιστα || λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν πόην βόσκεσθαι. βοῦς δὲ οὐ μάλα πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισιν ἐστὶ λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος, βοΐ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος, παχεῖα δὲ καὶ ἀμβλεῖα ἡ ἄνω γνάθος. διὰ ταῦτα ὑποβάλλειν ὑπὸ τὰς βραχείας πόας οὐ δύνανται. τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφόδοντα ἐόντα, δύναται μὲν σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν πόην ὑποβάλλειν τοὺς ὀδόντας, καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ

lito tenuiores et macilentiores evaſerunt, tunc magis excidit et facilius reſtituitur. Cujus rei argumento ſunt boves, quibus tunc ſua cavitate femur magis excidit, cum macilentiſſimi evaſerunt. Quod ſub hiemis finem iis contingit, quo etiam tempore potiſſimum luxantur. Si modo hujusmodi quippiam in medicina tractari debet, et certe fas eſt. Recte enim novit Homerus, inter omnia pecora boves eo tempore quam maxime laborare, ex iisque aratores, quod hieme terram colant. Iis igitur quod maxime attenuentur, articuli potiſſimum prolabuntur. Reliquae namque pecudes brevem herbam depaſcere, bos non item nec niſi altam poteſt. Etenim reliquis tenuia labra prominent, et ſuperior mala gracilis eſt. At bovi craſſa quidem labra prominent, craſſa quoque aut retuſa ſuperior mala eſt, ideoque tenues herbas ſubire nequeunt. Rurſus animalia ſolidam ungulam habentia, ut quae utrimque dentata ſint, ſummis quidem labris aut dentibus vellere poſſunt et exiguae herbae dentes ſupponere hujusmodique herba

Ed. Chart. XII. [306. 307.] Foës. I. 785. Ed. Lind. II. (763. 764.)

πόῃ μᾶλλον ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα πόη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη· ὡς δ᾽ ὁπότ᾽ ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν. ὅτι ἀσμενωτάτη τοῖσι αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται. ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλα(764)ρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων. διὰ τοῦτο καὶ εἰλίπουν ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων, καὶ μάλιστα ὅταν λεπτὸν καὶ γηραλέον ἔῃ. διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι. περὶ οὗ οὖν ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτειν ἢ τοῖς εὖ σεσαρκωμένοισι, καὶ ἧσσον ἐπιφλεγμαίνουσι τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν ἢ τοῖσι σκελιφροῖσι καὶ σεσαρκωμένοις, [307] καὶ ἧσσόν γε δέδεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπείη τοῦ μετρίου μὴ ξὺν φλεγμονῇ, καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα γὰρ τοὐπίπαν τὰ ἄρθρα τοῖσιν

potius quam altiore delectantur. In totum enim exigua herba alta melior est ac firmior, praeterquam quod maturius frugem effert. Ideoque hunc in modum versibus cecinit;

Sic ubi flexilibus veris gratissima bobus
Tempestas fuerit. —

quod alta herba lubentissime delectantur. Sed et alioqui natura laxiorem hunc articulum quam caetera animalia bos habet, ideoque inter eundem pedes reliquis magis flectit, praesertimque ubi macie et senio confectus fuerit. His omnibus de causis bovi potissimum articulus excidit. De quo certe plura a me dicta sunt, quod ista eorum omnium quae ante dicta sunt fidem faciant. Sed ut nunc ad institutum redeat oratio, carne expertibus magis elabuntur articuli, ut et citius reconduntur, quam bene carnosis, minusque inflammatione tentantur humidis et gracilibus quam siccis et carnosis minusque in posterum devinciuntur. Quin et citra inflammationem mucus justo copiosior subest, atque ita lubricus magis locus fuerit. Fere enim gracilibus

ἀσάρκοισιν ἢ τοῖσι σεσαρκωμένοισιν ἐστίν. καὶ γὰρ αὗται αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων αἱ τῶν λεπτῶν μυξωδέστεραί εἰσιν ἢ αἱ τῶν παχέων. ὅσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἂν εἰ μή τι ἢ πλέον ἢ ἔλασσον φλεγμονῆς ὑπεγένετο. οἷσι μὲν οὖν ὅταν ἐμπέσῃ τὸ [308] ἄρθρον καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαί τε ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται, οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελεῖσθαι. ἰητροῦ μὴν ἐστι καταμαντεύσασθαι τῶν τοιούτων. τοῖσι τοιούτοισιν ἐκπίπτει καὶ αὖθις μᾶλλον καὶ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα. τοῦτο κατὰ πάντα τῷ ἀνθρώπῳ οὕτως ἔχει, καὶ μάλιστα κατ' ὦμον καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνῃ ταῦτα. (765) οἷσι δ' ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα, οὐ δύνανται χρῆσθαι τῷ ὤμῳ. κωλύει γὰρ ἡ ὀδύνη καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰῆσθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι πολλοῖσιν

magis quam carnosis articuli muco redundant. Gracilium namque carnes qui non recte ex arte inediam tolerarunt, quam obesorum mucosiores sunt. Quibus tamen cum inflammatione mucus subest, iis ex inflammatione articulus deligatur, ac propterea qui muco redundant articuli non admodum excidunt, qui alioqui exciderent, nisi aut major aut minor inflammatio accessisset. Qui igitur reposito articulo nullam circumjectis partibus inflammationem sentiunt et nulla interposita mora humero absque dolore uti possunt, ii quidem nulla adhibita cura sibi opus esse existimant. Medici tamen officium est, adversus hos praesagium instituere. In hujusmodi si quidem et rursus promptius elabitur, quam quibus nervi inflammatione vexantur. Atque haec in omnibus hominis articulis ita se habent, ac praecipue circa humerum et genu. Haec namque potissimum luxantur. At quibus nervi inflammatione laborant, ii humero uti, quod dolor et inflammationis contentio prohibeat, non possunt. Iis igitur cerato et spleniis, ac multorum linteorum vinculis mederi oportet, ac lanam

Ed. Chart. XII. [308. 309.] Foës. I. 785. 786. Ed. Lind. II. (765.)
ὑποδέοντα. ὑποτιθέναι δὲ ἐς τὴν μασχάλην εἰρίον μαλθακὸν καθαρὸν ξυνειλίσαντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ἔῃ, ἀνακωχέῃ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα ἐς τὸ ἄνω ῥέποντα ἴσχειν χρὴ τὰ πλεῖστα. οὕτω γὰρ ἂν οἴη ἑκάστω εἴη τοῦ χωρίου ἐς ὃ ὤλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα. χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχέως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰατρὸν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος. ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὸ αὐτὸ ἀποβαίνει, καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις, χαλαρώτερον τοῦ καιροῦ ἐὸν καὶ λύσειεν ἄρθρον σκληρότερον τοῦ καιροῦ || ἐόν. ἀλλὰ διορίεῖται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλ[309]θακοῖσι χρὴ χερσὶν ἀνατρίβειν, συμφέρει γὰρ καὶ ἄλλως πρηέως. τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον ὅσον ἀνωδύνως κινήσεται. καθίσταται δὲ πάντα τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δ᾽ ἐν ἐλάσσονι.

mollem, mundam et convolutam in alam imponere, quae ſinum expleat, tum contra vinculum quidem fulciat et articulum inhibeat. Brachium autem ut plurimum detinendum ut in ſuperiorem partem vergat. Ita enim humeri caput a loco, in quem prolapſum fuit, quam longiſſime abfuerit. Humero vero devincto deinde brachium, faſcia in orbem corpori circumvoluta, ad latus alligandum. Humerus quoque blande et molliter perſricandus. Multarum vero rerum experientiam medicum habere oportet, ac certe etiam frictionis. Ex eodem enim nomine non idem evenire conſuevit. Nam et juſto laxiorem articulum frictio vincire, et juſto duriorem ſolvere poteſt. Verum de frictione nobis alio loco tractabitur. Hunc igitur humerum mollibus manibus tum alioqui blande, quod certe confert, perſricare convenit. Articulus autem non vi, ſed quatenus id citra dolorem fieri poſſit dimovendus. Omnes vero in ſuam ſedem reponuntur, partim quidem longiore partim etiam breviore tempore.

Ed. Chart. XII. [309—311.] Foës. I. 787. Ed. Lind. II. (765. 766.)

|| Γινώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τούτοισι χρὴ τοῖσι σημείοισι. [310] τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα, παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς καὶ τῷ μὴ ὑγιεῖ πρὸς τὸ ὑγιὲς, μήτ᾽ ἀλλότρια ἄρθρα (766) καθορῶντα, ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ἔῃ τὸ ὑγιὲς τῷ κάμνοντι. [311] καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς, παραξύνεσιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα, καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην καὶ ὁμιλίῃ ὁμιλέειν. πολλοὶ γὰρ ὑπὸ ὀδύνης ἢ ὑπ᾽ ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν καὶ ἐννοεῖν καὶ τὸ τοιόνδε σχῆμα χρὴ, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται, ἅτε ὑποδεδυ-

His autem indiciis an brachium exciderit intelligi potest. Atque id quidem, ubi homines justum corpus et manus et crura nacti sunt, si pars integra cum sana et sana cum integra conferatur, alterius hominis articulis in considerationem non adhibitis, quibusdam enim articuli natura magis prominent, sed ipsius aegrotantis, num integer vitiato dissimilis sit. Atque hoc recte quidem dictum est. Admodum tamen multa in his hallucinatio subest. Ac neque satis est hanc artem tantum ratione nosse, sed et in usum exercitatione traducenda est. Multi enim prae dolore, aut alia ex causa licet iis articuli non exciderint, haud tamen eo habitu, quo sanum corpus collocatur, restitui sustinent. Ad hujusmodi igitur habitum intelligentia et animi notione consequendum adniti oportet. Quin et brachii luxati caput in alam multo magis incumbere quam sani videtur. Ad haec in superiore humeri parte locus cavus apparet et summi humeri os, quod articulus in inferiorem locum sub-

κότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παραξύνεσιν μὲν καὶ ἐν τούτῳ ἔχει τινὰ, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι. τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μὲν, ἐπιπόνος δέ. [312] τοῦτο δὲ ἄνω τὴν χεῖρα ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύνανται, ὥσπερ τὸν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημήϊα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ γεγραμμέναι αἵ τε ἰητρεῖαι αὗται. ἐπάξιον δὲ τὸ μάθημα ὡς χρὴ ἰητρεύειν τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορὰν, τἄλλα πάντα ἀξιό(767)χρεοι ὄντες. πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήϊοι ἐγένοντο καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφοράν. ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν μηδὲ ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας κατά τε τὴν

ierit, extare conſpicitur. In quo quidem aliqua etiam hallucinatio ſubeſt, de qua, cum memoratu digna ſit, poſtea ſcribetur. In eo praeterea quod excidit, cubiti gibbus magis a latere recedere quam in altero videtur. Ac ſi quis vi admota adducat, iſtud quidem non ſine dolore fieri poſſit. Ad haec neque cubito extento rectam manum ſurſum ad aurem attollere admodum poteſt, neque hac vel illac perinde ac ſanum traducere. Atque haec quidem ſunt humeri prolapſi indicia ac reponendi modi qui ſcripti ſunt curationesque eaedem. At eorum curatio quibus humeri frequenter elabuntur cognitione digna eſt, cum multi alioqui ad omnia idonei a certaminibus prohibiti fuerint, multi quoque ad res bellicas inutiles evaſerint, eoque caſu perierint. Simul quoque eam ob cauſam res conſideratione digna eſt, quod neminem qui iis recte medeatur videam, verum partim ad curationem ne aggredi quidem, partim vero contra quam conveniat tum ſentire tum facere. Frequenter enim medici ad prolapſos humeros in ſuperiore

ἐπωμίδα κατά τε τὸ ἔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες εἰ μὲν εἰς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων ἢ ἐς τοὔμπροσθεν ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιον. νῦν δὲ δὴ ὅτε ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα. ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην τὸ δέρμα ἀφελκύσαι κατ᾽ αὐτὴν τὴν ἴξιν μάλιστα, καθ᾽ ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει. [313] ἔπειτα δὲ οὕτως ἀφελκυσμένον τὸ δέρμα διακαῦσαι ἐς τὸ πέρην. σιδηρίοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν μὴ παχέσι μηδὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι· ταχυπορώτερα || γὰρ καὶ τῇ χειρὶ ἐπερείδειν. χρὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν. τὰ γὰρ παχέα βραδέως περαιούμενα πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται, καὶ κίνδυνος ἂν εἴη ξυῤῥαγῆναι τὰς ὠτειλὰς, καὶ κάκιον μὲν οὐδὲν ἂν εἴη, αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην, τῶν μὲν

humeri parte et anteriore, qua brachii caput eminet, et posteriore quoque paulum juxta superiorem humeri partem ustionem adhibuerunt. Quae quidem recte adhibita fuisset, si brachium vel in superiorem vel anteriorem vel posteriorem partem prolapsum fuisset. Nunc vero cum in inferiorem partem elabatur, propellit potius quam prohibeat. Superiore enim capacitate brachii caput excludit. Sic vero ustione utendum, ut cutis sub ala digitis apprehensa secundum eam rectitudinem potissimum, in quam brachii caput prolabitur, attrahatur, sic deinde attracta cutis candenti ferramento trajiciatur. Ferramentis autem ad id utendum, non crassis neque admodum rotundis, sed oblongis. Manu enim impulsa celerius penetrant. Candentibus quoque adurendum, quo quam celerrime fieri potest penetrent. Crassiora namque cum tardius penetrent, latiores crustas resolvunt, periculumque est ne ulcera abrumpant. Quod etsi nihilo deterius est, deforme tamen magis et ab arte abhorrens censetur. Ubi vero adurendo ferramentum trajeceris,

Ed. Chart. XII. [313. 314.] Foës. I. 788. Ed. Lind. II. (767. 768.)

πλείστων ἱκανῶς ἂν ἔχοι τῷ κάτω μέρεϊ τὰς ἐσχάρας ταύτας μόνας θεῖναι. ἢν δὲ μὴ (768) κίνδυνος φαίνηται εἶναι ξυῤῥαγῆναι τὰς ὠτειλὰς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ἔῃ, ὑπάλειπτρον χρὴ λεπτὸν διέρσαι διὰ τῶν κατηγμάτων, ἔτι ἀναλελαμμένου τοῦ δέρματος. οὐ γὰρ ἂν ἄλλως δύναιο διέρσαι. ἐπὴν δὲ διέρσῃς, ἀφεῖναι τὸ δέρμα, ἔπειτα μεσηγὺ τῶν ἐσχαρῶν ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι. ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ, πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος. [314] ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσεπιλαμβάνειν, οὐδ᾽ ὅσα ἐσωτέρω τῶν ἀδένων. μέγας γὰρ ὁ κίνδυνος. τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων ἐπιπλεῖστον ἀπολαμβάνειν. ἀσινέα γάρ. γινώσκειν δὲ χρὴ ὅτι εἰ μὲν ἰσχυρῶς τὸν βραχίονα

in plerisque abunde erit inferiori duntaxat parti cruſtas inurere. Quod ſi periculum minime eſſe videatur ut ulcera abrumpantur, ſed magnum ſpatium ſit interjectum, tenue ſpecillum, quo ad illinendum utimur, per ambuſta foramina trajicere oportet, cute adhuc digitis apprehenſa, neque enim alias trajicere poſſis. Quo trajecto cutis laxanda eſt, deinde inter utramque cruſtam alia tenui ferramento, donec ſpecillo occurrat, inducenda et inurenda. Ex his autem conjicias quatenus cutis ſub ala apprehendi debeat. Glandulae ſub ala, ut et multis aliis corporis partibus, ſitae ſunt. Verum integra glandularum natura alias tractabitur, quodque exiſtant et quae in quoque indicent, quamque vim habeant. Has igitur neque quae his interiora ſubſunt prehendere oportet. Magnum namque periculum imminet, quod cum valde inſignibus nervis propinquitatem habeant. Quod vero extra glandulas eſt, id cum extra noxam ſit, quam plurimum apprehendendum. Illud autem animadvertere oportet, ſumme quidem ſurſum ſublato brachio ni-

ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ ὅ τι καὶ ἄξιον λόγου κατατεῖναι. [315] σιμοῦται γὰρ ἐν τῇ ἀνατάσει. οὐδ᾽ αὖ τόνους οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ πρόχειροι γίνονται καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ. οἱ δὲ τόνοι ὧν δεῖ προμηθέεσθαι εἴσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται. ἆρ᾽ οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ᾽ ἑκάστοισι; [316] ταῦτα μὲν κατὰ τὴν μασχάλην καὶ ἱκαναὶ αὗται αἱ κατα(769)λήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι.

|| Ἔκτοσθεν δὲ τῆς μασχάλης δισσὰ μόνα ἐστὶ χωρία ἵνα ἄν τις ἐσχάρας θείη, τιμωρεούσας τῷ παθήματι. μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην, [317] καὶ ταύτῃ τὸ μὲν δέρμα τελέως διακαίειν χρή. βαθύτερον δὲ οὐ χρή. φλὲψ γὰρ παχείη πλησίη καὶ νεῦρα, ὧν οὐδέτερα θερμαντέα. ὄπισθεν δ᾽ αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι ἀνωτέρω μὲν συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην, κατωτέρω

hil ex cute sub ala quod extensione dignum sit apprehendi posse. Consumitur enim ac resimatur cum sursum brachium porrigitur. Neque vero nervi ulla ratione vulnerandi sunt, qui eo habitu intenti sunt et expositi. At paulum sublato brachio multum quidem de cute apprehendes, cum nervi quibus cautio adhibenda est, intus ac ultra id quod apprehenditur siti sint. An non vero in omni arte imprimis elaborandum est ut justus in unoquoque habitus inveniatur? Atque haec quidem circa alam fieri debent, satisque ita cutem apprehendere ut recte ustiones adhibeantur.

Extra alam vero duobus tantum locis inurere licet, quo morbo succurratur. Uno quidem anteriore parte, inter brachii caput et tendonem, qui circa alam est. Eaque parte cutis penitus candenti ferramento, non tamen altius perurenda. Proxima enim est vena crassa et nervus, quorum neutrum igne tentari debet. Rursus autem exteriore parte alteram ustionem adhibere licet, multum quidem supra ten-

Ed. Chart. XII. [317—319.] Foës. I. 789. Ed. Lind. II. (769

δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ τὸ μὲν δέρμα τε λέως χρὴ διακαίειν. βαθεῖαν δὲ μηδὲ κάρτα ταύτην ποιέειν πολέμιον γὰρ τὸ πῦρ νεύροισιν. [318] *ἰητρεύειν μὲν οὖ χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε ἰσχυρῶς ἀνα τείναντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἕλκεων ἐπι μελείης εἵνεκα. ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικῶς ἰητρεύεσθαι ἧσσον δ᾽ ἂν ἐκπλήσσοιτο. ἧσσον δ᾽ ἂν αἱμοῤῥαγοίη. ἧσσον δ᾽ ἂν σπασμὸς ἐπιγένοιτο. ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσδεδέσθαι καὶ νύκτα καὶ ἡμέρην.* [319] *ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς· οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ὀπολειφθείη ἡ εὐρυχωρίη καθ᾽ ἣν μάλιστα ὀλισθαίνει ὁ βραχίων. ὅσοισι δ᾽ ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἔωσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βρα-*

donem qui ad alam eſt, paulum vero infra brachii caput. Ac cutis quidem penitus candenti ferramento adurenda, non tamen alte admodum infligenda plaga eſt. Ignis namque nervis eſt noxius. Mederi igitur ulceribus per totam curationem convenit, brachium nunquam vehementer, verum mediocriter, quantum ad ulcerum curationem opus eſt, attollendo, ut minus frigore tententur. Ambuſta namque omnia tegi debent, quo et moderatam curationem recipiant ac minus oras diducant, minorque cum profluvii ſanguinis tum convulſionis metus accedat. Ubi vero pura evaſerint ulcera et ad cicatricem pervenerint, tunc ſane omnino brachium die ac nocte ad coſtas ſemper alligatum eſſe oportet. Quin etiam ſanatis ulceribus eodem modo longo tempore brachium ad latus alligandum eſt. Hac enim potiſſimum ratione cicatrice obducetur et contrahetur laxitas ea, in quam maxime brachium prolabitur. At quibus humerus in ſuum locum recondi minime potuit, ſi quidem adhuc creſcunt, os brachii non aeque ac integrum augeri conſuevit,

ίονος ὁμοίως τῷ ὑγιεῖ. ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτε-(770)ρον δὲ τοῦ ἑτέρου γίνεται. [320] καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται. ἤν γέ τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας, διά τε ἄλλην συμφορὴν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται, ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται, καὶ ἤν τε τμηθῶσιν ἤν τε καυθῶσιν ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ κεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως ἢ τὴν ὑγιέα χεῖρα. οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσι ἐκπέσῃ ὁ ὦμος καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκωτέρη γίνεται καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο. ὅταν μέντοι ὀδυνώμενοι παύσωνται, ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ὁμοίως

verum ut aliqua ex parte augeatur, altero tamen brevius evadit. Idem vero experiuntur qui a primo ortu mustelae cubito praediti, Graecis γαλιάγκωνες dicuntur, et duplici ex noxa tales evadunt, sive quod in utero tali luxatione tenentur, sive aliam ob noxam postea scribendam. Quin etiam quibus adhuc tenellis circa brachii caput profundae altaeque demersae suppurationes contingunt, ii quoque omnes justo brevius et tenuius brachium habent et γαλιάγκωνες evadunt, et sive secentur sive urantur sive iis pus sponte erumpat, rem ita se habere compertum est. Manu quidem validissime uti possunt qui mustelae cubito ab ortu sunt praediti, qui tamen brachium ad aurem attollere extento cubiti gibbo non valent, idque multo minus quam manum integram. At ubi jam in homines evaserint, neque humerus prolapsus restitutus fuerit, iis gracilis superior humeri pars redditur, eaque parte habitus tenuatur. Neque tamen ubi dolor quieverit, ea quidem omnia, quae requiruntur ad sublatum cubiti gibbum a costis ad latera adducendum, similiter praestare

Ed.Chart.XII. [320. 321.] Foës. I. 789. 790. Ed. Lind.II. (770. 771.)
ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι, παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς ἢ ἐς τοὐπίσω ἢ ἐς τοὔμπροσθεν ταῦτα δὲ δύνανται ἐργάζεσθαι, καὶ γὰρ ἂν ἀρίδα ἑλκύσαιεν καὶ πρίονα, καὶ πελεκύσαιεν ἂν καὶ σκάψαιεν ἄν, μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα καὶ τἄλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται.

[321] || Ὅσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀνεσπασμένον. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος (771) τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ ἢ τῶν ἄλλων ζώων. οἱ οὖν ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι. ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, ὥστε καὶ προμηθεῖσθαι τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητροὺς τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι δοκέοντας αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλέειν τὸν ὦμον.

poſſunt. Quae vero brachio ad latus vel in priorem partem vel in poſteriorem adducto effici poſſunt, ad ea tractanda valent. Nam et ſcobinam et ſerram trahere, ſecuri item caedere et ligone ſodere queunt, dum ne nimium cubiti gibbum attollant, ad aliaque omnia quae hujusmodi habitus poſtulat efficienda, idonei habentur.

Quibus ſummus humerus avulſus eſt, iis os avulſum extare cernitur. Eſt autem id juguli et lati ſcapularum oſſis ligamentum. Hac enim in parte hominis a caeterarum animantium natura diſtat. Medici igitur hoc in caſu plurimum falli conſueverunt. Avulſo enim oſſe extante ſuperior humeri pars depreſſa et cava conſpicitur, ita ut quaſi humeris prolapſis curationem inſtituant. Equidem complures novi medicos, alioqui minime contemnendos, qui hujusmodi humeros excidiſſe rati dum reſtituere conarentur, magnam noxam aegris inferrent neque prius deſiſterent quam vel ſpe vel opinione reponendi humeri ſe fruſtratos

τούτοισι ἰητρείη μὲν ἥ περ καὶ τοῖσιν ἄλλοισιν τοῖσι τοιούτοισι, κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους καὶ πιέζειν ταύτῃ μάλιστα καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν. οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο ἀνεσπασμένον. τὰ δὲ μὴν εὖ εἰδέναι χρὴ καὶ προλέγειν ὡς ἀσφαλέα εἰ ἄλλως ἐθέλοις, ὅτι βλάβη μὲν οὐδεμίη οὔτε μικρὴ οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον. οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ ἐπέφυκεν, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται ὅ τι ἂν κοινωνέον ἐστὶν ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσιν γίνεται, ἢν χρηστῶς ἐπιδέηται.

[323] Κληῒς δὲ καταγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ εὐιητο(772)τέρη ἐστί· ἢν δὲ παραμηκέως, δυσιητοτέρη.

intelligerent. His quidem ea eſt curatio, quae caeteris hujusmodi, ceratum, ſplenia, faſciae et eadem vinciendi ratio. Os tamen quod ſupereminet deorſum urgendum eſt, eique plurima ſplenia admovenda et hac parte maxime apprimenda, brachiumque lateri annexum ſuperiore parte detinendum. Hac enim ratione os avulſum proxime adduci poterit. Haec autem probe noſſe et ſi tibi alioqui videatur certo praedicere licet, hoc caſu nullum quidem neque parvum neque magnum humero detrimentum contingere, locum tamen deformen reddi. Nunquam enim os illud in priſtinam ſedem, quale natura eſſe conſueverat, reſtituitur, ſed plus aut minus ſuperiore parte turgeſcere neceſſe eſt. Nam neque aliud os ullum, quod cum altero communionem et cohaerentiam habet, ubi a naturali ſede avulſum fuerit, in priſtinum locum revertitur. Summus vero humerus ſi probe vinciatur, paucis diebus dolore liberatur.

Jugulum ſi quidem ex toto transverſum fractum fuerit, facilius curatur, ſi vero per longitudinem, aegrius. Contra-

Ed. Chart. XII. [323. 324.] Foës. I. 790. 791. Ed. Lind. II. (772.)

τἀναντία δὲ τούτοις ἐστὶν ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν, καὶ εἰ πάνυ προμηθηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε. σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ᾽ οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ὧν δὲ ἂν παραμήκες τὸ ὀστέον κατεαγῇ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισιν τοῖσιν ἀπεσπασμένοισιν, περὶ ὧν πρόσθεν γέγραπται. οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκρὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῖδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται. [324] αἶσχός γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς κληῖδος καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον. ἔπειτα μὴν καὶ || ἧσσον γίνεται. συμφύεται δὲ ταχέως κληῒς καὶ τἄλλα πάντα ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ κατεαγῇ, οἱ τετρωμένοι σπουδάζουσιν

que id contingit quam quis existimet. Quod enim ex toto transversum fractum est, citius quis in suam sedem compellere et si diligenter prospexerit, ac idoneum habitum convenientemque deligationem adhibuerit, quod supra est infra adducere possit. Ac etiam si prorsus in suam sedem non collocatur, non tamen eminens ossis pars admodum acuta redditur. Quibus vero oblongum os frangitur, simile malum contingit iis quibus ossa quaedam avulsa sunt, ut ante scriptum est. Ipsum si quidem secum ipsum collocari non admodum potest, eminens tamen ossis summitas valde acuta redditur. Omnino certo scire convenit, nullam ex jugulo fracto neque humero neque reliquo corpori noxam afferri, nisi, quod raro accidit, praeterea siderari contingat. Ad jugulum tamen fractum deformitas accedit, idque primum turpissimum, deinde vero minus turpe fit. Jugulum vero ut et reliqua omnia ossa, quae laxa sunt, prompte coalescit. Talia namque callum celeriter obducunt. Ubi igitur recens est fractura, vulnerati malum re ipsa gravius esse rati, so-

νόμενοι μεῖζον τὸ κακὸν εἶναι, ἢ ὅσον ἐστίν. οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι οὔτε κωλυόμενοι οὔτε ὁδοιπορίης οὔτε ἐδωδῆς καταμελέουσιν, οἵ τε αὖ ἰητροὶ, ἅτε οὐ δυνάμενοι κατὰ τὰ χωρία ἀποδεικνύναι, ἀποδιδράσκουσι καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων. ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται. (773) ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν, καὶ τάδε δεῖ προσιητρεύειν καὶ τάδε δεῖ προοξυνιέναι, καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι, καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες οἳ ἐπεψηφίσαντο ἤδη μολίβδιον βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερέχον. ξυνίασι μὲν οὖν ἴσως οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες. ἀτὰρ δὴ οὐδ᾽ οὗτος ὁ τρόπος κληῖδος κατήξιός ἐστιν. οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι, οὐδὲν

sollicitudinem adhibent et medici quoque rectam curandi rationem magno studio suscipiunt. Procedente vero tempore vulnerati, cum neque dolore tententur neque aut cibum capere, aut iter facere prohibeantur, rem negligunt, itemque medici, cum nihil his in locis praestare queant, diffugientes laborantium incuriam non iniquo animo ferunt, interimque callus celeriter obducitur. Deligandi autem ratio eadem quae plerisque adhibetur, curatioque cerato, spleniis et mollibus linteis instituitur. Ac praeter istam curationem, imprimis in hac manuum tractatione providendum et insuper est animadvertendum, ut quam plurima splenia qua os extat imponantur, et plurimae fasciae ea praecipue parte adstringantur. Nonnulli vero jam solerter excogitarunt, ut plumbum aliquod grave superalligaretur, quo deorsum cogeretur quod extat. At neque forte prudenter se gerunt qui simpliciter deligant. Quin etiam sane hic modus jugulo fracto non est accommodatus. Neque enim quod eminet effatu memorabilem aliquam depressionem habere potest.

ὅ τι καὶ ἄξιον λόγου. ἄλλοι δ᾽ αὖ τινες εἰσὶν οἵτινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι. ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν τὴν ἴξιν τῆς κληΐδος ἐπιτανύοντες ἐς τοὔπισθεν ἄγοντες κἄπειτα περιβαλόντες περὶ τὸ ζῶσμα, ἐς τοὔμπροσθεν ἄγουσι, καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περινεόν τε καὶ παρ᾽ αὐτὴν τὴν ἕδρην καὶ παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάταγμα. ταῦτα γοῦν ἀπείρῳ μὲν ἀκοῦσαι φαίνεται ἐγγὺς τοῦ κατὰ φύσιν εἶναι, (774) χρεομένῳ δὲ ἄχρηστα. οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ᾽ εἰ κατακέοιτό τις καίτοι ἐγγυτάτω ἂν οὕτως, ἀλλ᾽ ὅμως εἰ κατακείμενος ἢ τὸ σκέλος συγκάμψειεν ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπι-

Alii rurſus intelligentes hujusmodi deligationes huc et illuc vitioſe ferri, neque quae eminent in naturalem locum cogere, ipſos quidem certe devinciunt, ſpleniis et linteis utentes perinde atque alii. Verum faſcia quadam homine accincto, qua parte aptiſſime cingi ſolet ſpleniis ad fracturae eminentia adhibitis, ut ea parte extuberent, faſciae caput ad cingulum anteriore parte alligant, atque ita productum in juguli directum vinculum, in poſteriorem partem agunt, deinde cingulo advolutum in anteriorem partem ducunt, rurſusque in poſteriorem reducunt. Quidam vero faſciam cingulo non obvolvunt, ſed ea ad interfoemineum ipſamque ſedem et juxta ſpinam circumdata, eo modo fracturam comprimunt. Haec igitur ubi audiuntur, inexperto quidem prope ad id quod ſecundum naturam eſt accedere videntur, verum ſi quis ad uſum accommodet, inutilia comperiet. Neque enim ullam unquam ſirmitatem habent, ne ſi quis decumbat quidem, quanquam ſic proxime ad ſirmitatem

δέσματα κινέοιτο, ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις. [325] ἥ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται. τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα οὐχ οὕτως ἰσχυρῶς ἔζωσται, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλεῖν τὰ ἐπιδέσματα. ἄγχιστα δ' ἄν τις δοκέῃ ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι. οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι. τὰ μὲν οὖν πλεῖστα εἴρηται, ὅσα καταλαμβάνει τοὺς τὴν κληῗδα καταγνυμένους. προσξυνιέναι δὲ καὶ τόδε χρὴ, ὅτι κληῒς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μέρει εἶναι. αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω ἂν πολὺ οὔτε ἀνωτέρω χωρήσειεν. μικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου ἐν τῷ στήθει. [326] αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος

accedant: verum ſi decumbens aut crus inflectat, aut ipſe incurvetur, faſciae omnes movebuntur, et alioqui moleſta eſt haec vinciendi ratio. Nam et ſedes intercluditur et faſciae in hac loci anguſtia univerſae colliguntur. Rurſus quae cingulo obvolvuntur, non adeo firmiter huic accincta ſunt, quin cingulum ſurſum ferri cogatur, atque ita neceſſe ſit vinculo omnia relaxari. Quam proxime autem res confieri poſſe videatur, etſi nihil magni quis praeſtiterit, ſi quibusdam faſciis ad cingulum convolutis, plurimas alias ad priorem deligationem admoveat. Hac enim ratione tum maxime ſtabiles faſciae fuerint, tum ſibi mutuo opem ferant. Plurima igitur quae jugulum fractum conſequuntur dicta ſunt. Sed et id quoque praeterea advertendum eſt, jugulum plerumque ita frangi ſolere, ut os quod eſt a pectore in ſuperiorem partem emineat, quod eſt a ſummo humero in inferiorem partem deprimatur. Horumque ea eſt ratio, quod pectus quidem neque infra neque ſupra admodum procedat. Articuli enim in pectore levis eſt agitatio. Pectus namque

καὶ τῇ ῥάχει. ἄγχιστα μὲν ἡ κληῒς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλοώδης ἐστίν. || ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. ἄλλως τε ὅταν τρωθῇ, φεύγει ἐς τὸ ἄνω (775) μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον, καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω, ὁ δὲ ὦμος καὶ ὁ βραχίων καὶ τὰ προσηρτημένα τούτοισι εὐαπόλυτά εἰσιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος, καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι καὶ κατωτέρω. ὅταν γοῦν καταγῇ κληῒς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιῤῥέπει. ἐς τοῦτο γὰρ ἐπιτροχώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥεῦσαι μᾶλλον ἢ ἐς τὸ ἄνω. ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστιν, ἀξυνετέουσιν ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται εἶναι. ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τῷ ἄνω προσακτέον ἐστί. τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς ἔστιν ἀναγκάσαι τοῦτο. αἵ τε γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον

tum ſibi ipſi, tum ſpinae continenter coaptatum eſt. Sed jugulum quidem proxime ad humeri articulum fluitat. Cogitur namque ſaepiſſime moveri, propter eam quam cum ſummo humero habet connexionem. Adde quod ubi vulneratum fuerit, pars ea quae pectori inhaeret ſurſum elabitur, neque fere deorſum deprimi ſolet, cum et natura levis ſit, eique ſupra quam infra major inanitas pateat. At humerus brachium et quae his connectuntur, facile a pectore et coſtis recedunt, ac propterea multum in ſuperiorem et inferiorem partem abduci poſſunt. Fracto igitur jugulo os quod ad humerum eſt, deorſum tendit. Promptius enim una cum humero et brachio deorſum inclinare poteſt quam ſurſum ferri. Cum igitur haec ita ſe habeant, imprudenter ſe gerunt, qui extantem oſſis partem deorſum cogi debere exiſtimant. Verum inferiorem partem ad ſuperiorem adducendam eſſe perſpicuam eſt, cum ea motionem habeat et a naturali ſede receſſerit. Patet igitur hanc aliter nullo modo cogi poſſe. Vincula namque nihilo magis adducunt

προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν, εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεται εἶναι, δῆλον ὅτι οὕτως ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς ὅθεν ἀπεσπάσθη. [327] εἰ οὖν τις τῇ μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως συναλθεσθῆναι εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάτην εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνίῃ, ἰητρεύοιτ᾽ ἂν τάχιστα καὶ κάλλιστα. κατακέεσθαι μέντοι τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστι, καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι. εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κληῒς καταγείη, ὃ οὐ μάλιστα γίνε(776)ται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ὑποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά γ᾽ ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα, καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιτ᾽ ἄν. [328] εἰ δὲ μὴ καταγείη μὲν οὕτω, παρολισθαίνοι δὲ ἐς τὸ πλάγιον

quam abducunt. Quod si quis brachium quam maxime ad latus adductum sursum propellat, sic ut quam acutissimus humerus appareat, eo modo plane continget ut cum osse, quod pectori adhaeret, unde est avulsa adaptetur. Is igitur cum recta intelligentia utetur, tum etiam optimam et celerrimam curationém instituet, qui legitimam deligationem, uti celeriter coalescat, adhibuerit, reliquaque omnia praeter commemoratum habitum vana reputaverit. Decumbere tamen hominem valde ad rem pertinet, et satis sunt dies quatuordecim, ut summum viginti. Quod si cui contra juguli fractura eveniat, id quod non admodum contingit, ita ut os quod est a pectore subjiciatur, quod est a summo humero extet ac super alterum feratur, nulla magna curatione hic opus est. Ipse enim humerus demissus cum brachio invicem ossa committet, ac quaelibet vivendi ratio satis fuerit, ut intra paucos dies callus contrahatur. At si non eo modo fractum fuerit, sed in hanc vel illam partem prola-

ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν ἂν δέοι ἀναγαγόντα τὸν ὦμον σὺν τῷ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται. ὅταν δὲ ἵζηται ἐς τὴν ἀρχαίην φύσιν, ταχείη ἂν ἡ ἄλλη ἰητρείη εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παραλλαγμάτων κατορθοῖ αὐτὸς ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω. ὅσα δὲ τῶν ἄνωθεν παρολισθαίνοντα ἐς τὸ πλάγιον ἦλθεν ἢ ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ μὲν ἄνθρωπος ὕπτιος κέοιτο, κατὰ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγον ὑποκέοιτο ὡς περιῤῥηδὲς ἔῃ τὸ στῆθος ὡς μάλιστα, καὶ τὸν βραχίονα εἰ ἀνάγοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον, ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δὲ ἑτέρῃ τὰ ὀστέα τὰ κατεαγότα εὐτεθίζοι, οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι. ἀτὰρ ὅπερ ἤδη εἴρηται εὖ μάλα τὸ ἄνωθεν ὀστέον ἐς τὸ κάτω φιλέει ὑποδύνειν. τοῖσι μὲν οὖν πλείστοισιν, ὅταν ἐπιδεθῶσι, τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον || ἀναγκάζεσθαι. ἔστι δ' οἷσι μὲν τὸν ὦμον ἀναγ-

batur, sublato quidem humero cum brachio in suam sedem reducendum erit, velut etiam antea dictum est. Ac ubi ad pristinum habitum redierit, reliqua curatio celerrime consequetur. Ut plurimum igitur ubi alia super aliam effertur, brachium in superiorem partem propulsum restituit. Ex his vero quae in superioribus partibus elabuntur, quaecunque ad latus aut infra tendunt, iis restitutionem subministraverit hominis supinus decubitus, si loco inter scapulas medio paulo sublimius aliquid supponatur, quo pectus quam maxime in utramque partem reflectatur, brachiumque aliquis ad latus porrectum sursum adducat. Medicus vero altera manu, injecta in brachii caput vola protrudat, altera ossa fracta componat. Sic enim quam maxime ad naturalem sedem reducet. Verum quod jam dictum est, os superius fere ad inferiorem partem subire solet. Plerisque igitur ubi devincti fuerint, hinc habitus auxilio est, ut detento ad latera cubiti gibbo ita sursum humerus propellatur. At nonnullis quidem, ut dictum est, in superiorem partem

κάζειν δεῖ ἐς τὸ ἄνω ὡς εἴρηται, [329] τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν. (777) ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν. ἢν μὲν οὖν κατακέεσθαι τολμᾷ, ἀντιστήριγμά τι προστιθέναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ἔῃ. ἢν δὲ περιίῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα ἀναλαμβάνειν περὶ τὸν αὐχένα.

[330] || Ἀγκῶνος δὲ ἄρθρον παράξαν μὲν ἢ παραρθρῆσαν πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, ἐς εὐθὺ κατατείναντα τὸ ἐξέχον ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον, τὰ δὲ τελείως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα. [331] κατάστασις μὲν ἐν ᾗ ὁ βραχίων κατεαγεὶς ἐπιδέεται. οὕτω γὰρ ἂν τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὰς μέρος τὰς δὲ κατορθώσιας ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ, μετέωρον περιάγειν καὶ περικάμπτειν καὶ μὴ ἐς εὐθὺ βιάζεσθαι. ἅμα δὲ ὠθεῖν τἀναντία ἐφ᾽ ἑκά-

humerus propelli debet, cubiti vero gibbus ad pectus adduci et manus extrema ad ſummum humerum ab integra parte admoveri. Quod ſi decumbere non recuſet, firmamentum quoddam cui obnitatur adhibere oportet, ut humerus maxime ſublimis maneat. Sin vero obambulet, fundam ex mitella factam ad cubiti eminentiam circumdatam, de collo ſuſpenſam geſtare.

At vero cubiti articulo ad latus, aut exteriorem in partem dimoto aut ſubluxato, acuta ipſius parte in brachii cavo remanente in directum diſtentione facta, id quod eminet retro et ad latus propulſandum eſt. Quod ſi prorſus in hanc vel illam partem exciderit, diſtentio quidem in qua brachium fractum deligatur adhibenda. Sic namque cubiti flexus nullo modo impedimento fuerit, potiſſimum vero in laterum locum prolabitur. Reſtituetur autem in ſuum locum, ſi quam plurimum abducendo, ut ne brachii caput acutum oſſis proceſſum contingat, ſuſpenſus circum agatur et circumflectatur neque in directum vis adhibeatur, ſimul autem utraque ex parte in contrarium impellatur et in ſedem com-

τερα, καὶ παρωθεῖν ἐς χώρην. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τουτέοις, ἐν τῷ μὲν εἰς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἴησις δὲ σχήματος μὲν ὀλίγον ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ πλευράς. οὕτω δὲ καὶ ἀνάληψις καὶ θέσις καὶ εὔφορον καὶ φύσις καὶ χρῆσις ἐν κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ, πωροῦται δὲ ταχέως. ἴησις δὲ ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν. πυλιγκώτατον δὲ ὁ ἀγκὼν πυρετοῖσιν ὀδύνῃσι, ἀσάδεϊ, (778) ἀκρητοχόλῳ. ἀγκῶνος δὲ μάλιστα τοὐπίσω διὰ τὸ ναρκῶδες. δεύτερον δὲ τοὔμπροσθεν. ἴησις δὲ ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείναντα κατατεῖναι. σημεῖον δὲ, οὐ γὰρ δύνανται ἐκτείνειν. τοῦ δὲ ἔμπροσθεν οὐ δύνανται ξυγκάμπτειν. τουτέῳ δὲ ἐνθέντα τι συνειλεγμένον σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης, || διαστάσιος δὲ ὀστέων. σημεῖον κατὰ τὴν φλέβα

pellatur. Ad haec quoque contulerit, si cubiti gibbus modo quidem in supinum, modo etiam in pronum contorqueatur. Ad curationem vero, quae ex habitu quidem pendet, spectat summam manum paulo cubiti gibbo altiorem, brachium vero ad latera adductum tenere. Eodem quoque modo et appensio et positio et facilis gestatio et natura ac usus communiter conferunt, si modo callus qui cito concrescit prave non obducatur. Quantum vero ad curationem attinet quae linteis instituitur, ea lege articulari fieri debet, ut et acuta cubiti pars insuper devinciatur. Rursus autem maxime excandescit cubiti gibbus febresque ac dolores, nauseam, ac meracae bilis vomitionem movet, idque maxime ob torporem, si cubitus parte posteriore elabatur, secundum id, si anteriore. Eadem vero curatio utrisque adhibetur. In posteriora quidem prolapsus reponitur, si porrectum brachium in diversa contendatur. Cujus rei indicium est, quod extendi nequit, ut et in anteriora prolapsi, quod minime flecti potest. Hic autem imposito duro aliquo convoluto ubi extenderis super id repente inflectendus est. At diductorum ossium indicium ad contactum venae quae in bra

τὴν κατὰ βραχίονα σχιζομένην διαφαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦνται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα. πλεῖστα τὰ ἐγγύτατα τοῦ πήχεος, δεύτερα χειρὸς, τρίτα δακτύλων. βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροπήν. ἡ δὲ ἑτέρη χεὶρ διὰ τὰ ἔργα ἔτι πλείω ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, εἴσωθεν· εἰ δὲ μὴ, ἐς τοὐναντίον, ᾗ ἐξέπεσεν, ἀγκὼν δὲ ἢν εἴσω ἢ ἔξω ἐκβαίη, κατάστασις μὲν ἐν σχήματι κοινῷ τῷ πήχεϊ πρὸς βραχίονα. τὴν μὲν γὰρ μασχάλην ἀναλαμβάνοντα ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖς θέναρσιν, ὡς τὰ ἐν χερσίν. ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις. τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα διορθοῦν τοῖσι θέναρσιν. ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ ἐν τοῖσιν ἑτέροισιν. (779) ἢν δὲ ἔμπροσθεν, ἀμφὶ ὀθόνιον συνειλημμένον εὔογκον συγ-

chio ſcinditur patet. Ea vero callo celeriter obducuntur. Quibus autem ex prima origine iſta excidunt, iis oſſa infra noxam, quae cubito ſunt proxima longe breviora evadunt, deinde quae in manu, tertio quae in digitis ſunt. Brachium vero et humerus quod motione vertantur, validiora fiunt. Itemque manu altera propter opera etiam longe validior eſt. At ſi exteriorem in partem articulus exciderit, interiore parte carnium fit imminutio; ſin minus, adverſa ex parte, in quam fit prolapſio. Cubiti gibbo in interiorem partem aut exteriorem prolapſo, repoſitio quidem in communi habitu cubiti ad brachium fieri debet. Ex ala namque faſcia excepta ſuſpenſio fit, extremo vero cubito ſuppoſitum pondus aliquod ad articulum appenditur, vel manibus deorſum vis adducitur. Tum ſublimi ſublato articulo oſſa manuum volis adducuntur. Hoc in habitu deligatio, appenſio et poſitio velut in manibus fieri debet. At ubi in poſteriora prolapſio facta eſt, derepente extenſione facta manuum palmis directio fiat, ſimulque haec in directione tum in caeteris uſurpanda ſunt. Quod ſi in priorem partem prolapſio facta ſit, linteo convoluto et in juſtum tumorem ſub-

κάμπτοντα ἅμα διορθοῦν. ἢν δὲ ἑτεροκλινὲς ᾖ, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης τῆς θεραπείης κοινὸν τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται καὶ ἐκ τῆς διατάσιος κοινῇ συμπίπτειν ἅπαντα. τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει.

[332] || Χειρὸς δὲ ἄρθρον ὀλισθαίνει ἢ ἔσω ἢ ἔξω. ἔσω δὲ τὰ πλεῖστα. σημήϊα δὲ εὔσημα, ἢν μὲν εἴσω, συγκάμπτειν τοὺς δακτύλους οὐ δύνανται, ἢν δὲ ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι ἢ πτέρνη ἅμα ἀπωθέειν καὶ ὠθέειν πρόσω κάτω. κάτωθεν δὲ κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλθακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις δὲ ὀθονίοισιν. ὅλη δὲ ἡ χεὶρ ὀλισθαίνει ἢ εἴσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα,

lato circumposito, inflectere simulque dirigere oportet. At si in alteram partem inclinet, una cum directione utraque facienda sunt. Habitus vero et deligatio ad medendi curam communiter spectant. Possunt quoque et ex distentione communiter omnia contingere. Articulus autem reconditur, partim quidem in sublime elevando, partim distendendo, partim vero circum oberrando. Idque dum habitus in hanc vel in illam partem excedunt, celeriter fieri debet.

Manus articulus in interiorem aut exteriorem partem luxatur, plurimum autem in interiorem. Signa vero in aperto sunt. Si quidem intro prolapsio fit, digiti inflecti, si extra, intendi nequeunt. Reponitur autem si digiti supra mensam positi partim quidem extenduntur, partim vero in diversa contenduntur, idque quod eminet aut prominentiore palmae parte, aut calce simul protruditur et anteriore parte deorsum urgetur. Ab inferiore vero parte juxta os alterum, molle aliquid in tumorem sublatum, si superiore quidem parte extat, manui conversae, sin inferiore, supinae est supponendum. Curatio linteis perficitur. At tota manus in interiorem vel exteriorem, vel in hanc

μάλιστα δὲ εἴσω. ἔστιν δ' ὅτε καὶ ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη, καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἕτερον ἀντωθέειν δύο εἴδεα ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ. παλίγκοτα δὲ καὶ ἀσχήμονα τῷ μὲν χρόνῳ κρατύνεται ἐς χρῆ(780)σιν. ἴησις ὀθονίοισι σὺν τῇ χειρὶ καὶ τῷ πήχεϊ καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι. νάρθηξι δὲ δεθέντα ταῦτα πυκνότερον λύειν ἢ τὰ κατάγματα, καὶ καταχύσει πλείονι χρέεσθαι. ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται καὶ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ᾗ τὸ ἔκπτωμα. ηὐξημένῳ δὲ τὰ ὀστέα μένει. δακτύλου δὲ ἄρθρον ὀλισθὲν μὲν εὔσημον, ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ ταινίῃσιν, ὀθονίοισι. μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ

vel illam partem prolabitur, potiſſimum vero in interiorem. Eſt ubi oſſis accrementum emovetur, interdum quoque alterum os diductum eſt. His valida diſtentio adhibenda et os quidem eminens propellendum, alterum vero in contrariam partem propulſandum, unaque duobus modis in poſteriorem partem et in latus, aut manibus ſupra menſam aut calce impulſio fieri debet. Quae autem rurſus excandeſcunt et deformitatem habent, tempore quidem ad uſum firmantur. Curatio linteis ſimul et in manu et in cubito perficitur, ferulaeque ad digitos usque imponendae. Haec vero ferulis deligata crebrius quam fracta reſolvenda et copioſiore perfuſione fovenda. At manus a primo ortu luxata brevior fit, et carnes adverſa parte in quam luxatio facta eſt potiſſimum imminuuntur, adulto vero oſſa permanent. Digiti articulus ubi exciderit, facile quidem videtur. Reſtituitur vero in directum contendendo et quod eminet propellendo, contrarium autem in alteram partem impellendo. Curatio faſciis fit et linteis. Quod ſi reſtitutus non fuerit, exteriore parte callum contrahit. Quibus autem a primo ortu aut dum adoleſcunt, oſſa pro-

ὀστέα βραχύνεται κάτω τοῦ ὀλισθήματος καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ ὡς τὸ ἔκπτωμα, ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

|| Γνάθος δὲ ὀλίγοισιν τελέως ἐξήρθρησεν. [333] ὀστέον τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι. ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου. τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. τά τε ἄκρεα τῆς κάτω γνάθου τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρείσδυτον, τὸ δ᾽ αὖ τὸ κορωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος, [334] ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ μασσητῆρες καλεόμενοι. [335] διὰ τοῦτο δὲ καλέονται καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται. (781) ἐν γὰρ τῇ ἐδωδῇ καὶ ἐν τῇ διαλέκτῳ καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος [336] ἡ μὲν ἄνω γνάθος ἀτρεμέει· συνήρτηται γὰρ τῇ κεφαλῇ καὶ οὐ διήρθρωται· ἡ δὲ κάτω γνάθος κινέεται· ἀπήρθρωται γὰρ

lapſa fuerint, ea infra luxationem breviora evadunt, et carnes adverſa parte quam qua prolapſio facta eſt potiſſimum imminuuntur. Adultis vero eadem magnitudine perſeverant.

At maxilla paucis adhuc in totum emota eſt. Os enim a ſuperiore maxilla procedens cum eo oſſe, quod ſub aurem annexum eſt, quaſi ſub jugum cogitur, quod maxillae inferioris capita intercludit et uno quidem capite ſublimius, altero vero depreſſius exiſtit. Inferioris item maxillae extremorum unum quidem ob longitudinem non facile elabitur: alterum vero cornicis roſtro ſimile et ſupra os jugale eminet. Simul quoque ex utrisque extremis nervoſi tendones exoriuntur, ex quibus innixi ſunt muſculi, qui temporales et maſticatorii dicuntur. Qui quod ex his dependeant, inde appellationem et motionem ſumpſerunt. Etenim inter edendum et loquendum, et in reliquo oris uſu maxilla ſuperior quieſcit. Capiti namque connectitur, non articulorum modo committitur. At inferior maxilla movetur. Articulatione namque a ſuperiore maxilla et ca-

Ed. Chart. XII. [336. 337. 338.] Foës. I. 797. Ed. Lind. II. (781.)

ἀπὸ τῆς ἄνω γνάθου καὶ ἀπὸ τῆς κεφαλῆς. διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι τοῦτο πρῶτον τὸ ἄρθρον σημαίνει συντεταμένον, καὶ διότι πληγαὶ καίριοι καὶ καροῦσαι αἱ κροταφίτιδες γίνονται καὶ ἐν ἄλλῳ λόγῳ εἰρήσεται. περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν τάδε αἴτια. αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων, ὥστε τὸν ἄνθρωπον χανέειν μεῖζον ἢ ὅσον δύναται, ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μεγάλα χανέοντα, παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα. [337] προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ τὰ ἄρθρα εἰσὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα μὲν ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, σχᾶται μέντοι πολλάκις ἐν χάσμασιν. ὥσπερ καὶ ἄλλαι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι. [338] δῆλον δὲ τοισίδε μάλιστά ἐστιν ὅταν ἐκπεπτώκει. προΐσχει γὰρ ἡ

pite diducitur. Quam igitur ob causam convulsionum ac nervorum distentionum, hic articulus ubi contrahitur primam de se significationem edat, aut quam ob rem temporum vulnera periculi plena sint et altum soporem inferant, alias dicendum erit. Quod vero non admodum prolabatur, hae causae sunt. Illud quoque in causa est, quod nulla tanta ciborum necessitas hominem supra quam possit hiare cogit. In nullo autem alio habitu prolabetur quam si quis vehementer hiando maxillam in alteram partem contorqueat. Ad id tamen ut excidat hoc confert, quod ex nervis aut musculis, qui juxta articulos sunt, aut ad eos annectuntur quicunque in usu crebro dimoventur, ii in extendendo plurimum concedere solent, non secus ac coria optime subacta plurimum extensioni cedunt. Ergo, ut ad institutum sermonem redeam, maxilla raro quidem excidit, laxatur tamen plerumque hiando, non secus ac in aliis musculorum et nervorum immutationibus istud usu venit. Ubi vero excidit, his praecipue indiciis patet. In-

Ed. Chart. XII. [338. 339.] Foes. I. 797. Ed. Lind. II. (781. 782.)

κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κόρωνον ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους. τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ᾽ ἂν (782) ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ, τῇ καὶ τῇ παράγοντα τῇ χειρὶ, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα, [339] ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νόον. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ ἑπόμενον τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ᾽ ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκέει

ferior enim maxilla in anteriorem partem prominet, et in alteram luxationis partem pervertitur, ossisque extremitas cornicis rostrum referens, ad superiorem maxillam magis intumescit, et aegri inferiores maxillas aegre committunt. Atque his quaenam repositio conveniat satis patet. Uno enim vulnerati caput continente, alter inferiorem maxillam homine quam moderate potest hiante, ad mentum tum interiore tum exteriore parte digitis apprehendere debet, ac primum quidem maxillam in hanc vel illam partem manu deductam, aliquandiu commovere tum aegro imperare ut maxillam relaxet, et simul deducentem adjuvet eique quam maxime fieri possit concedat: deinde ad tres figuras simul adhibito consilio, subito impulsu in suam sedem transferre. Si quidem ex perversione ad naturalem sedem inferior maxilla deducenda est, et in posteriorem partem propellenda. Tum aeger his obsequens maxillas committere, ac minime hiare debet. Ac reponendi quidem ratio haec est, quae ne alio quidem habitu administrari possit

σπλῆνα προστιθέντα κεκηρωμένον χαλαρῷ || ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκύτινον ὑποκεφάλαιον ὡς πληρέστατον, ἵνα ὡς ἥκιστα ὑπείκῃ. προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου.

Ἢν δ᾽ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δέ τι ἧσσον οὗτοι τὸ στόμα δύνανται. καὶ γὰρ προπετέστεραι αἱ γέννυες τούτοισιν, ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς μάλιστ᾽ ἂν γνοίης τοῖσιν ὁρίοισι τῶν ὀδόντων τῶν τε ἄνω καὶ τῶν κάτω κατ᾽ ἴξιν. [340] τούτοισι ξυμφέρει ἐμβαλέειν ὡς τάχιστα. ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται. ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνε(783)χέων καὶ νωθρῆς καρώσιος. [341] καρώδεες γὰρ οἱ μύες οὗτοι καὶ ἀλλοιούμενοι καὶ ἐντεινόμενοι παρὰ φύσιν. φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα ἄκρητα || ὀλίγα, καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσιν. [342] οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα. ἢν δὲ

Curatio vero brevis satis est, splenia in cerata adhibita laxa vinctura alligata. Tutius autem manus admoventur homine supino reclinato, ejus capite scorteo pulvino bene fracto obnixo, ut quam minime cedat. Praeterea vero vulnerati caput aliquis contineat.

At si utraque parte maxilla luxetur, eadem certe curatio est, sed os minus committere hi possunt. Etenim iis mentum in exteriorem partem magis promovetur, minime tamen torquetur. Ac minime torqueri potissimum ex dentium finibus deprehendes, cum inferiores superioribus ex adverso respondent. His quam celerrima repositio confert, cujus ratio supra est explicata. Alioqui nisi intro reverterit, periculum ex febribus assiduis et tardante alto sopore vitae imminet. Hi namque musculi soporem altum invehunt, cum aut praeter naturam intenduntur aut alienantur. Ii quoque biliosa, sincera, pauca alvo excernere solent et si vomitus adfuerit, sincera vomitione reddere. Moriuntur igitur ii etiam fere decimo die. At ubi infe-

καταγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ἔῃ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον παρά γε τὴν γλῶσσαν πλαγίαν ὑπείραντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν ἀντερείδειν, ὡς ἂν ξυμφέρῃ, κἂν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα δὲ δὴ χρυσίῳ, ἔστ᾽ ἂν κρατηθῇ τὸ ὀστέον, εἰ δὲ μὴ, ἐν λίνῳ. ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισιν καὶ ὀθονίοισιν ὀλίγοισιν μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτε ἐπίδεσις ὀθονίων γνάθῳ καταγείσῃ μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο, μεγάλα δ᾽ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. [343] πυκνὰ δὲ περὶ τὴν γλῶσσαν ἐσμάττεσθαι χρὴ καὶ πολὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐγκλιθέν. ἄριστον δὲ εἰ ἀεὶ δύναιτο, ἀλλ᾽ οὐχ οἷόν τε. ἢν δὲ ἀποκαυλισθῇ παντάπασι τὸ ὀστέον, ὀλιγάκις δὲ τοῦτο γίνεται, κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως καθάπερ εἴρη-

rior maxilla fracta fuerit, si quidem non omnino transversa fracta est, verum os adhuc cohaeret, in aliquam tamen partem inclinatur, illud quidem digitis ad linguam in latus adductam appressis, tum vero exteriore parte quoad expediet obnitendo, dirigendum. Ac si dentes juxta vulnus distorti sint et dimoti, ubi os in suam sedem collocatum fuerit, non tantum duo proximi, verum etiam plures, praecipue quidem aureo filo, vel certe lineo inter se sunt colligandi, quoad os confirmetur. Deinde cerato et paucis spleniis injectis, paucisque fasciis non valde appressis, sed laxioribus vinctura facienda. Nosse namque oportet linteorum deligationem malae fractae parum quidem prodesse, si recte adhibeant; si prave, magnopere laedere. Crebro autem circa linguam attrectando investigare, diuque renitendo digitis os inclinatum dirigere convenit. Ac praestaret id semper fieri, sed non licet. Quod si os transversum omnino fractum sit, quod tamen raro contingit, eo quidem quo dictum est modo in suam sedem collocari

ται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς ἔμπροσθεν εἴρηται. μέγα γὰρ ἂν συλλαμβάνοι ἐς τὴν ἀτρεμίην. προσέτι καὶ εἴ τις ὀρθῶς ζεύξῃ ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας. ἀλλὰ γὰρ (784) οὐ ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ᾽ ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγραμμένων. ἔπειτα χρὴ δέρματος καρχηδονίου, ἢν μὲν νεώτερος ᾖ ὁ τρωθεὶς, ἀρκέει τῷ λοπῷ χρέεσθαι, ἢν δὲ τελειότερος ᾖ, αὐτῷ τῷ δέρματι τάμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον ἢ ὅκως ἁρμόζῃ ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐμενέστερον γὰρ κόλλῃ προσκολλῆσαι τὴν δέριν ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμὰς, ὡς ἀμφιβεβήκει ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου, ἀπολιπόντα κατὰ τοσοῦτον ἀπὸ τοῦ τρώματος, ὅσον περ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν. [344] ἀποξέες δὲ ἔστωσαν οἱ

debet. Quo facto dentes inter se velut ante dictum est colligandi. Id enim magnopere ad quietem contulerit, idque magis si quis suturis ut decet injectis, recte eos conjunxerit. At vero universam manus curationem exacte scriptis prodere non est facile, sed ea ex his quae scripta sunt in animi notione reponenda est. Deinde ex corio Carthaginiensi, cujus quidem cortex exterior, si puer sit qui vulneratus est, satis fuerit, sin adultus ipso corio utendum, incisa habena trium digitorum, vel ea quae congruit latitudine sublita gummi maxilla, quo firmius haereat ad maxillam, qua transversa fracta est extrema corii parte agglutinetur, digiti vel paulo ampliore interposito spatio, idque inferiore parte. Incidatur autem haec habena e regione menti, ut acutam ejus partem utrimque comprehendat. Tum altera hujusmodi habena vel paulo latior ad superiorem maxillae partem agglutinanda, tantum a vulnere quantum altera recedens, quae qua parte autem circumambit incisuram habeat. Habenae autem qua parte

ἱμάντες ἀμφὶ τὴν ξυναφὴν, ἔνθα συνάπτεσθαί τε καὶ συνδεῖσθαι εἰς τὰ πέρατα τῶν ἱμάντων. ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως. ἔπειτα κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμάντα, μᾶλλον δέ τι τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀποσμιλαίνει ἡ γνάθος, ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφήν. κἄπειτα περὶ τὸ μέτωπον, ὀθονίῳ καταδῆσαι καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται ὡς ἀτρεμέη τὰ δεσμά. τὴν δὲ κατάκλισιν ποιεέσθω ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερῶν δέκα. ἔπει(785)τα ἀνατρέφειν μὴ βραδέως. ἢν γὰρ οὖν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσιν ἡ γνάθος κρατύνεται. τελέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ ἐπὶ σφακελισμῶν τῶν [345] συμπάντων ὀστέων, ἄλλος μακρὸς λόγος λείπεται. αὕτη ἡ διάστασις ἡ ἀπὸ τῶν κολλημάτων εὐμενὴς καὶ εὐταμίευτος καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ μὴ σὺν νόῳ

committuntur inter se acutae esse debent, et ubi earum capita connecti et colligari debent. In glutinando vero corii caro cuti obvertatur, sic enim firmius adhaerescet. Deinde extendenda haec habena, magisque ea quae est ad mentum, ut quam maxime utraeque circa verticem se contingant, ea cautione adhibita ne maxilla in acutum distorqueatur. Posteaque circa frontem fascia devincienda, quae omnibus aliis injici debet, ut fieri assolet, quo vincula immota maneant. In maxillam vero sanam decumbendum, non maxillae, sed capiti innitendo. Corpus ad decimum usque diem attenuandum, deinde non tarde reficiendum. Nam si primis diebus inflammatio non accesserit, viginti diebus maxilla firmatur. Perfecte enim callum obducit, non secus ac reliqua ossa rara, nisi siderentur. Verum de sideratione universorum ossium alia longa restat tractatio. Haec extensio, quae per glutinum adhibetur, firmiter haeret facileque procuratur et ad multas ac frequentes directiones faciendas perquam est accommodata. At medici

Ed. Chart. XII. [353. 354.] Foef. I. 799. 800. Ed. Lind. II. (785. 786.)
εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί εἰσι καὶ ἐν γνάθων κατήξεσιν. || ἐπιδέουσι γὰρ τὴν γνάθον κατεαγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς. πᾶσα γὰρ ἐπίδεσις γνάθου οὕτω καταγείσης ἐκκλίνει τὰ ὀστέα τὰ ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον ἢ ἐς τὴν φύσιν ἄγει. ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ. μούνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαί. ἀλλ᾽ οὐ βούλομαι ἀποπλανεῖν τὸν λόγον. ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων περὶ τούτων λεκτέον. ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστιν. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ εἰς τὸ εἴσω μέρος, προσβάλλοντα τοὺς δακτύλους, τὸ δὲ εἴσω ῥέπον ἀνάγειν ἐς τὸ ἔξω μέρος ἐνερείσαντα τοὺς δακτύλους. ἐς διάστασιν μέντοι διατειναμένοι ταῦτα χρὴ ποιέειν. [354] ῥᾷον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται τοῦτο παρὰ πάντα τὰ ὑπομνήματα χάριεν εἰδέ(786)ναι. ὁκόταν δὲ κατορθώσῃ, ζεῦξαι μὲν χρὴ

imprudenter ad manum proclives, cum in aliis vulneribus tum etiam in maxillarum fracturis facile manum admovent. Fractam enim maxillam variis modis tum recte tum prave devinciunt. Quaecunque fi quidem ita fractae maxillae deligatio admovetur, ea offa ad fracturam tendentia eo potius inclinat quam in naturalem ftatum reducat. Quod fi maxilla inferior qua parte ad mentum cohaeret diducatur. Unica autem haec eft in inferiore maxilla junctura, at in fuperiore multae. Sed non eft inftituti noftri longius a propofito fermone aberrare. In reliquis enim morborum generibus de his dicendum erit. Si ergo difiideat quae in mento junctura eft, eam quidem componere quivis poteft. Nam quod foras eminet, admotis digitis intro propellere oportet, quod intro vergit in exteriorem partem adducere digitis annitendo. Id autem ea diftentione adhibita, ut offa inter fe diftent faciendum. Hoc enim modo facilius in fuum ftatum redibunt quam fi quis illifa inter fe offa compellere conetur. Quod noffe in tota commentatione non eft invenuftum. Offibus vero coaptatis dentes hinc et inde,

τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. ἰῆσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν. ἐπίδεσιν δὲ βραχείην ἢ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γὰρ τοῦ ἰσοῤῥόπου ἐστὶν ὡς δὴ μὴ ἰσόῤῥοπον ἐόν. τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρὴ, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά. ἐπὶ δεξιὰ δὲ νομίζεται εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγεῖται τῆς ἐπιδέσιος· ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν. κἂν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπατρεμήσῃ ὡς χρὴ, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίνονται· ἢν δὲ μὴ, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσα. οἱ ὀδόντες δὲ καὶ σιναροὶ καὶ ἀχρηῖοι γίνονται.

[355] || Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστι κατήξιος, ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβέονται οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα καὶ μάλιστα. ἐπιδεσίων γάρ ἐστιν αὕτη ἡ ποικιλωτάτη καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαῤῥεωγὰς δὲ

velut quoque prius dictum eſt, inter ſe ſunt alligandi curatioque cerato et ſpleniis paucis ac faſciis inſtituenda. Vinculum autem breve aut varium praecipue hic locus admittit. Etſi enim ex toto aequis non eſt libratus ponderibus, ad id tamen prope accedit. At faſciae circumvolutio ſi quidem dextra maxilla exceſſerit, dextra parte facienda. Id fieri cenſetur, ubi dextra manus deligationi praeeſt. Quod ſi altera maxilla exceſſerit, ab altera parte faſcia ducenda eſt. At ſi recte quidem coaptata fuerit et ut debet quieverit, brevi conſaneſcit, ac dentes integri manent. Sin ſecus, longiore quidem tempore curatio accedit, eaque diſtorta et dentes laeduntur et inutiles exiſtunt.

Naſo vero fracto, fracturae modus unus non eſt. Verum qui ſpecioſis vinculis imprudenter delectantur, cum in aliis quidem multis, tum vero in naribus vel maxime turpiter illuduntur. Hoc enim vinculum inter caetera maxime varium eſt, plurimisque locis aſciam refert et relictis in cute

Ed. Chart. XII. [355. 356.] Foes. I. 802. Ed. Lind. II. (786. 787.)

καὶ διαλήψιας ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται ἀνόητον ἐγχειρίην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς καταγείσης ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην ἢ δύο ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει δὲ καὶ ὁ ἐπιδεδεμένος· ἔπειτα [356] ταχέως μὲν ὁ ἐπιδεδεμένος κορίσκεται· ἀσηρὸν γὰρ τὸ φόρημα. ἀρκέει δὲ τῷ ἰητρῷ ἐπειδὰν ἐπέδειξεν, ὅτι ἐπίσταται ποικίλως ῥῖνα (787) ἐπιδέειν. ποιέει δὲ ἡ ἐπίδεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος. τοῦτο μὲν γὰρ ὁκόσοι σιμοῦνται διὰ τὴν κάτηξιν δηλονότι εἰ ἄνωθέν τις μᾶλλον πιέζοι, σιμότεροι ἂν εἶεν. τοῦτο δὲ ὅσοισι παραστρέφεται ἢ ἔνθα ἢ ἔνθα ἡ ῥὶς ἢ κατὰ τὸν χόνδρον ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον. οὐχ οὕτω γὰρ συναρμόσει σπλήνεσι τὸ ἐπὶ θάτερον τῆς ῥινὸς, καίτοι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες. ἄγχιστα δὲ ἡ ἐπίδεσίς μοι δοκέη ἀντιποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ σὰρξ κατὰ τὸ ὀστέον, εἰ καὶ τὸ ὀστέον μικρόν τισιν εἴη καὶ μὴ μέγα. τοῖσι γὰρ τοιούτοισιν ἐπιπώρωμα ἴσχει ἡ ῥὶς

aliquot ſpatiis inanibus, varie admodum in rhombi formam intermittit. Qui igitur, ut dictum eſt, temerariam manus aggreſſionem ſtudioſe affectant, ii nares fractas ut devinciant avide arripiunt. Atqui uno aut altero die ſibi quidem medicus placet, deligatus item aeger gaudet, deinde cito ut moleſtum onus faſtidit, ſatisque eſt medico, ſi variam narium deligationem oſtentarit. Haec autem vinciendi ratio omnia contra quam oporteat efficit. Etenim ſive ob fracturam ſimae nares ſint, ſi quis eas ſuperiore parte potius comprimat, ſimae magis reddentur. Sive etiam quibusdam in hanc vel illam partem, aut circa cartilaginem aut ſuperiore parte nares diſtorqueantur, manifeſtum eſt quod nullam utilitatem ex ſuperinjecto vinculo conſequi, quin potius laedi conſueverunt. Neque enim ſic ex altera narium parte ſplenia adaptata convenient, quanquam neque hoc faciunt qui deligationem admovent. Maxime autem mihi deligatio prodeſſe videtur, ſi ad medium naſum acuta ſui parte caro ſupra os contundatur, aut ſi os quoque quibusdam paululum,

Ed. Chart. XII. [356—359.] Foës. I. 802. Ed. Lind. II. (787. 788.)

καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου δέεται ἡ ἐπίδεσις, εἴ δή τι καὶ δεῖ ἐπιδέειν. [357] ἀρκέει δὲ ἐπὶ μὲν τὸ φλασμὰ σπληνίον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβαλέειν. ἀρίστη μέντοι ἰητρείη τῷ ἀλήτῳ τῷ σιτανίῳ τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ ὀλίγῳ καταπλάσσειν τὰ τοιαῦτα. [358] χρὴ δὲ, ἢν μὲν ἐξ ἀγαθῶν ᾖ, τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι ἐς πάντα τὰ τοιαῦτα· ἢν δὲ μὴ πάνυ ὅλκιμον ᾖ, ἐς ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην διέντα, τούτῳ φυρᾶν τὸ ἄλητον ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν. ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ κάτω καὶ ἐς τὸ σιμὸν ῥέπουσα καταγῇ, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τέ (788) ἐστι καὶ ἐντιθέναι διόρθωμα εἰς τοὺς μυκτῆρας, ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται· [359] ἢν δὲ μὴ, παχὺ ὑπάλειπτρον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς

non autem multum offenſum ſit. In iis enim nares callo obducuntur, et quandam prominentiam oblongiorem habent. Sed neque hi ſane multùm moleſta deligatione indigent, ſi modo quid vinculo opus eſt. Satisque eſt ſplenium quidem inceratum ſupra contuſum extendere, dein qualis deligatio ex duobus initiis fieri ſolet, ita ſemel ductam faſciam circumdare. Optime autem medetur farina ſitania, eluta, glutinoſa, ſubacta, modica, ex cataplasmate impoſita. Ac ſi quidem farina ex optimo tritico ſuppetit et quae facile duci poſſit, ea ad haec omnia uti convenit. Quod ſi non admodum ducatur, cum pauca thuris mica concuſſa elifa, in tenuiſſimum pollinem redacta et aqua diluta, farina eſt ſubigenda aut paululum omnino gummi ſimiliter admiſcendum. Quibus igitur nares inferiore parte fractae ſimae redduntur, ſi quidem ex anteriore parte ad cartilaginem deſidunt, poteſt in nares aliquid quod dirigat immitti, ſin minus, excitanda quidem haec omnia ſunt digitis in nares, ſi licet, inditis. Alioqui ſpecillo pleniore quo ad illinendum

ἀπάγοντα τοῖσι δακτύλοισιν, ἀλλ᾽ ᾗ ἵδρυται, ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω, καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ἔῃ, οἷόν τέ τι καὶ εἴσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται. ἄχνην τὴν ἀφ᾽ ἡμιτυβίου ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ εἱλίσσοντα, μᾶλλον δὲ ἐν Καρχηδονίῳ δέρματι ἐῤῥάψαντα, σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα τῷ χωρίῳ ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε εἴσω ἐντιθέναι· καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω; τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφειδήσαντα χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίαν φύσιν καὶ διορθώσασθαι. κάρτα γάρ οἱ ἥ τε ῥὶς καταγεῖσα ἀναπλάσσεται, μάλιστα μὲν αὐθήμερος, ἢν δὲ μὴ, ὀλίγῳ ὕστερον. ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή. || παραβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατω-

utimur, non in anteriorem partem, ſed qua deſidunt in nares digitis impulſo, exteriore vero narium parte hinc et inde digitis comprehenſa ſimul impellere et ſurſum attollere. Ac ſi omnino anteriore parte fractura fuerit, licet aliquid velut jam dictum eſt intro in nares indere, vel ex linteo deraſam lanuginem, vel aliud quid tale linteo convolutum, aut potius Carthaginienſi corio circumſutum, ea figura accommodatum, ut apte hunc in locum immitti queat. At ſi ulterior fractura ſit, nihil intro immitti poteſt. Etenim ſi anteriore parte moleſtum onus eſt, quomodo interiore non ſit futurum? Imprimis igitur interiore parte nares conſormandae, et exteriore parte non remiſſe agendo in ſuam ſedem compellendae et dirigendae. Nam et tibi maxime naſus fractus reſtituitur, praecipueque eodem die vel certe paulo poſt. Verum negligenter agunt medici, et primum mollius quam oporteat rem pertractant. Digitis enim hinc et inde pro narium natura quoad ejus fieri poteſt ad imas nares demiſſis, eas ab inferiore parte ſurſum compel-

τάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω μάλιστα ἀνορθοῦνται σὺν τῇ ἔσωθεν διορθώσει διορθοῦντα, ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος τοιοῦτός ἐστιν, εἰ ἐθέλοι μελετᾷν καὶ τολμᾷν, ὡς οἱ αὐτοῦ δάκτυλοι οἱ λιχανοί. οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσιν. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα (789) ἐρείδοντα ἡσύχως οὕτως ἔχειν. μάλιστα μὲν εἰ οἷόν τε εἴη αἰεὶ, ἔστ᾽ ἂν κρατηθῇ· εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται. εἰ δὲ μὴ, ἢ παῖδα ἢ γυναῖκά τινα. μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι οὕτως, ὡς ἂν κάλλιστα ἰητρευθείη ἡ ῥὶς, ὁτέῳ μὴ ἐς τὸ σκολιὸν, ἀλλ᾽ ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόῤῥοπος. ἐγὼ μὲν οὖν οὐδεμίαν που ῥῖνα εἶδον ἥτις οὕτω κατεαγεῖσα οὐχ οἵη τε διαρθρωθῆναι αὐτίκα πρὶν πωρωθῆναι συναγκαζομένη, ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ᾽ οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀποτιμῶσι. μελετᾷν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται, ἢ θάνατον δεδοίκασι. καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις

lere oportet, atque ita maxime excitatas, ſimul etiam ab interiore parte dirigere. Deinde vero ad eam rem nullus eſt magis idoneus medicus, ſi eo ſtudio contendere aut id etiam tolerare velit, quam ipſius digiti indices. Hi enim maxime ſunt a natura accommodati. Admoto autem utroque digito totae nares obſirmandae ſunt atque ita in quiete continendae, maxime quidem ſi fieri poſſit aſſidue, quoad confirmentur, vel certe quam diutiſſime, velut dictum eſt. Quod ſi iſtud aeger praeſtare nequit, vel pueri vel mulieris cujusdam digitis utendum. Molles enim manus eſſe convenit, ſic ut quam optime curentur nares quibus non diſtortae, ſed aequabiliter ad inſeriorem partem deſidunt. Equidem nullas unquam nares vidi, quae ſic fractae, ſi ſtatim prius quam callo obducantur, compellerentur, reſtitui non potuerint, ſi modo quis rectam curandi rationem inſiſtat. Atqui homines deformitatem magno quidem pretio redimendam aeſtimant, eo autem ſtudio anniti niſi dolore aut mortis metu coacti neque ſciunt neque ſuſtinent, quanquam in naribus callus pauco tempore inducatur. Decem enim

τῆς ῥινὸς, ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται, ἡ μὲν ἴησις αὕτη. τὴν δὲ διόρθωσιν δηλονότι χρὴ ποιέεσθαι οὐκ ἰσόῤῥοπον ἀμφοτέρωθεν, ἀλλά τό τε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα, καὶ ἐσματτευόμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ εἴσω ῥείσαντα διορθοῦν ἀόκνως ἔστ᾽ ἂν κατορθώσῃ, εὖ εἰδότα ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ καὶ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβάλλοντα χρὴ ἐς τὸ χωρίον ἢ τοὺς δακτύλους ἢ τὸν ἕνα δάκτυλον ᾗ ἐξέσχεν ἀνακωχέειν [360] ἢ αὐτὸν ἢ ἄλλον τινὰ, ἔστ᾽ ἂν κρατυνθῇ τὸ τρῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν μικρὸν δάκτυλον ἀπωθέοντα, ἄλ(790)λοτε καὶ ἄλλοτε διορθοῦν χρὴ τὰ ἐκκριθέντα. ὅτι δ᾽ ἂν φλεγμονῆς ὑπογίνεται τούτοισι, χρὴ τῷ σταιτὶ χρέεσθαι· τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως καὶ τοῦ σταιτὸς ἐπικειμένου. ἢν δέ που κατὰ τὸν χόνδρον ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην μετεστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισι ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων

diebus, nisi siderentur, confirmantur. At quibus os a latere frangitur, curatio quidem eadem convenit, directio tamen ipsa non aequabiliter ab utraque parte facienda, sed quod inclinatum est extrinsecus compellendo ad naturalem situm adurgendum et digitis immissis nares contrectando, quae in interiorem partem vergunt impigre dirigenda, quoad restituantur istud animo reputantes, nisi protinus nares dirigantur, fieri non posse quin pervertantur. Quibus in naturalem sedem reductis, admotos ad locum unum aut plures digitos, qua eminentia erat ipsum aut alium quendam continere oportet, quoad vulnus confirmatum fuerit. Quin et impulso in nares parvo digito, subinde quae inclinata sunt dirigere convenit. Ac si quid inflammationis subest, iis farina ex aqua subacta adhiberi debet. Nihilo tamen minus etiam farina imposita digiti similiter admovendi. At si quando ad cartilaginem in latus nares fractae sint, eas summas perverti necesse est, tuncque in extremas nares quiddam ex iis quae dicta sunt, quod eas dirigat aut aliquid tale,

ἢ ὅ τι τούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ᾽ ἄν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀσμὴν ἴσχει μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπότμημα ἐνέθηκα, τοῦτο γάρ πως παρέτυχεν. οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται. ἔπειτα χρὴ Καρχηδονίου λοπὸν πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον ἢ ὅκως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον. κἄπειτα κατατεῖναι τὸν ἱμάντα ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγον τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτῆ τὴν ῥῖνα εἶναι ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν, ἀναγαγεῖν περὶ τὴν κεφαλὴν, καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος, ἔξεστι δὲ μακρότερον ἄγειν. ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα καὶ δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον καὶ μᾶλλον ἢν ἐθέλῃ καὶ ἧσσον τὴν ἀντιῤῥοπίην ποιῆσαι τῆς ῥινός. ἀτὰρ καὶ ὁκόσοισι ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ

immitti debet. Multa autem ad id accommodata inveniri possunt, quae neque odorem moveant et alioqui mollia non sint. Ego sane pulmonis ovilli frustum, quod forte tunc aderat, aliquando immisi. Inditae enim spongiae humorem excipere consueverunt. Deinde ex Carthaginiensis corii cortice exteriore, incisa habena pollicis latitudine aut quanta convenit, exteriore parte naribus qua parte inclinant agglutinanda, posteaque prout convenit intendenda. Paulo autem amplius intendi debet, quoad erectae et suspensae nares esse videantur. Tum ita longa habena sit, ut sub aurem abducta, sursum circa caput adduci queat. Quam quidem suo extremo fronti agglutinare, aut etiam ulterius ducere, demum circa caput volutam devincire licet. Haec si quidem ratio simul justam directionem continet, simulque expeditam habet, si quis cupiat majorem aut minorem narium in contrarium momentum propensionem. Etenim quibus nares in latus fractae sunt, in reliquis quidem eadem quae proposita est curatio convenit. In plerisque tamen habena insuper opus est, quae extremis naribus agglutinata

Ed.Chart.XII.[360.361.] Foës.I.803.804 805. Ed.Lind.II.(790.791.)

ὡς προσίρηται. προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην (791) τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιῤῥοπίης εἵνεκα. ὅσοισι δὲ σὺν τῇ κατήξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο. ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν ἢ τῶν ἐναίμων τι, || εὐαλθέα γὰρ τὰ τοιαῦτα. ὁμοίως κἢν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην ἀόκνως χρὴ ποιέεσθαι μηδὲν ἐπιλείποντα καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισι ἐν [361] τῷ ἔπειτα χρόνῳ. χαλαρωτέροισι μὲν γὰρ χρεόμενον, χρεόμενον δέ. εὐπλαστότατον γάρ τι παντὸς τοῦ σώματος ἡ ῥίς ἐστι. τῶν δὲ ἱμάντων τῇ κολλήσει καὶ τῇ ἀντιῤῥοπίῃ παντάπασιν οὐδὲν κωλύει χρῆσθαι, οὔτ' ἢν ἑλκώσῃ οὔτ' ἢν ἐπιφλεγμήνῃ, ἀλύπητοι γάρ εἰσιν.

|| Ἢν δὲ οὖς κατεαγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι. οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλοι. ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάζεται, ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν ὀδυνηρὸν καὶ σφυγματῶδες καὶ πυρετῶδες γίνεται. ἀτὰρ καὶ τὰ

eas in contrarium momentum propendere faciat At quibus ad fracturam cutis quoque vulnus accessit, eos nihil eam ob rem commoveri necesse est. Verum ulceri ceratum quod picem habeat, aut medicamentum aliquod cruentis vulneribus accommodatum imponendum. Haec si quidem facile curationem admittunt Eodem quoque modo ubi ossa discessionem parant, tum primum directio impigre omni adhibita diligentia facienda, tum etiam postea digiti ad directionem adhibendi. Hos si quidem et laxiores esse, et admovere tamen oportet. Ex omnibus enim corporis partibus nares facillime componuntur. Habenarum vero agglutinatione aut in contrarium momentum propensione nihil omnino uti prohibet, neque si ulcus neque si inflammatio adfuerit, ista namque nullam molestiam afferre possunt.

At vero auri fractae vinculum omne inimicum est. Neque enim ita laxo ambitu circumdari poterit, et si magis opprimatur, plurimum officiet. Quandoquidem et integra auris sub vinculo adstricta, dolore et pulsatione et febre

Ed. Chart. XII. [361. 362. 363.] Foës. I. 805. Ed. Lind. II. (791. 792.

ἐπιπλάσματα κάκιστα μὲν τὰ βαρύτατα ἐπίπαν. ἀτὰρ καὶ τ πλεῖστα φλαῦρα καὶ ἀποστατικὰ καὶ μύξαν τε ὑποποιέε πλείω. κἄπειτα ἐκπυήσιας ἀσηρὰς, τούτων δὲ οὖς ἥκιστ κατεαγὲν προσδέεται. ἄγχιστα μὲν εἴ περ χρὴ τὸ γλίσχρο ἄλητον. χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν. ψαύειν δὲ ὡς ἥκι στα ξυμφέρει. ἀγαθὸν [362] γὰρ ἐνίοτε φάρμακον τὸ μηδὲ φέρειν φάρμακον καὶ πρὸς οὖς (792) καὶ πρὸς ἄλλα πολλ χρὴ δὲ καὶ τὴν ἐπικοίμασιν φυλάττεσθαι. τὸ δὲ σῶμ ἰσχναίνειν καὶ μᾶλλον, ᾧ ἂν κίνδυνος ἔῃ ἔμπυον τὸ οὖς γε νέσθαι. ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην. ἢν δὲ κα εὐήμετος ἔῃ, ἐμέειν ἀπὸ συρμαϊσμοῦ. ἢν δὲ ἐς ἐμπύησι ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν. πολλὰ γὰρ καὶ τῶν δο κεόντων ἐκπυέεσθαι ἀναπίνεταί ποτε, κἢν μηδέν τις κατα πλάσῃ. [363] ἢν δὲ ἀναγκασθῇ στομῶσαι, τάχιστα μὲν ὑγιὲ γίνεται, ἤν τις πέρην διακαύσῃ. εἰδέναι μέντοι χρὴ σαφῶ ὅτι κυλλὸν ἐστι τὸ οὖς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρη

vexatur. Sed et ea sunt omnino quidem pessima cataplas mata, quae gravissima quin etiam pleraque noxia et abs cessum procurant, cumque mucum plurimum tum deind molestiae plenas suppurationes efficiunt. At his ad aure fractam minime opus est. Proximum certe, si modo qui confert, locum habet farina glutinosa, quam neque graven esse oportet ac quam minime contingere conducit. Inter dum namque bona medicina est, quae tum ad aurem tu ad caetera multa, etiam nulla adhibetur. Vitandus prae terea in eam partem decubitus, corpusque extenuandum idque potissimum in quo auris suppuratio metuitur, prae statque etiam alvum emollire. Quod si facilis sit ad vomi tum, is ex moderata aliqua purgatione ciendus est. Se si ad suppurationem veniat, celeriter quidem aperiri no debet. Multa namque ex his quae suppurare videntu quandoque etiam nullo adhibito cataplasmate resorbentu At si coactus aperueris, cito quidem sanescet, si in ulterio rem partem candens ferramentum adegeris. Certo tame scire licet aurem candenti ferramento praeter trajecta curtam et altera minorem reddi. Si vero hujusmodi ferra

Ed. Chart. XII. [363. 364.] Foës. I. 805. 806. Ed. Lind. II. (792. 793.)
ιακαυθῇ. ἢν δὲ μὴ πέρην καίηται, || τάμνειν χρὴ τὸ μετέωρον μὴ πάνυ σμικρὴν τομήν. διὰ παχυτέρου μὴν καὶ τὸ πῦον εὑρίσκεται ἢ ὡς ἄν τις δοκέοι. ὡς δ᾽ ἐν κεφαλαίῳ εἰπεῖν καὶ πάντα τἄλλα τὰ μυξώδεα καὶ μυξοποιὰ, ἅτε γλίσχρα ἐόντα ὑποθιγγανόμενα διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα. διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ ἢ ὡς οἴονται. [364] ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια ὅσα ἂν πλαδαρὰ ἔῃ καὶ μυξώδεα σάρκα ἔχῃ πολλοὶ στομοῦσιν οἰόμενοι ῥεῦμα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται. τῷ δὲ πρήγματι τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. ὅσα δὲ ὑδατώδεα χωρία ἐστὶν ἢ μύξης πεπληρωμένα καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα θάνατον φέρει στομούμενα ἢ (793) κατὰ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων πάσης τε μοτώσιος ἀπέχεσθαι χρὴ, ἰητρεύειν δὲ ἢ ἐναίμοις ἢ ἄλλῳ τῳ, ὅ τι μήτε βάρος μήτε πόνον παρασχήσει. ἢν γὰρ

mentum reformides, pars in tumorem sublata non parva admodum sectione incidenda. Crassiore si quidem loco quam quis existimet pus contineri deprehenditur. Atque, ut breviter dicam, caetera quoque omnia mucosa et mucos gignentia, cum lenta sint, ubi contrectantur digitos celeriter hac vel illa parte effugiunt, eamque ob rem medici crassiore loco quam existiment haec contineri deprehendunt. Nam et ex iis tuberculis, quae ganglia nominant, quaecunque fluida sunt et mucosam carnem continent, plerique aperiunt, in his humorem se inventuros sperantes. Ac medicus quidem opinione fallitur, nulla tamen ex hujusmodi sectione noxa imminet. Quae vero loca aquosa aut muci plena sunt, et quibus in locis singula, si aperiantur, vel mortem vel alia etiam nocumenta afferant, alias scribetur. Ubi igitur auris secta fuerit, omni tum cataplasmatum tum linamentorum usu abstinendum. Sed vel iis medicamentis quae cruentis vulneribus imponuntur curatio est instituenda, vel alio quopiam quod neque onere gravet neque dolorem inferat. Ubi enim cartilago nudari incipit, in

Ed. Chart. XII. [364—370.] Foëſ. I. 806. 807. Ed. Lind. II. (793
ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ἴσχῃ πυρα-
δεας ἢ χαλώδεας, ὀχληρόν. [365] γίγνεται δὲ καὶ τοῦτο δι
ἐκείνας τὰς ἰήσιας. πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρη
διάκαυσις αὐταρκέστατον.

[366] Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, [367] ὅσοισι μὲ
ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κυφὸν, [368] τὰ μὲν πλεῖ-
στα ἀδύνατα λύεσθαι, πρὸς δὲ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶ
τῆς προσφύσιος κυφοῦται. τῶν δὲ κατωτέρω μετεξέτερ
λύουσι κυρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δέ τι ἐγγι-
νόμενοι κυρσοὶ ἐν τῇ κατ᾽ ἰγνύην φλεβί. || οἷσι δ᾽ ἂν τ
κύφωμα ᾖ, λύουσιν. ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνο
[369] ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γι-
νομένη, καὶ οἷσι μὲν κυφοῖται ῥάχις παισὶν ἐοῦσιν, πρὶν
τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν. τουτέοισι μὲν οὐδὲ συν-
αὔξεσθαι ἐθέλοι κατὰ τὴν ῥάχιν τὸ σῶμα. ἀλλὰ σκέλεα
μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται.
[370] καὶ ὅσοισι ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τού-
τοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξε-

eaque purulenta aut mucoſa ſubſident, id moleſtum eſt. Id quod etiam in illis curationibus evenit. In omnibus autem quae rurſus excandeſcunt, ferramentum candens utraque parte trajicere abunde ſuppetit.

At quibus ſpinae vertebrae ex morbis gibbum contrahunt, ea quidem magna ex parte ſolvi nequeunt, praecipue vero ubi ſuperiore parte qua ſepto annectitur, in gibbum curvantur. Quae vero infra ſunt, eorum quaedam varicibus in cruribus ſubortis ſolvuntur. Magis autem quibuscunque ſpina in gibbum attollitur, qui in poplitis vena ſuboriuntur varices eum ſolvunt. Fiunt quoque et in ea vena quae eſt ad inguina. Jam vero quosdam etiam ab hoc vitio diuturna inteſtinorum difficultas liberat. Et quibus certe adhuc pueris ante perfectum corporis augmentum ſpina in gibbum attollitur, iis quidem corpus ad ſpinam augeri non ſolet. Verum crura et manus ad perfectionem deveniunt, illae autem partes exiliores evadunt. Quibus etiam ſupra ſeptum transverſum gibbus fit, iis quidem non in latum

σῦαι, ἀλλ' ἐς τοὔμπροσθεν. τό τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατὺ, αὐτοί τε δύσπνοοι γίνον(794)ται καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι, καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἔῃ αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον, καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ ἔστ' ἀναπιεχθῇ. δι' οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες. [371] φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀσπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίνεται, ᾗσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς. ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισιν νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικὰ καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι καὶ κατὰ κενεῶνας καὶ [372] κατὰ βουβῶνας χρόνιαι

augeri, ſed in anteriorem partem coſtae ſolent, neque pectus in latum, ſed in acutum tendit, ipſique ſpiritum difficulter et cum ſtridulo ſono trahunt. Iis namque cavitates, quae ſpiritus excipiunt et reddunt, anguſtiores evadunt. Quin etiam cervicem ad magnam vertebram in anteriorem partem recurvatam habere coguntur, ut ne iis caput pronum ſit., Id igitur magnam faucibus anguſtiam exhibet, cum intro vergit. Nam et iis qui ſecundum naturam recti ſunt, os illud intro inclinatum, quoad repreſſum fuerit, ſpirandi difficultatem praebet. In hujusmodi ergo habitu homines, iſti gutturoſi magis quam ſani apparent, iidemque tuberculoſi fiunt, ut plurimum tuberculis duris et crudis ad pulmonem obortis. Nam et plèrisque tum gibbi, tum diſtentionis occaſionem collectiones hujusmodi afferunt, cum quibus vicini nervi communionem habent. At quibus infra ſeptum transverſum gibbus exiſtit, nonnullis renum et veſicae vitia ſuperveniunt, ſed et abſceſſus ad ſuppurationem tendentes circa laterum inanitates et inguina diuturni ac

Ed. Chart. XII. [372. 373.] Foës. I. 807. Ed. Lind. II. (794. 795

καὶ δυσαλθέες, καὶ τουτέων οὐδ᾽ ἑτέρη λύει τὰ κυφώματ ἰσχία δὲ τοῖσι τοιουτέοισιν ἔτι ἀσαρκότερα γίνεται ἢ τοῖσ ἄνωθεν κυφοῖσιν. ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη το τοισιν ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἥβη δὲ καὶ γένειον βρ χύτερα καὶ ἀτελέστερα καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κ φῶν. [373] οἷσι δ᾽ ἂν ηὐξημένοισι ἤδη τὸ σῶμα γένητ κύφωσις, τούτοισιν ἀπαντικρὺ μὲν τῆς νόσου τῆς τότε παρ ούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι σημαίν τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσιν ἑτέροι(795)σιν ἢ πλέον ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστ πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴ κύφωσιν ἄχρι γήρως. μάλιστα δὲ οὗτοι οἷσιν ἂν ἐς τὸ ει σαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδ καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν. οἱ δὲ πλε στοι βραχυβιώτεροί εἰσιν. ἔστι δ᾽ οἷσι καὶ ἐς τὸ πλάγιο σκολιοῦνται σπόνδυλοι ἢ τῇ ἢ τῇ. πάντα μὴν ἢ τὰ πλεῖστ τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς εἴσωθεν ῥάχιος. προσ ξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ

curatu difficiles, quorum neutri gibbum ſolvunt. Iis ver coxae magis quam quibus ſupra gibbus exiſtit, extenuantu Tota tamen ſpina his quam illis longior. Pubes autem e barba ſerior et rarior increſcit, et inſoecundiores exiſtun quam quibus ſuperioribus partibus gibbus contingit. A quibus jam adulto corpore gibbus contingit, iis manifeſt quidem praeſentis tunc morbi ſolutionem gibbus affert, temporis tamen progreſſu eadem quae aliis vel magis vel minu ſe oſtentant. Plerumque autem minus maligna iſta exiſtunt Ac multi quidem, cum facile tum ſalubriter gibbum jam a ſenectutem usque ſuſtinuerunt, praeſertim quibus corpu carnoſum et pingue eſt redditum. Ex iis tamen pauci annum ſexageſimum ſuperarunt, plerique etiam citius moriuntur. Nonnullis quoque ad latus vertebrae in hanc ve illam partem oblique intorquentur, ſed haec omnia au pleraque contingunt, quod ad interiorem ſpinae partem humorum collectiones fiant. Praeterea etiam quibusdam una cum morbo ad id confert habitus in quem jacere con-

Ed. Chart. XII. [373. 374.] Foes. I. 807. 808. Ed. Lind. II. (795. 796)

ὁκοῖα ἂν ἐθισθέωσι κεκλίσθαι. [374] ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πνεύμονα νοσήμασιν εἰρήσεται. ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι.

|| Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδὲν ἀπεξίθυναν ὧν γε ἐγὼ οἶδα. χρέονται γὰρ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτούμενον ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε, καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι· αὐτοῖσι μέλει ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν οὓς ἔγωγε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον, καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν ὅ τι μηχάνημα κατὰ φύσιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας (796) κατασείσειε κἂν ἐξιθῦναι ἔνια. αὐτὸς μέντοι κα-

suseverunt. Verum de his dicetur in diuturnis pulmonis morbis, ubi pulcherrimae eventorum praenotiones de iis fiunt.

At quibus ex casu spina in gibbum curvatur, iis sane paucis in directum reducitur. Etenim quae per scalam fiunt distentiones, nihil, quod ego quidem noverim, restituerunt. Ea enim potissimum hi utuntur medici qui magnifica quadam de se opinione vulgo fucum facere student. Nam apud ejusmodi homines ista in admirationem vertuntur, si aliquem pendere, projici, aut tale quippiam viderint, semperque ista in vulgus spargunt, neque praeterea quicquam pensi habent, num quid ex hujusmodi manuum aggressione rectum aut pravum consequatur. Medici tamen qui haec student, quos equidem novi, inepti sunt. Nam et commentum vetus est, et equidem eum vehementer laudo qui primus excogitavit tum hoc tum quodvis aliud inventum secundum naturam excogitatum. Neque enim diffido quin, si quis eo probe instructo concussionem moliatur, nonnulla reduci

τησχύνθην πάντα τὰ τιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι. [375] ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γένηται, ἧσσον εἰκὸς ὠφελέειν τὰς κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια καταῤῥέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι. μείζων γὰρ οὕτως ἡ καταῤῥοπίη ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλει κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἐν ὑποκεφαλαίοισιν πλαγίοισιν ἢ ἐριγεοῖσι καταστρῶσαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχοι. ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή. κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτα, ἐν δεσμῷ εὐόχῳ μὲν, μαλθακῷ δὲ. προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων καὶ ἀνωτέρω.

queant. Ad hujusmodi tamen omnia iſtam adhibere medelam turpe exiſtimavi, quod haec curationis ratio impoſtores magis deceat. Quibus igitur ſecundum cervicem gibbus exiſtit, ii hac diſtentione in caput facta minus juvari poſſe videntur. Caput namque et ſummi humeri propendentes parvum pondus efficiunt. Sed hos, ſi in pedes demiſſi concutiantur, magis reduci conſentaneum eſt. In eam enim partem demiſſi majus habent propenſionis momentum. At quibus inferiore parte gibbus eſt, ii capite demiſſo concuti debere magis videntur. Si qui ergo concuſſione uti volet, eam recte hunc in modum inſtituet. Scalae ſcorteos pulvinos aut laneos in obliquum ſubſtratos, paulo ampliori in latitudinem et longitudinem hinc et inde ſpatio quam quantum hominis corpus occupat, probe adalligare convenit. Poſt haec homine ſuper ſcalam reſupinato, tum pedes quidem non diductos juxta malleolos, vinculo ſane bene firmo molli tamen, ad ſcalam devincire oportet. Alligare quoque ſupra et infra utrumque genu itemque circa coxas convenit.

Ed. Chart. XII. [375—377.] Foës. I. 808. Ed. Lind. II. (796. 797.)
προσδῆσαι δὲ καὶ κατὰ ἰσχία. κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλέειν οὕτως ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς περιτείναντα προσκαταλαβεῖν πρὸς αὐτὸ τὸ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. [376] ὅταν δὲ ταῦτα κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς αἴετωμα οἴκου. τὸ δὲ χωρίον ἵνα ὅκου κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαι(797)δεύτους χρὴ εἶναι, ὅκως ὁμαλῶς καὶ καλῶς καὶ ἰσοῤῥόπως καὶ ἐξαπινέως ἀφήσουσι, καὶ μήτε ἡ κλῖμαξ ἑτεροῤῥοπος εἰς γῆν ἀφίξεται μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρηγορεῖν περὶ [377] τούτων· ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν μάλιστα ἄν τις κατασεισθείη. εἰ μέν τι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν, πάντως ἐπὶ πόδας λυσιτελέει, ὥσπερ ἤδη εἴρηται· πλείων γὰρ οὕτω γίνεται ἡ καταῤῥοπίη ἐπὶ ταῦτα. ἑρμῆσαι μὲν οὖν κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα

Ad laterum autem inanitatem et pectus fasciae laxae sic circumjiciendae, ut ne concussionem prohibeant. Manus vero ad latera extentae juxta corpus ipsum, non ad scalam demittendae. Scala ita instructa ad turrim aliquam altam aut domus fastigium attrahenda. Locus autem super quem concussio fit renitens esto. Qui vero attollunt probe edocti esse debent, ut aequaliter recte et aequabili libramento repenteque demittant, quo neque scala in alteram partem propendens ad terram deveniat neque ipsi proni ferantur. Ex turri tamen aut malo defixo, in quo insint carchesia commodior demissio fiet, si ex trochlea aut axe funes laxentur. Sed fortasse molestus est longior de his sermo. Per hunc tamen apparatum maxime quis concuti possit. Quod si superiore admodum parte gibbus extiterit, omninoque concussione opus sit, eam in pedes facere, velut jam dictum est, expedit. Ita enim majus eam in partem fit propensionis momentum. Ac obfirmari quidem pectus debet valide ad scalam alligan-

Ed.Chart.XII.[377—379.] Foes. I.808. 809. Ed. Lind. II. (797. 798.)
ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον το
κατορθοῦσθαι εἵνεκα καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτω-
πον προσδῆσαι πρὸς τὴν κλίμακα. τὰς δὲ χεῖρας παρατανύ-
σαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τ
μέντοι ἄλλο σῶμα ἄδετον εἶναι || χρὴ, πλὴν ὅσον τοῦ κα
τορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβε
βλῆσθαι. ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατά
σεισιν, σκοπέειν. τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα μ
προσδεδέσθω, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν ἰθύῤῥοπ
ἔῃ. ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐ
κλίμακι κατασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχ
καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον καὶ πολλὴν ὄψι
καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι

[378] Χρὴ δὲ πρῶτον μὲν γινώ(798)σκειν τὴν φύσι
τῆς ῥάχιος οἵη τίς ἐστιν. ἐς πολλὰ γὰρ νοσήματα προσδέο
ἂν αὐτῆς. τοῦτο μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον, ο
σπόνδυλοι ἐντὸς ἄρτιοι εἰσὶν ἀλλήλοισι, [379] καὶ δέδεντα

do, cervix vero quam laxiſſima faſcia, eatenus ut dirig
poſſit. Ipſumque caput juxta frontem ad ſcalam alligandum
Manus autem porrectae ad corpus, non ad ſcalam devin
ciendae. Reliquum tamen corpus ſolutum eſſe oportet, ni
quatenus dirigi queat, alia atque alia parte faſcia laxa cir
cumdari debet. Sed videndum eſt ne hujusmodi vincul
concuſſionem prohibeant. Crura vero non ad ſcalam qui
dem, verum inter ſe alligentur, ut ad ſpinam e directo pro
pendeant. Atque haec quidem eo modo paranda ſunt,
quis omnino ea quae per ſcalam fit concuſſione opus habe
Turpe autem eſt cum in omni arte tum vero in arte me
dendi vel maxime, poſt multum exhibitum negotium, mul
tum apparatum multamque de ſe excitare opinionem, tan
demque nihil opis adferre.

Imprimis autem ſpinae quidem natura cognoſcenda eſ
Ea namque ad multos morbos opus fuerit. Etenim qua part
ventrem ſpectat, ab interiore parte vertebrae inter ſe ſun
aequabiles, ac mucoſo et nervoſo ligamento inter ſe devin-

Ed. Chart. XII. [379—382.] Foës. I. 809. 810. Ed. Lind. II. (798.)
πρὸς ἀλλήλους δεσμῷ μυξώδεϊ καὶ νευρώδεϊ ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον. ἄλλοι δέ τινες τόνοι νευρώδεες διανταῖοι πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. αἳ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὡρμημέναι καὶ ἐν οἵοισιν οἷα δύνανται. [380] αὐτὸς δὲ ὁ νωτιαῖος οἷσιν || ἐλλύτρωται ἐλλύτροισι καὶ ὅθεν ὡρμημένοισι καὶ ὅπῃ κραίνουσι καὶ οἷσι κοινωνέουσι καὶ οἷα δυναμένοισιν. ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γεγιγγλύμωνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι. [381] τόνοι δὲ κοινοὶ παρὰ πάντας καὶ ἐν τοῖσιν ἔξω μέρεσι καὶ ἐν τοῖσιν εἴσω παρατέτανται, ἀπόφυσίς τέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σπονδύλων μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσιν ταύτῃσι χονδρίων ἐπιφύσιες, καὶ ἀπ᾽ ἐκείνων νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι. [382] πλευραὶ προσπεφύκασιν ἐς τὸ εἴσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον ἢ ἐς τὸ ἔξω. καθ᾽ ἕνα δὲ ἕκαστον τῶν σπονδύλων προσήρθρωνται. καμπυλώτα-

ctae, quod a cartilaginibus exortum, ad medullam usque progreditur. Quidam etiam alii nervi nervosi a summo ad imum in longitudinem protensi adnascuntur, et ab utraque parte ad earum latera porriguntur. Venarum vero et arteriarum communitates, quotque et quales sint et unde initium ducant, quamque in quibus vim habeant alias declarabuntur. Tum ipsa dorsi medulla quibus involucris obvolvatur, unde ortum ducant et ubi desinant et quibuscum communionem qualemque vim habeant. Ultra autem hunc locum vertebrae inter se cardinis modo committuntur. Nervi vero communes ad omnes tum exterioribus tum interioribus partibus porriguntur. Ac ex omnibus vertebris in exteriorem partem ossis processus ex singulis unus tum majoribus tum minoribus eminet. His autem processibus adnata est cartilago, ex eaque nervi producuntur, nervis exterioribus assimiles. Costae vero interiorem partem magis quam exteriorem suis capitibus spectantes annexae sunt et cum unaquaque vertebra sigillatim committuntur. Maxime autem

ται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ, ῥοβοειδέα τρόπον. [383] τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σπονδύλων ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῶν φρενῶν τῆς προσφύσιος. [384] αὕτη δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστι. ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ (799) μεγάλου σπονδύλου παρ᾽ ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή· κύστις τε γὰρ καὶ γοναὶ καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκτισται. [385] ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος ἰθυλόρδη καὶ παραφύσιας ἔχει μυῶν, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν εἴσωθεν, ἃς δὴ καλέουσι ψόας. ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκύφη. ἔτι δὲ μᾶλλον δοκέει ἢ ἐστίν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. [386] αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν.

incurvae ſunt hominis coſtae, eorum modo quae vara ſunt. Coſtarum vero et oſſium quae ex vertebris procedunt intermedium complent utrimque muſculi, qui a cervicibus initium ducentes, ad ſepti transverſi annexionem usque tendunt. Ipſa vero ſpina in longitudinem ex recto obliquatur. Ab oſſe quidem ſacro ad magnam vertebram usque, juxta quam crurum nexus dependet, in gibbum incurvatur. Veſica namque et partes naturales rectique inteſtini laxitas eo in ſpatio ſunt conſtituta. At inde ad ſepti transverſi annexionem ex recto in interiorem partem inclinatur. Solusque hic locus ab interiore parte muſculos adnatos habet, quos quidem ψόας nominant. Ab hac autem parte ad magnam vertebram, quae eſt ſupra ſummam humerorum partem, ex recto in gibbum elevatur; imo vero hujusmodi magis apparet quam ſit. Spina namque media ſui parte eminentiſſimos, ab utraque autem parte minores oſſium proceſſus habet. Ipſe vero cervicis articulus in anteriorem partem inclinatur.

Ed. Chart. XII. [386. 387] Foës. I. 811. Ed. Lind. II. (799. 800.)

|| Ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σπονδύλους, ἔξωσις μὲν μεγάλη ἀποῤῥαγεῖσα ἀπὸ τῆς συμφύσιος ἢ ἑνὸς σπονδύλου ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ᾽ ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίνεσθαι, οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης. οὕτω δ᾽ ἂν ἀπόλοιτο ἢ εἴτις ἀφ᾽ ὑψηλοῦ τοῦ χωρίου πεσὼν ἐρείσειε τοῖσιν ἰσχίοισιν ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὗτος ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγείη πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον [387] καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμέ(800)να. ὅ τε αὖ νωτιαῖος πονοίη ἂν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἔξαλσιν ἐξαλλομένου σπονδύλου. ὅ τ᾽ ἐκπηδήσας σπόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ

Quibus igitur vertebrae in gibbum protuberant, iis abrupta compage una aut plures vertebrae magna vi foras protruduntur: quod paucis neque ita multis contingit. Neque enim hujusmodi offenſiones facile contingunt, neque in exteriorem partem expelli vertebrae prompte poſſunt, niſi anteriore parte vehementi ictu per ventrem vulnus accipiatur, hoc vero pacto homo intereat, aut niſi quis ex ſuperiore loco delapſus, in coxas aut humeros impingat. Sed et hic quoque licet non ſtatim, ſic tamen intereat. At vero a poſteriore parte non ita facile vertebrae ſuo loco deſilire in interiorem poſſunt, niſi perquam grave onus aliquod irruat. Oſſium enim, quae in exteriorem partem prominent, unumquodque eam habet naturam, ipſum uti potius frangatur quam ut ligamentis et articulis mutuo inter ſe cedentibus vi adductis magno momento in interiorem partem inclinet. Dorſi item medulla ex parvo ſpatio inflexionem habens affligeretur, ubi vertebra hoc modo ſuo loco exilierit, tum loco mota vertebra dorſi medullam comprimeret, ſi non etiam disrumperet. Ea autem compreſſa et intercepta mul-

μὴ καὶ ἀποῤῥήξειε. πιεχθεὶς δ᾽ ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν. ὥστε οὐκ ἂν μέλοι τῷ ἰητρῷ, ὅκως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. ὥστε δὴ οὐδ᾽ ἐμβαλεῖν οἷόν τε οὔτε κατασεῖσαι οὔτ᾽ ἄλλῳ τρόπῳ τινὶ πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον, ἔπειτα ἐσμασάμενος ἐς τὴν κοιλίην ἐκ τοῦ εἴσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι. || καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν εἴσωθεν ἔπεσον σπόνδυλοι τελέως ὑπερβάλλοντες τὰ ἄρθρα, καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ᾽ αὐτόματα ὑγιέα γίνεσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ καὶ κερδαίνουσιν ὅτι ἀγνοέουσιν. πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ διὰ τόδε. οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα

tis magnis praecipuisque partibus torporem induceret. Adeo ut multis aliis urgentibus malis ad dirigendam vertebram medico curam intendere non liceat. Quare istud neque concutiendo neque quapiam alia ratione reponi posse manifestum est, nisi si quis homine dissecto, deinde manu immissa in ventrem contrectando interiore parte in exteriorem protrudat. Quod mortuo quidem licet, vivente vero nequaquam fieri potest. Quorsum igitur haec scribimus? Quoniam nonnulli existimant se eos sanasse, quibus vertebrae in totum articulis excedentes interiorem in partem prolapsae sunt. Quamvis quidem ab hac perversione facillime evadere posse, nullaque opus esse repositione, sed ejusmodi sponte sanescere quidam existimant. Ignari autem multi sunt, ex eaque ignorantia id lucri faciunt, quod alios ista persuasione imbuunt. At istud eos in errorem imposuit, quod spinam quae in ea dorsi parte eminet vertebras ipsas esse existimant, propterea quod eorum unumquodque attrectanti rotundum appareat, neque intelligunt ea ossa esse,

ταῦτα ἐστὶ τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σπόνδυλοι πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει ὡς ἐπὶ μεγέ(801)θει ἀπὸ τοῦ ὄπισθεν εἰς τὸ ἔμπροσθεν, ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἓν ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται ἢ τὸ ἔνθεν καὶ ἔνθεν. διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σπονδύλους εἴσω οἴχεσθαι. προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν μὲν γὰρ πειρῶνται καμπύλεσθαι, ὀδυνῶνται περιτενέος γινομένου ταύτῃ τοῦ δέρματος ᾗ τέτρωνται καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι, ῥᾴους εἰσί. χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα ταύτῃ γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν, κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀσινέες αὐτόματοι

quae a vertebris procedunt, de quibus paulo ante sermo est habitus, quodque vertebrae longe in anteriorem partem abeunt. Angustissimum si quidem inter omnia animantia homo pro magnitudine ventrem habet a posteriore parte in anteriorem, maxime etiam ad pectus. Quum igitur ex his ossibus quae supereminent aliquod valide fractum fuerit, sive unum sive plura, ea parte locus depressior quam hinc et inde redditur idque iis imponit, quod vertebras intro cessisse existiment. Praeterea quoque eos etiam in errorem inducunt, eorum qui vulnerati sunt habitus. Nam si incurvari conentur, dolore afficiuntur cum ea parte qua vulnerati sunt cutis contendatur, simulque ossa fracta hoc modo potius carnem intus pungant: sin vero in anteriorem partem nitantur, levius habent. Nam et cutis qua vulnus est laxior efficitur, ossaque intus minus pungunt. Quin et si quis eos hac parte contingat, in anteriora inclinati cedunt, isque locus inanis et mollis ad tactum apparet. Haec commemorata omnia insuper medicos fallunt. Si autem cito et sine

οἱ τοιοῦτοι γίνονται. [388] ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται ὅσα χαῦνά ἐστι.

Σκολιαίνεται μὲν οὖν ῥάχις καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει οὕτως ἔχει, ἀτὰρ καὶ ὑπὸ γήραος καὶ ὑπὸ ὀδυνημάτων, ἐπεὶ ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες αἱ ἐν τοῖσι πτώμασιν ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλότατον τῶν σπονδύλων. τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον. οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν ἢν ἕκαστος συνδιδοῖ ἀθρόως πολύ. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος (802) μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γονιώδης. χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκασμοῦ || τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα ἔχον κατορύξαι, ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐνταμεῖν ἢ πήχεϊ ἀνωτέρω τοῦ ἐδάφεος ἢ ὅκως

noxa per se convalescunt. Ejusmodi enim ossa omnia, quae laxa sunt, callo celeriter firmantur.

Spina igitur etiam in sanis multis modis distorquetur. Sic enim natura et usu rem se habere compertum est. Quin et sub senio et doloribus idem usu venit, si quidem contrahendi vim habent. Gibbi autem plerumque ex casu contingunt, ubi quis in coxas aut humeros cadendo impingit. In gibbo enim unam aliquam vertebram sublimem foras eminere necesse est, eas vero quae hinc et inde sunt minus. Neque ea tamen a reliquis multum desilit, sed paulum cum singulae in universum cedant. Eam igitur ob causam etiam dorsalis medulla ejusmodi perversiones, ubi in circulum non in angulum pervertitur, facile tolerat. Instrumenti autem quo restitutio cogitur fabricam hujusmodi instituere oportet. Lignum quidem validum oblongum in longitudinem incisum defoditur. Licet quoque hujus ligni loco in pariete oblongum aliquod cavum incidere, quod vel cubiti altitudine vel

ἂν μετρίως ἔχῃ. ἔπειτα οἷον στύλον δρύϊνον, τετράγωνον, πλάγιον, παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τοίχου ὅσον παρελθεῖν τινα ἢν δέῃ. καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσει ἢ χιτῶνας ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα. τὸν δὲ ἄνθρωπον πυριῆσαι. ἢν δὲ δέχηται πολλῷ καὶ θερμῷ λούσας, κἄπειτα πρήνεα κατακλῖναι κατατεταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα, ἱμάντι δὲ μαλθακῷ ἱκανῷ πλατέϊ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ μέσῳ κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ, ὡς ἐγγυτάτω τῶν μασχαλέων. ἔπειτα τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω. ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ [389] πρὸς ὅ τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα κατατείνειν. τοιούτων δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων δήσαντα καὶ ἄνωθεν τῶν πτερνῶν, τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτο τὸ ξύλον προσδῆ(803)σαι, ἄλλῳ δὲ ἱμάντι πλατέϊ καὶ μαλ-

ea quam res exigit, a ſolo extet. Deinde veluti columna querna, quadrangula in latus, adhibetur, eo relicto a pariete ſpatio ut aliquis pertransire, ſi opus ſit, queat. Ac columna quidem aut tunicis aut re quapiam molli, quae tamen non admodum cedat, inſternitur. Homo vero ubi fomentis, aut ſi ſuſtinet, multo calido balneo uſus fuerit, pronus extentus reclinatur manibus ſecundum naturam ad corpus porrectis et alligatis. Tum habena mollis, abunde lata et longa duobus perpetuis loris conſtans, media medio pectori quam proxime ad alas duplici circuitu injicienda: dein quod ex loris reſtat circa alam utrimque ad humeros obvolvendum, demum capita ad lignum aliquod quod piſtilli formam habeat deliganda, ea longitudine quae ſuppoſito ligno conveniat, ad quod appoſitum lignum illud, quod piſtilli formam habet, velut obice quodam extenſionem facit. Altero autem hujusmodi vinculo, tum ſuper genua tum ſuper calces dato, capita ad ejusmodi aliquod lignum deligenda. Tum alia habena

θακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος ἱκανὸν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι ὡς ἐγγύτατα τῶν ἰσχίων. ἔπειτα τὸ περισσεῦον τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, πρὸς τὸ ξύλον προσδῆσαι πρὸς τῶν ποδῶν. κἄπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι καὶ ἔνθεν καὶ ἔνθεν, ἅμα μὲν ἰσοῤῥόπως ἅμα δὲ ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσῃ, εἰ χρηστῶς σκευασθείη, εἰ μὴ ἄρα ἐξεπίτηδές τις βούλοιτο τείνεσθαι. τὸν δὲ ἰητρὸν χρὴ ἢ ἄλλον ὅστις ἰσχυρὸς καὶ μὴ ἀμαθὴς, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς πρὸς τὸ ὕβωμα καὶ τὴν ἑτέρην χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέρην καταναγκάζειν προσξυνιέντα ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ καὶ ἐπικαθίζεσθαί τινα ἐπὶ τὸ κύφωμα τοῦ ἅμα κατατεινομένου ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα. ἡσύχως δὲ ἐπενσεῖσαι οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἂν τις εἴη τῶν ἀμφὶ

lata et mollis ac valida mitellae in modum, convenienter lata et longa circum ilia ad coxas quam proxime firmiter in orbem circumdanda, deinde habenae quod supereſt unaque utrumque lori caput ad lignum, quod ad pedes eſt alligandum, ac demum eo habitu ſimul quidem aequo libramento, ſimulque in directum extenſio in diverſa adhibenda. Neque enim magnum detrimentum hujusmodi diſtentio, ſi probe praeparetur, afferri poterit, niſi ſi quis de induſtria videlicet intendi velit. At medicus aut alius quivis robuſtus, ac minime imperitus ſublimiore manus parte ad gibbum impoſita, alteraque manu ſuper alteram injecta, compellere debet animadverſione adhibita, num in directum deorſum, num vero ad caput vel ad coxas compulſio facienda ſit. Atque hujusmodi vis innoxie maxime adhibetur. Innoxium quoque eſt gibbo aliquem inſidere, ſimulque dum ſit diſtentio, ſublimem ſe attollendo concutere. Quin etiam ſuper gibbum pedibus inſiſtere ac ferri leviterque incutere nihil vetat. Cui rei moderandae ſatis idoneus fuerit eorum ali-

Ed. Chart. XII. [389.] Foës. I. 813. 814. Ed. Lind. II. (803. 804.)
παλαίστρῃ εἰθισμένων. δυνατωτάτη μέντοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη, τὸ δὲ ξύλον τὸ κατορωρυγμένον ᾗ ἐντέτμηται κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη ἢ τρύχιόν τι πολύπτυχον ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον, ὡς ἐλάχιστα μὴν ὑποκεῖσθαι ξυμφέρει, (804) μόνον προμηθεόμενον ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατὰ ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον τὸ ὕβωμα, ὡς ἂν ἡ σανὶς, ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ ἤν τε δύο. τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐκτεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας, || ἤν τε κατὰ κορυφὴν τοῦ

quis, qui in palaestra assueti sunt. Optime tamen vis adhibetur, si paries quidem excavationem habeat, lignum vero defossum, qua parte incisuram habet quantum congruere videbitur, hominis spina depressius sit. Asser autem tiliaceus aut ex alio aliquo ligno non tenuis inferatur, tum super gibbum aut panniculus lacer multiplex aut parvus quidam scorteus pulvinus imponatur. Quam minimum tamen subjicere conducit, ea sola cautione adhibita, ne asser importuna sua duritie dolorem aliquem afferat. Gibbus autem quam maxime e directo ad excavatum parietem statuatur, quo qua maxime extat, ea parte asser impositus maxime premat. Asser vero impositus ab uno aliquo vel duobus, si opus fuerit, extrema parte vi adduci debet. Alii autem corpus in longitudinem, velut ante dictum est, in diversa contendant. Potest quoque et per axes distentio fieri, aut juxta lignum defossos, vel eorum postibus utrimque erectis paulo extantibus, vel ad ligni verticem hinc et inde in

ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι εὐταμίευτοί εἰσι καὶ ἐς τὸ ἰσχυρότατον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσ τοιαύτην, ὥστε καὶ εἴτις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶ δύνασθαι. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς ὅμως κατατείνειεν ἄν τις. ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων, αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ ποιέει τις, καὶ οὕτως ἱκανῶς καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν ᾗσιν ἔξεστιν καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα. καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ἐξεστεῶτα ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἵππωσις ἰέναι, τὰ δὲ ξυνελθόντα κατὰ φύσιν κα(805)τατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας. [390] ἡ γὰρ κατ᾽ αὐτὴν τὴν ἄκανθαν ἰθυωρία τῆς κατατάσιος κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην·

ipſo ligno defixis. Haec autem vis tum ad vehementiam tum ad mediocritatem eſt accommodata eamque vim habet, ut ſi quis ad nocendum non ad curandum eam adhibere cupiat, ad id multum valeat. Nam et diſtentione ſola per longitudinem in diverſa facta, nulla etiam alia vi adhibita, probe tamen diſtentio comparatur. Quin et citra diſtentionem ſi quis aſſere duntaxat ad hunc modum utatur, ſic quoque ſufficiens compulſio fiet. Optimum igitur eſt hujusmodi vim adhibere, quam tum intendendo tum remittendo pro cujusque arbitrio temperare licet, et quae vel ſecundum naturam compulſionem facit. Quae enim exceſſerunt, compreſſione in ſuam ſedem redeunt. Quae vero praeter naturam coierunt, eae quae ſecundum naturam intentiones adhibentur componunt. Equidem nullam aliam viam, qua per vim compulſio fiat, neque meliorem neque aequiorem invenio. Neque enim ad eam quae in directum fit ſpinae diſtentionem ab inferiore parte et ad os ſacrum appellatum eſt quod injectum vinculum retineat. Ex ſuperiore vero

ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλὴν ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἐς εἰδέην γε ἀπρεπής. ταύτῃ τοι γενομένη ἡ κατάτασις καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεονασθεῖσα. ἐπειρήθην δὲ δήποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα, κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα φυσᾷν. ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε μὲν γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζεσθαι, καὶ ἄλλως ἕτοιμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό τε τοῦ ἀνθρώπου ὕβωμα καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου κύρτωμα. ὅτι δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο, ὁ δὲ ἄνθρωπος πάντῃ μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο. καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστι, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ δι' ἅπερ ἠπορήθη.

|| Ὅσοισι δὲ ἐς τὸ εἴσω σκολιαίνονται οἱ σπόνδυλοι ὑπὸ πτώματος ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐ-

parte juxta cervicem et caput, est quidem quod prehendi queat, verumtamen illud in speciem indecorum est. Et hac parte exuperans distentio, alias quoque noxas afferre queat. Experimentum autem jam olim per utrem feci, quem homine resupinato minime inflatum gibbo submisi, ac deinde folle fabrili in subjectum utrem immisso inflavi. Sed parum successit. Probe enim distento homine cedebat uter, neque flatus quicquam per vim impellebat, praeterquam quod uter facile elabebatur, cum in idem tum hominis gibbus, tum repleti utris tumor cogerentur. Si vero non ita vehementer homo extenderetur, uter quidem flatu in tumorem assurgebat, sed homo prorsus magis quam expediret in anteriorem partem curvabatur. Atque haec adhibito studio persequutus sum, quod pulchra est eorum doctrina, quae tentata successu caruisse, idque quamobrem contigerit apparet.

At quibus ex casu aut illabente aliquo pondere vertebrae interiorem in partem obliquantur, iis quidem ple-

δεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα ἢ εἷς ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὲ καὶ πρό(806)σθεν εἴρηται, κυκλώδης καὶ αὕτη δὲ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται ἢ τοῖς ἔξω κυφοῖσι, καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον καὶ θανατηφόρα ταῦτα μᾶλλον ὧν ἔφην. καὶ ἢν περιγένωνται δὲ [391] ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι. καὶ εἰ μή τινα ἡ κατὰ τῆς κλίμακος κατάσεισις ὠφελέειν οἵη τε εἴη ἢ καὶ ἄλλη τις τοιαύτη ἴησις ἢ κατάσεισις, οἵηπερ ὀλίγῳ πρόσθεν εἴρηται. κατανάγκασιν δὲ σὺν τῇ κατασείσει οὐδεμίην ἔχω, ἥ τις ἂν γίνοιτο ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς γὰρ ἄν τις ἐκ τοῦ

rumque vertebra non adeo multum ab aliis recedit. Sin vero aut una aut plures multum excesserint, hominem, velut etiam ante dictum est, praecipitant, cum in anguli non in circuli flexum haec dimotio fiat. Iis igitur urina et stercus magis quam quibus exteriorem in partem gibbus fit supprimitur, pedesque ac crura tota magis perfrigerantur potiusque ista quam quae dixi mortem afferunt. Quod si evadant, iis urina magis proflua redditur, et crurum impotentia ac stupore torquentur. Quod si superiore spinae parte magis in anteriorem partem inclinatio fiat, totius corporis impotentia et stupro contingit. Equidem eum qui ita affectus sit in pristinum statum nulla via restitui posse puto, nisi si quae per scalam adhibetur concussio, aut aliqua alia ejusmodi curatio, aut qualis paulo ante commemorata est distentio praesidium aliquod adferre possit. Impellendi autem modum, qui simul cum distentione adhibeatur, nullum habeo qui quemadmodum asser gibbum impellere possit. Quonam enim pacto ab ante-

Ed. Chart. XII. [391.] Foës. I. 815. 816. Ed. Lind. II. (806. 807.)

ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε. ἀλλὰ μὴν οὔτε βῆχες οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσι ὥστε τῇ κατατάσει συντιμωρέειν. οὐ μὴν οὐδ᾽ ἔνεσις φύσης ἐνιεμένης ἐς τὴν κοιλίην οὐδὲν ἂν δυνηθῇ, καὶ μὴν αἱ μεγάλαι σικυίαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν εἴσω ῥεπόντων σφονδύλων μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι, καὶ οὐδ᾽ αὐτὸ τοῦτο || γινώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασεισίων ἢ οἷοι πρόσθεν εἴρηνται ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τις (807) δοκείῃ τῷ παθήματι μᾶλλον, ἀλλ᾽ οὐ κάρτα πιστεύω αὐτοῖς. διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὴ ξυνιέναι χρὴ περὶ τούτων, ὡς ἐν κεφαλαίῳ εἴρηται, ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥείσαντα ὀλέθριά εἰσι καὶ σινόμωρα, τὰ δὲ ἐς τὸ κυφὸν ἀσινέα θανάτου καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν. οὐ γὰρ ἐκτείνει τοὺς ὀχετοὺς τοὺς

riore parte per ventrem impulsio fieri queat? Sed neque hoc licet, neque tusses aut sternutamenta aliquid facultatis ad distentionem conferunt. Neque vero flatus in ventrem immissus quicquam efficiat. Quin et magnae cucurbitulae, quae attrahendarum nimirum vertebrarum intro inclinantium gratia admoventur, magno errore mentem implicant. Propellunt enim magis quam attrahant. Id quod ignorant qui eas admovent. Quo enim majores cucurbitulae adhibentur, eo magis in anteriorem partem curvantur quibus eae admoventur, cum a superiore parte cutis simul urgeatur. Alios quoque a supradictis concutiendi modos, quos ad hanc affectionem magis accommodatos quispiam existimet, referre possem; verum quia parvam in iis fiduciam colloco, ideo non adscribo. In totum igitur de quibus breviter dictum est sic statuere oportet. Quae quidem in anteriorem partem inclinant, periculo et noxae esse obnoxia: quae vero in exteriorem partem gibbum faciunt, noxia et periculo quod ad mortem et urinae suppressionem ac stuporem attinet ex toto vacare. Neque

Ed. Chart. XII. [391—393.] Foes. I. 816. Ed. Lind. II. (807.)
κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει εὐρόους εἶναι ἡ ἐς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει καὶ ἐς τὰ ἄλλα πολλὰ προσγίνεται. [392] ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσι δὲ ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε ἔξω μήτε ἔσω, σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυνίην τῆς ῥάχιος. οἷσι δὲ ἂν ἐκστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν.

Πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσοιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ καθ᾽ ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος, τὰ δὲ ἀσθενέστερα σινόμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα καὶ κοινωνέοντα καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον, [393] ἐπεὶ καὶ πλευρέων κάτηξις τοιοῦτόν τι πέπονθεν. οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ, μία ἢ πλέονες ὡς τοῖσι πλείστοισι κατάγνυται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ εἴσω μέρος, μηδὲ ψιλωθέντα ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν. ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη

enim gibbus in exteriorem partem alvi ductus intendit, neque prohibet quominus fluere possint. Utrumque vero spinae ad interiora inclinatio efficit, praetereaque multa accedunt. Alioqui multo plures crurum et manuum impotentia et corporis stupore afficiuntur, urinaque supprimitur, quibus quidem ex gibbo vertebrae neque intro neque extra excesserint, sed in directum spinae vehementer concussi fuerint. At quibus ex gibbo spina curvatur, iis talia minus contingunt.

Multa quoque alia in arte medica videre licet ex quibus quae vehementia quidem sunt, cum in sese totum morbi discrimen recipiant, noxa vacant: quae vero leviora, noxas et diuturnos morbos pariunt et magna etiam consensione reliquum corpus afficiunt. Quandoquidem et in costis fractis tale quidpiam contingit. Quibus enim costae fractae fuerint, una aut plures velut plerisque evenit, ita ut ossa ad interiorem partem minime perrumpant, neque nudentur pauci quidem adhuc febre correpti sunt. Sed neque multi etiam sanguinem expuerunt, neque multi

Ed.Chart.XII.[393—395.] Foës. I. 816. 817. Ed. Lind. II. (807. 808.)
ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, δίαιτά τε (808) φαύλη ἀρκέει. ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνη αὐτοὺς, καὶ κενεαγγέειν κάκιον τοῖς τοιούτοισιν ἢ μὴ κενεαγγέειν καὶ ἐπωδυνέστερον καὶ πυρετωδέστερον καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει, ὁ δὲ κρεμασμὸς ὀδύνην. [394] ἔξωθεν δὲ φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν ἡσύχως ἐρείδοντα, ὁμαλὴν τὴν ἐπίδεσιν ποιέεσθαι ἢ καὶ || ἐριῶδές τι προσεπιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι. ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων. ἀμφιθλασθείσης δὲ τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν ἢ ὑπὸ πληγῆς ἢ ὑπὸ πτώματος ἢ ὑπὸ ἀντερείσιος ἢ ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν. [395] οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ γοῦν ἤδη βηχώδεες καὶ

pus interiore thorace colleg unt, aut ea quae fit per linamenta curatione opus habuerunt, aut iis ossa vitiata sunt, hisque simplex victus ratio satis est. Etenim si febre assidua non detinentur, iis inedia deterior est quam cibus gravioremque dolorem et febrem ac tussim excitat. Modica enim ventris plenitudo ostas dirigit, vasorum vero inanitio eas pendulas facit, haeque suspensae dolent. Ab exteriore autem parte iis quaevis deligatio satis est, sic ut cerato et spleniis fasciisque leniter appressis vinculum aequale inducatur aut etiam laneum quiddam superimponatur. Costa vero viginti diebus callo firmatur. Celeriter namque his ossibus callus o ucitur. At carne circa costas ex plaga aut casu aut renixu aut alia re quapiam ejusmodi contusa, multi jam copiosum sanguinem expuerunt. Ductus enim qui per obtentam unicuique costae inanitatem feruntur, et nervi ex praecipuis corporis partibus ortum ducunt. Unde etiam multi ex tussi et tuberculis et pure

φυματίαι καὶ ἔμπυοι ἐγένοντο καὶ ἔμμοτοι καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως δὲ βραδύτερον ὀδυνώμενοι παύονται οὗτοι ἢ οἷσιν ἂν ἡ πλευρὴ καταγῇ, καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον ἐν τοῖσι τοιούτοισι τρώμασι. μάλα μὲν οὖν μετεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢν πλευρὴ κατεαγῇ αὐτοῖσιν. ἀτὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται εἰ σωφρονοῖεν. τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι, ἀτρεμέειν δὲ τῷ σώματι (809) ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι, βρωμάτων δὲ λιπαρῶν καὶ κερχνωδέων καὶ ἰσχυρῶν πάντων, [396] φλέβα τε κατ᾽ ἀγκῶνα τέμνεσθαι, σιγᾷν τε ὡς μάλιστα. ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντα τοῦ φλάσματος. κηρωτῇ τε ὑποχρίειν ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν. ἐρείδειν τε μετρίως, ὥστε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεσμένον, μηδ᾽ αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν

in thorace collecto, ea quae per linamenta fit curatione indiguerunt, et ad costae siderationem devenerunt. Sed e quibus carne circa costas contusa nihil tale supervenit tardius tamen ii dolore liberantur quam quibus costa perfracta est, atque in his casibus dolor locum magis repetit Proindeque nonnulli hujusmodi noxas ubi costa perfracta sit, magis negligunt. Quin etiam ii, si modo sapiant, diligentiorem curandi rationem desiderant. Nam et victu subtrahendum, totoque corpore quam maxime quiescere conducit, et venere abstinendum, tum eduliis pinguibus e quae faucium asperitatem inducant, tum etiam validis omnibus. Vena quoque in cubitu secanda et quam maxime habendum silentium. Supra locum contusum splenia non multiplicia, sed multa et tota contusione longe latiora inducere, tum cerato sublinere et linteis latis, fasciisque lati et mollibus devincire convenit modiceque apprimere, u qui deligatur neque valde compressum vinculum, neque item laxum esse dicat. Primum autem ab ipso colliso or-

Ed. Chart. XII. [396. 397.] Foës. I. 817. Ed. Lind. II. (809. 810)

ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα. τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε ἵνα μὴ περιῤῥεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρέας ἔῃ, ἀλλ' ἰσόῤῥοπον. ἐπιδέειν δὲ ἢ καθ' ἑκάστην ἡμέρην ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου, καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχραίνειν, ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. [397] τῇ δὲ ἐπιδέσει, ἔστ' ἂν μὲν ἰσχραίνῃς, ἐρηρεισμένῃ μᾶλλον χρέεσθαι· ὁκόταν δὲ ἐς τὸν ἁπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ καταρχὰς, τεσσαρακονθήμερον τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή, ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προστεκμαίρεσθαι χρή. ὅσοι δ' ἂν ἀμελήσωσι τῶν τοιουτέων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι φλαῦρον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιφλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται καὶ (810) μὴ εὖ ἐξιποῦται τῇ γε ἀλθέξει φαυλότερον μὲν, ἢν παρ' αὐτὸ

diri vinculum debet, ibique maxime firmari. Et a media fascia injicienda deligatio, ita ut cutis quae circa costas est, neutram in partem inclinet, sed aequabili momento feratur singulisque diebus aut tertio quoque die deligandum. Praestat quoque alvum levi aliquo medicamento, quod eam dejiciat, mollire. Ac decem quidem diebus corpus extenuare, deinde rursus alere et implere. Sed dum extenuamus, adstrictior, ubi vero ad pleniorem habitum ducimus, paulo laxior deligatio adhibenda. Quod si ab initio quidem sanguinem expuat, quadraginta diebus circa curationem et deligationem diligentia adhibenda, alioqui fere viginti dierum curatio abunde est. Ex magnitudine autem vulneris, temporis ratio est ineunda. At qui hujusmodi contusa parvi fecerint, iis etsi nullum deterius malum contingit, at locus certe contusus mucosam magis quam antea carnem continet. Ac ubi quidpiam hujusmodi intus relinquitur, neque curatione quidem probe exprimitur, deterius certe se res habet, si circa os ipsum mucosum

τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό τε ὀστέον νοσηλότερον γίνεται. σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο. ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ᾽ αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ ἀναποθῇ τουτὶ τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει γενόμενον, αὐξηθῇ δὲ σαρκὶ ὑγιέϊ τὸ χωρίον, αὔξηται δὲ τοῦ ὀστέου ἡ σάρξ. [398] οἷσι δ᾽ ἂν ἀμεληθεῖσι χρονιωθῇ καὶ ὀδυνῶδες τὸ χωρίον γένηται καὶ ἡ σὰρξ ὑπόμυξος ἔῃ, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ἄχρι τοῦ ὀστέου καίειν χρὴ, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν || πλευρέων ἔῃ, ἐπιπολῆς μὲν οὐδ᾽ οὕτως χρὴ καίειν, φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ φλάσμα καὶ ἔτι νεαρὸν ἔῃ καὶ μή πω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κάρτα ὀλίγον ἔῃ,

relinquatur. Neque enim amplius aeque a carne os attingitur, osque morbis opportunius redditur, multisque jam ob ejusmodi causas ossa longo tempore vitiantur. Quod si non quae juxta os sunt, sed ipsa caro mucosa sit, sic quoque tamen subinde morborum et dolorum reversiones fiunt, si quis forte corpore sit affecto. Iccirco deligatione tum bona tum valde accommodata uti convenit, quoad quae in contuso facta est humoris effusio, exiccata et absorpta fuerit et locus integra carne expleatur, ossisque caro increscat. At quibus malum inveteravit, locusque dolore vexatur et caro aliquantum mucosa est iis ustio optime medetur. Et si quidem caro mucosa sit, ad os usque ustio pertingere debet, neque tamen os ipsum incalescere. Sin vero in intermediis costis fuerit, ne sic quidem in summo adurere convenit, ea tamen cautio adhibenda, ne adurendo in ulteriorem partem penetres. Quod si circa os contusio esse videatur, eaque adhuc recens sit neque dum vitiatum os fuerit, si valde exiguum quidem locum occupet, sic

οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ἔῃ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή· περὶ δὲ σφακελισμοῦ πλευρῆς ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ εἰρήσεται.

Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πλειστάκις, εἰς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, ἐς δὲ τὸ ὄπισθεν καὶ τὸ ἔμπροσθεν ἐκπί(811)πτει μὲν, ὀλιγάκις δέ. [399] οἷσι μὲν οὖν ἂν ἐκβῇ εἰς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον τὸ ἄνω φερόμενον πρὸς τὸν κτένα ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχέεται. ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἅτε εἴσω ῥευσάσης τῆς κεφαλῆς τοῦ μηροῦ. τό τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ πούς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδὸς, || οἱ ἰητροὶ δι᾽ ἀπειρίην τὸν ὑγιέα πόδα πρὸς τοῦτον

velut dictum est adurere convenit: sin vero oblongus locus sit qui circa os attollitur, pluribus locis demittendum erit candens ferramentum. De costae autem sideratione, ubi curationem per linamenta tractabimus dicetur.

Femoris articulus ubi coxendice excidit, quatuor in partes promovetur in interiorem quidem saepissime, deinde in exteriorem, interdum vero in posteriorem et anteriorem, sed raro. Quibus igitur interiorem in partem excessit, iis crus alteri collatum, longius duabus de causis merito apparet. Ossi enim quod a coxendice procedit, et ad superiorem pectinis partem fertur, femoris caput insidet et articuli cervix in acetabulo fertur, exterioreque rursus parte nates excavatur, nimirum cum femoris caput in interiorem partem desluxerit. Summa item femoris pars ad genu et tibia similiter ac pes, in exteriorem partem ferri coguntur. Pede igitur extra vergente, medici imperiti huic sanum, non hunc sano admovent, ac iccirco crus offensum

Ed. Chart. XII. [399—401.] Foes. I. 819. Ed. Lind. II. (811. 812.)

προσίσχουσιν, ἀλλ᾽ οὐ τοῦτον πρὸς τὸν ὑγιέα. διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασύνεσιν ἔχει. [400] οὐδὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίνεον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημήϊα ταῦτά ἐστιν, οἷσιν ἂν εἴσω ἐκπεπτώκει ὁ μηρός. οἷσι μὲν ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖς βουσὶ γίνεται καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι, [401] καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κυλλοὶ καὶ σκολιοὶ εἶναι. κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνει, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι. τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν. πῶς γάρ; ἀναγ(812)κάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέ-

integro multo longius apparet. Multaque etiam alias in his hallucinatio subest. Sed neque ad inguen crus flectere similiter atque sanum possunt. Quin et femoris caput in interfemineo tactu prominere conspicuum est. Ac his quidem indiciis femur interiorem in partem elapsum esse colligitur. Quibus igitur articulus elapsus fuerit, neque tentatus reponi potuerit aut neglectus fuerit, ii crus circumvolvendo velut boves ingrediuntur, plurimamque molestiam sano crure sustinent, coguntúrque ad lateris inanitatem et prolapsum articulum incurvi et obliqui esse. In sano vero crure nates rotunda eminere cogitur. Si quis etenim integri cruris pede in exteriorem partem converso incederet, reliquum totum corpus in crus affectum, ut ab eo veheretur protruderet. At qui fieri potest ut crus affectum corpus sustineat? Cogitur ergo hunc in modum integri cruris pede in interiorem partem, non exteriorem converso ingredi. Hoc enim pacto crus sanum tam eam cor-

λος τὸ ὑγιὲς καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. [402] κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὰ ἄρθρα μικροὶ φαίνονται καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος. δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοισι γοῦν τοῖσι σχήμασι ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμ-[403]πέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅπως ἂν ῥήϊστα ἐσχηματισμένον ἔῃ. ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήϊστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλεϊ πάντες, καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν, ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει, καὶ δισσὰ κερδαίνουσι, δισσῶν

poris partem quae sibi, quam quae cruri affecto imminet maxime sustineat. Incurvati autem ad lateris inanitatem et articulos pusilli apparent, et ad latus cruris integri baculo inniti coguntur. Hac enim parte conti renixu indigent, cum in eam et nates inclinent et corporis pondus feratur. Inclinari item eos necesse est, cum manum e regione cruris affecti ad obliquum femur obfirmare cogantur. Neque enim crus affectum corpus sustinere potest, ubi per vices mutanda crura sunt, nisi ad terram appressum contineatur. His igitur figurationum modis uti coguntur, quibus intro prolapsus articulus minime reconditus fuerit, nihil providente aegro quonam habitu facillime consistat, cum casus ipse edoceat ex his qui ad manum sunt, eum qui maxime sit accommodatus eligere. Neque enim quibus ulcere pes aut tibia laborat, ii admodum crure incedere possunt, eodemque modo infantes gradiuntur. Affecto namque crure in exteriorem partem converso gressum faciunt. Ac duplex eis, quo opus habent

γὰρ δέονται. τό τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ εἴσω. οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑπερβαινομένου. κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ καὶ τῇ μετα αγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστ' ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, ἢν τῷ μὲν (813) σιναρῷ ἐξωτέρω βαίνει, τῷ δὲ ὑγιεῖ ἐσωτέρω. περὶ οὗ νῦν ὁ λόγος. ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ σῶμα ἐς τὰ ῥηΐστα τῶν σχημάτων. ὅσοισι μὲν οὖν μή πω τελειουμένοισιν ἐς αὔξησιν ἐκπεσὼν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς. οὔτε γὰρ τὰ ὀστᾶ ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὰ τοῦ μηροῦ, [404] ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτότερον γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρέεσθαι ἐστὶν, ὅτι οὐ κατὰ φύσιν κέεται. [405] χρῆσις γὰρ μετεξετέρη ῥύε αι τῆς ἄγα ἐκθηλύνσιος. ῥύεται

commodum accedit. Neque enim corpus aeque sustinetur eo crure quod incessu extra fertur, atque eo quod intro, cum ei e directo onus non incumbat, sed multo magis illi quod in incessu supponitur. Huic si quidem tum in ipso ingressu tum in alterna crurum permutatione e directo pondus incumbit, quod eo habitu crus sanum celerrime supponi queat, si affecto quidem crure exterius, sano interius ambulatio fiat. At quod ad praesentem sermonem attinet, non parvi est momenti habitum corpori quam accommodatissimum per se invenire. Qui igitur ad perfectum incrementum nondum devenere, iis si prolapsus articulus non reconditur, femur, tibia et pes breviora evadunt. Neque enim iis ossa aeque in longum augentur, verum breviora fiunt, ac praecipue femur. Crusque totum carne vacuum, minime torosum effeminatum et tenuius redditur, partim quidem quod sua sede privetur articulus, partim vero quod suo munere fungi nequeat, cum naturalem statum non retineat. Usus enim quidam nimiam mollitiem, tum etiam in quod in longum augeri prohibet,

Ed.Chart.XII. [405. 406.] Foëf. I. 819. 820. Ed. Lind. II. (813. 814.)

δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦται μὲν οὖν μάλιστα οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον· || δεύτερον δὲ οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν. ἥκιστα δὲ τοῖσι τετελειωμένοισιν. τοῖσι μὲν οὖν τετελειωμένοισιν εἴρηται οἵη τις ὁδοιπορίη γίνεται. οἷσι δ᾽ ἂν νηπίοισιν ἐοῦσιν, ἡ ξυμφορὴ αὕτη φαίνεται. οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὴ γένηται. ὁκόσοι δ᾽ ἂν νήπιοι ὄντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλεϊ χρέονται ἐς ὀρθόν. ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ καὶ ὑπ᾽ ἀμφοτέρας τὰς χεῖρας. τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι, [406] καὶ τοσούτῳ ῥηΐους (814) εἰσὶ, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ἔῃ. τὸ δὲ ὑγιὲς ἰσχύει αὐτέοισιν οὐδὲν ἧσσον ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. θηλύνονται δὲ πᾶσι τοῖσι

quodammodo tollit. Graviſſime igitur habent, quibus dum in utero continentur, elabitur hic articulus. Secundum hos, quibus in ſumma inſantia idem contingit. Minime vero omnium qui adulti iſtud perpeſſi ſunt. Ac adulti quidem qua ratione incedant, dictum eſt. Quos vero adhuc in inſantia hic caſus detinet, plerique quidem in dirigendo corpore negligenter ſe gerunt, maleque ad ſanum crus convolvuntur, manu, quae e regione ejus eſt ſe ad terram obſirmantes. Quin etiam adulti nonnulli qui hac calamitate vexantur, rectam ambulationem ſegniter curant. At qui in inſantia hanc calamitatem experiuntur, ii ſi liberaliter educati fuerint ſano quidem crure recto utuntur, verum ſcipionem alae quae ſano cruri reſpondet ſuppoſitum circumferunt. Quidam etiam utrique alae ſcipionem ſubjiciunt, crus vero affectum ſuſpenſum detinent, quoque id brevius eſt, eo levius habent. Sano autem crure nihilo minus habent roboris, quam ſi integrum utrumque eſſet.

Ed. Chart. XII. [406.] Foës. I. 820. Ed. Lind. II. (814.)

τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ᾽ ἔτι θηλύνονται αἱ τοῦ ἔξω μέρεος ἢ αἱ ἐκ τοῦ εἴσω ὡς ἐπὶ πολύ. μυθολογοῦσι δέ τινες ὅτι αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τι ἑωυτῶν αὐτίκα νήπιον ἐὸν ἐξαρθρέουσιν, αἱ μὲν κατὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο καὶ μὴ ἐπιβουλεύοι τὸ ἄῤῥεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα ἢ χαλκείης ἢ ἄλλο τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστι ἐγὼ μὲν οὐκ οἶδα, ὅτι δὲ γενοίατο ἂν τοιαῦτα οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. κατὰ μὲν οὖν τὰ ἰσχία μέζον τὸ διάφορόν ἐστιν εἰς τὸ εἴσω ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι, κατὰ γούνατα δὲ διαφέρει μέν τι, ἔλασσον δέ τι διαφέρει. τρόπος δ᾽ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι. γυιοῦνται γὰρ μᾶλλον οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται οἷσιν ἂν εἰς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν εἰς τὸ ἔξω μέρος, κυλλοὶ μὲν

Ejusmodi tamen omnibus cruris carnes emolliuntur, eaeque ut plurimum exteriore parte magis quam interiore. Ferunt autem nonnulli Amazonas masculam suam prolem statim ab infantia, partim ad genua partim ad coxendices luxare consuevisse, quo videlicet claudi fierent ac neque mares foeminis insidias tenderent, eisque ad manuaria operas uterentur, et coriariam, fabrilem et quodvis aliud sedentarium opus exercerent. Quae quidem vera necne sint ignoro. At quod ista contingant quibus statim ab infantia articuli luxantur, certo scio. In coxis quidem certe in interioremne partem, an in exteriorem elabatur articulus multum interest. In genibus vero interest etiam nonnihil, sed minus tamen. Suus autem utrique prius proprius claudicationis modus inest. Brevioribus enim sunt membris quibus exteriorem in partem prolapsus articulus fuerit. Recti autem minus stant, quibus in interiorem partem exciderit. Eodem quoque modo si ad malleolum luxatio contingat, quibus in exteriorem partem excidit, ii quidem vari fiunt, verum stare possunt. At quibus in in-

γίνονται, ἑστάναι δὲ δύνανται· ἢν δὲ ἐς τὸ εἴσω μέρος, βλαισσοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται.

[407] || Ἡ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται. οἷσι μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται· ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι. τὰ δὲ τῆς κνήμης ὀστέα αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως, αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ᾽ ἂν κατὰ μὲν τὸ σφυρὸν (815) μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλοι ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶόν ἐστιν. εἰ δέ οἱ χρέεσθαι ἠδύνατο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ᾽ ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως

teriorem partem articulus prolapsus est, ii valgi quidem efficiuntur, minus vero stare queunt.

At vero quaenam ossa augeantur, res sic se habet. Quibus quidem ad malleolum tibiae os loco motum est, iis certe pedis ossa, quod proxime vulneri juncta sint minimum augentur. Tibiae vero ossa augentur quidem, neque certe multo minore copia, verum carnes imminuuntur. At cum articulus ad malleolum sua sede secundum naturam manserit, ad genu vero suo loco emotus fuerit, iis tibiae os, quod vulneri sit proximum, non aeque augeri, sed brevius reddi consuevit. Pedis autem ossa imminuuntur quidem, verum non aeque ac paulo ante dictum est, cum pedis articulus integer maneat. Quod si eo etiam, sicuti cum varus est, uti possent, iis adhuc minus pedis ossa imminuerentur. Quibus vero coxendicis articulus luxatur, iis femoris os, quod proxime vulnus attingat, non aeque augeri solet, sed sano brevius redditur. His tamen neque tibiae os, neque pedis ossa

Ed. Chart. XII. [407. 408.] Foës. I. 821. Ed. Lind. II. (815. 816.)

τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὲ ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ παρὰ τὴν κνήμην ἐν τῇ ἑωυτοῦ φύσει μένει καὶ τὸ τῆς κνήμης τὸ παρὰ τὸν πόδα σάρκες μέντοι μινύθουσι παντὸς τοῦ σκέλεος τούτοισιν. εἰ μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, ἦν ἧσσον ἄσαρκα ἔῃ. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἦν. σημήϊον δὲ ὅτι τοιαῦτά ἐστιν. ὁκόσοισι [408] γὰρ τοῦ βραχίονος ἐκπεσόντος γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι, τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος, διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γέγονεν. (816) ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς ξυμφορῆς, ὅτι τὸ βραχίονος ἄρθρον τὸ πρὸ τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἡ τε αὖ χεὶρ ἔτι τηλοτέρῳ ἄπεστιν ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται, τό τε ξυναυξόμενον ξυναύ-

eodem modo augeri prohibentur. Quod ideo accidit, quod femoris articulus, qui cum tibia committitur, et tibiae, qui cum pede, ſua naturali ſede manet: iis tamen totius cruris carnes imminuuntur. Quod ſi crure uti poſſent, etiam magis oſſa augerentur, velut prius quoque dictum eſt, femore excepto, minusque carne deſtituerentur, quamvis id multo magis quam ſanis contingat. Cui rei indicio ſunt qui a prima origine aut antequam ad perfectum incrementum devenerint, brachio luxato muſtelae cubito praediti evadunt. Hi ſi quidem os brachii breve, cubitum vero ac ſummam manum ſanis paulo exiliora habent, idque ob antedictas cauſas, quod brachium cum laeſo articulo proximum ſit, iccirco brevius redditur. Cubitus autem non ideo noxae aeque patet, quod brachii articulus qui ad cubitum eſt, priſtinam naturam retineat. Manusque rurſus etiam longius a noxa quam cubitus abeſt. Has igitur ob cauſas enumeratas oſſa quaedam incremento deſtitui, quaedam etiam incremen-

ξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστὶ, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται οὐδὲν ἐνδεεστέρως τοῦ ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει. μαρτύριον δέ τι ἓν ἔσται ἐν τοῖσιν ὕστερον εἰρημένοισιν, ὅτι ταῦτα τοιαῦτά ἐστιν.

[409] || Ὁκόσοισι δ᾽ ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατειόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπ᾽ ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε εἴσω ἐξέπιπτεν,

tum ſuſcipere contingit. Ad pleniorem autem manus et brachii habitum multum manus labor profuerit. Qui namque muſtelae cubito praediti ſunt, manuarias operas quas etiam altera manu praeſtant, ut plurimum hac manu ſuſcipiunt, idque nihil pejus quam altera. Neque enim manibus ut cruribus, corporis onus fertur, ſed ſunt levia earum opera. Ob exercitationem autem neque in manu, neque in cubito iis qui muſtelae cubitum habent, carnes imminuuntur. Quin etiam brachium ad pleniorem habitum inde nonnihil juvatur. At ubi coxendicis articulus a primo ortu, aut etiam in ipſa infantia ſua compage emotus, ad interiorem partem inclinarit, carnes eam ob cauſam magis quam in manu imminuuntur, quod ii crure uti nequeant. Atque haec ita ſe habere quae paulo poſt dicentur quodammodo teſtabuntur.

At quibus in exteriorem partem femoris caput exceſſit, iis crus juxta alterum extenſum merito quidem brevius apparet. Neque enim femoris caput, velut cum intro luxabatur

Ed. Chart. XII. [409.] Foës. I. 822. Ed. Lind. II. (816. 817.)

ἀλλὰ παρ᾽ ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον. ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ (817) ὁ μηρὸς παρὰ τὴν πληχάδα καλεομένην κυλλότερος καὶ σαρκότερος γίνεται. ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὀλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ. τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον εἴσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς. ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημήϊα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος. ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς, τῷ δὲ στήθεϊ τοῦ ποδὸς βαίνουσιν ἐπὶ τὴν γῆν. ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον ἢ οἷσιν ἂν ἐς τὸ εἴσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ

ossi insidet, sed juxta os quod natura inclinatum est, in carne humida et cedente firmatur, ideoque brevius apparet. Interiore vero parte ad locum inter crura medium, gressuram et πληχάδα nominant, femur magis contrahitur et gracilius evadit. Exteriore autem parte nates in gibbum magis extumescit, extra nimirum femoris capite elapso. Quin et superior nates apparet, eo quod hac parte caro femoris capiti cedit. Extrema vero femoris pars ad genu et tibia et pes introrsum spectare conspiciuntur. Verum neque inflectere perinde ac sanum crus possunt. Atque haec quidem sunt extra prolapsi femoris notae. Quibus igitur jam adultis luxatus articulus reconditus non fuerit, iis crus totum brevius conspicitur, neque ingressu terram calce contingere possunt, sed ima planta terrae insistunt, paululumque summis digitis interiorem in partem tendunt. Atque in his longe melius crus laesum corpus ferre potest, quam quibus in interiorem partem luxatio facta est, partim quidem quod

μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ὅτι ἄκρος ὁ πούς οὐκ ἐς τὸ ἔξω αέρος ἀναγκάζεται ἐγκεκλεῖσθαι, ἀλλ᾽ ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα καὶ τείνει καὶ ἐσωτέρω. [411] ὅταν μὲν οὖν τρίβον λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείθη, ἡ δὲ σάρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται, δύνανται δὲ ὀχέειν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. δι᾽ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκ(818)θηλύνονται αἱ σάρκες ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον. μᾶλλον δ᾽ ἔτι ἐκθηλύνονται κατὰ τὸ εἴσω μέρος ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ διεμπέσῃ ἢ καὶ ὑπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ

femoris caput et articuli cervix, quae naturaliter obliqua est, majori coxae parti subjecta est, partim vero quod summus pes in exteriorem partem inclinari non cogitur, sed prope ad rectitudinem corporis accedit, et interiorem in partem etiam convertitur. Quum igitur articulus carnis locum in quem elapsus est, consuetudine tritum fecerit, et caro lentorem contraxerit, temporis tractu doloris expers evadit. Tuncque, si velint, absque baculo incedere possunt, et corpus affecto crure sustentare. Iis ergo, eo quod crure utuntur minus quam quibus paulo ante dictum est, carnes emolliuntur, idque plus aut minus contingit. Fere autem magis ad interiorem partem quam exteriorem effoeminantur. Ac eorum quidem nonnulli, quod crus flectere non possint, calceum sibi inducere nequeunt. Quidam etiam id possunt. At quibus in matris utero hic articulus sua sede emotus fuerit, aut cum adhuc augentur, vi exciderit neque reconditus fuerit, aut etiam morbo elapsus atque sua compage motus fuerit, horum enim pleraque contingunt, eorum

τοιαῦτα γίνεται, καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς, ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος. τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται ἢ τὸ τῆς ἑτέρης, ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται· ὁδοιπορέειν δὲ δύνανται οἱ τοιοῦτοι. οἱ μέν τινες αὐτῶν τοῦτον τὸν τρόπον, ὥσπερ οἷσι τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν. οἱ δὲ καὶ βαίνουσι μὲν παντὶ τῷ ποδὶ, [412] διαῤῥέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται ἢν ἐπιμελῶς μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατηθῆναι ἐς τὴν ὁδοιπορίην, ἐπιμελέως δὲ καὶ ὀρθῶς ἐπὴν κρατηθῶσιν. πλείστης δὲ || ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν αὕτη ἡ ξυμφορὴ γένη(819)ται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες,

quidem nonnullis, si sideratum femur fuerit, suppurationes diuturnae et quae curationem per linamenta desiderent, contingunt, quibusdam etiam ossa nudantur. Eodem vero modo tum quibus sideratur os femoris, tum quibus non sideratur multo brevius redditur, ac neque velut sanum augeri solet. Hujus etiam tibiae ossa paulo quidem quam alterius breviora evadunt, ob easdem causas, quae etiam antea sunt commemoratae. Atque hi incedere possunt, nonnulli quidem eo modo, quo quibus jam adultis elapsus articulus reconditus non fuit, quidam etiam toto pede insistunt, inter ambulandum tamen ob cruris brevitatem, utramque in partem inclinari coguntur. Haec autem sic contingunt, ubi in his quae ad corporis habitum spectant, diligenter et in quibus oportet recte fuerint a pueris educati, prius quam ad ambulationem confirmenter, ac nihilominus etiam diligenter et recte ubi confirmati fuerint. Summam vero curam postulant, quibus in prima infantia hic casus incidit. Si enim ea in infantia negligantur, iis totum crus prorsus in-

Ed. Chart. XII. [412-414.] Foës. I. 823. Ed. Lind. II. (819.)
ἀχρήϊον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον ἢ τοῦ ὑγιέος. πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν ἢ οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλεϊ, ὡς καὶ πρόσθεν ὀλίγον ἐπὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα ταὐτὰ παθήματα πάσχει, αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται. εὔσαρκα δὲ καὶ τὰ σκέλεα γίνονται πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται. [413] ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα, ἐξεχέγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κῦφοι ἀνωτέρω τῶν ἰσχίων γένωνται, ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται, [414]

utile et incrementi expers redditur, ac universi cruris carnes magis imminuuntur quam sani. At multo sane minus quam quibus interiorem in partem exciderit, idque ob usum et laborem, ista ut statim uti crure valeant, velut etiam de his qui mustelae cubito praediti sunt paulo ante dictum est. Nonnullis quoque partim quidem statim a prima origine, partim vero sub morbo, amborum crurum articuli exteriorem in partem prolapsi sunt. Iis igitur ossa quidem hujusmodi vitiis patent, at carnes minime effoeminantur. Sed et pleniora crura evadunt, nisi si quid interiore parte paulum deficit. Eam vero ob causam pleniora sunt, quod utroque crure pariter utuntur. Eodem enim modo inter ambulandum ab utraque parte jactantur, iique valde prominentibus natibus conspiciuntur, eo quod articuli suo loco excesserunt. Quod si neque his ossa vitientur, neque gibbosi supra coxendices evadant, quosdam enim hujusmodi vitia prehendunt. Nisi ergo tale quid contingat, de caetero satis

Ed. Chart. XII. [414—417.] Foes. I. 823. Ed. Lind. II. (819. 820.)
ἀναυξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς.

Ὅσοισι δ' ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκταννύειν οὐ δύνανται τὸ σκέλος οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην. ἀλλ' ἥκιστα τῶν ἐκ παλαιῶν, οὗτοι μᾶλλον ἐκταννύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. (820) [416] προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστιν καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκταννύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκταννύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα. οὕτω δ' ἂν δύναιντο. οὗτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. [417] πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαῦτα ἀδελφίξιας ἔχει καὶ κατὰ νεύρων ξυντάσιας καὶ κατὰ μυῶν σχήματα καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι ἢ

salubriter vitam traducunt. Minus tamen ii reliquo corpore capite excepto, incrementi suscipiunt.

At quibus posteriorem in partem femoris caput elapsum est, quod paucis contingit, ii neque ad articulum luxatum neque admodum ad poplitem crus extendere possunt. Atque id multo minus, quam quidem hoc vitium jam pridem contingit, quod hi inguinis et poplitis articulum magis extentendere possint. Praeterea etiam illud animadvertendum quod et valde utile et magni est momenti ac plerosque latet neque sanos poplitis articulum extendere posse, nisi una quoque inguinis articulum extendant, praeterquam si pedem valde sustollant: sic enim posse. Hi ergo neque eodem modo poplitis articulum, sed multo aegrius flectere possunt nisi una quoque inguinis articulum inflexerint. Multa quoque alia in corpore hujusmodi cognationes habent et circa nervorum contractionem et musculorum habitum plurima et cognitu digniora quam quis existimet conspiciuntur

Ed.Chart.XII. [417—419.] Foëf. I. 823. 824. Ed.Lind.II. (820. 821.)

ὥς τις οἴεται καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν καὶ τὴν τῆς ξυμπάσης κοιλίης καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας· ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν οὔτε ἐκτανύειν δύναται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου. [418] ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται. || ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. ξυγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύοι, [419] καὶ ἡ κνήμη τε καὶ ὁ πούς ὀρθὰ ἐπιεικέως φαίνονται καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐγκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρη εἶναι ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος. κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκέει τι (821) ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημήϊα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός.

Quod etiam in inteſtinorum natura totiusque ventris ac in uteri erroribus et contractionibus cernere licet. De quibus alias cum his quae nunc dicuntur conſentiens ſermo habebitur. Quod ad praeſentem ſermonem attinet, neque crus extendi, velut jam dictum eſt, poteſt, breviusque duabus de cauſis apparet, tum quod non extenditur, tum quia ad natis carnem prolapſum eſt. Ea etenim eſt oſſis coxendicis natura, qua parte et femoris cervix et caput ineſt. At ubi commiſſura excidit, declive in exteriorem natis partem deferri ſolet. Inflectere tamen crus, ſi modo dolor non prohibeat, poſſunt, tibiaque et pes fere recta conſpiciuntur, neque in hanc vel illam partem admodum inclinata. Ad inguen vero, praecipue etiam ſi quis locum attingat, caro aliquanto mollior ſentitur, praeſertim cum articulus alteram in partem prolapſus ſit. Ad nates autem, ſi quis attrectet, femoris caput aliquanto etiam magis protuberare videtur. Atque hae quidem notae ſunt, ubi poſteriorem in par-

Ed. Chart. XII. [419. 420.] Foëſ. I. 824. Ed. Lind. II. (821.)

ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστρωφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται διὰ τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλῷ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειριᾶτο καὶ ἐπ᾽ ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ εἰς [420] τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται καὶ οὐδὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμψῃ. ἐπειδὰν τούτοισιν ἀναγκάζεται ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ᾽ ἑκάστῃ ξυμβάσει ἀναγκάζει οὖν τι τοῦτο αὐτὸ ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπο-

tem femur elápſum eſt. Cui ergo jam adulto prolapſum, reconditum non fuerit, is quidem, ubi tempus aliquod interceſſerit et dolor quieverit, articulusque in carne volvi aſſueverit, ambulare poteſt: inter ambulandum tamen vehementer ad inguina eum inflecti neceſſe eſt, idque duabus de cauſis, tum quod ob ante dicta crus multo brevius efficitur, tum etiam quia longe abeſt ut calce terram contingat. Si namque vel paululum conetur hoc pede ferri, nulli alteri rei innixus, is utique in poſteriorem partem decidet, cum coxendices plurimum praeter pedis ingreſſum in poſteriorem partem eminentes, et ſpina in coxendices incumbens magno momento illuc ferantur. Vix autem ima pedis planta conſiſtit, ac ne ſic quidem niſi ſe ipſe ad inguina incurvarit, praetereaque alterius cruris poplitem inflectat. Quandoquidem ita neceſſe eſt, ut manu quae eſt a parte affecti cruris, ſuperiori femoris parti objecta, ad quemlibet ingreſſum firmetur. Quae res certe efficit, ut ad inguina aliquantulum incurvari cogatur. In alterna enim crurum inter ambulan-

Ed. Chart. XII. [420.] Foëſ. I. 824. Ed. Lind. II. (821. 822.)

ρίῃ οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεστῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσι, διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν (822) ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη. διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται. τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος καὶ μηδὲν ταλαιπωρέουσι, τούτοισι καὶ μάλιστα μινύθει. εἰ δ' ἂν πλεῖστα χρέονται τῇ ἐπιβάσει, τούτοισι ἥκιστα μινύθουσι.

dum viciſſitudine, ſuper crure affecto corpus ferri nequit, niſi admota manu crus illud terrae obſirmetur, praeſertim cum articulus corpori non ſubſtet, ſed ad coxendicem poſteriorem in partem promineat. Ii tamen absque baculo incedere, ſi alias aſſueverint, poſſunt, propterea quod pedis greſſus priſtinam directionem ſervet, neque exteriorem in partem inclinat. Quocirca conto cui innitantur nihil indigent. Atqui ſi femoris apprehenſi loco, alae quae ad crus affectum eſt ſubjecto ſcipioni inniti velint, ii longiore quidem ſuppoſito ſcipione erectiores incedent, pede tamen humi non innituntur. Quod ſi pede inniti velint, breviorem eſſe baculum oportet, eosque inſuper ad inguina inflecti neceſſe eſt. At carnium imminutiones iis etiam pro ratione, velut ante dictum eſt, contingunt. Quibus enim crus ſuſpenſum eſt et nihil laborant, iis vel maxime imminuuntur, minimum vero ubi plurimum ingreſſu utuntur. Crus tamen inte-

τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. συνυπουργέον γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἀναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν. ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων σκίπωνι ἀντερείδηται, οὕτω δὲ καρτερὸν γένηται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι. οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. || δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανάασθαι ὅκως μὴ ἀνήκεστά ἐστι, ξυνιέντα ὅπῃ (823) ἂν μάλιστα κωλυτέα εἰς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν ὅπῃ ἕκαστον καὶ οἵως καὶ ὁπότε τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται ἤν τε

grum non modo nihil utilitatis consequitur, verum etiam deformius redditur, si affecto crure ad terram innixi utantur. Illi enim dum subservit, tum in exteriorem partem coxendicem prominere, tum poplitem inflecti necesse est. Quod si affecto crure terram non contingat, sed eo suspenso scipioni innitatur, eo sane pacto crus integrum robustius evadet, cum et naturaliter habeat et exercitatione magis corroboretur. Caeterum haec ad artem medicam nihil pertinere dixerit fortasse quispiam. Nimirum quid attinet de his, quae nullam amplius curationem admittunt, copiosiorem adhuc doctrinae sermonem facere? Istud vero plurimum refert. Eadem enim notione, cum ista inter se separari nequeant, comprehenduntur. Danda si quidem opera est, ne quae curationem admittere possunt, incurabilia evadant, prospicientes quanam potissimum ratione prohibeamus, quo minus eo deveniant, ut incurabilia reddantur. Quae vero nullam curationem admittunt prospicere etiam oportet ne maxime noxa efficiantur. Praedictiones autem splendidae et laude

εἰς τὸ ἀνήκεστον. ὁκόσοισι δ᾽ ἂν ἐκ γενεῆς ἢ καὶ ἄλλως ἐν αὐξήσει ἐοῦσιν οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ ἤν τε καὶ ὑπὸ νόσου. πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν. οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον γεγράψεται. ἢν γοῦν ἐκστὰν μὴ ἐμπέσοι, τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται, κακοῦται δὲ πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ. [421] κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα. διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν, πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μέτρια καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιεινὰ καὶ αὔξημα καὶ εὔγηρα γίνεται· μὴ χρεομένοισι δὲ, ἀλλ᾽ ἐλινύουσι

dignae ex eo exiſtunt, quod dignoſcimus quonam et quanam ratione, aut quando res quaeque exitum habitura ſit, ſive eo tendat ut curationem recipiat, ſive curationis ſpem adimat. At quibus vel a primo ortu, vel alioqui dum adhuc augentur, articulus hoc modo in poſteriorem partem prolapſus, ac minime reconditus fuerit, ſive per vim ſive per morbum hic caſus inciderit, multae namque luxationes hujusmodi per morbos fiunt, quibusnam vero in morbis iſta contingant paulo poſt ſcribetur. Si prolapſus igitur articulus reſtitutus non fuerit, os femoris breve quidem redditur, crus autem univerſum, eo quod nulli ſit uſui, vitiatur et incremento deſtituitur longeque gracilius evadit, quod nihil ad uſum cedat. In iis etiam poplitis articulus vitium ſentit. Nervi namque ex praedictis cauſis intenduntur. Ideo neque poplitis articulum extendere poſſunt quibus hunc in modum coxa elapſa ſit. Quaecunque enim, ut breviter dicam, corpori uſum aliquem praeſtant, ea ſi quis in eo laboris genere, quod cuique eſt conſuetum, moderate exerceat, hac quidem parte bene valent, augentur et ad maturam ſenectutem per-

Ed. Chart. XII. [421—423.] Foës. I. 825. Ed. Lind. II. (823. 824.)
νοσηρότερα γίνεται καὶ ἀναυξέα καὶ ταχυγηρά. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦται οὖν διὰ ταύτας τὰς προφασιάς τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοι(824)σιν. ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχλέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι οἱ μὲν ἑνὶ, οἱ δὲ δυσίν.

[422] Οἷσι δ᾽ ἂν ἐς τοὔμπροσθεν ἡ κεφα μηροῦ ἐκπέσῃ, ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελείως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ. [423] ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλοι ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην κατὰ τὴν φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ αὐτίκα οὗτοι

veniunt: ſin contra otientur neque in uſum veniant, morbis patent, incremento privantur celeriterque conſeneſcunt. Inter quae maxime id articuli et nervi ſentiunt, ſi in uſionem non veniant. His igitur de cauſis hoc in luxationis genere, majorem quam in caeteris noxam accipiunt. Crus namque totum, tum quod ad oſſium tum quod ad carnium naturam ſpectat, incremento deſtituitur. Ii ergo ubi in viros evaſerunt, crus ſuſpenſum et inclinatum habentes ſuper altero, baculo uno aut etiam altero innixi feruntur.

At quibus priorem in partem femoris caput prolapſum eſt, quod paucis contingit, ii perfecte quidem crus extendere poſſunt, incurvari vero ad inguen minime. Quin et laborant ſi poplitem inflectere cogantur. Crus vero longitudine aequale conſpicitur, idque ad calcem maxime. Sed pes ſummus minus aliquanto in anteriorem partem propendere poteſt. Crus autem univerſum naturalem rectitudinem ſervat, neque in hanc vel illam partem tendit. Dolore quo-

Ed.Chart. XII. [423—425.] Foëſ.I. 825. 826. Ed.Lind.II.(824.825.)

μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον μᾶλλόν τι ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασιν. || ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων, καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέονται καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον στολιδωδέστερον καὶ ἀσαρκότατον. ταῦτα μὲν οὖν σημήϊά ἐστι τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός. [424] ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται καὶ ἄρθρον ἐθισθείη ἐν τῷ χωρίῳ τούτῳ στρωφᾶσθαι ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν εὐθὺς ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες. ἐπὶ δὲ τὸ σιναρὸν ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὔκαμποι ἐόντες οὔτε κατὰ τὴν (825) ἰγνύην διὰ γοῦν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέονται ἢ ὅτε ὑγίαινον, καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ἐξεγκάμπτοντες τὰ ἄνω ἄρθρα καὶ ὅτε παντὶ βαίνοντες τῷ ποδί. οὐθὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσι ἢ τῷ ἔμπροσθεν. [425] εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν.

que ii ſtatim pracipue afficiuntur, urinaque imprimis potius quam aliis in luxationibus ſupprimitur. In his enim femoris caput proxime ad inſignes nervos incumbit, et ad inguen quidem intumeſcunt, isque locus contentus conſpicitur, ad nates autem in rugas magis contractus et ſumme gracilis. Atque hae quidem dictae ſunt notae eorum quibus hunc in modum femur prolapſum eſt. Quibus igitur jam adultis articulus hic elapſus reconditus non fuerit, ii ubi dolor conquieverit et articulus eo in loco in quem excidit verti aſſueverit, protinus fere erecti absque baculo ingredi poſſunt, idque admodum erecti, nimirum cum affectum crus neque ad inguen neque ad poplitem facile incurvare queant. Ideoque quod ad inguen flecti nequeant, toto crure ad ingreſſum magis erecto, quam cum valebant utuntur. Interdumque pedem per terram trahunt, ut qui ſuperiores articulos non facile inflectant et toto pede inambulent. Neque enim minus hi calce quam anteriore pedis parte incedunt.

Ed. Chart. XII. [425—427.] Foës. I. 826. Ed. Lind. II. (825.)
καὶ γὰρ οἱ ὑγιαίνοντες ὅσῳ ἂν μέζον προβαίνοντες ὁδοιπορέουσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσὶ τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον. ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίπτουσιν ἢ τὸ ἔμπροσθεν. [426] τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ἔῃ, τὸ ἄλλο σκέλος οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπυλέεσθαι, ὥσπερ ὅταν ξυγκεκαμμένον εἴη τὸ σκέλος. οὔτ᾽ αὖ σιμοῦσθαι δύναται ὁ πούς ξυγκεκλιμένου τοῦ σκέλεος, ἕως ὅταν ἐκτεταμένον ἔῃ τὸ σκέλος. ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐκπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας. ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ πυγαῖον κατά τε γαστροκνημίην καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. οἷσι δ᾽ ἂν νηπίοισιν ἔτι ἐοῦσι τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός. [427] ἥκιστα μὲν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθή-

Quod ſi multum progredi poſſent, vel plane calci inſiſterent. Nam et bene valentes quo longius iter faciendo procedunt, hoc magis calci inſiſtunt, pede uno defixo alterum attollentes. Quibus ergo hoc modo luxatio contigit, ii magis adhuc calce quam pedis parte anteriore impingunt. Pedis enim pars anterior, cum crus reliquum extentum eſt, non aeque ac ſi inflexum fuerit, in priorem partem flecti poteſt. Neque contra pes ſimus reddi poteſt crure inclinato, velut extento. At crus quidem cum bene valet, quomodo diximus a natura conſtitutum eſt. Cum vero prolapſus articulus repoſitus non fuerit, ob commemoratas cauſas, velut dictum eſt, inambulant. Ad nates tamen et carnoſam tibiae poſteriorem partem, atque e regione poſterioris partis, crus altero gracilius redditur. At quibus tenella adhuc aetate ſic luxatus articulus reconditus non fuerit, vel a prima origine id contigerit, iis quoque femoris os aliquando magis quam tibiae aut pedis imminuitur. Et minimum quidem in hoc

ατος ὁ μηρὸς μειοῦται. μινύθουσι μέντοι αἱ σάρκες πάντη, άλιστα δὲ κατὰ (826) τὴν ὄπισθεν ἴξιν, ὥσπερ ἤδη καὶ ρόσθεν εἴρηται. ὅσοι μὲν οὖν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι ὲν δύνανται προσχρέεσθαι τῷ σκέλει αὐξανόμενοι, βραχυέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ πὶ ταῦτα ῇ τὸ σιναρὸν σκέλος. οὐ γὰρ κάρτα δύνανται ἄνευ ῆς πτέρνης τῷ στήθει τοῦ ποδὸς χρέεσθαι, ἐπικαθιέντες ὥσπερ ἐν ἑτέροις χωλεύμασιν ἔνιοι δύνανται. αἴτιον δὲ τοῦ ὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον. διὰ οὖν τοῦτο ροσδέονται ξύλου. ὅσοι δ' ἂν καταμεληθῶσι καὶ μηδὲν ρέονται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχουσι, ούτοισι μινύθουσι μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον ἢ τοῖσι ρεομένοισι, μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ οῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ εὐθὺ πηροῦται ούτοισι τὸ σκέλος μᾶλλόν τι ἢ οἷσιν ἂν ἄλλως ἐκπεπτώκῃ.

|| Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρέεσθαι τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ ὀλισθάνει, ἄλλοτε μὲν πολὺ πλείονα, ἄλλοτε δὲ

luxationis genere femur imminuitur. Carnes tamen omni ex parte, praesertimque ex posteriore regione imminuuntur, velut jam supra dictum est. Qui ergo recte educati fuerint, ii dum augentur crure quidem, etsi altero aliquantum breviore, uti possunt, baculo tamen qua parte crus laesum est, innitentes. Neque enim absque calce imam plantam ad usum demittere admodum queunt, quod in aliis claudicationibus quibusdam licet. Cujus rei ea causa est quam paulo ante retulimus. Iccirco igitur baculo insuper indigent. At qui neglecti fuerint, neque crus in terram demittunt, sed suspensum habent, iis ossa quidem quod ad incrementum attinet, potius quam iis qui eo utuntur imminuuntur, carnes vero multo etiam magis. Circa articulos autem, quod ad directionem spectat, crure ii aliquanto magis capti sunt quam quibus aliter luxatio contigerit.

In summa igitur, articuli qui prolabuntur et luxantur, non eodem semper modo excidunt et luxantur, sed interdum quidem longe amplius, interdum vero multo minus.

Ed. Chart. XII. [427.] Foës. I. 827. Ed. Lind. II. (826. 827.)

πολὺ ἐλάσσονα, καὶ οἷσι ἂν μὲν πολὺ πλεῖον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐκβάλλειν τὸ ἐπίπαν ἔστι, καὶ ἢν μὴ ἐμβιβασθῇ μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα καὶ ὀστέων καὶ σαρκῶν καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥηΐδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ὀστέων γένηται. ἢν δὲ καταπορηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται τούτοισιν ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. τὰ μὲν οὖν ἄλλα ἄρθρα (827) καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὁτὲ μὲν μεῖον, ὁτὲ δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθαίνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρῃ. ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσαι δὲ τῇσι κεφαλῇσι. διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. ὀλισθαίνοι γὰρ ἂν διὰ τὴν περιφερίην ἢ ἐς τὸ ἔξω ἢ ἐς τὸ εἴσω. περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν. ὅμως

Et qui quidem longe amplius luxantur aut excidunt, majore molestia in totum reconduntur, ac nisi reponantur, in his ossa, carnes, corporis habitus et magis ac manifestius debilitantur et depravantur. At ubi minus prolabuntur et luxantur, haec quidem ossa facilius reconduntur, cumque frustra tentata aut neglecta repositio fuerit, iis minores magisque innoxiae, quam quibus paulo ante dictum est, debilitates contingunt. Atque in reliquis quidem articulis per sane multum interest, majorne interdum an minor luxatio fiat. Verum tum femoris tum brachii capita quam simillimas inter se utraque luxationes patiuntur. Cum namque rotunda sint, simplicem ac laevem rotunditatem habent. Sinus autem ea excipientes rotundiores sunt, iisque adaptantur. Quo fit ut articuli dimidium in his suo loco excedere non possit. Ob rotunditatem enim aut exteriorem in partem aut interiorem luxabitur. Ergo quod ad praesentem sermonem attinet, in totum jam prolabuntur, alioqui minime excidunt. Interdum tamen ii

Ed.Chart.XII.[427.429—431.] Foëf.I.827. Ed.Lind.II.(827.828.)

δὲ καὶ ταῦτα ὁτὲ μὲν πλείω ἀποπηδᾷ ἀπὸ τῆς φύσεος, ὁτὲ δὲ ἔλασσον. μᾶλλον δέ τι μηρὸς τοῦ βραχίονος πέπονθεν. [429] ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γινομένων ὀλισθημάτων ἢν μικρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι καὶ μάλιστα παρὰ τὰ τοῦ ποδὸς ἄρθρα. [430] ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται, τὰ πλεῖστα τούτων ἰήσιμα ἐστὶν, ἢν μὴ πάνυ μεγάλη ἡ ἔκκλισις εἴη ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων ξυμβῇ. ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι. τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες. τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δἰ ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα. [431] προσέχειν δὲ τῇ ἰητρείῃ τοῖσιδε χρή. ἀπωθέειν μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν (828) ἐς τὸ εἴσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ ἔξω μέρος τὸ τῆς περόνης τὸ κατ᾽ αὐτὴν τὴν ἴξιν, ὅκως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα

magis quidem, interdum minus a naturali ſede exiliunt, magisque id femori quam brachio uſuvenit. Nonnulla ſi quidem ex luxatis quae a primo ortu contigerunt, ſi parva luxatio fuerit, in naturalem ſtatum redire poſſunt, praeſertimque ad pedis articulos. Quibus a primo ortu crus varum efficitur, eorum plerique curari poſſunt, niſi magna admodum emotio extiterit, aut etiam pueris aetate paulo amplius provectis ista contigerint. Quam celerrime his igitur curationem adhibere optimum eſt, prius quam et pedis oſſium et carnis in tibia perquam magnus defectus contingat. Vari igitur non uno modo ſed pluribus fiunt. Plerumque ſi quidem non ex toto ſede ſua elapſo articulo, ſed quod re aliqua detentus eo habitu aſſueverit, pes varus efficitur. In eorum autem curatione animadvertendum eſt, ut tibiae quidem os ad malleolum quod extra ſpectat, interiorem in partem propellatur et dirigatur, contra vero os calcis e directo exteriorem in partem repellatur, quo

Ed. Chart. XII. [431—433.] Foës. I. 827. 828. Ed. Lind. II. (828
τὰ ἐξίσχοντα. κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. τοὶ δ᾽ αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ εἴσω μέρος ἐγκλίνειν καὶ περιαναγκάζειν οὕτως. ἐπιδεῖν δὲ κηρωτῇ ἐῤῥητινωμένῃ εὖ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσι μὴ ὀλίγοισι μηδὲ ἄγαν πιέζοντα. [432] οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶ ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ ποὺς ὀλίγον μᾶλλον ἐς τὸ βλαισσὸν ῥέπον φαίνηται. ἴχνος δέ τι ποιέεσθαι ἢ δέρματος μὴ ἄγαν σκληροῦ ἢ μολυβδίνου. [433] προσεπιδεῖν δὲ μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ᾽ ὅταν ἤδη τοῖσιν ὑστάτοισιν ὀθονίοισι μέλλῃς ἐπιδέειν. || ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, ἑνός τινος τῶν ὀθονίων χρὴ, οἷσιν ἐπιδέεται τὴν ἀρχὴν προσῤῥάψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου. ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως ἂν δοκέῃ μετρίως ἔχειν περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταγμένον οὕτως. ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν

oſſa quae extant tum circa medium, tum circa transverſum pedem, inter ſe concurrant. Digiti vero una cum pollice interiorem in partem repente inclinentur, atque hunc in modum cogantur. Adhibito autem cerato quod copioſam reſinam recipiat, et ſpleniis et faſciis mollibus, neque paucis neque admodum appreſſis deligatio inſtituenda, neque aliter faſciae circumducendae quam ſi pes manibus componeretur, quo pes paulo magis ad valgum ſpectare videatur. Tum ſolea quaedam ex corio non admodum duro, aut plumbo paranda, eaque non ad cutem poſita ad alliganda, ſed cum jam poſtremas faſcias appoſiturus es. Ubi jam devinctus fuerit, unius cujusdam lintei ex quibus deligatio conſtat caput, ad faſcias quae in inferiore parte pedis exiſtunt, e regione parvi digiti aſſuendum, deinde ſurſum intendendum ut dum moderate habere videatur, ſupra carnoſam tibiae partem poſteriorem prominentem circumducatur, atque ita firmiter collocatum haereat. Ad ſummum, quaſi quis ceram ſingat, ea ad juſtam naturam adducenda, ut et

τὴν δικαίην ἄγειν καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα παρὰ τὴν φύσιν καὶ τῆσι χερσὶν οὕτω διορθοῦντα καὶ τῇ ἐπιδέσει ὡσαύτως, προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς. προσράπτειν δὲ τὰ ὀθόνια ὅκως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι. ἄλλα γὰρ ἄλλης τῶν χωλωμάτων δέεται ἀναλήψιος. ὑποδημάτιον δὲ ποιέεσθαι μολίβδινον, ἔξωθεν τῆς ἐπιδέ(829)σιος ἐπιδεδεμένον, οἷον αἱ Χῖαι κρηπῖδες ῥυθμὸν εἶχον. ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἤν τις ὀρθῶς μὲν τῆσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο. ἡ μὲν οὖν ἴησις αὕτη καὶ οὔτε τομῆς οὔτε καύσιος οὐδὲν δεῖ οὔτ' ἄλλης ποικιλίης. θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης ἢ ὡς ἄν τις οἴοιτο. προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν. [434] ὅταν δὲ ἐς ὑποδήματος λόγον εἴη, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπάτιδες καλεόμεναι. τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον. [435] ἐπιτήδειος δὲ καὶ ὁ Κρητικὸς τρόπος τῶν ὑποδημάτων.

quae inclinant et quae praeter naturam diftenduntur, manibus nec non deligatione in naturalem ftatum reponantur, neque magna vi fed leniter cogantur. Ita vero fafciae affuendae, ut quemadmodum opus eft, membrum excipiatur. Nam et aliae claudicationes alium excipiendi modum poftulant. Tum calceus plumbeus parandus, fupra vinculum inducendus, eo modulo qualem Chiae crepidae habebant. Verum neque eo opus eft, fi quis recte manibus componat, tum rectam fafciarum deligationem adhibeat, tum recte excipiat. Atque haec quidem curatio, quae neque fectionem, neque uftionem neque aliam varietatem ullo modo poftulat. Ifta namque opinione celerius curationi cedunt. Tempore tamen fuperanda funt, quoad jufto habitu corpus incrementum acceperit. Cum vero calci ratio ineunda erit, accommodatiffimi erunt calcei arbylae dictae, quibus lutum calcatur. Hoc namque calceamenti genus minime a pede fuperatur, fed ipfum potius continet. Maxime quoque accommodata eft Cretenfis calceamenti ratio.

Ed.Chart.XII.[436—439.] Foës.I.828.829. Ed. Lind. II. (829. 830.)

Ὅσοισι δ᾽ ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα καὶ ἕλκος ποιήσαντα τελείως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε εἴσω ῥεύσαντα εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ᾽ ἐᾷν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβαλεῖν. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται ἐὰν ἐμβληθέντα ἐμμείνῃ, καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοις γενήσεται. ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν. σπασμὸς γὰρ ὁ κτείνων ἐστίν. [437] ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται κνήμην καὶ τὸν πόδα. ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα, καὶ οὐκ ἄν μοι δοκέῃ οὔτ᾽ ἐλλέβορος ὠφελήσειν, αὐθήμερον δὲ δοθεὶς καὶ αὖθις πινόμενος. ἄγχιστα δὲ εἴπερ τι τοιοῦτον, οὐ μέντοι οὐδὲ τοῦτο δοκέω. || ἢν δὲ μὴ ἐμβληθῇ μηδ᾽ ἀπ᾽ ἀρχῆς, μηδ᾽ εἰσπειρηθῇ ἐμβάλλειν, (830) περιγίνονται οἱ πλεῖστοι αὐτῶν. χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει. [438] μοῦνον δὲ μὴ ἀπαιωρευμένα, μηδὲ κεκινευμένα ἔστω, καὶ ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ ὕγαν ψυχροῖσιν. ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται. [439] ἐπιτήδεια

At vero quibus tibiae offa luxata, accedente vulnere, commiffura quae eft ad pedem penitus eminent, ea five intro five extra vergant, minime reponenda funt, fed finenda, ut qui velit ea reponat medicus. Id enim manifefto noffe oportet, eos quibus ifta repofita permanferint interituros, paucisque diebus duraturos. Convulfione namque fublati, pauci diem feptimum fuperant. Sed et pes et tibia ad gangraenam deveniunt, eaque fic affore certo noffe convenit. Ac neque veratrum eodem die exhibitum, iterumque epotum mihi videtur auxilio futurum, proxime tamen fi quid aliud, facere, quod certe non exiftimo. Quod fi neque repofita, neque ab initio tentata fuerint, eorum plerique fuperfunt. Tibiae vero et pes eo quo aeger velit modo obfirmanda, tantum ne dependeant neve moveantur. Curatio vero cerato quod picem habeat et fpleniis vino madentibus, paucis, non admodum frigidis inftituenda. Frigus namque in hujusmodi affectibus con-

δὲ καὶ φύλλα τεύτλων ἢ βηχίου ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμίεφθα ἐπιτεθέντα, ἰητρεύειν ἐπί τε τὸ ἕλκος ἐπί τε τὰ περιέχοντα. [440] κηρωτῇ δὲ χλιερῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος. ἢν δὲ ἡ ὥρη χειμερινὴ ἐῃ, καὶ ἔρια ῥυπαρὰ ἐν οἴνῳ καὶ ἐλαίῳ καταῤῥαίνοντα χλιεροῖσι ἄνωθεν ἐπιτέγγειν. [441] καταδεῖν δὲ μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν. εὖ γὰρ εἰδέναι χρὴ ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισιν ἐστίν. [442] ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὅσοισιν αὐτῶν ξυμφέρει. ἔρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολὺν χρόνον ἐᾷν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων καὶ ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισιν ἐστί. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίνεται τούτων. πολὺν γὰρ χρόνον πλαδαρὴ γίνεται. τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. εἰδέναι μὲν δή που φάφα χρὴ ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι, καὶ γὰρ ὁ ποὺς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοι-

vulsionem accersit. Accommodata quoque est curatio per betae folia aut tussilaginis aut alterius hujusmodi in vino nigro austero semicocta, ulceri adjectisque partibus imposita. Ulcus autem ipsum cerato tepido illinendum. Quod si tempus hibernum sit, lanae quoque sordidae, vino et oleo tepido madentes imponendae ac desuper irrigandae. Neque omnino quicquam deligandum aut circumponendum. Probe enim nosse convenit, hujusmodi affectibus appressionem et pondus omnem afferre noxam. Accommodata autem ad ea nonnulla sunt ex medicamentis quae cruentis vulneribus imponuntur, ea nimirum, quibus convenit ut lanae impositae vino madentes diutius permaneant. Ex iis vero medicamentis quae cruentis vulneribus admoventur, quaecunque intra paucos dies solvuntur et quae resinam recipiunt, non aeque ut illa accommodata existunt. Horum enim ulcerum purgatio, cum multo tempore madeant, in longius tempus protrahitur, atque ex iis nonnulli utiliter deligantur. Nosse tamen certo convenit necesse esse hominem turpiter claudicare, cum pes superiorem in

Ed. Chart. XII. [442. 443.] Foës. I. 829. Ed. Lind. II. (830. 831.

ούτων, καὶ τὰ ὀστέα τὰ διο(831)λισθήσαντα ἔξω ἐξέχοντ φαίνεται. οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲ ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλ περιωτειλοῦται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι, καὶ ταῦτ ἢν ἀτρεμίζωσι πουλὺν χρόνον, ἢν δὲ μὴ, ἑλκύδριον ἐγκατα λειφθῆναι κίνδυνος ἀναλθές. ὅμως δὲ περὶ οὗ ὁ λόγος, οὕτ μὲν οἱ ἰητρευόμενοι σώζονται, ἐμβληθέντος δὲ τοῦ ἄρθρο καὶ ἐμμείναντος ἀποθνήσκουσι. [443] ὁ αὐτὸς δὲ λόγος οὗ τος ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὸν καρπὸν τῆ χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἤν τε εἰς τὸ εἴσω μέρος τῆ χειρὸς ἤν τε εἰς τὸ ἔξω. σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτ ἀποθανεῖται ἐν ὀλίγῃσιν ἡμέρῃσι, τοιούτῳ θανάτῳ οἵῳ πε καὶ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ οἷσι δ᾽ ἂν μὴ ἐμβληθῇ μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτο πολὺ πλείονες περιγίνονται. ἰητρείη δὲ τοιαύτη τοῖσι τοι ούτοισιν ἐπιτηδείη, οἵη περ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸ τοῦ χωλώματος ἀνάγκη εἶναι καὶ τοὺς δακτύλους τῆς χειρὸ ἀσθενέας καὶ ἀχρηΐους. ἢν μὲν γὰρ εἰς τὸ ἔσω μέρος ὀλισθῇ

partem retrahatur, luxataque ossa extra eminere conspiciantur. Neque enim ullum ex his ossibus fere, nisi paululum quid, nudatur, neque abscedit, verum tenuibus imbecillisque cicatricibus obducitur, idque si longo tempore quieverint, alioqui periculum est ne aliquod ulcusculum, quod curationem non recipiat, relinquatur. Verum quod ad praesens institutum attinet, qui hac ratione quidem curantur, servantur. At ubi repositus articulus remanserit, intereunt. Eadem quoque ratio est ubi cubiti ossa ad manus articulum facto vulnere, vel interiorem in partem vel exteriorem emineant. Certo enim tenendum est, eum cui recondita ossa permanserint, supra posito mortis genere intra paucos dies interiturum. Quibus vero neque reposita sunt neque repositio tentata, eos multo plures superesse. His autem quae dicta est curatio idonea existit. Claudicationis quoque habitum deformem, manusque digitos imbecillos et inutiles reddi necesse est. Ubi namque interiorem in partem ossa luxantur, digiti

τὰ ὀστέα, ξυγκάμπτειν οὐ δύναται τοὺς δακτύλους. ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκταννύειν οὐ δύναται. [444] ὅσοισι δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ τὸ γόνυ ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος ἤν τε ἐς τὸ εἴσω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατός ἐστιν ἤπερ τοῖσιν ἑτέροισι, καίπερ κἀκείνοισιν ἕτοιμος ἐών. ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύεις, ἐλπίδες μὲν σωτηρίης οὕτω μόνως εἰσίν. κινδυνοδέστερα δὲ ταῦτα τῶν ὀστέων γίνεται, ὅσῳ ἂν ἀνωτέρω καὶ ὅσῳ ἂν ἰσχυρότερα ἔῃ καὶ ἀπὸ ἰσχυροτέρων ὀλισθήκῃ. (832) ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γόνατος ἕλκος ποιησάμενον ἐξολισθῇ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων, μὴ ἐμβληθὲν δὲ πολὺ ἀκινδυνοδέστερον ἢ τὰ πρόσθεν. || ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης. ὁ ωὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων καὶ περὶ τῶν τοῦ πήχεος καὶ τοῦ βραχίονος. ἃ γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ, ἕλκος ποιησάμενα πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει, μὴ ἐμβληθέντα δὲ ἐλπίδα σωτηρίης. χώλωσις δὲ τοῖσι περιγενομένοισι. θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισίν ἐστιν

inflecti, ſi in exteriorem, extendi nequeunt. At quibus tibiae os ad genu, accedente vulnere vel ad interiorem vel ad exteriorem partem foras eminet, id ſi recondatur magis quidem eos adhuc praecipitat quam caeteros, licet etiam illis periculum intendatur. Verum ſi non repoſito oſſe curationem adhibueris, hac ſola quidem ratione ſpes ſalutis ſupereſt. Eo autem majus conjunctum periculum haec oſſa habent, quo ſuperiora ac validiora a robuſtioribus prolapſa fuerint. Quod ſi os femoris ad genu cum ulcere luxetur, id ſi repoſitum quidem permanſerit, majore adhuc vi et celerius quam ſupra dicta hominem praecipitat, non repoſitum vero majore periculo caret quam ſuperiora: una tamen haec ſalutis ſpes eſt. Eadem ratio eſt et in articulis ad cubiti gibbum, et in cubito et in brachio. Ex his enim, ubi luxata cum ulcere eminent, ea omnia, ſi reconduntur, mortem, non repoſita, ſpem ſalutis afferunt. At iis qui evadunt claudicatio adeſt. Articuli autem ſuperiores ſi re-

τὰ ἀνωτέρω [445] τῶν ἄρθρων. ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι κινδυνοδέστερα αὐτὰ ταῦτα. εἰ δέ τινι τὰ ἀνωτέρω ἄρθρα ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχῃ, ταῦτα δέ τι καὶ ἐμβαλλόμενα ταχυθανατώτατα ἔῃ καὶ μὴ ἐμβαλλόμενα κινδυνοδέστερα. ἰητρείη δὲ ἤδη εἴρηται οἵη τις ἐμοὶ δοκέῃ ἐπιτηδειοτάτη εἶναι. ὅσοισι δὲ ἄρθρα δακτύλων ἢ ποδὸς ἢ χειρὸς ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξέσχε μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ᾽ αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισιν εἰ ἐμβληθέντα ἐμμείνει, ἔνι μέντοι κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται. ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δέεται. ἐμβάλλειν μέντοι ῥήϊστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι κατεαγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν. ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ καὶ κατακεῖσθαι καὶ ὀλιγοσιτέειν. ἄμεινον δὲ καὶ φαρμα(833)κεῦσαι ἄνω κούφῳ τινὶ φαρμάκῳ. τὸ δὲ ἕλκος ἰητρεύειν ἢ ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν ἢ πολυο-

condantur, mortem magis afferunt. Sed et iidem non repositi periculum majus habent. At si cui superiores articuli luxati cum ulcere foras emineant, ii utcunque recondantur mortem magis afferunt, non repositi quoque majori periculo sunt expositi. Sed et quaenam curatio mihi maxime accommodata esse videatur, jam exposita est. Jam vero quibus digitorum aut pedis aut manus articuli luxati, cute vulnerata excesserint osse non fracto, sed ab ipsa connexione avulso, iis, si repositi permanserint, convulsionis quidem periculum, nisi recta curatio adhibeatur, impendet. Operae pretium tamen est, ubi praedixeris multa cautione et diligentia opus esse, ad repositionem aggredi. Facillima autem maximeque efficax et artificiosa est repositio, quae per vectis molitionem fit, velut etiam supra in ossibus fractis et eminentibus dictum est. Deinde quam maxime quiescere convenit ac decumbere modicoque cibo uti. Praestat quoque et levi aliquo medicamento sursum purgare. Ulcus autem aut medicamentis, quae cruentis vulneribus protinus imponuntur et perfundi sunt idonea, curandum est, aut

φθάλμοισιν ἢ οἷσιν ἐν κεφαλῇ ὀστέα κατεηγότα ἰητρεύεται· κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστι, τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐθήμερον ἢ τῇ ὑστεραίῃ, τριταίῳ δὲ ἢ τεταρταίῳ ἥκιστα. τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τῇσι παλιγκοτίῃσι μάλιστα. οἷσιν ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας· ὅ τι γὰρ ἂν εἴσω δέκα ἡμερέων ἐμβάλλῃ πᾶν καταληπτόν. ἢν δὲ ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐμβάλλειν τὸ ἄρθρον δεῖ ταχὺ, καὶ θερμῷ τέγγειν ὡς πλειστάκις καὶ τὸ ὅλον σῶμα θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν καὶ μάλιστα κατὰ τὰ ἄρθρα. [446] κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή· προσδέχεσθαι μέντοι κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι. τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς ἐπιγένηται. ὡς εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ' ἐμβάλλειν

buphthalmi foliis, aut iis quae fractis calvariae ossibus subveniunt, nihilque quod valde sit frigidum admovendum. Ac primi quidem articuli minimum periculo sunt obnoxii. Superiores majus periculum habent. Eodem autem vel certe postero die recondendi sunt, tertio aut quarto minime. Quarto enim die recrudescentis mali notae maxime eduntur. Quibus ergo non protinus repositio contigit, hi dies transmittendi sunt. Quicquid enim intra decem dies reconditum fuerit, contineri solet. Quod si recondito articulo convulsio accedat, is protinns expellendus est et calida subinde perfundendus, totumque corpus tum praecipue circa articulos, calide, blande ac molliter continendum. Verum inclinatum magis quam intentum totum corpus esse convenit. Expectandum tamen est ut reconditi digitorum articuli abscedere debeant. Plerumque enim ita contingit, si vel levis inflammatio subsit. Adeo ut nisi in imperitiae culpam apud vulgum medicus incurreret, nihil omnino reponi oporteret. Atque ossa quidem ad articulos foras eminentia,

Ed. Chart. XII. [446. 447.] Foës. I. 830. 831. Ed. Lind. II. (833. 834.)
ἔδει. τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν, ὡς εἴρηται.

|| Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη. [447] καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ᾽ ἄλ(834)λην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ, καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων, καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ἀποκόψιες δὲ τέλειαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ καὶ ἐν χειρὶ καὶ ἐν κνήμῃ τοῖσι παρὰ τὰ σφυρὰ, καὶ ἐν πήχεϊ τοῖσι κατὰ τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ ἢ τεταρταίοισιν ἐοῦσι πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μέντοι σαρκῶν καὶ ἐν τρώμασιν αἱμοῤῥόοισι γενομένοισιν ἢ ἀποσφίγξεσιν ἰσχυραῖς καὶ ἐν ὀστέων κατήγμασι γενομένοισι, πιεχθεῖσι μᾶλλον τοῦ

ubi reconduntur, hunc in modum velut dictum eſt, periculum adferunt.

At quaecunque ad digitorum articulos ex toto praeciduntur, ea plerumque ſunt innoxia, niſi quis ſub ipſo vulnere in animi deliquium incurrat, iisque ulceribus quaevis curatio ſatis erit. Sed et quae non ad articulos, verum ad aliam quandam oſſium rectitudinem praeciduntur, etiam haec innoxia ſunt et adhuc caeteris promptiorem curationem recipiunt. Quae item in digitis oſſa fracta cute eminent, non ad articulos, haec etiam innoxie reconduntur. Praeciſiones autem oſſium ex toto et ad articulos et in pede et manu et in tibia, nonnullis ad malleolos et in cubito: quibusdam ad primam palmae partem, plerumque citra noxam fiunt, ſi non protinus animi defectio oppreſſerit, aut quarto die febris aſſidua acceſſerit. Carnium tamen ſiderationes contingunt et in vulneribus ſanguinem profundentibus et in valentibus conſtrictionibus, tum in oſſium

αιρου, καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισι ἀποληφθέντα ἀποίπτει πολλοῖσι, καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων. αὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει καὶ τῶν σαρκῶν καὶ τοῦ στέου καὶ οἷσι βραχίονος. ἧσσον δὲ πήχεός τε καὶ κνήμης ποπεσούσης καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν ατεαγέντων ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένοντο καὶ μεασμοὶ, τούτοισι μὲν ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώατος καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων ροενδεδωκότων. οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μεασμοὶ γίνονται, αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούοισι, τὰ δὲ ὀστέα βραδέως ἀφίστανται, ᾗ ἂν τὰ ὅρια τοῦ ελασμοῦ γένηται καὶ ᾗ ψίλωσις τοῦ ὀστέου. χρὴ δὲ ὅσα ν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, αῦτα, ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀναλγέα ᾖ, ἀφαιρέειν ατὰ τὸ ἄρθρον προμηθεόμενον ὅκως μὴ τιτρώσῃς. (835) ν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος καὶ μήπω κυρήσῃ τὸ σῶμα εθνεὸς ταύτῃ ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς δύνης λειποθυμῆσαι. || αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς

racturis plus aequo compressis. In aliis item quae vinculis violenter intercepta fuerint, plerumque decidunt. Et ex iis complures evadunt, nec non quibus in femore carnis et ossis pars aliqua excidit, et quibus in brachio. Minus utem ex brachio et tibia cum quid decidat, hi adhuc facile olerant et supersunt. Quibus igitur fractis ossibus sideraiones et denigrationes confestim contingunt, iis quidem, um jam antea ossa cesserint, celeres corporis abruptiones iunt et quae casura sunt, cito decidunt. At quibus integris ossibus denigrationes contingunt, iis quidem carnes celeriter etiam emoriuntur, ossa autem, tum qua parte nigrities terminatur tum qua nudata sunt, tarde abscedunt. Partes autem corporis quae infra terminos denigrationis fuerint, ubi jam prorsus emortuae fuerint et dolorem non senserint, ad articulos auferendae, ea cautione ut ne vulnus inferatur. Nam ubi qui exciditur dolet, neque dum qua parte excidiur corpus emortuum fuerit, ne sub dolore animus deficiat, admodum periclitatur. Ejusmodi vero animi defectiones

Ed. Chart. XII. [447. 448.] Foës. I. 832. Ed. Lind. II. (835.)

παραχρῆμα ἤδη ἀπώλεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου ὀγδοηκοσταῖον εἶδον ἀποστάν. ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη. ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοί τι ποιέειν. κνήμης τε ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖα μοι ἀπέπεσεν ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν, διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστε-[448]ρον, καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα καὶ τὰς σάρκας καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας, ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντα θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. ἔνια δὲ οὐδὲ εἰς νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει. διὰ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν οὔνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι ἐν ὁκόσῳ ἕκαστα κρίνεται. προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν

multos jam confestim e medio sustulerunt. Ac femoris quidem os hoc modo nudatum octogesimo die abscedere vidi. Verum tibia huic homini vigesimo die circa genu detracta fuerat, mea autem sententia etiam citius. Neque enim simul, sed ut consultius quid fieret visum est. Tibiae vero ossa ex hujusmodi nigritie, quae ex ipsis nudata fuerunt fere ad mediam tibiam, sexagesimo die mihi deciderunt. Curatio sane quidem curationi praestat, quo maturius vel serius nudata ossa decidant. Pressus item a pressu et validitate et imbecillitate differt, quo etiam celerius aut tardius nervi, carnes, arteriae et venae denigratae emoriantur. Quae enim non valide intercepta emoriuntur, ex his nonnulla ad ossium nudationes non deveniunt, sed in summo magis decidunt, in quibusdam vero neque nervus denudatur, sed magis summae partes decidunt. Eas igitur ob causas tempus intra quod horum singula judicatione solvuntur, certo numero comprehendere non licet. At certe ejusmodi curatio-

Ed. Chart. XII. [448—450.] Foës. I. 832. Ed. Lind. II. (835. 836.)

ἤ τινι ἰητρεύειν, καὶ ἰητρείη πρηείη ἀρκέει πᾶσι τοιούτοισιν. αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον. τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ, ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ, καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν τὸ (836) σῶμα. δίκαια δὲ καὶ ταῦτα μηδὲ μετεωροποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτὶ καὶ ἔστ' ἂν τελείως περιῤῥαγῇ. αἱμοῤῥαγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο γοῦν οὐ χρὴ κατάῤῥοπα ποιέειν τὰ τραύματα, ἀλλὰ τἀναντία. [449] ἐπεὶ ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι ταῦτα τὰ σχήματα ἐπιτήδειά ἐστιν, ἀλλ' ἡ εὐθεῖα θέσις, καὶ ἐνίοτε ἐπὶ τὸ κατάῤῥοπον ῥέποντα. ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποτάσιες ὀστέου γίνονται καὶ ὑποδεσμίδων δέονται. [450] προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι. καὶ γὰρ ἐπὶ τοῖς μελαινομένοισι τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη καὶ ἐπὶ τῇσιν αἱμοῤῥαγίῃσιν ἐξ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ

nes suscipienda sunt, quippe cum ad aspectum ipsum magis quam ad medicationem sint formidabiles. Iisque omnibus levis medicatio satis est. Ipsa enim per se sola solvuntur. Ea quoque in victu adhibenda diligentia, ut quoad ejus fieri poterit, febri adversetur et justo habitu corpus collocetur. Justus autem hic corporis habitus, ut neque in sublime sublatum sit neque deorsum spectet, sursum tamen magis, idque praecipue, quoad circumcirca ex toto abruptum fuerit. Tunc enim profluentis sanguinis periculum impendet. Eam igitur ob causam vulnera declivia non collocari, sed contra debent, quandoquidem procedente jam tempore, atque ubi ulcera pura fuerint, non amplius accommodatus est hic habitus, sed recta positio interdumque in declive tendens convenit. Temporis namque successu horum nonnullis ossis decessiones contingunt, atque ideo fasciis primum injectis velut subligaminibus opus habent. In his autem sperandum est fore ut procedente tempore cruentis dejectionibus corripiantur. Nam et plerisque in his quae denigrantur et in sanguinis ab ulcere profusionibus, cruentae dejectiones su-

κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμοῤῥαγίης, [451] καὶ ὁρμᾶται μὲν λαύρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται οὔτε θανατώδης. οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.

[452] Μηροῦ δὲ ὀλίσθημα κατ᾽ ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὀλισθήκῃ. [454] ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι. τοὺς δὲ πόδας διέχειν χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ᾽ ἀλλήλων ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι, πλα(837)τεῖ ἱμᾶντι καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην. [455] τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου, ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω ὡς δύο πήχεας ἢ ὀλίγῳ πλέον ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινι. || πάντα δὲ ταῦτα ὑπτίῳ

perveniunt. Atque id plerumque fit jam judicatione abſolutis denigrationibus et ſanguinis eruptione. Ferturque id impetu largo et vehementi, ſed neque multis diebus perſeverat, neque lethale eſt. Nam neque ii cibos admodum averſantur, neque alias inedia conducit.

At femur coxa elapſum, ubi interiorem in partem prociderit, hac ratione reconditur. Haec quidem proba et juſta et ſecundum naturam repoſitio eſt, ſaneque ad gloriam fere comparata, ſi quis hujusmodi oſtentationem affectet. Homo a pedibus ex transverſa mediae domus trabe, vinculo valido, molli tamen et lato ſuſpendatur, quatuor inter ſe circiter digitis aut etiam minus diſtantibus. Supra genua quoque inſuper lorum latum ac molle, quod ad eandem trabem pertingat, circumdandum. Crus vero affectum duobus digitis amplius quam alterum intentum eſſe debet. Caput quoque duos fere cubitos, aut paulo amplius aut minus, a terra recedat. Manus autem ad latera porrectae re aliqua molli alligandae. Eaque omnia ſupino decumbenti homini

κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν, εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ ἐξεστηκυίης. ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν ἐξηρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι ὡς ἰσοῤῥοπώτατον. αὕτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται, ὅ τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν εἰς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρούμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρον ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι καὶ δυσέμβλητα, καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου.

apparanda, ut quam paucissimo tempore suspensus maneat. Homine suspenso peritus aliquis neque imbecillus cubitum inter femora trajectum, inter caput femoris elapsum et interfemineum medium collocare debet, deinde altera manu ad eam quae est interposita conjuncta, rectus adstans repente ad suspensi hominis corpus annexus, sublimis quam maxime aequabili libramento appendere. In hac sane reponendi ratione omnia quibus secundum naturam opus est suppeditantur. Nam et corpus ipsum suspensum suopte pondere extensionem facit, et qui appensus est simul quidem extendendo caput femoris e regione sui acetabuli sublime ferri cogit, unaque cubiti osse molitionem facit et in pristinam sedem retrudit. Vincula autem quam optime quidem accommodata esse oportet, id certe advertendo, ut qui sublimis appenditur quam validissimus existat. Quemadmodum igitur supra quoque dictum est, multum homini homo natura praestat, in eo quod vel facilis vel difficilis repositio fiat. Itemque cur multum intersit, supra cum de humero age-

Ed. Chart. XII. [456. 457.] Foës. I. 833. Ed. Lind. II. (837. 838.)

[456] ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ᾽ οὐδεμιῆς παρασκευῆς, ἀλλ᾽ ὀλίγης μὲν κατατάσιος, ὅσον τῇσι χερσὶ καθιθῆναι, (838) βραχείης δὲ κιγκλίσιος. πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ. χρέεσθαι δὲ οἷσιν ἂν δόξῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅστις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῦ σώματος. ἢν γὰρ εὖ καταταθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει. διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. [457] χρὴ οὖν οὐ μόνον παρὰ

remus dictum eſt. Nonnullis enim absque ullo apparatu, ſed ex modica intenſione, quae manuum directione fit, levique agitatione femur intro revertitur. Multis etiam crus, qua commiſſura eſt inflectentibus, id facta circumactione jam in ſuam ſedem revertit. At multo ſaepius evenit ut non cuilibet cedat apparatui. Quocirca quae quidem in quavis arte in ſingulis plurimum praeſtant, ſcire convenit, in uſum vero ea adhibere quae ad ſingula accommodari videbuntur. Extendendi ergo rationes etiam a me in ſuperioribus dictae ſunt, ut ex his quaecunque ſuppetet in uſum adhiberi poſſit. Vehementem enim in diverſas partes extenſionem fieri oportet, ut in alteram quidem crus, in alteram vero corpus adducatur. Nam ſi probe extenſio fiat, femoris caput ſupra priſtinam ſedem ſublime efferetur, ſicque in ſublime evectum, non jam facile prohibeatur quominus in ſua ipſius ſede conſidat, adeo ut etiam quaevis molitio ac directio ſatis ſit. Sed enim parcior extenſio fieri conſuevit, ideoque majorem moleſtiam repoſitio adſert.

τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος ἐσκευάσθαι, ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμᾶντι μακρῷ διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίνεον βεβλημένῳ, παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν παρὰ τὴν κληῗδα προσηρτημένῳ, πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι, τοῖσι μὲν ἔνθα διατεινομένοισι, τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περί-(839)νεον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περινέου. ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν, ἐς τὸ ἔξω ὠθεέτω. ἢν δὲ μετεωρίζεται ἑλκόμενος, διέρσας τὴν χεῖρα καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. ἄλλος δέ

Neque ergo pedibus folum, verum etiam fupra genu vincula injici neceffe eft, quo non magis genu quam coxendicis articulus deligatione intendatur. Atque hunc in modum ad pedes extenfionem apparatam effe convenit. Sed et neque ad pectus folum et alas circumjecto vinculo in diverfa contenfio fieri debet, verum etiam loro longo, duplici, valido, leni, ad interfoemineum interjecto, quod pofteriore quidem parte juxta fpinam porrigatur, anteriore vero per jugulum ad aliud initium contra tendat, ita vis adhibenda eft, his quidem una parte, aliis altera diftentionem molientibus. Ita tamen ne lorum quod ad interfoemineum demittitur, fupra femoris caput porrigatur, fed inter caput et interfoemineum medium deducatur. In ipfa vero extenfione femoris quidem caput obnixo pugno exteriorem in partem propellendum. Quod fi qui trahitur sublimis pendeat, inferta manu, eique altera conjuncta, fimul quidem extendendum et in exteriorem partem impel-

Ed. Chart. XII. [457—459.] Foës. I. 833. 834. Ed. Lind. II. (839.)
τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω. εἴρηται δὲ καὶ πρόσθεν ὅτι || ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἑξάπηχυ ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ ὡς δίπηχυ. πάχος δὲ ἀρκέει σπιθαμιαῖον. [458] ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρὴ, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη. ἔπειτα φλιὰς βραχείας, ἰσχυρὰς, ἐνηρμοσμένας, ὀνίσκους ἔχειν ἑκατέρωθεν. [459] ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μικρὰς πέντε ἢ ἓξ, διαλειπούσας ἀπ᾽ ἀλλήλων τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων, καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον, ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον. ἐμπηγνύναι δὲ, ἐπήν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ

lendum. Alius autem femur ad genu leviter interiorem in partem dirigat. Operae pretium vero esse etiam supra dictum est, ut qui in percelebri civitate medicinam factitat, lignum sibi comparet quadrangulum sex fere cubitorum, aut paulo majus latitudine bicubitali, cujus crassitudo dodrantalis satis est. Id praeterea hinc et inde in longitudinem sectionem habeat, ne molitio convenientem altitudinem excedat. Postes insuper asellos continentes, breves, validos, utraque parte insertos habeat. Tum satis quidem est si in dimidia ligni parte, nihil tamen prohibet quo minus etiam per totum, quinque aut sex fossulae longae, quatuor inter se digitis distantes incisae sint. Quibus trium digitorum latitudo eademque altitudo sufficit. In medio vero alte exsculptum cavum in quadratam figuram ad tres fere digitos, lignum habere oportet, in quod, ubi opus esse videbitur, lignum cavo accommodatum, superiore autem parte teres defigatur. Defigendumque id, ubi conferre videbitur, medium inter femoris caput et interfoe-

ξύλον ἑστεὸς κωλ(840)ύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα, τοῖσι πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος. ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ ἢ τῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντέτμηνται, ὡς καθ᾽ ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι ἤν τε ἐς τὸ εἴσω, [460] καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρῃ εἶναι ἤν τε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει, εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν κατασείσει. περὶ οὗ νῦν ὁ λόγος ἐστὶ, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι. ἀπὸ τουτέων τῶν μηχανέων καὶ ἀναγκαῖον οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορη-

mineum. Quo erecto prohibetur corpus quominus concedat, cum a pedibus trahitur. Interdum namque hoc ipsum solum loco extensionis quae a superiore parte in diversa adducitur abunde est. Interdum vero dum crus utrinque extenditur, hoc ipsum lignum in hanc vel illam partem laxius incumbens idoneum fuerit ut caput femoris exteriorem in partem molitione impellat. Ea enim de causa excisae sunt fossulae, ut ad quam congruere videbitur, demisso vecte ligneo aut juxta ipsa articulorum capita, aut in ea penitus impacto una cum extensione, vel externam vel interiorem in partem, prout conducere videbitur, molitio adhibeatur, idque sive teretem sive latum vectem esse expedit, cum alius aliis articulis magis accommodatus sit. Haec autem per vectem molitio cum concussione ad omnes crurum articulos reponendos perquam est accommodata. In eo autem quod in quaestione versatur, rotundum vectem esse convenit. Ubi vero exteriorem in partem prolapsus est articulus, latus est accommodatus. Atque post haec machinamenta si vis adhibeatur, non videtur

θῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχει κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμφέρειν τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν, ὡς κλιμακτὴρ, ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον. ἀτάρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον, ῇ (841) ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον ὡς ἂν ἁρμόσῃ ὑποτείνειν ὑπὸ τὸ σῶμα. [461] ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῶς ἂν μετρίως ἔχῃ. κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδέϊ εἴτε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ.

mihi ullus articulus repositione frustrari posse. Quanquam etiam alios hujus articuli recondendi modos quis inveniat. Etenim si magnum hoc lignum medium et ad latera postes duos pedales habeat ea altitudine, quae idonea esse videatur, utraque ex parte unum tum lignum transversum super postes tanquam scalae gradus imponatur, deinde integro crure inter postes transmisso, quod affectum est supra gradum adaptetur. Veruntamen ad altitudinem et ad articulum qua parte prolapsus est, facile aliquid accommodari debet. Nam et gradus moderato altior constituendus et vestem multiplicem, prout congruere videbitur, corpori substernere oportet. Post haec lignum convenienti longitudine et latitudine ad malleolos usque cruri subjiciendum sic ut ultra femoris caput, quoad ejus fieri poterit, feratur, et ad crus, quoties aequum videbitur, alligandum. Deinceps dum crus extenditur, sive id per lignum fiat quod est in pistilli formam, sive per aliquod aliud, quod ad extendendum sit idoneum, una crus supra gradum cum

Ed.Chart.XII. [461.462.] Foës. I. 834—836. Ed. Lind. II. (841. 842.)

τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον, καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἥν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. || ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πολύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείστοισιν ἐμπίπτει.

[462] || Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται, τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ, ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρεος ἐς τὸ εἴσω ἀναγκάζοντα, κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι χερσὶν, ὡς μὴ ὑπείκῃ τὸ (842) σῶμα ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑπερβάλλων καὶ ἐρείσας ἐκ τῶν καπέτων τὴν ἁρμόζουσαν ἀντι-

...lligato ligno deorsum adurgendum, et ab aliquo homo ...upra commissuram ad coxam est continendus. Hac enim ...ia simul quidem distensionis vi femoris caput supra cavi...atem sublime attolletur, simulque molitione in pristinam ...edem protrudetur. Hae omnes commemoratae cogendi ...ationes validae sunt, omnesque, si quis recte ac probe ...pparatas habeat, calamitatem superant. Ac quemadmodum ...nte dictum est, longe imbecilliore extensione magisque ...ulgari apparatu plerumque hic articulus reconditur.

At vero ubi exteriorem in partem femoris caput lu...atum fuerit, eodem quo supra dictum est modo ab utra...ue parte extensiones faciendae. Molitio autem per latum ...ectem una cum extensione adhibenda, ab exteriore parte ...d interiorem adurgendo, ad natem ipsam aut paulo su...ra vecte apposito. Ad sanam autem coxam juxta natem ...uis manibus obsirmatis, ut ne corpus cedat, aut alio ali...uo hujusmodi vecte superjecto et ex aliqua conveniente

κατασχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τ
γόνυ εἴσωθεν ἔξω παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐ
ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου. ὁ γὰ
πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηρο
ἀπὸ τῆς κοτύλης. τὴν μέντοι ξὺν τῷ ὑποκειμένῳ ξύλῳ μό
χλευσιν μηχανήσαιτ᾽ ἄν τις ὥστε ἁρμόζειν καὶ τούτῳ τ
τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέον. ἀλλὰ τί κ
δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνητα
ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον οὕτως ἐκ
πεπτωκός; [463] ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ
μηρὸς, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτω δεῖ ποιέε
σθαι, καθάπερ εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμα
τιον πολύπτυχον ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντ
τὸν ἄνθρωπον οὕτω κατατείνειν. ἅμα δὲ τῇ κατατάσει χρ
τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὕβώματ
κατ᾽ ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα καὶ μᾶλλο
ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων, καὶ ἡ ἐντομ
ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ᾽ ὀλίγον κατω

foſſula firmato, contra obluctetur ac femoris luxati partem quae ad genu eſt, ab interiore parte in exteriorem levite deducat. Huic vero luxationis modo ſuſpenſio minim convenit. Ejus enim qui appenditur cubitus femori caput e ſuo cavo protruderet. Huic tamen luxationi modo convenientem per ſubjectum lignum molitionem comminiſcetur aliquis, ſi exteriore parte admoveatur. Se quid plura? Nam ſi recte et probe extenſio fiat, rect quoque molitio adhibeatur, quis articulus hoc modo pro lapſus non reſtituatur? Quod ſi poſteriorem in partem femur prolapſum ſit, extendere quidem et in diverſa du cere quo modo dictum eſt oportet, inſtratoque ligno mul tiplici ſtragulo, quo molliſſimum ſit et homine prono re clinato, hunc in modum extenſio adhibenda. Una auten cum extenſione, quomodo in gibboſis ſpinae affectibu per aſſerem deorſum impellendum eſt, aſſere e natium regione magisque in inferiorem quam ſuperiorem partem collocato. Inciſura vero in pariete ad aſſerem direct

ερῆς πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύ-
ιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι καὶ ἅμα
σχυροτάτη, ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφε-
ύμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης
μοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμίη
μβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ
οῦ ὀλισθήματος.

Ἢν δὲ ἐς (843) τὸ ἔμπροσθεν ὀλισθῇ, τῶν μὲν κατα-
ασίων ὁ αὐτὸς τρόπος ποιητέος, ἄνδρα δὲ χρὴ ὡς ἰσχυρό-
ατον ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἐνερείσαντα τὸ
θέναρ τῆς χειρὸς τῆς ἑτέρης παρὰ τὸν βουβῶνα καὶ τῇ
τέρῃ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα ἅμα μὲν ἐς
ὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ
ούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς μάλιστα
ατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν. ἀτὰρ καὶ ὁ κρεμα-
μὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμε-
ον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχεϊ τὸ ἄρθρον,

ou ſit, ſed paulum deorſum ſpectans et ad pedes incli-
ata. Haec reponendi ratio hujusmodi luxato articulo,
um maxime ſecundum naturam, tum etiam validiſſima
ſt. Aſſeris autem loco abunde fortaſſis fuerit aliquem in-
dentem, aut manibus annitentem vel derepente pedibus
onſiſtentem, una quoque cum extenſione ſublimem ferri.
Ex praedictis vero alia nulla reponendi ratio hujusmodi
ıxato articulo ſecundum naturam eſt.

At ſi anteriorem in partem luxatum fuerit, idem certe
xtendendi modus convenit. Vir autem cum manibus ro-
uſtiſſimus tum etiam peritiſſimus ſuperiore alterius manus
arte ad inguen offirmata, eandemque altera manu inſu-
er comprehendens, una quidem luxatam articulum deor-
um ſimulque ad anteriorem genu partem propellat. Hic
nim reponendi modus huic luxationi maxime ſecundum
aturam convenit. Sed et ſuſpendendi ratio prope fere
d naturam accedit. Eum tamen qui appenditur gnarum
ſſe oportet, ut ne cubiti molitione articulum expellat,

Ed. Chart. XII. [463. 464.] Foës. I. 836. 837. Ed. Lind. II. (843. 844.)
ἀλλὰ περὶ μέσον τὸν περίνεον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέεται. [464] εὐδοκιμέει δὲ καὶ ὁ πειραθεὶς ἀσκῷ || τοῦτο τὸ ἄρθρον ἐμβαλέσθαι, καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος καὶ τὰ ἔξω ἐγκεκλιμένα καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβαλεῖν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον ἢ ἐνέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας, δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ εἰ δέοι χρέεσθαι. διαγινώσκειν δὲ χρὴ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω ἐστίν. χρὴ δὲ τὸν μὲν ἀσκὸν κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίνεον ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν. ἔπειτα ἐς ἕνα τῶν πολλῶν τὸν λελυμένον ἐνθέντα αὐλὸν ἐκ χαλκείου φυσᾶν καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκόν. τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχον(844)τα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί. σκευάζονται δὲ κάκιον οἱ πλεῖ-

ſed circa medium interſoemineum et juxta os ſacrum appenſionem faciat. Laudandus quoque is eſt, qui per utrem hunc articulum recondere tentarit. Nonnullos tamen vidi, qui ob ineptiam tam ea quae extra quam quae in poſteriorem partem erumperent, per utrem reponere tentarent neque adverterent hoc modo articulum potius expelli quam reſtitui. Conſtat certe eum qui primus id excogitavit, quae intro luxata fuerunt per utrem reponere tentaſſe. Noſſe igitur convenit ubi uſus expetit, utre utendum eſſe, ſcire tamen licet multa alia utre praeſtantiora eſſe. Uter autem non inflatus inter femora collocatur, ſic ut, quoad ejus fieri poteſt maxime ſublimis ad interſoemineum adducatur, tum a patellis genu initio ducto, faſcia femora inter ſe vinciantur, quae ad eorum mediam partem tendat, deinde impoſito folle fabrili in partem ex multis ſolutam, flatus in utrem immittitur ac diſtendi cogitur. Homo vero in latus decumbere debet, et crus affectum ſuperiore parte habere. Atque hujusmodi quidem eſt apparatus. Plerique

σιοι ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γόνατα καὶ οὐ προσκατατείνουσι. χρὴ δὲ καὶ προσκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πράγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. ὅ τε γὰρ ἀσκὸς ἐμφυσώμενος οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεύσασθαι. ἀλλὰ κατὰ τὸν ἑωυτὸν αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως ἢ κατὰ τὸ μέσον ἢ ἔτι κατωτέρω. οἵ τε αὖ μηροὶ φύσει γαυσοὶ πεφύκασιν. ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι. ἐς δὲ τὸ κάτω ὑπόξηροι. ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζοι τὸν ἀσκὸν, ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. εἴτε οὖν τι σμικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς ἐοῦσα, ἀδύνατόν ἐστιν ἀναγκάζειν τὸ ἄρθρον· εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι, ἐπὶ πολὺ οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους, καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος. τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν. χρὴ δὲ περὶ πλείστου

tamen deterius quam ego dixi apparant. Neque enim femorum magnam partem, ſed genua tantum devinciunt, neque praeterea intenſionem admovent, quae tamen neceſſario adhiberi debet. At nonnulli rem facilem nacti luxationem etiam reſtituerunt. Verum hoc pacto non admodum facilis impulſio eſt. Inflatus enim uter qua potiſſimum parte tumet articuli caput, quod molitione impelli maxime debet, non attingit, ſed fere tota ſui parte medius inter femora vel circa medium vel adhuc inferius collocatur. Ad haec femora etiam ipſa curva natura ſunt comparata. Superiore enim parte carnoſa ſeſe contingunt, inferiore vero in anguſtum tenuantur. Ita ut etiam femorum natura utrem ab eo loco expellat, in quem maxime immitti oportebat. Si quis igitur parvum utrem immittat, fieri nullo modo poterit ut vis exigua articulum impellat. Quod ſi utre utendum ſit, femora inter ſe magna ex parte colliganda, unaque cum corporis extenſione uter inflandus. In hoc vero repoſitionis modo utraque crura extrema parte ſimul deliganda. At vero in tota arte imprimis quidem

Ed. Chart. XII. [464. 465.] Foëf. I. 837. Ed. Lind. II. (844. 845.)
μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης. περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, τοιαίδε τ᾽ ἄν τινες κατοικίδιοι κατατάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν. [465] τοῦτο μὲν ἢν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρείη τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ᾽ ἢ (845) σιδήρεα ἢ ὅπλα ἢ σχοινία, ταινίῃσι χρὴ ἢ ἐῤῥήγμασι τρυχίων ἐριτεῶν περιελίσσειν ταύτῃ μάλιστα, εἰ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἔτι ἐπιπλέον. ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι. τοῦτον δὲ ἐπὶ κλίνης χρὴ, ἥτις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας ἢ τοὺς πρὸς κεφαλῆς ἢ τοὺς πρὸς ποδῶν ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν, εἴτε ἔξωθεν ξυμφέρει εἴτε εἴσωθεν. παρὰ δὲ τοὺς ἑτέρους πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα, καὶ ἢν μὲν λεπτὸν ἔῃ τὸ ξύλον,

tibi allaborandum eſt, ut quod aegrum eſt ad ſanitatem reducas. Quod ſi ea multis modis reſtitui poteſt, is qui minimum habet moleſtiae eligendus. Iſtud enim ad bonum virum et artis peritum spectare magis videtur, ſi popularem auram non affectes. Verum, quod ad praeſens inſtitutum attinet, tam domeſtici ſunt quidam extendendi corporis modi, ut prompte in rem praeſentem expediri poſſint. Nempe quidem ſi lora mollia et lenia non adſuerint, ſed vel ferreae catenae vel rudentes nautici vel funes, ea vincula qua parte injici debent, aut etiam amplius, faſciis aut laneorum panniculorum ſegmentis convolvenda, tum vinculis vincienda. Homine vero in lecto ex iis quorum eſt copia firmiſſimo et maximo bene extento, lecti pedes vel a capite vel qui a pedibus ſunt, aut exteriore aut interiore parte, prout conferre videbitur, ad januae limen offirmandi. Ad alios autem pedes lignum quadratum transverſum, quod ab uno ad alterum pedem pertingat, objiciendum, ac ſi id quidem exiguum extiterit, ad lecti pedes

προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ἔῃ, μηδέν. ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν καὶ τῶν πρὸς τῆς κεφαλῆς καὶ τῶν πρὸς τῶν ποδῶν || προσδῆσαι ἑκατέρας πρὸς τὸ ὕπερον ἢ πρὸς ἄλλο τι τοιοῦτον ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα ἢ καὶ ὀλίγον ἀνωτέρω. ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα, ὡς ὀρθὰ ἑστεῶτα τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον. κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιέειν. ἀρκέει δὲ κλῖμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην, ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερηρεισμένα, οὕτω τὴν κατάτασιν ποιεῖσθαι τῶν δεσμῶν. ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα ἐπικαθῆσαι τὸν ἄνθρωπον, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσ(846)δῆσαι ὅκου ἂν ἁρμόσῃ. ἐκ δὲ τοῦ σιναροῦ εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι ἢ ἐς [466] σφυρίδα λίθους ἐμβάλλοντας. ἕτερος τρόπος

deligandum, ſin craſſum, ſine vinculo relinquendum. Poſt haec vinculorum capita tum a capite tum a pedibus utraque ad piſtillum, vel ad aliquod aliud hujusmodi lignum alligentur. Vinculum vero e directo ad corpus, vel paulo etiam ſupra collocetur. Per piſtilla vero, quae erecta exiſtunt, conveniens extenſio fiat, quorum alterum ad limen, alterum ad objectum lignum offirmatur. Tum ſic retro adductis piſtillis extenſio facienda. Ad hoc autem ſatis eſſe poterit ſcala firmos gradus habens lecto ſuppoſita, ad cujus gradus liminis et ligni appoſiti loco, piſtillis convenienter hinc et inde firmatis, eodem modo vinculorum diſtenſio adhibeatur. Femoris item articulus, ſive interiorem in partem ſive in priorem luxatus fuerit, hunc etiam in modum reconditur. Scalae in terram defixae homine inſidente, tum crus quidem integrum leviter extentum, qua commodum videbitur alligandum, ex affecto autem vas fictile aqua plenum appendendum, aut ſporta in quam conjecti lapides fuerint. Eſt et alius reponendi modus, ſi interio-

ἐμβολῆς. ἢν ἐς τὸ εἴσω ὀλισθῇ, στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως. προσεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὁ νοσέων, ὁκόσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον, ἐπικαθῆσαι τὸν ἄνθρωπον ἐπὶ τὸ προσεχὲς τοῦ στρωτῆρος. εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν στύλον πλατεῖ τινί. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται. ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν οὖν δεῖ εἰδέναι ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν ὡς ἐπιπολὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη. ἐφ᾽ ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος. ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. ἀεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς παραχρῆμα ἔτι θερμῶν ἐόντων, εἰ δὲ μὴ, ὡς τάχιστα. καὶ γὰρ τῷ ἐμβάλλοντι ῥηΐτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολὴ ἢ πρὶν διοιδεῖν ἐστί. δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα ὁκόταν μέλλῃς ἐμβάλλειν, προσαναμαλάξαι καὶ διακιγκλίσαι. ῥᾷον γὰρ ἐθέλει ἐμβάλλε-

rem in partem luxatio contigerit. Trabes justa altitudine inter duas columnas deligatur, cui ab una parte, quae pro magnitudine natium extet, aeger se applicet, obvolutoque pectori stragulo, homo contiguae trabis parti insideat, tum pectore ad columnam lata quadam habena adducto, demum crus integrum ne circumoberret, ab aliquo quidem contineatur, laeso vero pondus quantum convenire videbitur, ut etiam supra dictum est, appendatur. Imprimis igitur nosse convenit ossium omnium juncturas ut plurimum ex capite et acetabulo constare, ac in quibusdam cavum acetabuli formam referre, in nonnullis vero sinus leviter esse depressos. Prolapsi autem omnes articuli maxime quidem protinus, dum adhuc sunt calidi, vel certe quam citissime recondendi. Nam et qui reponit facilius ac citius reponet, aegroque longe minorem molestiam affert, si priusquam locus intumuerit, articulus recondatur. Omnes item recondendi articuli ante emolliri et dimoveri debent. Sic enim facilius reverti solent. In omnibus autem articulorum re-

σθαι. παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι, ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα καὶ ῥηΐδια.

|| Δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον, ἤν τε τὸ πρῶτον τῆς χειρὸς ἤν τε τὸ δεύτερον ἤν τε τὸ (847) τρίτον, ὁ αὐτὸς καὶ ἴσος τρόπος τῆς ἐμβολῆς. χαλεπώτερα μὲν ἀεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους ἢ ἄνω ἢ κάτω ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν, μάλιστα μὲν ἐς τὸ ἄνω, ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῷ σφόδρα κινέεσθαι. ἑκατέρωθεν δὲ τῆς χώρης οὗ ἐκβέβηκεν ὥσπερ ἄμβη ἐστίν. ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην ἢ ἐκ τῶν πλαγίων καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μεταστῇ τὸ ἄρθρον, ῥηΐδιόν ἐστιν ἐμβάλλειν. τρόπος δὲ τῆς ἐμβολῆς ὧδε. περιελίξας τὸν δάκτυλον ἄκρον ἢ ἐπιδέσματί τινι ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅκως ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος μὴ ἀπολισθάνῃ. ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα δια-

positionibus imperanda abstinentia est, praecipue quidem ubi maximi sunt et repositu difficillimi articuli, minimum vero ubi minimi et qui facile reconduntur.

At vero ubi digitorum articulus exciderit, sive primus qui ad manum est, sive secundus, sive tertius, eadem et aequalis est reponendi ratio. Maximi tamen articuli aegrius semper restitui solent. Prolabuntur autem quatuor in partes, aut sursum aut deorsum aut utrinque ad latus, sed sursum maxime, minime in latus, idque dum vehementer moventur. Ex utraque vero parte in quam excesserunt, velut superciliosa quaedam eminentia in extrema ora labro similis apparet. Si quidem igitur in superiorem aut inferiorem partem exciderit, cum hic locus levior quam qui ad latera sit, simulque prolapsus articulus parum excesserit, facilis repositio est. Reponendi autem ratio sic habet. Digito extremo vel fascia vel alia quapiam hujusmodi ratione obvoluto, ne ea parte prehensus, dum intenditur, elabatur, unus qui-

Ed. Chart. XII. [466.] Foës. I. 839. Ed. Lind. II. (847. 848.)

λαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ κατειλημένου. ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τῆς μὲν κατατάσιος ὁ αὐτὸς τρόπος. ὅταν δὲ δὴ δοκέῃ σοι ὑπερβεβηκέναι τὴν γραμμὴν, ἅμα χρὴ κατατείναντας ἀπῶσαι ἐς τὴν χώρην εὐθὺς, ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρους τοῦ δακτύλου φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν ἀπολισθῇ. ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον λαβόμενος, τῇ μὲν ἑτέρῃ τῆς σαύρης, τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. ὁκόταν δὲ ἐμβάλλῃς, ἐπιδεῖν δεῖ (848) ὀθονίοισιν ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ μήτε λίην μαλακῇ μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ. ἡ μὲν γὰρ σκληρὴ ἀφέστηκεν ἀπὸ τοῦ δακτύλου. ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ διατήκεται καὶ ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου. λύειν δὲ ἄρθρον δακτύλου τριταῖον ἢ τεταρταῖον. τὸ δὲ ὅλον ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν· ἢν δὲ μὴ, ἀραιότερον. κατὰ

dem manum ſupra primam juncturam, alter digiti partem obvolutam prehendat, tum ad ſeſe probe uterque extendat, unaque prolapſum articulum in ſuam ſedem impellat. Quod ſi in latus excidit, eadem quidem extendendi ratio adhibetur. Ubi namque lineam tibi exceſſiſſe videbitur, ſimul dum extenditur protinus in locum ſuum impellendus. Alius vero quidam ab altera parte digitum repellat, id obſervans ne rurſum eam in partem elabatur. Idoneam quoque repoſitionem praeſtant lacertae vimineae ex palmis contextae, σαῦραι Graecis dictae ubi in diverſa digitum contendendo, altera manu lacertam, altera primam manus juncturam prehendas. Repoſitus articulus linteis tenuiſſimis, cerato neque nimis liquido neque nimis duro, ſed mediocri conſiſtentia illitis, quam celerrime deligari debet. Quod enim durum eſt a digito abſcedit, quod liquidum et molle, digiti calore diffluit et evaneſcit. Digiti autem articulus tertio aut quarto quoque die ſolvendus, ac, ut in totum dicam, ſi qui-

Ed. Chart. XII. [466. 467.] Foës. I. 839. Ed. Lind. II. (848.)

πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω. [467] καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον τεσσαρεσκαιδεκαταῖον. ὁ αὐτὸς δέ ἐστι θεραπείης τρόπος, δακτύλων χειρός τε καὶ ποδός. παρὰ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς δεῖ ἰσχναίνειν καὶ λιμαγχονέειν ἄχρι ἑβδόμης, καὶ εἰ μὲν φλεγμαίνει, πυκνότερον λύειν, ἢν δὲ μὴ, ἀραιότερον. ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ τὸ πονέον ἄρθρον καὶ ὡς κάλλιστα ἐσχηματισμένον κέεσθαι. γόνυ δὲ εὐηθέστερον ἀγκῶνος διὰ τὴν εὐσταλίην καὶ τὴν εὐφυΐην, διὸ καὶ ἐκπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις εἴσω. ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως ἢ συνελίξας ταινίης ὄγκον ἐν τῇ ἰγνύϊ καὶ θεὶς ἀμφὶ τοῦτον ἐξαίφνης, ἐς ὄκλασιν ἀφιέναι τὸ σῶμα. δύναται δὲ καὶ κατατεινόμενον μετρίως ὥσπερ ἀγκὼν ἐμπίπτειν τὰ ὄπισθεν. τὰ δὲ ἔνθα καὶ ἔνθα ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι, ἀτὰρ ἐκ κατατάσιος μετρίης, ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν

dem inflammatio occupavit, crebrius, sin minus, rarius. Atque haec communiter de omnibus articulis dicta sunto. Restituitur digiti articulus decimo quarto die. Ac digitorum manus et pedis eadem est curandi ratio. In omni vero articulorum repositione, victu tenui et inedia etiam ad septimum diem utendum, ac si quidem inflammatio subsit, crebrius, sin minus, rarius resolvendum. Semper autem afflictum articulum quietem agere, et quam optimo habitu collocatum esse oportet. Genu cubiti gibbo ob succinctam et commodam ejus naturam benignius est, ideoque facilius excidit. Saepius autem interiorem in partem, sed et in exteriorem et posteriorem prolabitur. Hoc autem reponit subita conflexio aut excalcitratio, aut si ad convolutum fasciae globum in poplitem immissum, ut derepente genibus flexis corpus in suras et talos subsidat, permiseris. Potest quoque moderata extensione, non secus ac cubiti gibbus, cum posteriorem in partem prolapsum est, suum in locum reverti. Ubi vero in hanc vel illam partem excidit, conflexione aut excalcitratione reconditur. At quae moderata intensione fit restitutio, omnibus communis est. Quod si non revertit,

Ed. Chart. XII. [467.] Foës. I. 840. Ed. Lind. II. (848. 849.)

|| ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι. πάνυ μινύ(849)θει δὲ μηροῦ καὶ κνήμης τοὔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, βλαισότεροι. μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ δὲ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν.

Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δέεται ἢ τῇσι χερσὶν ἢ ἄλλοισι τοιούτοισι. κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης. κοινὸν δὲ τοῦτο ἅπασι. τὰ δὲ ἐν ποδὶ, ὡς καὶ τὰ ἐν τῇ χειρὶ, ὑγιέες. τὰ δὲ τῆς κνήμης ξυγκοινωνέοντα καὶ ἐκπεσόντα ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα ἃ καὶ ἐν χειρί. ὁκόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐκχυμωθῆναι καὶ νεῦρα ἀμφιφλαθῆναι. ὁκόταν γένηται οἷα τὰ δεινὰ, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν. ῥοιώδη μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι

neque cum posteriorem in partem, neque cum alias in partes excessit, flecti admodum queat. Femoris vero et tibiae pars anterior imminuitur. At quibus interiorem in partem excidit, ii valgi magis evadunt, exterioribus autem partibus imminuuntur. Quibus autem exteriorem in partem excidit, ii vari magis claudi vero minus efficiuntur. Crassiore autem ossis parte gestantur, et interioribus partibus imminuuntur. At quibus a primo ortu, aut dum adhuc corpus augetur, luxatio facta est, ii quomodo prius dictum est se habent.

Articuli circa malleolos luxati valida intensione, quae per manus aut per alia hujusmodi adhibetur, opus habent ac directione quae simul utrumque efficiat. Hoc vero omnibus commune est. At quae in pede contingunt velut ea quae in manu curationem recipiunt. Quae vero cum tibia consensionem habent et a primo ortu excidunt, aut etiam dum corpus adhuc augetur luxantur, eandem quam in manu repositionem habent. At quibus ex alto desilientibus et in calcem innixis ossa diffident, venae subter cutem effunduntur, ac nervi contunduntur, ubi haec gravia facta fuerint, periculum quidem est ne ex sideratione iis per totam vitam negotium exhibeatur. Fluxa si quidem iis ossa

Ed.Chart.XII. [467. 468.] Foes. I. 840. 841. Ed. Lind. II. 849. 850.)
κοινωνέοντα. ἔπειτα καὶ οἷσι μάλιστα κατεηγεῖσιν ἢ ὑπὸ τρώματος ἢ ἐν κνήμῃ ἢ ἐν μηρῷ ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνέει τούτων ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελάνθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα ἐκ τῶν τοιούτων ἐστίν. ὅτε δὲ καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες, λοιμώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι καὶ ἔτι φλεβῶν αἱμοῤῥοιέων πελιώσιες. σημήϊα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα (850) καὶ τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα, ἤν τε ξὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος μελανθῆναι, ἢν δὲ ὑποπέλια ᾖ ἢ καὶ πέλια μάλα καὶ ἐκχυμωμένα, ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἡ ἴησις, ἢν μὲν ἀπύρετος ἔῃ, ἐλλέβορον, ἢν δὲ μὴ, μὴ, ἀλλὰ ποτὸν [468] ὀξύγλυκυ, εἰ δέοι. ἐπίδεσις δὲ ἄρθρων. ἐπὶ δὲ πάντα μᾶλλον τοῖσι φλάσμασιν ὀθονίοισι πλείοσι καὶ μαλθακωτέροισι. πίεξις ἧσσον. προσπεριβάλλειν δὲ || τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα

evadunt. Quia vero nervi inter se consensionem habent, tum vel praecipue quibus ex fractura vel vulnere in tibia aut femore, aut ex dissolutione nervorum qui cum his communicant, aut ex negligentiore decubitu calx denigrata fuit, iis etiam ex talibus recrudescere mala consueverunt, tum vero ubi ad siderationem febres acutae, singultuosae, mentem attentantes et quae citissimam mortem afferant accesserint, idque cum venarum sanguinem fundentium livoribus. Recrudescentis morbi indicia sunt, ubi sanguis e venis in cutem effusus et quae nigrescunt, quaeque his vicina sunt, duritiem et ruborem aliquem contraxerunt. Quod si cum duritie livescunt, ut nigrescant periclitantur. Sin autem sublivida, aut etiam livida et mollia sugillata fuerint, aut aliquantulum ex virore pallida et mollia, haec in hujusmodi omnibus bono sunt. Ad horum curationem si quidem febris absit, veratrum exhibendum alioqui non dandum, sed in potu aqua mulsa acida, ὀξύγλυκυ dicitur, si opus est, utendum. Deligatio vero quae articulis convenit, et quae ad omnia magis adhibeatur. Ad collisa pluribus linteis et mollioribus minoreque compressione utendum, plurima

Ed. Chart. XII. [468. 536.] Foës. I. 841. Ed. Lind. II. (850.)

ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην ἀποπιέζηται. νάρθηξι δὲ μὴ χρέεσθαι. οἷσι δ' ἂν ἐκβῇ ὁ ποὺς ἢ αὐτὸς ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ εἴσω· ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον τό τε ἰσχίον καὶ ὁ μηρὸς καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ δὲ καὶ ἄλλη ὥσπερ καρποῦ. κατάτασις δὲ ἰσχυρή. ἴησις δὲ νόμος ἄρθρων. παλιγκοτέει, ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσι. δίαιτα μείων ἐλινύουσι. τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρότερον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΜΟΧΛΙΚΟΝ.

[536] Ὀστέων φύσις, δακτύλων μὲν ἁπλᾶ καὶ ὀστέα καὶ ἄρθρα, χειρὸς δὲ καὶ ποδὸς πουλλὰ ἄλλα, ἀλλοίως συνηρθρωμένα. μέγιστα δὲ τῷ ἀνωτάτω. πτέρνης δὲ ἓν οἷον ἔξω φαίνεται. πρὸς δὲ αὐτὴν οἱ ὀπίσθιοι τένοντες τείνουσι.

fasciae parte ad calcem circumjecta. Figuratio ea sit quae deligationi convenit, ut ne in calcem expressio fiat, neque ferulis utendum. At quibus pes ipse solus, aut cum adnato osse excessit, interiorem quidem in partem magis excidit, ac nisi recondatur et coxa et femur et tibiae pars luxationi ex adverso respondens, temporis successu extenuatur. Repositio eadem quae primae juncturae manus, contensio vero valida. Curatio autem pro lege articulorum adhibetur. Quod si quiescant, minus quam in prima manus junctura morbus recrudescit. Et quietem agentibus tenuior victus ratio imperanda. Quae vero a primo ortu, aut cum adhuc corpus augetur contingunt, eam quae supra comprehensa est tractationem habent.

HIPPOCRATIS MOCHLICVS SEV VECTIARIVS, HOC EST DE OSSIVM PER MOLITIONEM IMPELLENDORVM RATIONE.

Ossa hunc in modum a natura sunt comparata. Digitorum quidem tum ossium tum articulorum simplex est junctura. In manu vero et pede cum multa alia varie connectuntur, tum maxima sunt quae supremo loco com-

Ed. Chart. XII. [536.] Foës. I. 841. 842. Ed. Lind. II. (850.)

κνήμης δὲ δύο ἄνωθεν καὶ κάτωθεν ξυνεχόμενα, κατὰ μέσον δὲ διέχοντα. σμικρὸν τὸ ἔξωθεν, κατὰ τὸν σμικρὸν δάκτυλον λεπτότερον βραχεῖ, πλεῖστον δὲ ταύτῃ διεχούσῃ καὶ σμικροτέρῃ ῥοπῇ, κατὰ γόνυ, καὶ ὁ τένων ἐξ αὐτοῦ πέφυκεν, ὁ παρὰ τὴν ἰγγύην ἔξω. ἔχουσι δὲ κάτωθεν κοινὴν ἐπίφυσιν πρὸς ἣν ὁ πούς κινέεται. ἄλλην δὲ ἄνωθεν ἔχουσιν ἐπίφυσιν ἐν ᾗ τὸ τοῦ μηροῦ ἄρθρον κινέεται, ἁπλόον καὶ εὐσταλέως ἐπὶ μήκει. εἶδος κονδυλῶδες, ἔχον ἐπιμηλίδα. αὐτὸς δ᾽ ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν. ἡ δὲ κεφαλὴ ἐπίφυσίς ἐστι || στρογγύλη, ἐξ ἧς τὸ νεῦρον τὸ ἐν τῇ κοτίλῃ τοῦ ἰσχίου πέφυκεν. ὑποπλάγιον δὲ καὶ τοῦτο προσήρτηται, ἧσσον δὲ βραχίονος. τὸ δ᾽ ἰσχίον προσίσχεται πρὸς τῷ μεγάλῳ σπονδύλῳ τὸ παρὰ τὸ ἱερὸν ὀστέον χονδρονευρώδει δεσμῷ. ῥάχις δὲ ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου μέχρι τοῦ μεγάλου σπονδύλου, κυφή. κύστις τε καὶ γονὴ καὶ ἀρχοῦ τὸ ἐγκεκλιμένον

mittuntur. Calcis unum os eſt, quale foras prominet, quo etiam a poſteriore parte tendines tendunt. Tibiae duo oſſa ſunt ſupra et infra cohaerentia, medio vero loco diſtantia. Quod exterius tendit, parvum et juxta parvum digitum paulo tenuius. Plurima vero hac parte diſtantia, minoreque momento ad genu inclinatio eſt, ex quo exterior poplitis tendo ortum habet. Inferiore autem parte communem habent oſſis accretionem, qua pes movetur et ſuperiore parte alteram, ubi femoris articulus ſimplex et longitudine ſuccinctus movetur, tuberculorum ſpeciem referens et patellam habens. Ipſum vero femur exteriore et anteriore parte incurvatur. Ejus caput oſſis eſt accrementum, rotundum, ex quo nervus, qui in coxendicis acetabulo eſt, originem ducit. Cujus aliquantulum obliqua eſt connexio, minus tamen quam brachii. Coxendix autem magnae vertebrae, quae eſt ad os ſacrum, ex vinculo cartilaginoſo et nervoſo inhaereſcit. At ſpina a ſacro quidem oſſe ad magnam vertebram usque in gibbum curvatur. Veſicaque et geniturae pars deſtinata, rectique inteſtini quod eſt inclinatum, ibi ſedem habet. Inde vero ad ſeptum transver-

ἐν τούτῳ. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν ἦλθεν ἡ ἰθύλορδος καὶ αἱ ψόαι κατὰ τοῦτο, ἐντεῦθεν δὲ ἄχρι τοῦ μεγάλου σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφής. ἔτι δὲ μᾶλλον δοκέει ἢ ἐστίν. αἱ γὰρ ὄπισθεν τῶν σπονδύλων ἀποφύσιες ταύτῃ ὑψηλόταται. τὸ δὲ τοῦ αὐχένος ἄρθρον λορδόν. σπονδύλοι δὲ ἔσωθεν ἄρτιοι πρὸς ἀλλήλους, ἀπὸ δὲ τῶν ἔξωθεν χόν[537]δρων καὶ νεύρων συνεχόμενοι. ἡ δὲ ξυνάρθρωσις αὐτῶν ἐν τῷ ὄπισθεν τοῦ νωτιαίου. ὄπισθεν δὲ ἔχουσιν ἔκφυσιν ὀξείην, ἔχουσαν ἐπίφυσιν χονδρώδεα, ἔνθεν νεύρων ἀπόφυσις καταφερής. ὥσπερ καὶ οἱ μύες παραπεφύκασιν ἀπὸ αὐχένος ἐς ὀσφῦν, πληρεῦντες δὲ πλευρέων καὶ ἀκάνθης τὸ μέσον. πλευραὶ δὲ κατὰ τὰς διαφύσιας τῷ σπονδύλῳ νευρίῳ προσπεφύκασιν, ἀπ' αὐχένος ἐς ὀσφῦν ἔσωθεν. ἐπίπροσθεν δὲ κατὰ τὸ στῆθος χαῦνον καὶ μαλθακὸν τὸ ἄκρον ἔχουσαι εἶδος ῥομβοειδέστατον τῶν ζώων. στενότατος γὰρ ταύτῃ ὁ ἄνθρωπος ἐπ' ὄγκων. ᾗ δὲ μὴ πλευραί εἰσιν,

ſum, recta interiorem in partem inclinata tendit, qua parte lumborum muſculi ψόαι dicti exiſtunt. Ab ea quoque parte ad magnam vertebram, quae eſt ſupra ſummam humerorum partem, recta in gibbum elevatur, imo vero hujusmodi magis apparet quam ſit. Poſteriores enim vertebrarum proceſſus ea parte maxime eminent. Ipſe autem cervicis articulus anteriorem in partem inclinat. Vertebrae autem interiore parte inter ſe ſunt aequabiles, exteriore vero cartilaginibus et nervis continentur. Eae quoque in poſteriore medullae ſpinalis parte articulorum modo inter ſe committuntur. Parte autem poſteriore proceſſum acutum habent, cum adnata cartilagine, unde exoriuntur nervi qui proni feruntur, non ſecus ac muſculi a cervice ad lumbos adnaſcuntur, qui coſtarum et ſpinae intermedium complent. Coſtae vero ad vertebrarum interſtitia nervo annectuntur a cervice ad lumbos interiorem in partem tendentes. Anteriore autem parte ad pectus, laxum et molle extremum habentes, forma prae caeteris animantibus maxime recurva cernuntur. Hac enim parte homo mole eſt

ἔκφυσις πλαγείη βραχείη καὶ πλατείη, ἐφ᾽ ἑκάστῳ σποδύλῳ νευρίῳ προσπεφύκασι. στῆθος δὲ ξυνεχὲς αὐτὸ ἑωυτῷ, διαφύσιας ἔχον πλαγείας ᾗ πλευραὶ προσήρτηνται, χαῦνον δὲ καὶ χονδρῶδες. κληῗδες δὲ περιφερέες ἐς τοὔμπροσθεν, ἔχουσαι πρὸς μὲν τὸ στῆθος βραχείας κινήσιας, πρὸς δὲ τὸ ἀκρώμιον συχνοτέρας. ἀκρώμιον δὲ ἐξ ὠμοπλατέων πέφυκεν, ἀνομοίως τοῖσι πλείστοισιν, ὠμοπλάτη δὲ χονδρῶδες τὸ πρὸς ῥάχιν. τῷ δ᾽ ἄλλῳ χαύνη, τὸ ἀνώμαλον ἔξω ἔχουσα. αὐχένα δὲ καὶ κοτύλην ἔχουσαι χονδρώδεα, ἐξ ἧς αἱ πλευραὶ κίνησιν ἔχουσιν. εὐαπόλυτος ἐοῦσα ὀστέων, πλὴν βραχίονος. τούτου δὲ ἐκ τῆς κεφαλῆς νευρίῳ ἡ κεφαλὴ ἐξήρτηται, χόνδρου χαύνου περιφερῆ ἐπίφυσιν ἔχουσα. αὐτὸς δ᾽ ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν πλάγιος, οὐκ ὀρθὸς πρὸς κοτύλην. τὸ δὲ πρὸς ἀγκῶνα αὐτοῦ, πλατὺ καὶ κονδυλῶδες καὶ βαλβιτῶδες καὶ στερεὸν ἔγκυλον ὄπισθεν. ἐν ᾧ ἡ κορώνη ἐκ τοῦ πήχεος, ὅταν ἐκταθῇ ἡ χεὶρ, ἔνεστιν. ἐς τοῦτο καὶ τὸ ναρκῶδες νεῦ-

angustissima. Qua costae non sunt, processus obliquus brevis et latus, ad singulas vertebras nervo annexus est. At pectus sibi ipsi cohaeret, qua parte costae annectuntur obliqua interstitia habens, laxum quoque et cartilagineum. Claviculae parte anteriore rotundae, ad pectus quidem breves motus, ad summum vero humerum crebriores habent. Summus autem humerus, *ἀκρώμιον* dicitur, ex lato scapularum osse ortum ducit, in plurimis non aequabiliter. Latum vero scapularum os ad spinam cartilagineum, reliqua parte laxum, foris inaequabile, cervicem et cavum cartilagineum habens, ex quo costae motionem ducunt, quod facile inter ossa, si brachium demas, dissolvitur. Hujus caput ex cavitate nervulo annexum est, teneram cartilaginem et rotundam adnatam habens. Ipsum autem exteriore parte incurvum et anteriore obliquum, ad cavitatem recta non fertur. Quod vero est ad cubiti gibbum, latum, tuberculosum, oblongas cavitates habens et solidum, posteriore parte cavum est, in quod cubiti processus adnatus, qui *κορώνη* dicitur, ubi manus extenditur, inseritur, quo etiam tor-

ρον, ὃ ἐκ τῆς διαφύσιος τῶν τοῦ πήχεος ὀστέων ἐκ μέσων ἐκπέφυκε καὶ περαίνεται.

||(851) Ῥὶς δὲ κατεαγεῖσα ἀναπλάσσεσθαι οἵη τε αὐθωρόν. κἢν μὲν οὖν ὁ χόνδρος ἐντίθεται ἄχνην ὀθονίου ἐναποδέοντα λοπῷ Καρχηδονίῳ ἢ ἐν ἄλλῳ ᾧ μὴ ἐρεθιεῖ. τῷ λοπῷ δὲ τὰς παραλλάξιας παρακολλᾷν καὶ ἀναλαμβάνειν. ταῦτα δὲ ἐπίδεσις καταποιέει. ἴησις ἄλλη. ἅμα δὲ τῷ ξυμβαλεῖν ἢ θείῳ ξὺν κηρωτῇ αὐτίκα ἀναπλάσσειν. ἔπειτα ἀνακογχίζειν τοῖσι δακτύλοισι ἐσματτευόμενον καὶ παραστρέφοντα, καὶ τὸ Καρχηδόνιον πωροῖτο ἄν, καὶ ἢν ἕλκος ἐνῇ καὶ ἢν ὀστέα ἀπιέναι μέλλῃ. οὐ γὰρ παλιγκοτώτατα οὕτω ποιητέα.

|| Οὖς κατεαγὲν μὴ ἐπιδεῖν μηδὲ καταπλάσσειν. ἢν δέ τι δέῃ, ὡς κυφότατον ἡ κηρωτὴ, καὶ θείῳ παρακολλᾷν. ὧν δὲ ἔμπυα τὰ ὦτα διὰ πάχεος εὑρίσκεται. πάντα δὲ τὰ ὑπόμυξα καὶ τῇ ὑγρῇ σαρκὶ πλήρεα ἐξαπαταίου μὴ βλάβη γένηται στομωθὲν τὸ τοιοῦτον. ἔστι γὰρ ἄσαρκα καὶ ὑδα-

pidus nervus, qui ex medio cubiti ossium interstitio enascitur, terminatur.

Nasus autem confractus eode momento conformari potest. Si quidem igitur cartilago desidit, derasam lintei lanuginem Carthaginiensis corii cortice, aut aliqua alia re quae non irritet, convolutam, in nares immittere oportet. Id autem deligatio praestat. Est et alia curatio, ubi simul injecto sulphure cum cerato statim nasus componitur, deinde digitis immissis explorando continetur, et in alteram partem convertitur. Carthaginiense vero corium sinendum donec callum obduxerit, sive ulcus adfuerit, sive ossa discessionem factura sint. Neque enim committendum ut sic maxime recrudescant.

Auri fractae neque vinculum, neque cataplasma adhibendum. Quod si quo sit opus, ceratum quam maxime leve aut sulphuris agglutinatio conveniet. At quibus aure ad suppurationem tendunt, iis pus crassiore loco reperitur. Tibi autem imponent quaecunque submucosa et humida carne plena sunt, ac neque ex hujusmodi sectione detrimentum contingit. Ubi autem et quaenam mortifera exi

Ed.Chart. XII. [537. 538.] Foës. I. 846. 847. Ed.Lind. II. (851. 852.)
τώδεα, μύξης πλέα. ὅπου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι παρεθέντα. ὤτων καῦσις πέρην, τάχιστα ὑγιάζει. κυλλὸν δὲ καὶ μεῖον γίνεται τὸ οὖς, ἢν πέρην καυθῇ. ἢν δὲ στομω-(852)θῇ, κούφῳ ἐναίμῳ δεήσει χρῆσθαι.

[538] || *Γνάθοι* δὲ κατασπῶνται μὲν πολλάκις καὶ καθίστανται, ἐκπίπτουσι δὲ ὀλιγάκις, μάλιστα μὲν χασμωμένοισιν. οὐ γὰρ ἐκπίπτει, ἢν μή τις χανὼν μέγα παραγάγοι. ἐκπίπτει δὲ μᾶλλον, ὅτι τὰ νεῦρα ἐν πλαγίῳ καὶ λελυγισμένα συνδιδοῖ. σημεῖα παρέχει ἡ κάτω γνάθος καὶ παρέστραπται τἀναντία τοῦ ἐκπτώματος, ξυμβάλλειν οὐ δύνανται. ἢν δ' ἀμφότεραι προσίσχωσι, μᾶλλον συμβάλλουσιν ἧσσον ἀστραβέες. δηλοῖ δὲ τὰ ὅρια τῶν ὀδόντων τὰ ἄνω τοῖσι κάτω κατ' ἶξιν. ἢν οὖν ἀμφότεραι ἐκπεσοῦσαι μὴ αὐτίκα ἐμπέσωσι, θνήσκουσι δεκαταῖοι οὗτοι μάλιστα πυρετῷ συνεχεῖ, νωθρῇ τε καρώσει. οἱ γὰρ μύες οὗτοι τοιοῦτοι. γαστὴρ ἐπιταράσσεται, ὀλίγα ἄκρητα, καὶ ἢν ἐμέωσι, τὰ τοιαῦτα ἐμέουσιν. ἡ δ'

ſtant, ea ſunt appoſita. Aures cito ſaneſcunt ſi in utramque partem ferramentum candens adigatur. Mutila tamen et minor candenti ferro praeter trajecta auris redditur. Quod ſi aperta fuerit, levi aliquo medicamento, quod cruentis vulneribus adhibetur, impoſito opus erit.

Maxillae autem frequenter quidem convelluntur et reſtituuntur, raro vero excidunt, maxime quidem hiantibus. Neque enim hic caſus incidit, niſi quis vehementer os aperiendo in alteram partem torqueat. Idque magis incidit, quod nervi in obliquum etiam ubi contorquentur concedunt. Cujus rei hae notae ſunt, maxilla inferior in anteriorem partem prominet et in alteram luxationis partem pervertitur, aegri maxillas committere nequeunt. Quod ſi utraque parte maxilla prolabatur, prominet magis, os minus committunt, minime diſtorquentur, quod dentium ſines indicant, cum inferiores ſuperioribus ex adverſo reſpondeant. Utraque igitur maxillae parte prolapſa, niſi ſtatim repoſita fuerit, hi intra decimum diem fere ex febre aſſidua et ſegni ſopore moriuntur. Hi enim muſculi hujusmodi ſoporem invehunt, alvus paucis et ſinceris exturbatur, et ſi vomitus

ἑτέρη ἀσινεσιέρη. ἐμβολὴ δὲ ἡ αὐτὴ ἀμφοτέρων. κατακειμένου ἢ καθημένου τοῦ ἀνθρώπου τῆς κεφαλῆς ἐχόμενον περιλαβόντα τὰς γνάθους ἀμφοτέρας ἀμφοτέρησι χερσὶν ἔσωθεν καὶ ἔξωθεν, τρίαμμα ποιῆσαι. ὅσαι δὲ ἐς ὀρθὸν καὶ ἐς τοὐπίσω καὶ συσχεῖν τὸ σῶμα. ἴησις, μαλάγμασι καὶ σχήμασι καὶ ἀναλήψει γενείου. ποιοῦσι ταῦτα τῇ ἐμβολῇ.

|| Ὦμος δὲ ἐκπίπτει κάτω, ἄλλῃ δὲ οὔπω ἤκουσα. δοκέει μὲν γὰρ ἐς τοὔμ(853)προσθεν ἐκπίπτειν, ὧν αἱ σάρκες αἱ περὶ τὸ ἄρθρον μεμινυθήκασι διὰ τὴν φύσιν. οἷον καὶ τοῖσι βουσὶ χειμῶνος φαίνεται διὰ λεπτότητα καὶ ἐκπίπτει μᾶλλον. τοῖσι δὲ λεπτοῖσιν ἢ ἰσχνοῖσιν ἢ ξηροῖσι καὶ τοῖσιν ὑγράσματα περὶ τὰ ἄρθρα ἔχουσιν ἄνευ φλεγμονῆς. αὐτὴ γὰρ συνδίοι δέ. καὶ βουσὶν ἐμβάλλοντες καὶ ἀποπερονῶντες ἐξαμαρτάνουσι, καὶ ὅτι διὰ τὴν χρῆσιν ὡς χρῆται βοῦς σκέλει λήθει, καὶ ὅτι κοινὸν καὶ ἀνθρώπῳ οὕτως ἔχοντι. τὸ σχῆμα τοῦτο.

adfuerit, ejusmodi vomitione refundunt. At ſi altera parte maxilla excidat, minor eſt noxa, eadem tamen utrorumque eſt repoſitio. Homine decumbente aut in ſedili collocato, capite prehenſo utramque maxillae partem ambabus manibus, tum interiore tum exteriore parte apprehendere, ac tria ſimul facere oportet, in directum ac in poſteriorem partem propellere et corpus commovere. Curatio per malagmata, figurationes et menti exceptionem perficitur. Iſta enim ad repoſitionem faciunt.

At vero humerus inferiorem in partem excidit, aliam in partem excidere non audivi. Videtur ſi quidem in anteriorem partem excidere, quibus carnes quae circa articulum ſunt natura extenuatae fuerint, quale quid etiam in bobus per hiemem ob macilentiam cernitur et magis excidit ac extenuatis aut gracilibus aut ſiccis, iisque quibus humiditates circa articulos citra inflammationem continentur. Ipſa enim colligaret quidem. Ex quo qui boves curant ac ſtimulant, in iisque repoſitionem tentant, errant, tum quia eos lateat quemadmodum bos crus ad uſum jactet, tum quia etiam homini ita conſtituto hic habitus communis eſt.

τό τε Ὁμήριον, καὶ διότι λεπτότατοι βόες τηνικαῦτα. ὅσα τε τὸν πῆχυν πλάγιον ἀπὸ πλευρέων ἄραντες δρῶσιν, οὐ πάνυ δύνανται δρᾷν οἷσιν ἂν μὴ ἐμπέσῃ. οἷσι μὲν οὖν ἐκπίπτει, μάλιστα καὶ ὡς ἔχουσιν εἴρηται. οἷσι δὲ ἐκ γενεῆς τὰ ἐγγύτατα μᾶλλον βραχύνεται ὀστέα, οἷον ἐν τούτῳ οἱ γαλιάγκωνες. πῆχυς δὲ ἧσσον. χεὶρ δὲ ἔτι ἧσσον. τὰ δ᾽ ἄνωθεν οὐδὲν, καὶ ἀσαρκότατα ἐγγύς. μινύθει δὲ μάλιστα τὰ ἐναντία τῶν ὀλισθημάτων καὶ τὰ ἐν αὐξήσει. ἧσσον δέ τινι τῶν ἐκ γενεῆς, καὶ τὰ παραποιήματα τὰ κατ᾽ ἄρθρον, βαθέα νεογενέσι μάλιστα παρ᾽ ὦμον γίνεται καὶ τουτέοισιν ὥσπερ τὰ ἐξαρθρήσαντα ποιέει. ἢν δὲ ηὐξημένοισι, τὰ μὲν ὀστέα οὐ [539] μειοῦται. οὐδὲ γὰρ ἔχει οἷ ἄλλα οὐ ξυναύξεται ὁμοίως. αἱ δὲ μινυθήσιες τῶν σαρκῶν. τοῦτο γὰρ (854) καθ᾽ ἡμέρην καὶ αὔξεται καὶ μειοῦται καὶ καθ᾽ ἡλικίας καὶ ἃ δύνανται σχήματα, καὶ αὖ σημεῖον τὸ παρὰ τὸ ἀκρώμιον

Quibus quoque accedit Homeri auctoritas, quod boves tunc maxime graciles exiſtunt. At quibus humerus recondi non potuit, ii quae cubito in latus a coſtis ſublato fiunt, non admodum praeſtare poſſunt. Quibus igitur potiſſimum excidat, et quomodo habeant dictum eſt. Quibus vero a primo natali die iſta contingunt, iis oſſa potius quae ad luxationem proxime accedunt, brevia fiunt, quale quid tunc iis, qui muſtelae cubito praediti ſunt et *γαλιάγκωνες* Graecis dicuntur, uſuvenire ſolet, quod cubito minus, adhuc autem minus manui accidere videtur. Quae vero ſupra ſunt, nihil tale ſentiunt, ſed quae vicinitatem habent, valde emaciantur. Imminuuntur autem maxime quae altera luxationis parte ſunt, et quae incrementum accipiunt, minus tamen quodammodo quam quae talia ſunt ab ortu. Quin et profundae ſuppurationes circa juncturam recens natis praecipue ad humerum fiunt, iisque non ſecus ac luxata efficiunt. Quod ſi adultis iſta contingunt, oſſa quidem non minuuntur. Neque enim cauſa eſt cur alia non aeque ſimul augeantur. At carnium imminutiones fiunt, quod hae in dies et augeantur et minuantur, idque per aetates et corporis habitus, qui in eo obtinent. Praeterea etiam indicio

Ed. Chart. XII. [539.] Foës. I. 848. Ed. Lind. II. (854.)

κατεσπασμένον καὶ κοῖλον, διότι ὅταν τὸ ἀκρώμιον ἀποσπασθῇ καὶ κοῖλον ᾖ, οἴονται τὸν βραχίονα ἐκπεπτωκέναι. κεφαλὴ δὲ τοῦ βραχίονος ἐν τῇ μασχάλῃ φαίνεται. αἴρειν γὰρ οὐ δύνανται, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα. ὁμοίως ὁ ἕτερος ὦμος μηνύει. ἐμβολαὶ δὲ αὐτὸς μὲν τὴν πυγμὴν ὑπὸ μασχάλην ὑποθεὶς, τὴν κεφαλὴν ἀνωθέειν, τὴν δὲ χεῖρα ἐπιπαράγειν ἐπὶ τὸ στῆθος. ἀλλ᾽ ἢ ἐς τοὐπίσω περιαναγκάσαι ὡς ἀμφισφαλῇ. ἀλλ᾽ ἢ κεφαλῇ μὲν πρὸς τὸ ἀκρώμιον, χερσὶ δὲ ὑπὸ μασχάλην κεφαλὴν ὑπάγειν βραχίονος. γούνασι δὲ ἀγκῶνα ἀπωθέειν, ἢ ἀντὶ τῶν γουνάτων τὸν ἀγκῶνα τὸν ἕτερον παράγειν, ὡς τὸ πρότερον, ἢ κατ᾽ ὤμου ἵζεσθαι, ὑποθεὶς τῇ μασχάλῃ τὸν ὦμον, ἢ τῇ πτέρνῃ ἔνθεν τὰ ἐκπληρώματα τῇ μασχάλῃ τῇ δεξιῇ δεξιὸν, ἢ περὶ ὕπερον, ἢ περὶ κλιμακτῆρα, ἢ περίοδος ξὺν τῷ ξύλῳ τῷ ὑπὸ χεῖρα τεινομένῳ. ἴησις, τὸ σχῆμα πρὸς πλευρίησι βραχίων, χεὶρ ἄκρη, ἄνω ὦμος. ἄνω οὕτως ἐπίδεσις, ἀνάληξις. ἢν δὲ μὴ ἐμπέσῃ,

eſt id quod ad ſummum humerum eſt avulſum et cavum, propterea quod ſummo humero avulſo et cavo brachium prolapſum eſſe exiſtimant: brachii autem caput in ala cernitur. Neque enim attollere ipſum queunt, neque huc vel illuc traducere. Quod ſimiliter ex altero humero deprehenditur. His autem rationibus reponitur, ſi pugno quidem in alam injecto caput ſurſum propellas, manum vero praeterea ad pectus adducas, aut ſi retroducendo ita ut circumoberret, compellas. Aut capite ad ſummum humerum objecto, manibus vero in alam injectis brachii caput abducas, cubiti autem gibbum genibus protrudas, aut genuum loco alterum cubiti gibbum ad latus adducere, ut prius, jubeas. Aut ſi ſuppoſito in alam humero aeger in humero inſideat. Aut ubi calce, adhibitis his quae alae cavitatem compleant, ad dextrum humerum dextro uſus fueris. Aut ubi per piſtillum, aut ſcalae gradum coëgeris, aut una cum ligno ad manum porrecto ſuper trabeculam transverſam converteris. Curatio perficitur eo habitu ut brachium ad coſtas adducatur, manus ſumma ac humerus ſurſum detineantur, ſic-

Ed. Chart. XII. [539.] Foës. I. 848. 850. Ed. Lind. II. (854. 855.)

ἀκρώμιον προσλεπτύνεται. ἀκρώμιον ἀποσπασθὲν τὸ μὲν εἶδος φαίνεται, οἷόν περ ὤμου ἐκπεσόντος. στερίσκεται δ᾽ οὐδενός. ἐς δὲ τὸ αὐτὸ οὐ καθίσταται σχῆμα τὸ αὐτὸ ᾧ καὶ ἐκπεσόντι ἐν ἐπιδέσει καὶ ἀναλήψει ἐπιδέσιος καὶ ὡς νόμος.

|| Ἀγκῶνος ἄρθρον πα(855)ραλλάξαν μὲν ἢ πρὸς πλευρὴν, ἢν ἔξω μένοντος τοῦ ὀξέος, τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος ἐς ἰθὺ κατατείνοντα, τὰ ἐξέχοντα ἀνωθέειν ὀπίσω, καὶ ἐς τὸ πλάγιον. τὰ δὲ τελευταίως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα. κατάστασις μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. οὕτω γὰρ τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐκ τοῦ πρὸς πλεύρεα μέρος. τὰς δὲ κατορθώσιας ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύσῃ τῆς κορώνης ἡ κεφαλή. μετέωρον δὲ περιάγειν καὶ περικάμψαι καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι. ἅμα δὲ ὠθέειν τἀναντία ἐφ᾽ ἑκάτερα καὶ παρωθέειν, ἐς χώρην. συνωφελοίη δ᾽ ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισιν, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἐμβολὴ δὲ σχή-

que sursum deligatio fiat et appensio. Quod si repositus humerus non fuerit, summus humerus etiam extenuatur. Summus humerus avulsus speciem quidem prolapsi humeri exhibet, nullo tamen privatur, neque in pristinum statum restituitur. Idem habitus tum in deligatione, tum in suspensione, qui etiam luxato convenit et pro deligationis lege.

At vero cubiti gibbi articulo in latus, aut exteriorem in partem dimoto quidem aut subluxato, acuta ejus parte in brachii cavo remanente, distentione in directum facta, eminentia retro et ad latus propellere oportet. Quod si prorsus in hanc vel illam partem exciderit, distentio quidem in qua brachium deligatur, adhibenda. Sic namque cubiti flexus nihil impediet. Potissimum vero ex laterum parte excidit. In suum autem locum dirigitur, quam plurimum abducendo ne caput brachii acutum ossis processum attingat. Suspensum vero circumagere et circumflectere oportet, neque vim in directum adhibere, simulque in contrarium in utramque partem impellere, et in sedem compellere. Ad haec quoque contulerit cubiti gibbum modo quidem pronum, modo etiam supinum contorquere. Repositio autem est

ματος μὲν ὀλίγον ἀνωτέρω ἄκρην χεῖρα ἀγκῶνος ἔχειν. βραχίονα δὲ κατὰ τὰς πλευράς. οὕτω δὲ καὶ ἀνάληψις καὶ εὔφορον καὶ φύσις καὶ χρῆσις ἐν τῷ κοινῷ, ἢν ἄρα μὴ κακῶς πωρωθῇ. πωροῦται δὲ ταχέως. ἴησις, ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθρητικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν. παλιγκοτώτατον δὲ ἀγκὼν πυρετοῖσι, ὀδίνη ἀσώδει ἀκρατοχόλῳ. ἀγκῶνος δὲ μάλιστα ὀπίσω διὰ τὸ ναρκῶδες, δεύτερον τὸ ἔμπροσθεν. ἴησις [540] ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείνοντα κατατεῖναι. σημεῖον δὲ, οὐ γὰρ δύνανται ἐκτείνειν. τοῦ δὲ ἔμπροσθεν οὐ δύνανται ξυγκάμπτειν. τούτῳ δὲ ἐνθέντα τι σκληρὸν συνειλεγμένον, περὶ τοῦτο ξυγ(856)κάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα, τὴν κατὰ τὸν βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω ὀστέα τοῦ σίνεος πλεῖστον, τὰ δ' ἐγγύτατα πήχεος. δεύτερον

quae ex habitu quidem pendet, si summa manus paulo cubiti gibbo altior, brachium vero ad latera adductum teneatur. Sic quoque et appensio et facilis gestatio et natura et usus in commune conferunt, si modo callus, qui celeriter increscit, prave non obducatur. Curatio per lintea pro lege articulari instituí debet, et cubiti eminentia insuper deligari. Rursus autem maxime excandescit cubiti gibbus, febresque, dolorem, nauseam ac meracae bilis vomitionem movet, idque maxime si in posteriorem partem, ob torporem, secundum id, si in anteriorem elapsus sit. Curatio eadem adhibenda. Reconditur vero ubi in posteriora excidit, si porrectum brachium in diversa contendatur. Cujus rei indicium est, quod extendi nequit ut et in anteriorem prolapsi, quod minime flecti potest. Hic autem imposito duro aliquo collecto, super id ubi extenderis, derepente flectendus est. At dissidentium inter se ossium indicium, qua vena in brachio scinditur, ad contactum patet. Haec vero celeriter callo obducuntur. Quibus a primo ortu ista contingunt, iis ossa infra noxam breviora evadunt, plurimum vero quae cubito sunt proxima, deinde ea quae in

χειρὸς, τρίτον δακτύλων. βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροφήν. ἡ δ᾽ ἑτέρη χεὶρ διὰ τὰ ἔργα, πλείω ἔτι ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν. εἰ μὲν ἔξω ἐξέπεσεν, εἴσω· εἰ δὲ μὴ, ἐς τοὐναντίον ᾗ ἐξέπεσεν. ἀγκὼν δὲ ἢν μὲν ἔξω ἢ ἔσω ἐκβῇ, κατάστασις μὲν ἐν σχήματι ἐγγωνίῳ, τῷ πήχει κοινῷ πρὸς βραχίονα. τὴν γὰρ μασχάλην ἀναλαβὼν ταινίῃ ἀνακρεμάσαι. ἀγκῶνι δὲ ἄκρῳ ὑποθείς τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάσαι. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖσι θέναρσιν || ὡς τὰ ἐν χερσίν. ἐπίθεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις. τὰ δ᾽ ὄπισθεν ἐξαίφνης ἐκτείνοντα διορθοῦν τοῖσι θέναρσιν. ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ τοῖσιν ἑτέροισιν. ἢν δὲ πρόσθεν, ἀμφὶ ὀθόνιον συνειλεγμένον, εὔογκον, ξυγκάμπτοντα ἅμα διορθοῦσθαι. ἢν δ᾽ ἑτεροκλινὲς ᾖ ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης κοινὸν τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται γὰρ ἐκ τῆς

manu, poſtremo quae in digitis. Brachium autem et humerus propter nutritionem validiora evadunt. Manus item altera, propter opera etiam longe validior eſt. At carnium imminutio, ſi quidem in exteriorem partem articulus prolapſus eſt, interiore parte fit, ſin minus, contra quam exciderit. Cubiti autem gibbus ubi interiorem in partem, aut exteriorem exciderit, in habitu quidem angulari cubiti ad brachium communi reponitur. Ex ala namque faſcia excepta ſuſpenſio facienda, ad cubitum vero ſummum ſuppoſitum pondus aliquod juxta articulum appendendum, vel manibus adurgendum. Tum ſuſpenſo in ſublimi articulo oſſa manuum volis adducenda. Hoc in habitu deligatio, appenſio et poſitio velut in manibus fieri debet. At ubi poſteriorem in partem excidit, derepente extenſione facta, manuum palmis dirigendum ſimulque haec in directione, tum in caeteris uſurpanda ſunt. Quod ſi priorem in partem prolapſio facta ſit, circum linteum convolutum et in juſtam molem ſublatum, inflectendo ſimul directio facienda. Sin alteram in partem inclinarit, cum directione ſimul utraque facienda ſunt. Ad curam autem communiter habitus et de-

Ed. Chart. XII. [540.] Foës. I. 851. Ed. Lind. II. (856. 857.)

διαστάσιος κοινῇ ξυμπίπτειν πάντα. τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ (857) ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει.

Χειρὸς δὲ ἄρθρον ὀλισθαίνει ἢ ἔσω ἢ ἔξω, ἔσω δὲ τὰ πλεῖστα. σημεῖα δ' εὔσημα, ἢν μὲν ἔσω, ξυγκάμπτειν ὅλως σφῶν τοὺς δακτύλους οὐ δύνανται, ἢν δ' ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων τοὺς μὲν τείνειν, τοὺς δ' ἀντιτείνειν. τὸ δὲ ἐξέχον ἢ θέναρ ἢ πτέρνη ἅμα ἀπωθέειν πρόσω καὶ κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον, ὄγκον τε μαλθακὸν ὑποθεὶς, κἢν μὲν ἄνω καταστρέψας τὴν χεῖρα, ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίῃσιν. ὅλη δὲ ἡ χεὶρ ὀλισθαίνει ἢ ἔσω ἢ ἔξω, μάλιστα δὲ ἔσω· ἢ ἔνθα ἢ ἔνθα. ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τουτέοισι κατάτασις ἰσχυρὴ ποιητέη, καὶ τὸ

ligatio spectant. Possunt enim ex distensione communiter omnia contingere. Repositiones vero partim quidem in sublime elevando, partim distendendo, partim vero circum errando fiunt. Idque dum habitus in hanc vel in illam parobtem excedunt, celeriter adhibetur.

Manus articulus interiore aut exteriore parte luxatur, plurimum vero interiore. Cujus rei signa manifesta sunt. Siquidem intro prolabitur, digiti ipsi in totum flecti, si extra, intendi nequeunt. Repositio fit digitis supra mensam positis, si partim quidem extenduntur, partim etiam in diversa contenduntur, idque quod eminet aut prominentiore palmae parte, aut calce simul in anteriorem partem protrudatur, et inferiore parte ad alterum os molle aliquid in tumorem sublatum supponatur, si superiore quidem parte eminet, manu conversa, sin inferiore, supina. Curatio linteis perficitur. At tota manus in interiorem vel exteriorem, vel in hanc vel illam partem luxatur, interiorem vero maxime. Est ubi ossis accrementum emovetur, interdum quoque alterum os dissidet. His valida distensio adhibenda, et os quidem eminens protrudendum, alterum vero contra

μὲν ἐξέχον ἀπωθέειν, τὸ δ᾽ ἕτερον ἀντωθέειν. δύο εἴδεα ἅμα καὶ ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον, ἢ χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ. παλίγκοτα δὲ καὶ ἀσχήμονα τῷ μὲν χρόνῳ κρατύνεται ἐς χρῆσιν. ἴησις ὀθονίοισι ξὺν τῇ χειρὶ καὶ τῷ πήχεϊ, καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι, ἐν νάρθηξι δὲ δεθέντα ταῦτα πυκνότερον λύειν ἢ [541] τὰ κατήγματα καὶ καταχύσει πλέονι χρῆσθαι. ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται, καὶ ἡ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ὡς τὸ ἔκπτωμα. ηὐξημένῳ δὲ ὀστέα μένει. δακτύλου δὲ ἄρθρου || ὄλισθον μὲν εὔσημον οὐ δεῖ γρά(858)φειν. ἐμβολὴ δὲ αὐτοῦ ἥδε, κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ ἡ προσήκουσα τοῖς ὀθονίοισιν ἐπίδεσις. μὴ ἐμπεσὸν γὰρ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα. βραχύνεται κάτω τοῦ ὀλισθήματος, καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ ὡς τὸ ἔκπτωμα, ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

propulſandum, unaque duobus modis in poſteriorem partem et in latus aut manibus ſupra menſam, aut calce impulſio fieri debet. Quae vero rurſus excandeſcunt et deformitatem habent, tempore quidem ad uſum firmantur. Curatio linteis ſimul cum manu et cubito adhibetur, ferulaeque ad digitos usque apponendae. Haec ferulis deligata, crebrius quam fracta reſolvenda et copioſiore perſuſione fovenda. At manus a primo ortu luxata brevior evadit, et carnes altera ex parte quam luxatio facta eſt, potiſſimum imminuuntur adulto vero oſſa permanent. Digiti articulus luxatus facilis quidem cognitu, neque ſcriptione indiget. Reponitur autem in directum contendendo, et quod eminet protrudendo et quod contra eſt retrudendo. Curatio vero eſt accommodata quae per lintea fit deligatio. Niſi enim reſtitutus fuerit, exteriore parte callum contrahit. Quae a primo ortu aut dum adoleſcunt oſſa prolapſa fueriut, ea infra luxationem breviora evadunt et carnes adverſa ex parte, in quam prolapſio facta eſt, potiſſimum imminuuntur. Adulto vero oſſa eadem magnitudine permanent.

Μηροῦ ἄρθρον ἐκπίπτει κατὰ τρόπους τέσσαρας. ἔσω πλεῖστα. ἔξω δεύτερον. τὰ δ᾽ ἄλλα ὁμοίως. σημεῖα, κοινὸν μὲν τὸ ἕτερον σκέλος, ἴδιον δὲ τοῦ μὲν εἴσω, παρὰ τὸν περίνεον ψαύεται ἡ κεφαλή. ξυγκάμπτουσιν οὐχ ὁμοίως. δοκέει δὲ μακρότερον τὸ σκέλος καὶ πολὺ, ἢν μὴ ἐς μέσον ἀμφότερα ἄγων παρατείνῃς. καὶ γὰρ οὖν ἔξω ὁ ποὺς καὶ τὸ γόνυ ῥέπει. ἢν μὲν οὖν ἐκ γενεῆς ἢ ἐν αὐξήσει ἐκπέσῃ, βραχύτερος ὁ μηρὸς, ἧσσον δὲ κνήμη, κατὰ λόγον δὲ τἄλλα. μινύθουσι δὲ σάρκες, μάλιστα δὲ ἔξω. οὗτοι κατοκνέουσιν ὀρθοῦσθαι καὶ εἰλέονται ἐπὶ τὸ ὑγιές. ἢν δ᾽ ἀναγκάζωνται σκίμπονι ἑνὶ ἢ δυσὶν ὁδοιπορέουσι. τὸ δὲ σκέλος αἴρουσιν. ὅσῳ γὰρ μεῖον, τόσῳ ῥᾷον. ἢν δ᾽ ηὐξημένοισι, τὰ μὲν ὀστέα μένει, αἱ δὲ σάρκες μινύθουσιν, ὡς προσείρηται. ὁδοιπορέουσι δὲ περιστροφάδην ὡς βόες. ἐν δὲ τῷ κενεῶνι καμπύλοι ἐπὶ τὸ ὑγιὲς ἐξίσχιοι (859) ἐόντες. τῷ μὲν γὰρ ἀνάγ-

Femoris articulus quatuor modis excidit, plurimum interiorem in partem, deinde in exteriorem, aliis vero modis similiter. Hujus rei indicium commune quidem alterum crus, intro vero emoti proprium ubi in interfoemineo coxae caput tactu percipitur, neque similiter crus inflectunt. Crus vero multo longius videtur, nisi utroque in medium adducto distensionem feceris. Etenim pes et genu exteriorem in partem feruntur. Si igitur a primo ortu, aut dum incrementum accipiunt, exciderit, femur brevius evadit, quam calamitatem minus tibia, caetera vero pro ratione sentiunt. Carnes autem imminuuntur, maxime tamen parte exteriore. Ii in dirigendo corpore negligenter se gerunt, et ad sanum crus convolvuntur. Quod si cogantur, scipione uno vel duobus innixi incedunt, crus vero attollunt. Quo enim brevius, eo levius est. Quod si jam adultis istud accidit, ossa quidem eadem magnitudine perseverant, carnes tamen quo ante dictum est modo imminuuntur et crus circumvolvendo velut boves incedunt. Ad lateris autem inanitatem incurvantur, sani cruris extra prominente coxendice. Hoc enim ut subeat ad vehendum necesse est, illud vero ut extra

κῃ ὑποβαίνειν ὡς ὀχέῃ, τῷ δ᾽ ἀποβαίνειν. οὐ γὰρ δύναται ὀχέειν, ὥσπερ οἱ ἐν ποδὶ ἕλκος ἔχοντες. κατὰ δὲ τὸ ὑγιὲς, πλάγιον ξύλῳ τῷ σώματι ἀντικοτέουσι. τὸ δὲ σιναρὸν τῇ χειρὶ ὑπὲρ τοῦ γούνατος καταναγκάζουσι ὡς ὀχέειν ἐν τῇ μεταβάσει τὸ σῶμα. ἰσχίῳ κάτωθεν εἰ χρῆται, κάτωθεν ἧσσον μινύθει καὶ ὀστέα, μᾶλλον δὲ σάρκες.

|| Τοῦ δὲ ἔξω τἀναντία καὶ τὰ σημεῖα καὶ αἱ στάσιες, καὶ τὸ γόνυ καὶ ὁ ποὺς ἔσω ῥέπει βραχύ. τοῖσι δὲ ἐν αὐξήσει ἢ ἐκ γενεῆς παθοῦσιν οὐχ ὁμοίως ξυναύξεται. κατὰ τὸν αὐτὸν λόγον ἰσχίον ἀνωτέρω τινὶ οὐχ ὁμοίως. οἷσι δὲ πυκνὰ ἐκπίπτει ἐς τὸ ἔξω ἄνευ φλεγμονῆς, ὑγροτέρῳ τῷ σκέλει χρῶνται, ὥσπερ ὁ μέγας τῆς χειρὸς δάκτυλος. μάλιστα γὰρ οὗτος ἐκπίπτει φύσει, οἷς μὲν ἐκπίπτει μᾶλλον ἢ ἧσσον, καὶ οἷς μὲν ἐκπίπτει χαλεπώτερον ἢ ῥᾷον, καὶ οἷσιν ἐλπὶς θᾶσσον ἐμπεσεῖν, καὶ οἷσιν οὐκ ἀκὴ τούτου, καὶ οἷσι πολλάκις ἐκπίπτει, ἴησις τούτου. ἐκ γενεῆς δὲ ἢ ἐπ᾽ αὐξήσει ἢ ἐν [542] νούσῳ, μάλιστα γὰρ ἐκ νόσου. ἔστι μὲν οὖν οἷσιν

feratur. Neque enim vehere poteſt, non magis quam quibus pes ulcere laborat. Ad cruris quoque ſani latus baculo corpus fulciunt. Crus vero laeſum manu ſuper genu poſita adurgent, quo inter ambulandum corpus vehat. Coxendice infra ſi utatur, infra etiam oſſa minus imminuuntur, carnes vero magis.

At exteriorem in partem emoti femoris contraria tum ſigna tum ſtatus ſunt, genuque ac pes introrſum paulo ſpectant. Quibus haec dum adhuc adoleſcunt, aut a primo ortu contingunt, iis crus non aeque augetur, eademque ratione coxae articulus paulo ſupra eminens non ſimiliter. Quibus vero frequenter exteriorem in partem citra inflammationem prolabitur, ii humidiore crure utuntur non ſecus ac manus pollex, qui maxime ſuapte natura excidit, quibus quidem magis aut minus excidit, partim vero aegrius aut facilius prolabitur. Eſt ubi celerius recondi ſpes eſt, et quibus nullam curationem recipit, interdumque ſaepius excidit et curationem admittit. A primo vero ortu aut in adoleſcentia, aut per morbum ubi iſta contingunt, ac prae-

ἐπισφακελίζει τὸ ὀστέον. ἀτὰρ καὶ οἷσι μὲν πάσχη πάντα, ἧσσον δὲ ἢ τὸ ἔσω, ἢν χρηστῶς ἐπιμεληθῶσιν. ὥστε καὶ ὅλῳ βαίνοντες τῷ ποδὶ διαῤῥίπτειν διὰ μελέτης πλείστης. τοῖσιν νηπιωτάτοισιν ἐαθέντα κακοῦται. ἐπι(860)μεληθέντα δὲ ὠφελέεται τοῖσιν ὅλοισιν. ἧσσον δέ τι μινύθουσιν. οἷσι δ᾽ ἂν ἀμφότερα οὕτως ἐκπέσῃ τῶν ὀστέων, ταῦτα παθήματα. εὔσαρκοι μὲν πλὴν ἔσωθεν, ἐξεχέγλουτοι. ῥοικοὶ μηροὶ, ἢν μὴ ἐπισφακελίσῃ, εἰ κυφοὶ τὰ ἄνωθεν ἰσχίον γένοιντο, ὑγιηροὶ μὲν, ἀναυξέες δὲ τὸ σῶμα πλὴν κεφαλῆς.

|| Οἷσι δὲ ὄπισθεν, σημεῖα, ἔμπροσθεν λαπαρώτερον, ὄπισθεν ἐξέχον, πούς ὀρθὸς. συγκάμπτειν οὐ δύνανται, εἰ μὴ μετ᾽ ὀδύνης, ἐκτείνειν ἥκιστα. τούτοις σκέλος βραχύτερον. ἀτὰρ οὐδ᾽ ἐκταννύειν δύνανται κατ᾽ ἰγνύην ἢ κατὰ βουβῶνα, ἢν μὴ πάνυ αἴρῃ, οὐδὲ ξυγκάμπτειν, ἡγεῖται ἐν τοῖσι πλείστοισι τὸ ἄνω ἄρθρον τὸ πρῶτον κοινὸν τοῦτο ἄρθροισι,

cipue certe per morbum, interdum quibusdam os ſideratur, quin etiam quibusdam non omnia eveniunt, minus tamen quam quibus intro luxatio facta eſt depravantur, ſi proba et diligens curatio adhibeatur, adeo ut toto pede inſiſtentes plurima adhibita diligentia in utramque partem propendeant. Quae ſi in infantia neglecta fuerint, vitiantur, adhibita vero cura toto crure utilitatem ſentiunt, minusque quodammodo imminuuntur. At quibus hunc in modum utraque oſſa exciderunt, his noxis afficiuntur, pleniores quidem ſunt, praeterquam interiore parte admodum prominentibus exteriorem in partem natibus conſpiciuntur et ſemoribus introrſum obtortis. Ii niſi ſiderentur aut gibboſi ſuperiore coxae parte evadant, ſalubriter quidem degunt, corpore tamen minus, capite excepto, augentur.

Quibus autem poſteriorem in partem femur prolapſum eſt, hae notae adſunt, pars anterior mollior eſt, poſterior prominet, pes rectus eſt, crus inflectere non niſi cum dolore queunt, extendere vero minime, his crus brevius evadit. Sed neque hoc, niſi valde ſuſtollant, tum ad poplitem tum ad inguen extendere poſſunt, neque in plurimis ſuperior articulus primus flecti incipit. Quod commune eſt articulis,

νεύροισι, μυσὶν, ἐντέροισιν, ὑστέραις, ἄλλῃσι τοιαύταις. τοῦ ἰσχίου τὸ ὀστέον καταφέρεσθαι ἐς τὸν γλουτόν. διὰ τοῦτο βραχὺ καὶ ὅ τι ἐκτείνειν οὐ δύνανται. σάρκες παντὸς τοῦ σκέλεος ἐν πᾶσι μινύθουσιν. ἐφ' οἷσι δὲ μάλιστα καὶ οἳ εἴρηται. τὰ ἔργα τὰ ἑωυτοῦ ἕκαστον τοῦ σώματος ἐργαζόμενον μὲν ἰσχύει, ἀργέον δὲ κακοῦται, πλὴν κόπου, πυρετοῦ, φλεγμονῆς, καὶ τὸ ἔξω ὅτι ἐς σάρκα ὑπείκουσαν, βραχύτερον, τὸ δὲ ἔσω ὅτι ἐπ' ὀστέον προέχον, μακρότερον. ἢν μὲν οὖν ηὐξημένοισι μὴ ἐμπέσῃ, ἐπὶ βουβῶσι καμπύλοι ὁδοιπορέουσι καὶ ἡ (861) ἑτέρη ἰγνύη κάμπτεται. στήθεσι μόλις κινεῖται. χειρὶ τὸ σκέλος καταλαμβάνει ἄνευ ξύλου, ἢν ἐθέλωσιν. ἢν μὲν γὰρ μακρότερον ᾖ, οὐ βήσεται· ἢν δὲ βαίνῃ, βραχύ. μινύθησις δὲ σαρκῶν, οἷσι πόνοι καὶ ἤϊξις ἔμπροσθεν, καὶ τῷ ὑγιεῖ κατὰ λόγον. οἷσι δὲ ἐκ γενεῆς ἢ αὐξομένοισιν ἢ ὑπὸ νόσου ἐνόσησε καὶ ἔξαρθρα ἐγένετο, ἐν αἷς εἰρήσεται,

nervis, muſculis, inteſtinis, uteris, aliisque hujusmodi. His coxendicis os declive in natem fertur, quam ob cauſam, quodque crus extendere nequeunt, breve evadit. Totius cruris carnes in omnibus imminuuntur. In quibus autem maxime aut ubi iſta contingunt, dictum eſt. Corporis pars quaeque ubi ſua munia obierit, robur quidem accipit, ſi vero otietur, vitiatur, praeterquam ſi laſſitudine, febre aut inflammatione tentetur. Quod etiam exteriorem in partem prolapſum eſt, eo quod in cedentem carnem excidit, brevius eſſicitur, quod vero in interiorem, eo quod ſupra os prominet, longius. Quibus igitur adultis repoſitum non fuerit, ii ad inguina curvati incedunt et alterum poplitem inflectunt, ima pedis planta vix terram attingunt, manu crus prehendunt, ſi absque baculo incedere velint. Qui ſi longior fuerit, non ingredientur, quod ſi ingrediantur, brevem eſſe oportet. Carnium autem fit imminutio, ſi laborent et crus in uſum admittatur, velut ante dictum eſt. Quod et integro cruri pro ratione accidit. At quibus ex primo ortu aut per adoleſcentiam aut per morbum affectio iſta aut luxatio contigit, quibus vero in morbis id fiat dicetur, ii maxime propter

Ed. Chart. XII. [542. 543.] Foës. I. 854. 855. Ed. Lind. II. (861. 862.)
οὗτοι μάλιστα κακοῦνται, διὰ τὴν τῶν νεύρων καὶ ἄρθρων ἀργίην, καὶ τὸ γόνυ διὰ τὰ εἰρημένα συγκακοῦνται, συγκεκαμμένον οὗτοι ἔχοντες, ὁδοιπορέουσιν ἐπὶ ξύλου ἑνὸς ἢ δύο. τὸ δὲ ὑγιὲς εὔσαρκον διὰ χρῆσιν.

|| Οἷσι δὲ ἐς τοὔμπροσθεν, σημεῖα τἀναντία. ὄπισθεν λαπαρὸν, ἔμπροσθεν ἐξέχον. ἥκιστα ξυγκάμπτουσιν οὗτοι τὸ σκέλος, μάλιστα δὲ ἐκτείνουσιν, ὀρθὸς ποὺς, σκέλος ἴσον. πτέρνα βραχεῖ ἄκρως ἀνέσταλται, ἢ πονέουσι μάλιστα οὗτοι αὐτίκα, καὶ οὖρον ἴσχεται μάλιστα ἐν τούτοισι τοῖσι ἐξαρθρήμασιν. ἐν γὰρ τόνοισι ἔγκειται τοῖσιν ἐπικαίροι[543]σι. τὰ ἔμπροσθεν κατατέταται, ἀναυξέα, νοσώδεα, ταχύγηρα· τὰ ὄπισθεν στολιδώδεις. οἷσιν ηὐξημένοισιν ὁδοιπορέουσιν, ὀρθῇ πτέρνῃ, μᾶλλον βαίνοντες. οἱ δὲ ἠδύναντο μέγα προβαίνειν κἂν πάνυ. σύρουσι δὲ, μινύθει δὲ ἥκιστα. τούτοισι δὲ ἡ χρῆσις αἰτία, μάλιστα δὲ ὄπισθεν. διὰ παντὸς τοῦ σκέλεος ὀρθότεροι, τοῦ μετρίου ξύλου δέονται (862) κατὰ τὸ σιναρόν. οἷσι δὲ ἐκ γενεῆς αὐξανομένοισι, χρηστῶς μὲν ἐπι-

nervorum et articulorum ignaviam noxam ſentiunt. Genu quoque ob enumeratas cauſas vitium ſentit, quo inflexo baculo uno aut duobus innixi incedunt. Crus vero integrum qui in uſum admittitur, bene habitum eſt.

At quibus priorem in partem femur excidit, iis contraria ſigna adſunt, poſteriore parte molle eſt, anteriore prominet, crus hi minime inflectunt, maxime vero extendunt, pes rectus eſt, crus aequale, calx ſummus paulum contractus aut hi ſtatim dolore praecipue conflictantur, urinaque inprimis in his luxationibus ſupprimitur. Femoris enim caput ad inſignes nervos incumbit, loca anteriora contenta ſunt, neque incrementum ſumunt, morbis et maturae ſenectuti obnoxia redduntur, poſteriora in rugas contracta. Quibus adultis iſta contingunt, ii recti inambulant, calce magis incedentes. Ac ſi admodum progredi valeant etiam valde, calce incedunt. Pedem autem per terram trahunt. Femur minimum imminuitur ob uſum, praecipue vero poſteriore parte. Toto crure erectiones mediocri baculo ad crus affectum indigent. Quibus vero ex prima origine adoleſcentibus haec contin-

μεληθεῖσιν, ἡ χρῆσις ὥσπερ τοῖσιν ηὐξημένοισιν. ἀμεληθεῖσι δὲ βραχὺ ἐκτεταμένον. πωροῦται γὰρ τούτοισι, μάλιστα δὲ ἐς ἰθὺ τὰ ἄρθρα, αἱ δὲ τῶν ὀστέων μειώσιες καὶ αἱ τῶν σαρκῶν μινυθήσιες κατὰ λόγον.

|| Μηροῦ δὲ κατάτασις μὲν ἰσχυρὴ, καὶ ἡ διόρθωσις κοινὴ ἢ χερσὶν ἢ σανίδι ἢ μοχλῷ, τὰ μὲν ἔσω στρογγύλῳ, τὰ δὲ ἔξω πλατεῖ, μάλιστα δὲ τὰ ἔξω. καὶ τὰ μὲν ἔσω ἀσκοῖσιν ἀκεσάμενον ἐς τὸ ὑπόξηρον τοῦ μηροῦ, κατατάσιος δὲ καὶ συνδέσιος σκελέων, κρεμάσαι διαλείποντα σμικρὸν τοὺς πόδας, ἔπειτα πλέξαντα ἐκκρεμασθῆναί τινα ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα ποιεῦντα. καὶ τὸ ἔμπροσθεν τοῦτο ἱκανὸν καὶ τοῖσιν ἑτέροις, ἥκιστα δὲ τῷ ἔξω. ἡ τοῦ ξύλου ὑπόστασις ὥσπερ ὤμῳ ὑπὸ τὴν χεῖρα οἷς ἔσω. τοῖσι γὰρ ἄλλοισιν ἧσσον. καταναγκάσεις δὲ μετὰ διατάσιος, μάλι-

gunt, ii si probe et diligenter curentur, crure non secus ac adulti utuntur. At neglectis paulum extentum est. Ipsi enim quod ad rectum habitum maxime spectat, articulis capti sunt. Ossium autem et carnium imminutiones pro ratione contingunt.

Coxae autem valida quidem distensio et directio communis est, quae vel manibus vel assere vel vectis molitione praestatur. Et luxationem quidem quae ad interiora fit, rotundo, quae ad exteriora, lato vecte moliri decet, praecipue vero quae ad exteriora. Quae certe in interiorem partem prolapsa sunt, utribus ad eam cruris partem quae in angustum tenuatur appositis curare convenit, simulque cum distensione et crurum deligatione suspensio adhibenda, diductis paulum pedibus. Deinde manibus implexis quendam appensum esse oportet, qui inter dirigendum simul utraque praestet. Istaque reponendi ratio luxationi ad anteriora et caeteris abunde convenit, minime vero ei quae fit in exteriora. Lignum etiam velut in humero ad manum subtentum, quibus ad interiora luxatio facta est, convenit, aliis vero minus. Deorsum autem impelles cum distentione praecipue anteriorum aut posterio-

Ed. Chart. XII. [543.] Foës. I. 856. 857. Ed. Lind. II. (862. 863.)

στα τῶν ἔμπροσθεν ἢ ὄπισθεν ἢ ποδὶ ἢ χειρὶ ἐφίζεσθαι ἢ σανίδι.

|| Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος διὰ τὴν εὐσταλίην καὶ εὐφυΐην. διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥᾶον. ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω, καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἢ ἐκ τοῦ ξυγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως, ἢ ξυνελίξας ταινίης ὄγκον ἐν ἰγνύῃ θεὶς ἀμφὶ τοῦτον ἐξαίφνης, ἐς ὄκλασιν ἀφεῖναι τὸ (863) σῶμα. μάλιστα αὐτῇ τῶν ὄπισθεν. δύναται δὲ καὶ κατατεινόμενα μετρίως; ὥσπερ ἀγκὼν ἐμπίπτει τὰ ὄπισθεν. τὰ δὲ ἔνθα ἢ ἔνθα ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐν κατατάσει. μάλιστα δὲ αὐτὴ τὸ ὄπισθεν. ἀτὰρ καὶ ἐκ κατατάσιος μετρίης ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν ξυγκάμπτειν οὐ δύνανται. ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι πάνυ τι. μινύθει δὲ μηροῦ καὶ κνήμης ὀστέον τὸ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, βλαισότεροι. μινύ-

rum partium, aut manu aut pede, insidere, aut assere uti conveniet.

Genu cubiti gibbo ob succinctam et commodam ejus naturam benignius est, ideoque facilius excidit et reponitur. Saepius autem interiorem in partem, sed et in exteriorem et posteriorem prolabitur. At reconditur subita conflexione et excalcitratione, aut si circa obvolutum fasciae globulum in poplite positum, ut derepente corpus in genua flectatur permiseris. Idque praecipue luxationem in posteriora restituit. Possunt quoque quae posteriorem in partem luxantur moderata extensione, non secus ac cubiti gibbus, suum in locum reverti. Quae vero in hanc vel illam partem excesserunt, conflexio, aut calcium impulsio, aut extensio reponit, praecipueque haec quod posteriorem in partem excidit. At quae moderata extensione fit restitutio, omnibus communis est. Ac nisi repositio facta fuerit, neque ubi posteriorem in partem excidit, sed neque cum alias in partes excessit, flecti admodum queunt, femoris vero et tibiae os anteriore parte imminuitur. Ac si interiorem in partem excidit, ii valgi magis evadunt, exterioribus autem partibus imminuuntur. Quod si exte

Ed. Chart. XII. [543. 544.] Foës. I. 857. Ed. Lind. II. (863. 864.)
θει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὰ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχέει. μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρόσθεν.

[544] Τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ τῇσι χερσὶ, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεύσης. κοινὸν δὲ πᾶσι. τὰ δὲ ἐν ποδὶ, ὡς τὰ ἐν χειρὶ ὑγιῶς. τὰ δὲ ἐν τῇ κνήμῃ συγκοινωνέοντα καὶ μὴ ἐκπεσόντα ἐκ γενεῆς καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα ἃ καὶ ἐν χειρί. ὅσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐγχυμωθῆναι καὶ νεῦρα ἀμφιθλασθῆναι, ὅταν γένηται οἷα τὰ δεινότατα, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρα(864)σχεῖν, καὶ ῥοικώδη μὲν τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. ἔπειτα καὶ οἷσιν ἂν καταγεῖσιν ἢ ὑπὸ τρώματος οἷα ἐν κνήμῃ ἢ μηρῷ, νεύρων ἀπολυθέντων, ἃ κοινωνέει τουτέοισιν, ἢ ἐξ

riorem in partem prolapsum est, vari magis, claudi vero minus efficiuntur. Crassiore namque ossis parte gestantur ac interioribus partibus imminuuntur. At quibus a primo ortu aut dum adolescunt luxatio facta est, ii quomodo prius dictum est se habent.

Quae circa malleolos luxantur valida intensione, quae per manus aut alia hujuscemodi adhibetur, opus habent ac directione quae simul utrumque efficiat: quod omnibus commune est. Quae vero in pede contingunt, velut ea quae in manu fiunt, curationem accipiunt. Quae cum tibia consensionem habent et a primo ortu exciderint, aut dum adhuc corpus augetur luxentur, eandem quam in manu curationem habent. At quibus ex alto desilientibus in calcem innixis, ossa desident, venae subter cutem effunduntur ac nervi contunduntur, ubi haec gravissima contigerint, periculum quidem est ne iis siderata ossa per totam vitam negotium facessant. Obtorta si quidem ossa evadunt, nervi quoque consensione inter se conspirant. Quibus item ex fractura vel vulnere vel in tibia vel femore, vel ex nervorum dissolutione qui cum his commu-

ἄλλης κατακλίσιος ἀμελέος ἐμελάνθη ἡ πτέρνη, καὶ τουτέοισι παλιγκοτώτατα ἐκ τοιουτέων. ἔστιν ὅτε πρὸς σφακελισμῷ γίνονται πυρετοὶ ὑπεροξέες, λυγγώδεες, τρομώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι, καὶ ἔτι φλεβῶν αἱμοῤῥόων πελιώσιες καὶ γαγγραινώσιες. σημεῖα τῶν παλιγκοτησάντων, ἢν τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα καὶ ὑπέρυθρα ᾖ. ἢν γὰρ ξὺν σκληρύσματι πελιωθῇ, κίνδυνος μελανθῆναι. ἢν δ᾽ ὑποπέλια ᾖ καὶ πέλια μάλα καὶ κεχυμένα ἢ ὑπόχλωρα καὶ μαλθακὰ, || ταῦτα ἐν πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἴησις δὲ, ἢν μὲν ἀπύρετοι ἔωσιν, ἐλλεβορίζειν. ἢν δὲ μὴ, μή· ἀλλὰ ποτὸν διδόναι ὀξύγλυκυ εἰ δέοι. ἐπίδεσις δὲ ἡ ἄρθρων σύνθεσις. ἐπὶ δὲ ταῦτα μᾶλλον τοῖσι φλάσμασι καὶ ὀθονίοισι πλέοσι καὶ μαλθακωτέροισι χρῆσθαι. πίεξις ἧσσον. ὕδωρ πλέον προσπεριβάλλειν, τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐς τὴν πτέρνην

nicant, aut alioqui ex negligentiore decubitu calx denigrata fuerit, iis quoque ex talibus recrudefcere mala confueverunt. Interdum ad fiderationem febres accedunt valde acutae, fingultuofae cum tremoris fenfu, mentem attentantes et quae praecipitem mortem afferunt, praetereaque venarum fanguinem fundentium livores et cancerationes. Recrudefcentis morbi indicia funt, ubi fanguis e venis fub cutem effufus et quae nigrefcunt, quaeque his vicina, duritiem aut ruborem aliquem contraxerint. Etenim fi cum duritie livefcunt, ut nigrefcant periclitantur. Quod fi fublivida, aut livida et mollia fuerint et diffufa, aut ex virore aliquantulum pallida et mollia, haec in omnibus hujusmodi bono funt. Curatio vero, fi quidem febris abfit, per veratrum confert, alioqui non exhibendum, fed potui aqua mulfa acida, ὀξύγλυκυ vocant, fi opus eft, exhibenda. Deligatio quae articulos componat, atque in his magis convenit. Ad collifa pluribus etiam linteis et mollioribus utendum. In his minor compreffio et copiofa aqua convenit, plurima fafciae parte ad calcem circumjecta. Figuratio ea fit quam deligatio requirit, ut ne in calcem ex-

ἀποπιέζηται. ἀνωτέρω γούνατος ἔστω εὔθετος. νάρθηξι μὴ χρήσασθαι.

Ὅταν δὲ ἐκστῇ ὁ πούς ἢ μοῦνος ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει μᾶλλον ἐς τὸ εἴσω· εἰ δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον ἰσχίου καὶ μηροῦ καὶ κνήμης τὸ (865) ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ ὡς ἡ καρποῦ, κατάτασις δὲ ἰσχυροτέρη. ἴησις, νόμος ἄρθρων. παλιγκοτέει ἧσσον καρποῦ, ἢν ἡσυχάσῃ. δίαιτα μείων. ἐλινύουσι γάρ. τὰ δὲ ἐκ γενεῆς μὲν ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν πρότερον, ἔπειτα σμικρὸν ὠλισθηκότα ἐκ γενεῆς ἔνια, οἷά τε διορθοῦσθαι. μάλιστα δὲ ποδὸς κύλλωσις. κυλλώσιος γὰρ οὐχ εἷς ἐστὶ τρόπος. ἡ δὲ ἴησις τουτέου κηροπλαστεῖν, κηρωτῇ ῥητινώδει. ὀθόνια συχνὰ ἢ πέλματα ἢ μολύβδιον προσεπιδεῖν, μὴ χρωτί. ἀνάληψις, τά τε σχήματα ὁμολογείτω.

[illegible]

pressio fiat, supra genu ducta sit, beneque illic disposita, neque ferulae adhibendae.

At ubi pes vel solus vel cum adnato osse excessit, interiorem in partem magis excidit, ac nisi recondatur, coxae, femoris et tibiae pars ex adverso luxationi respondens temporis successu extenuatur. Repositio eadem quae primae juncturae manus debetur, contentio vero vehementior, curatio pro lege articulorum. Quod si quiescant, minus quam in prima manus junctura morbus recrudescit et quod quietem agunt tenuior victus ratio imperanda. Quae vero a primo ortu aut dum adolescunt contigerunt, eam quae prius dicta est tractationem postulant. Deinde nonnullae ex prima origine luxationes, si parum elapsae fuerint, in statum naturalem dirigi possunt, praesertim vero ubi pes intro convertitur et varus efficitur. Neque enim id uno modo contingit. Hujus autem curationem instituunt, quasi ceram fingendo partibus conformatis ceratum quod resinam accipiat adhibitum, lintea copiosa, soleae, aut plumbea lamina non ad cutem alligata. Ad quae partis exceptionem et corporis habitum accommodatum esse oportet.

[545] || Ἢν δὲ ἐξαρθρήσαντα ἕλκος ποιησάμενα ἐξίσχῃ, ἐᾷν ταῦτα ἀμείνω ὥστε δὴ μὴ ἀπαιωρέεσθαι, μηδ᾽ ἀπαναγκάζεσθαι. ἴησις δὲ πισσηρῇ, ἢ σπλήνεσιν οἰνηροῖσι θερμοῖσιν. ἅπασι γὰρ τουτέοισι τὸ ψυχρὸν κακὸν, καὶ φύλλοισι· χειμῶνος δὲ εἰρίοισι ῥερυπωμένοισι τῆς σκέπης εἵνεκα μὴ καταπλάσσειν, μηδὲ ἐπιδεῖν. δίαιτα λεπτή· ψῦχος, ἄχθος πολὺ, πίεξις ἀνάγκη, σχήματος τάξις. εἰδέναι μὲν οὖν ταῦτα πάντα ὀλέθρια, μετρίως δὲ θεραπεύοντες χωλοὶ αἰσχρῶς. ἢν γὰρ παρὰ πόδας γένηται, ποὺς ἀνασπᾶται, καὶ ἤν πῃ ἄλλῃ κατὰ λόγον, ὀστέα οὐ μάλα ἀφίστανται. μικρὰ γὰρ ψιλοῦται, περιωτειλοῦται λεπτῶς, (866) τουτέων τὰ μέγιστα κινδυνότατα καὶ τὰ ἀνωτάτω ἐλπὶς δὲ μόνη σωτηρίης ἐὰν μὴ ἐμβάλλῃ, πλὴν τὰ κατὰ δακτύλους καὶ χεῖρα ἄκρην, ταῦτα δὲ πρόειπε τῷ τοὺς κινδύνους ἐγχειρέειν ἐμβάλλειν, ἢ τῇ πρώτῃ ἢ τῇ δευτέρῃ. ἢν δὲ μὴ πρὸς τὰς δέκα, ἥκιστα τεταρταῖα. ἐμβολὴ δὲ οἱ μοχλίσκοι. ἴησις δὲ ὡς κεφαλῇ

Quod si luxata vulnerata cute extent, sinere ea praestat, ita sane ut non dependeant neque retro adducantur. Curatio vero cerato quod picem habeat, aut spleniis vino madentibus calidis, his enim omnibus frigus nocet, instituenda et foliis, per hiemem autem lanis sordidis. Ac neque integumenti gratia quicquam imponendum, neque deligandum, victus ratione tenui utendum. Frigus, pondus multum, compressio, vis adhibita, habitus corporis constitutus, haec sane omnia certam habent perniciem. Mediocriter autem curati, turpiter claudi fiunt. Etenim si ista in pedibus contingant, pes contrahitur, et si qua alia in parte idem pro ratione evenit, ossa non admodum abscedunt. Parum enim nudantur et tenuibus circum cicatricibus obducuntur. Horum quae maxima et quae valde supra, periculi sunt plenissima. Unica vero spes salutis, si non reponantur, praeterquam quae sunt ad digitos et ad summam manum. Ac in his ubi periculum praedixeris, ad repositionem aggredi oportet aut primo aut altero die, sin minus ad decimum, quarto minime. Repositio fit per vectium molitionem, curatio autem qualis in capitis ossibus

Ed. Chart. XII. [545.] Foes. I. 859. 860. Ed. Lind. II. (866.)
ὀστέων καὶ θέρμη. ἐλλεβόρῳ δὲ καὶ αὐτίκα. ἔπειτα τοῖσιν ἐμβαλλομένοισι βέλτιον χρῆσθαι, τὰ δ᾽ ἄλλα εὖ εἰδέναι διότι ἐμβαλλομένων, θάνατοι τὰ μέγιστα καὶ τὰ ἀνωτάτω μάλιστα καὶ τάχιστα. πούς δὲ ἐκβὰς, σπασμὸς, γάγγραινα, καὶ ἢν ἐμβληθέντι ἐπιγένηταί τι τουτέων, ἐκβάλλοντι ἐλπὶς, εἴ τις ἄρα ἐλπίς. οὐ γάρ ὑπὸ τῶν χαλώντων οἱ σπάσμοὶ, ἀλλ᾽ ὑπὸ τῶν ἐντεινόντων.

|| Αἱ δὲ ἀποκοπαὶ ἢ ἐν ἄρθρῳ ἢ κατὰ τὰ ὀστέα μὴ ἄνω, ἀλλ᾽ ἢ παρὰ τῷ ποδὶ ἢ παρὰ τῇ χειρὶ ἐγγὺς περιγίνονται, ἢν μὴ αὐτίκα μάλα λειποθυμίῃ ἀπόλλωνται. ἴησις, ὡς κεφαλῆς θερμῆς. ἀποσφακελίσιος μέντοι σαρκῶν καὶ ἐν τρώμασιν αἱμοῤῥόοις ἀποσφιγχθὲν καὶ ἐν ὀστέων κατήγμασι πιεχθὲν καὶ ἐν δεσμοῖς ἀπομελανθὲν καὶ οἷσι μηροῦ μέρος ἀποπίπτει καὶ βραχίονος, ὀστέα τε καὶ σάρκες ἀποπίπτουσι πολλοὶ περιγίνονται, ὡς τά γε ἄλλα εὐφορώτερα. οἷσι μὲν οὖν καταγέντων ὀστέων, αἱ μὲν περιῤῥήξιες ταχεῖαι, αἱ δὲ τῶν ὀστέων ἀποπτώσιες ᾗ ἂν τὰ ὅρια τῆς ψιλώσιος ᾖ, ταύτῃ

et per calida. Veratro quoque etiam ſtatim, deinde quibus repoſitio facta eſt, uti praeſtat. In reliquis probe noſſe convenit, ad repoſitionem maximorum praecipue et ſuperiorum etiam celerrimas mortes conſequi. Pes autem ubi exceſſit, convulſione et cancro tentatur. Quod ſi repoſitione facta quid hujusmodi ſupervenit, ſola ſpes eſt, ſi qua reſtat, ut ejiciatur. Neque enim ab his quae laxant, verum ab his quae intendunt convulſiones fiunt.

At praeciſiones quae in articulo aut circa oſſa contingunt, dum non ſuperiore parte, ſed ad pedem aut prope ad manum fiant, ex his ſuperſunt, niſi ſtatim fere animi defectione intereant. Iis eadem curatio quae capiti et per calida debetur. Ex ſideratione tamen carnium, tum ubi vulnera ſanguinem profundentia conſtringuntur, tum ubi oſſium fracturae comprimuntur, et ex vinculis denigrationes contingunt et quibus pars femoris et brachii excidit, oſſaque et carnes decidunt multi ſuperſunt, cum, ſi qua alia, facile tolerentur. Quibus igitur oſſa fracta ſunt, celeres quidem circum abruptiones fiunt, oſſa autem qua

ἀποπίπτουσι βραδύτερον δέ. (867) δεῖ δὲ τὰ κατωτέρω τοῦ τρώματος προσαφαιρέειν καὶ τοῦ σώματος τοῦ ὑγιέος. προθνήσκει γὰρ φυλασσόμενον, ὀδύνη. ἅμα γὰρ λειποθυμίῃ θνήσκουσι, μηροῦ ὀστέον ἀπελύθη ἐκ τοιούτου ὀγδοηκοσταῖον, ἡ δὲ κνήμη ἀφῃρέθη εἰκοσταίη, κνήμης δὲ ὀστέα κατὰ μέσην ἑξηκοσταῖα ἀπελύθη. ἐκ τοιουτέων ταχὺ καὶ βραδέως αἱ πιέξιες αἱ ἰητρικαί. τὰ δ' ἄλλα ὅσα ἡσυχαίως τὰ μὲν ὀστέα οὐκ ἀποπίπτει, οὐδὲ σαρκῶν ψιλοῦται, ἀλλ' ἐπιπολαίτερον προσδέχεσθαι ταῦτα χρή. τά γε γὰρ πλεῖστα φοβερώτερα ἢ κακίω. ἡ ἴησις πραεῖα, θερμῇ διαίτῃ ἀκριβεῖ. κίνδυνος αἱμοῤῥαγιῶν, ψύχεος. σχήματα δὲ ὡς [546] μὴ ἀνάῤῥοπα. ἔπειτα ὑποστάσιος πύου εἶναι ἐξ ἴσου ἢ ὅσα ξυμφέρει ἐπὶ τοῖσι τοιουτέοισι καὶ ἐπὶ τοῖσι μελασμοῖσιν. αἱμοῤῥαγίαι, δυσεντερίαι, περὶ κρίσιν λαῦροι μὲν, ὀλιγήμεροι δέ. οὐκ ἀπόσιτοι δὲ πάνυ πυρετώδεες. οὐδέ τι κενεαγγητέον.

parte nudantur decidunt, tardius tamen. Inferiores autem vulnere et ſano corpore partes, cum prius ſint mortuae, inſuper auferre oportet, ea cautione adhibita ut dolorem evites. Simul enim cum animi defectione intereunt, femoris os in hoc in caſu octogeſimo die reſolutum eſt, tibia autem vigeſimo die detracta fuit. Tibiae quoque media oſſa ſexageſimo die, reſoluta ſunt. In his celeriter aut tarde ut oſſa decidant medicae compreſſiones in cauſa ſunt. In caeteris vero quae leviter tractantur oſſa quidem non decidunt, neque in his carnes, ſed ſummae partes nudantur. Iſta autem ad curationem aſſumere oportet. Plurima enim formidabilia magis ſunt quam noxia. Curatio lenis eſto, quae per calida et diligentem victus rationem inſtitui debet. Profluentis ſanguinis et frigoris periculum impendet. Habitus corporis ut ne acclivis ſit, deinde ut pus ſubſidat aequalis aut quicunque talibus, iisque quae denigrantur accommodatus exiſtit. Sanguinis profluvia ac cruentae dejectiones circa judicationem largae quidem, ſed paucorum dierum his contingunt. Neque vero hi cibos averſantur, neque admodum febribus corripiuntur, neque quicquam vacuandum.

Ed. Chart. XII. [546.] Foës. I. 861. Ed. Lind. II. (867. 868.)

|| Ὕβωσις ἡ μὲν εἴσω ἐπιθάνατος οὔρων σχέσιος, ἀποναρκώσιος. τὰ δὲ ἔξω τουτέων ἀσινέα τὰ πλεῖστα πολὺ μᾶλλον ἢ ὅσα σεισθέντα μὴ ἐξέστη, αὐτὰ ἐν ἑωυτοῖσι κρίσιν ποιησάμενα. κεῖνα δὲ ἐπὶ πλέον τῷ σώματι ἐπιδιδόντα καὶ ἐν ἐπικαίροις ἐόντα. οἷον πλευραὶ καταγεῖσαι μὲν ὀλίγαι πυρετώδεες, καὶ αἵματος πτύσιος καὶ σφακελισμοῦ, ἤν τε (868) μία, ἤν τε πλείους. μὴ καταγεῖσαι δὲ καὶ ἴησις φαύλη, μὴ κενεαγγοῦντα, ἢν ἀπύρετος εἴη, ἐπίδεσις, ὡς νόμος· ἡ δὲ πώρωσις ἐν εἴκοσιν ἡμέρῃσι. χαῦνον γάρ. ἢν δ᾽ ἀμφιφλασθῇ, φυματίαι καὶ βηχώδεες καὶ ἔμμοτοι καὶ πλευρὰς ἐσφακέλισαν. παρὰ γὰρ πλευρὴν ἑκάστην ἀπὸ πάντων τόνοι εἰσί. τὰ δ᾽ ἀπὸ καταπτώσιος ἧσσον δύνανται ἐξιθύνασθαι. χαλεπώτερα δὲ τὰ ἄνω φρενῶν ἐξιθύνεσθαι. οἷσι δὲ παισὶν οὐ συναύξεται, ἀλλ᾽ ἢ σκέλη καὶ χεῖρες καὶ κεφαλή, ηὐξημένοισιν ὕβωσις παραχρῆμα μὲν τῆς νούσου ῥύεται, ἀνὰ χρό-

Quae interiorem in partem fit vertebrarum perversio, quod ad urinae suppressionem et stuporem attinet, lethalis est. Quae vero exteriorem in partem incurvantur, eorum plurima minus sunt noxia, quam quae concutiendo non excesserunt, quod illa in sese morbi discrimen recipiant, haec vero in magnam corporis partem glifcant et in praecipuis partibus eveniant. Quale quid in costis cernitur quae fractae paucae quidem febre, et sanguinis sputo, ossisque vitio tentantur sive una sive plures fractae sint, curatioque simplex convenit absque inedia, si febris absit, deligatio quoque pro lege fracturarum. Callus vero viginti diebus, quod laxum os sit, inducitur. At circumcirca contusis costis tuberculosi et tussiculosi evadunt, ac ea quae per linamenta fit curatione opus habent, costaeque sideratione tentantur. Ad unamquamque enim costam nervi ab omnibus partibus ducuntur. At quae ex casu in gibbum incurvantur, ea minus in directum agi possunt, verum aegrius diriguntur quae sunt supra septum transversum. Quibus quoque a puero id contingit, ea non augentur, sed vel crura vel manus vel caput. Adultis gibbus si fiat, statim quidem a morbo liberat,

Ed. Chart. XII. [546.] Foëſ. I. 861. 862. Ed. Lind. II. (868. 869.)

τον δ᾽ ἐπισημαίνεται, δι᾽ ὧνπερ καὶ τοῖσι νεωτέροισιν, ἧσσον δὲ κακοήθως. εἰσὶ δὲ οἳ εὐφόρως ἤνεγκαν οἷσιν εὔσαρκον καὶ πιμελῶδες τράπεται. ὀλίγοι δὲ τουτέων περὶ ἑξήκοντα ἔτεα ἐβίωσαν. ἀτὰρ καὶ ἐς τὰ πλάγια διαστρέμματα γίνεται. συναίτια δὲ καὶ τὰ σχήματα ἐν οἷσιν ἂν κατακέωνται, καὶ ἔχει προγνώσιας. πολλοὶ δὲ καὶ αἷμα ἔπτυσαν καὶ ἔμπυοι ἐγένοντο. ἡ δὲ μελέτη ἴησις. ἐπίδεσις ὡς νόμος. διαίτης τὰ πρῶτα ἀτρεκέως. ἔπειτα ἁπαλύνειν ἡσυχίη, σιγῇ, σχήματα, κοιλίη, ἀφροδίσια. ἀτὰρ οἷς ἂν αἷμα, ἀναδυνώτερα τῶν κατα||γνυμένων καὶ φιλυποστροφώτερα χρόνοισιν. οἷσι δὲ καταλείπεται μυξῶδες ὑπομιμνήσκει. ἐν πόνοισιν, ἴησις, καῦσις, τοῖ(869)σι μὲν ἀπ᾽ ὀστέου μέχρις ὀστέου, μὴ αὐτόδε. ἢν δὲ μεταξὺ, μὴ πέρην. μηδὲ ἐπιπολῆς σφακελισμὸς, καὶ τὰ ἔμμοτα πειρᾶσθαι. εἰρήσεται ἅπαντα τὰ ἐπεισιόντα ὁρατά.

ſucceſſu tamen temporis per eadem quae junioribus ſui ſignificationem edit, minus tamen maligne habent. Ac facile tolerant quibus corpus carnoſum et pingue redditur, horum tamen pauci ad ſexageſimum annum vitam produxerunt. Sed et vertebrae in obliquum intorquentur. Ad id etiam conferunt habitus in quos decumbunt, de quibus praenotiones fiunt. Multi vero etiam ſanguinem expuerunt ſuppuratique extiterunt. Quibus curatio diligens inſtituenda, et deligatio pro more. Victus ratio primis diebus exquiſita eſſe debet, deinde plenior, quies, ſilentium imperandum, habitus corporis accommodandus, alvus ſubducenda, venere abſtinendum. Sed et quibus ſanguis non expuitur, ii dolorem magis ſentiunt temporeque recidivas potius pati ſolent quam quibus coſta perfracta eſt. At quibus mucoſum quiddam relinquitur, id doloribus ſui memoriam commovet. Curatio uſtione perficitur, ſi in quibusdam quidem ab oſſe ad os usque candens ſerramentum demittas, ipſum autem non attingas. Quod ſi in intermediis coſtis fuerit, non in ulteriorem partem penetrandum, neque in ſummo adurendum. Alioqui ſideratio ſequetur et curatio per linamenta experiunda, de quibus dicentur omnia quae intro ſubire aut ſub viſum cadere oportet. Verbis vero non ſatis ex-

Ed. Chart. XII. [546. 547.] Foës. I. 862 863. Ed. Lind. II. (869.)

λόγοις δ' οὐ μὴ βρώματα, πόματα, θάλπος, ψῦχος σχῆμα. ὅτι καὶ φάρμακα τὰ μὲν ξηρὰ, τὰ δὲ ὑγρὰ, τὰ δὲ πυῤῥὰ, τὰ δὲ μέλανα, τὰ δὲ λευκὰ, τὰ δὲ στρυφνά. ἐπὶ ἕλκη οὕτω καὶ δίαιται.

ἰὸς καὶ σκίλλα καὶ ῥητίνη. ἔστω δὲ δύο μοῖραι τοῦ παλαιοῦ στέατος πρὸς τὸ νέον, τῶν δὲ ἄλλων ὁκόσον δοκέῃ καιρὸς εἶναι. στέαρ συντήξας πρόσφατον ἀποχέας εἰς ἕτερον χυτρίδιον, καὶ τῆς μολυβδαίνης τρίψας ὡς λειότατον διαττήσας, συμμίξας ἑψεῖν καὶ κυκᾷν τὸ πρῶτον. ἑψεῖν δὲ ἕως ἂν ἐπισταχθὲν ἐπὶ γῆς πήγνυται. ἔπειτα καθελὼν ἀποχέαι τὸ ἄλλο, πλὴν τῆς λίθου τῆς ὑποστάσης, καὶ ἐμβάλλειν ῥητίνην καὶ ἀνακινέειν, καὶ κέδρινον ἔλαιον ὀλίγον ξυμμίξας τὸ ἀφῃρημένον. πᾶσι χρὴ τοῖσι μαλθακοῖσιν ὅκου ἂν ῥητίνην ξυμμιγνύῃς, ἐπειδὰν ἀφέλῃς ἀπὸ τοῦ πυρὸς τὸ φάρμακον, ἐς θερμὸν ἔτι ἐὸν καθεὶς τὴν ῥητίνην κυκᾷν. ἕτερον. στέαρ συὸς παλαιὸν καὶ κηρὸς καὶ ἔλαιον. τὰ δὲ ξηρὰ ἰχθυήματα τοῦ λωτοῦ λιβανωτός, μολύβδαινα, ἤγουν τοῦ μὲν μοῖρα καὶ τῆσδε μοῖρα καὶ τοῦ ἰχθυήματος μοῖρα. ἔστω δὲ τοῦ παλαιοῦ στέατος δύο μοῖραι, κηροῦ δὲ μία καὶ νέου στέατος μία. ἕτερον. ἢ στέαρ μόνον παλαιὸν ὕειον. σὺν τῷδε, στέαρ αἰγὸς πρόσφατον. ὡς ἥκιστα ξὺν τῷ ὑμένι κατακαθήρας μι-

resinae modicum. Cera, adeps suillus vetus ac recens, oleum, aerugo, scilla et resina. Veteris autem adipis duplo major sit portio quam recentis, reliquorum vero quantum opportunum esse videbitur. Adeps recens liquatus in alteram ollam transfunditur, et plumbagine levissime trita et cribrata immixta coquitur et primum agitatur. Usque eo autem coquendum dum instillatum in terram indurescat, dein igne sublatum reliquum transfunditur, praeter lapideum illud sedimentum, tum resina immittitur et agitatur, paucaque adjecta cedria, quod ablatum fuit permiscetur. At omnibus emollientibus quibus resinam admisces, sublato ab igne medicamento et adhuc calido, resina immiscenda et agitanda. Aliud. Adeps suillus vetus, cera et oleum, arida vero loti ramenta, thus, plumbago, ut sit thuris pars una, plumbaginis et loti ramentorum tantundem, adipis autem veteris partes duae, cerae una, adipis recentis tantundem. Aliud, aut adeps suillus solus, cum eo adeps caprinus recens, qui repurgatus quam minimum membranarum ha-

Ed. Chart. XII. [138. 139.] Foës. I. 880. 881. Ed. Lind. II. (676. 677.)
κρά, τρίψας ἢ κατακόψας λεῖα, ἔλαιον παραχέειν (677) καὶ παραπάσσειν τὸν μόλιβδον, ξὺν τῇ σποδῷ καὶ λωτοῦ ἰχθυημάτων τὸ ἥμισυ. ἕτερον. στέαρ αἰγὸς, σποδὸς, χαλκῖτις, κυανὴ, ἔλαιον.

|| Περὶ πυρικαύστου. ἑψεῖν χρὴ πρίνου ῥίζας ἁπαλὰς, ὧν εἰ ὁ φλοιὸς ἐστι παχύτατος καὶ χλωρότατος, καταταμὼν μικρὰ, οἶνον λευκὸν ἐπιχέας, μαλθακῷ πυρὶ καθεψεῖν, ἕως ἂν δοκέῃ καλῶς ἔχειν τὸ πάχος, ὡς ὑπάλειπτρον καὶ ἐν ὕδατι τὸν αὐτὸν τρόπον. ἕτερον μὴ δάκνον. ὑὸς στέαρ μόνον παλαιὸν ὑπαλείφειν, τήξας αὐτὸ ἄνωθεν διὰ τῆς σκίλλης, τὴν ῥίζαν διαιρῶν καὶ προστιθεὶς καταδεῖν. τῇ δὲ ἑξῆς ἐπαιονᾷν τήξας, στέαρ τε ὑὸς παλαιὸν καὶ κηρὸν καὶ ἔλαιον συμμίξας καὶ λιβανωτὸν [139] καὶ λωτοῦ ἰχθυήματα καὶ μίλτον τούτῳ ὑπαλείψας. ἄρου φύλλα ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας, προτιθεὶς καταδεῖν. ἕτερον. ἐπειδὰν τῷ συείῳ στέατι ὑπαλείψῃς τῷ παλαιῷ, καταλείφειν ἀσφοδέλου ῥίζας ἐν οἴνῳ τρίψας καὶ λειώσας. ἕτερον. τήξας στέαρ συὸς παλαιὸν, συμμίξας ῥητίνῃ καὶ ἀσφάλτῳ καὶ αὐτὸ ἐπαλείψας ἐς ὀθόνιον,

beat. Quibus parum tritis et bene contusis oleum affunditur, et plumbum cum spodio inspergitur, itemque loti ramentorum pars dimidia. Aliud. Adeps caprinus, spodium, chalcitis, cyaneus lapis, oleum.

De eo quod igne ambustum est. Ilicis radices tenellae incoquendae. Harum cortex maxime crassus et viridis in tenues partes concisus, vino albo affuso lento igne decoquitur, dum idoneam crassitudinem habuerit, ut illini possit. Potest et ex aqua eodem modo coqui. Aliud minime mordens. Suillus adeps vetustus per se illitus, et supra liquatus per scillae radicem discissam impositam et alligatam. Postridie locus foveatur, adipe suillo vetere liquato, cera et oleo admixto, thure, loti ramentis et rubrica. Hoc illinitur. Ari folia vino et oleo incocta imposita adalligantur. Aliud. Post litum ex adipe suillo vetusto, asphodeli radices ex vino tritae et laevigatae illinuntur. Aliud. Adeps suillus vetustus liquatus resinae et bitumini admiscetur. Et linteolum

θερμήνας πρὸς πῦρ, ἐπιθεὶς ἐπιδεῖν. ὅταν ἐν τῷ νώτῳ ὑπὸ πληγέων ἢ ἄλλως ἕλκος γένηται, τῇ σκίλλῃ διέφθῳ τρίψας καὶ ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν. ὕστερον δὲ στέαρ αἰγὸς καὶ συὸς νέον καὶ σποδὸν, καὶ ἔλαιον καὶ λιβανωτὸν ἐπαλείφειν.

Οἰδήματα ἐν τοῖσι ποσὶ γινόμενα, αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα, τά τε οἰδήματα καὶ ἡ φλεγμασίη, καὶ ἢν σπόγγους ἐπιδέῃ τις ἢ εἴρια ἤ τι ἄλλο (678) ἐπὶ τὸ ὑγιὲς, ἔπειτα ἀνοιδίσκηται αὐτόματον καὶ ἀναφλεγμαίνῃ, κατὰ φλέβας ἐπίῤῥους αἴτιόν ἐστιν αἵματος, ᾧτινι μὴ φλάσμα αἴτιόν ἐστι καὶ ἤν που ἄλλοθι τοῦ σώματος τοιοῦτόν τι γίνηται, ὁ αὐτὸς λόγος. ἀλλὰ τοῦ αἵματος χρὴ ἀφιέναι, μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιῤῥεούσας, ἢν καταφανέες ἔωσιν· ἢν δὲ μὴ, κατακρούειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα, καὶ ἄλλο πᾶν ὅ τι ἂν κατακρούῃς, οὕτω χρὴ ποιέειν, καὶ ὡς ὀξυτάτοισι σιδηρίοισι καὶ λεπτοτάτοισι, καὶ ὅταν ἀφαιρῇς τὸ αἷμα τῇ

illitum, igne calefactum admovetur ac deligatur. Quum in dorso ex plagis aut alia ex causa ulcus subortum fuerit, scilla cocta, contrita et ex linteolo illita adalligatur. Postea vero adeps caprinus et suillus recens, spodium, oleum et thus superlinuntur.

Pedum tumores sponte et non sponte provenientes, ubi neque ipsi tumores neque inflammatio, ex cataplasmatis usu subsidunt, tum si spongiis aut lanis adhibitis, aut alio quopiam ad sanam partem alligato, postea sua sponte intumescant et inflammationem concipiant, in his sanguinis per venas influxus in causa est, si cui collisio non sit. Eademque ratio est si tale quid quavis alia corporis parte accidit. Verum sanguinem mittere oportet, praecipue ex venis quidem per quas fit influxus, si modo conspicuae sint, alioqui tumores altioribus et crebrioribus vulnusculis pertundendi. Id quod in eo quodcunque scalpello pertundis eodem modo fieri debet, idque ferramentis quam acutissimis ac tenuissimis praestari. Ubi sanguinem detrahis, specillum non ad-

μήλη, μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγίνηται. ὄξει δὲ καταντίζειν καὶ θρόμβον αἵματος ἐν τοῖσι χάσμοισι μὴ ἐᾷν ἐγκαταλείπεσθαι, καταχρίσας τῷ ἐναίμῳ φαρμάκῳ εἴρια οἰσυποῦντα, κατεξασμένα, μαλθακὰ ἐπιδῆσαι, ῥήνας οἴνῳ καὶ ἐλαίῳ. καὶ ἐχέτω τὸ σχασθὲν ὅκως ἀνάῤῥους εἴη τοῦ αἵματος καὶ μὴ κατάῤῥους, καὶ μὴ τεγγέτω ὅλως, καὶ ὀλιγοσιτεέτω, καὶ πινέτω ὕδωρ. ἢν δὲ ἀπολύων εὑρίσκῃς τὰ σχάσματα φλεγμαίνοντα, καταπλάσσειν τῷ ἐκ τοῦ ἀγνοῦ καὶ λίνου καρποῦ καταπλάσματι. ἢν δὲ ἑλκωθῇ τὰ σχάσματα καὶ συῤῥαγῇ, πρόσχημα ἐρέων, ἔπειτα προσφέρων ὅ ἂν δέῃ τὰ λοιπὰ ἰητρεύειν.

|| Ὅκου δὲ κιρσὸς ἔνεστιν ἐπ᾽ ἀντικνημίου ἢ περιφανὴς ἢ κατὰ τῆς σαρκὸς καὶ ἔστι μέλαν τὸ ἀντικνήμιον καὶ δοκέῃ δεῖσθαι αἵματος ἀπ᾽ αὐτοῦ ἀποῤῥυέντος, οὐ χρὴ τὰ τοιαῦτα κατακρούειν οὐδαμῶς, ὡς γὰρ ἐπιτοπολὺ ἕλκεα μεγάλα γίνεται ἐκ τῶν σχασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπιῤῥοήν. ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι.

modum apprimito, ne collifio accedat. Aceto autem perfundito, neque fanguinis grumum in cutis hiatibus remanere permittito, illitoque medicamento cruentis vulneribus accommodato, lanas fordidas, bene carptas, molles, vino atque oleo refperfas alligato. Locus fcalpro pertufus eo fit habitu ut fanguis furfum refluat, non deorfum defluat, neque ullo modo madefiat, inediamque toleret aeger et aquam bibat. Quod fi vinculo refoluto cutis incifuras vexatas inflammatione deprehendas, cataplasma ex viticis ac lini femine inducendum. Sin vero ulcerentur ac fimul committantur, pro occafione ut res poftulat caetera curanda.

At ubi varix anteriorem tibiae partem occupat, aut confpicuus eft, aut carne tegitur, nigricatque anterior tibiae pars et fanguinis detractationem expetere videatur, ifta fcalpello nullo modo pertundi debent. Plerumque enim ex incifuris ob influxum ex varice magna ulcera fiunt. Verum varix ipfe multis locis, prout opportunum videbitur, compungendus eft.

Ὅταν δὲ (679) φλέβα τάμῃς, ἐπειδὰν τοῦ αἵματος ἀφῇς καὶ λύσῃς τὴν ταινίην καὶ μὴ ἵστηται, τὰ ἀντία ὅκως ἂν ὁ ῥοῦς γίνηται καὶ αἵματος ἐχέτω, ἥν τε χεὶρ ἥν τε σκέλος ᾖ, ὡσεὶ χρέοντος τοῦ αἵματος ὀπίσω, καὶ οὕτως ὑπομείνας χρόνον πλείω ἢ ἐλάσσω [140] κατακείμενος. ἔπειτα ἐπιδῆσαι αὐτὸν οὕτως ἔχοντα, μὴ ἐνεόντος τινὸς θρόμβου ἐν τῇ τομῇ. ἔπειτα σπληνίον διπλόον προσθεὶς, τέγξας οἴνῳ καὶ ἄνωθεν εἴριον ἐλαιώσας καθαρόν. κἢν γὰρ ἐπίῤῥυσις τοῦ αἵματος ἔῃ βιαίη, σχέσις γίνεται ἐπιῤῥέοντος. κἢν θρόμβου ἐπὶ τῇ τομῇ γινομένου οὕτω φλεγμήνῃ, διαπυΐσκεται. ἠριστηκότα δὲ χρὴ πλέον ἢ ἔλαττον καὶ πεπωκότα φλεβοτομέειν καὶ ὑποτεθερμασμένον καὶ ἡμέρης θερμοτέρης ἢ ψυχροτέρης.

Σικύην δὲ προσβάλλοντα χρὴ, ἢν ἐπιῤῥέῃ τὸ αἷμα ἀφῃρημένης τῆς σικύης, κἢν πολὺ ῥέῃ ἢ ἰχὼρ ῥέῃ αὐτοῖσι ταχέως πρὶν ἢ πλησθῇ, αὖθις προσβάλλων ἐπεξέλκειν τὸ λειπόμενον. ἢν δὲ μὴ, θρόμβοι ἐνεχόμενοι ἐν || τοῖσι σχάσμασιν, ἔπειτα ἀναφλεγμήναντα ἕλκεα γίνεται ἐξ αὐτῶν. ὄξει δὲ

Vena fecta ubi fanguinem detraxeris, vinculumque folveris, neque fanguis fiftitur, contrariam in partem ut fanguinis fluxus fiat, feu brachium feu crus collocetur velut retracto fanguine, eoque ftatu plus minusve temporis decumbens perfeveret, deinde ita jacens deligetur, dum ne quis fanguinis grumus in fectione relictus fit. Tum demum fplenium duplex vino madens, ac fuper lana munda oleo imbuta apponatur. Fluentis namque fanguinis quamvis vehemens eruptio fiftitur. Ac fi fanguinis grumus in fectione concrefcens fic inflammatur, in pus verti folet. Liberalius autem aut parcius pranfo et poto vena fecanda et leviter concalefacto calidiore potius die quam frigidiore.

Ubi fanguis influit admota cucurbitula, fi ea ablata is copiofe aut ferofus humor effluit, ea cito prius quam impleatur locis fcalpro exafperatis affigenda eft, et quod reftat infuper extrahendum. Alioqui fanguinis grumi in ipfis cutis incifuris inhaerent, indeque poftea ulceribus inflammatio

Ed. Chart. XII. 140—142.] Foës. I. 883. Ed. Lind. II. (679. 680.)

χρὴ πάντα τὰ τοιαῦτα κατανίζειν καὶ ὕστερον μὴ τέγγειν, μηδὲ κατακέεσθαι ἐπὶ τὰ σχάσματα. τῶν δὲ ἐναίμων τινὶ φαρμάκων καταχρῖσαι τὰ σχάσματα, καὶ ὅταν κάτωθεν τοῦ γόνατος δέῃ προσβάλλων ἢ πρὸς τὸ γόνυ ἑστηκότι ὀρθῷ, ἢν δύνηται ἑστάναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΥΡΙΓΓΩΝ.

[141] (680) Σύριγγες γίνονται μὲν ὑπὸ φλασμάτων καὶ φυμάτων, γίνονται δὲ καὶ ὑπὸ ἐρεσίης καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν τῷ γλουτῷ αἷμα πλησίον τῆς ἕδρης. σηπόμενον γὰρ νέμεται εἰς τὰ μαλθακὰ, ἅτε ὑγροῦ ἐόντος τοῦ τε ἀρχοῦ καὶ τῆς σαρκὸς μαλθακῆς ἐν ᾗ νέμεται, ἔστ᾽ ἂν τὸ φῦμα ῥήξῃ καὶ κάτω ἐς τὸν ἀρχὸν διασήψῃ. ἐπὴν δὲ τοῦτο γένηται, συριγγοῦται καὶ ἰχωρέει καὶ κόπρος ῥεῖ δι᾽ ἑωυτῆς, καὶ φῦσα, καὶ βδελυγμίη πολλή. ὑπὸ μὲν οὖν τῶν φλασμάτων γίνεται, ὁκόταν τι τῶν περὶ τὸν ἀρχὸν χωρίων φλασθῇ ὑπὸ πληγῆς ἢ ὑπὸ [142] πτώματος ἢ ὑπὸ τρώματος ἢ ἱππασίης

contingit. Ejusmodi autem omnia aceto elui debent, neque postea madefieri, cavendumque aegro est ne in loca scalpro pertusa decumbat. Ea autem aliquo ex medicamentis cruentis vulneribus accommodato illinenda sunt. Quod si vel infra genu, vel ad genu admovenda cucurbitula est, id homine erecto et stanti, si stare potest procurandum.

HIPPOCRATIS LIBER DE FISTVLIS.

Fistulae partim quidem ex collisis, partim ex tuberculis fiunt. Oriuntur etiam vel ex remigatione vel equitatione, collecto in natibus juxta sedem sanguine. Putrescens enim quae mollia sunt depascitur, cum nimirum anus humidus sit et caro mollis in qua pabulatur, dum tuberculum rumpatur, infraque ad rectum intestinum computrescat. Quod cum sit, in fistulam abit, sanie manat, indeque stercus et flatus teterque foetor copiose effluit. Ex collisione autem nascitur fistula, ubi ex ictu aut casu vel vulnere, vel equitatione aut remigatione aut aliis hujusmodi rebus, pars aliqua circa re-

Ed. Chart. XII. [142.] Foës. I. 883. 884. Ed. Lind. II. (680. 681.)

ἢ ἐρεσίης ἢ ὅσα τοιουτότροπά ἐστι. ξυνίσταται γὰρ αἷμα, σηπόμενον δὲ ἐκπυΐσκεται, ὑπὸ καὶ τοῦ ἐκπυΐσκομένου πάσχει ἅπερ ἐπὶ τῶν φυμάτων εἴρηται.

Πρῶτον μὲν οὖν ὅταν τι τοιοῦτον αἴσθῃ φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν. ἢν δὲ νοσέοντα ἤδη τὴν σύριγγα παραλάβῃς, λαβὼν σκορόδου φύσιγγα νεαρὴν ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ || σκέλεα διαγαγὼν τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, τὴν φύσιγγα καθιέναι ἔστ᾽ ἂν προσκόψῃ, μετρῆσαί τε τὸ βάθος τῆς σύριγγος τῇ φύσιγγι, καὶ σεσέλεος (681) δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας βρέχειν τέσσαρας ἡμέρας, καὶ προνηστεύσας πινέτω μέλιτι παραμίσγων τὸ ὕδωρ, κατὰ τρεῖς κυάθους. ἐν τούτῳ κάθαιρε καὶ τὰς ἀσκαρίδας. ὁκόσοι δ᾽ ἂν καταλειφθῶσιν ἀθεράπευτοι θνήσκουσιν.

Ἔπειτα ὀθόνιον βύσσινον τιθυμάλλου ὀποῦ τοῦ μεγάλου δεύσας, καταπάσσων ἄνθος χαλκοῦ ὀπτὸν τετριμμένον. στροβίλην ποιήσας ἴσην τῇ σύριγγι τὸ μῆκος. ῥάμμα διεὶς δι᾽ ἄκρας τῆς στροβίλης, καὶ αὖθις διὰ τῆς φύσιγγος ὕπτιον

ctum inteſtinum colliditur. Collectus enim ſanguis et putreſcens ſuppurat, et ex ſuppuratione quae de tuberculis dicta ſunt, contingunt.

Ante omnia igitur cum ejusmodi tuberculum ſuboriri ſenſeris, antequam ad rectum inteſtinum ſuppuratio perveniat, crudum quam celerrime ſecare oportet. Quod ſi jam factam fiſtulam in manus ſumpſeris, homine ſupino reclinato cruribus huc atque illuc reductis, ſumptum allii recentem caulem, dum ad aliquid offendat, immittere oportet, eoque fiſtulae altitudinem metiri. Tum ſeſelis radice quam tenuiſſime contrita quatuor diebus aqua affuſa macerata, admixto melle aquam ad tres cyathos jejuno propinato, eoque tempore tenues lumbricos aſcaridas dictos purgato. Qui vero ſine curatione relinquuntur, pereunt.

Poſt haec byſſinum linteum magni tithymalli ſucco imbutum, uſto aeris flore et trito aſperſum, in collyrii formam fiſtulae longitudini aequalem intorque, filo per extremum linamentum rurſusque per ſummum caulem trajecto, homi-

κατακλίνας τὸν ἄνθρωπον, κατοπτῆρι κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ, ταύτῃ τὴν φύσιγγα διεῖναι, καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις οὗ ἡ στροβίλη διωσθῇ καὶ ἰσωθῇ τῷ τε ἄνω καὶ τῷ κάτω. ἐπὴν δὲ ἐσωσθῇ, βάλανον ἐνθεὶς κερατίνην ἐς τὸν ἀρχὸν, γῆ διαχρίσας σμηκτρίδι τὸν ἀρχὸν ἐᾷν. ἐπὴν δὲ ἀποπατέῃ, ἐξαιρέειν καὶ αὖθις προστιθέναι, ἕως ἂν πεμπταίη γένηται. ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκὸς, καὶ τρῖψαι στυπτηρίην μετὰ ταῦτα, καὶ πλήσας τὴν βάλανον καὶ ἐς τὸν ἀρχὸν ἐμβαλὼν, ἐᾷν ἄχρις οὗ ἡ στυπτηρίη ὑγρὴ γένηται. τὸν δὲ ἀρχὸν σμύρνῃ ἀλείφειν, ἄχρις οὗ ἂν δοκέῃ ξυμπεφωνηκέναι.

|| Ἑτέρη θεραπείη. ὠμόλινον λαβὼν ὡς λεπτότατον, συμβάλλειν ὅσον σπιθαμιαῖον πεντάπλουν καὶ ξυμπεριλαβεῖν ἱππείην τρίχα. ἔπειτα ποιησάμενος μήλην κασσιτερίνην ἐπ' ἄκρου τετρημένην, ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου συμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν σύριγγα καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν (682)

neque ſupino reclinato, ubi adhibito inſtrumento ad ſedem diducendam idoneo, quod κατοπτὴρ dicitur, in ano quid perroſum ſit conſpexeris, eo allii caulem demittito atque ubi in anum demiſſus fuerit, praehenſum trahito donec linamentum impulſum ſuperiori ac inferiori parti adaequatum fuerit. Quo intro impulſo, glandem corneam in anum inditam podice creta cimolia illito, ibi ſinito, cumque deſidendi cupiditas adſuerit, eximito, rurſusque immittito in quintum diem usque. Sexto vero eximito, foras linamento e carne educto, poſteaque glandem alumine trito impletam in anum immiſſam, ibi dum alumen liqueſcat ſinito. Podicem vero, quoad convenire videatur, myrrha illinito.

Alia curatio. Linum crudum quam tenuiſſimum quincuplex palmi longitudine in unum complicatum ſeta equina circumvolvitur, tum ſtanneum ſpecillum extrema parte perforatum, ita comparatum ut in id lini complicati caput inſeratur, in fiſtulam demittitur ſimulque ſiniſtrae manus index in ſedem injicitur. Atque ubi ſpecillum digitum con-

Ed. Chart. XII. [142. 143.] Foës. I. 885. Ed. Lind. II. (682.

καθιέναι ἐς τὴν ἕδρην. ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν ἔξω τῷ δακτύλῳ, ἀποκάμψας τῆς μήλης τὸ ἄκρον καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ, καὶ [143] τὴν μὲν μήλην πάλιν ἐξαιρέειν, τοῦ δὲ ὠμολίνου τὰς ἀρχὰς ἀφάψαι δὶς ἢ τρὶς, καὶ τὸ λοιπὸν τοῦ ὠμολίνου ἐπιστρέψας ἐπιδῆσαι πρὸς τὸ ἅμμα. ἔπειτα κελεύειν ἀπελθόντα διαπρήσσεσθαι τὰ ἑωυτοῦ. ἄλλη θεραπεία. ὁκόσον δὴ σηπομένης τῆς σύριγγος χαλᾶται τοῦ ὠμολίνου, τοῦτο ἐπιτείνειν καὶ ἐπιστρέφειν ἀεὶ καθ' ἑκάστην ἡμέρην. ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι. ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται τῷ ὠμολίνῳ, ὅτι ἄσηπτός ἐστιν. ἐπὴν δὲ διασαπῇ ἡ σύριγξ, τάμνεσθαι χρὴ σπόγγον μαλακὸν ὡς λεπτότατον προστεθέντα. ἔπειτα ἐς μὲν τὴν σύριγγα ἄνθος χαλκοῦ ὀπτὸν συχνὸν τῇ μήλῃ ἐνθεῖναι, τὸν δὲ σπόγγον ἀλεῖψαι μέλιτι, καὶ ὑποβαλὼν μέσῳ τῷ λιχανῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς, ὦσαι πρόσω, καὶ προσθεὶς ἕτερον σπόγγον ἀναδῆσαι τὸν αὐτὸν τρόπον ὅνπερ καὶ ἐπὶ τῇσιν αἱμορ-

tigerit, id extrema parte inflexum, unaque lini caput quod per specillum trajectum est, digito educitur et specillum quidem iterum extrahitur. Lini vero capita bis terve connectuntur, et quod dependet ex lino intortum in nodum alligatur. Postea aeger, ad suas res obeundas dimittitur. Reliqua curatio. At eatenus linum singulis diebus intendere ac intorquere semper oportet, quatenus putrescente fistula laxatur. Quod si tibi ante quam fistula exedatur linum crudum computrescere videatur, alterum item ad setam alligatum trajiciendum et connectendum. Eo namque nomine seta lino crudo adjicitur, quod minime putrescat. At postquam fistula computruit, spongiam mollem quam tenuissime incisam apponere convenit, tum copiosum aeris usti florem per specillum quidem in fistulam injicere. Spongiam vero melle illitam, inditam medio sinistrae manus indice intrudere, additaque altera spongia eam deligationem quae fit cum ora venarum sanguinem fundere sunt solita, appo-

Ed. Chart. XII. [143.] Foes. I. 885. 886. Ed. Lind. II. (682. 683.)

ῥοίσιν. τῇ δὲ αὔριον ἀπολύσας περιθεῖναι ὕδατι θερμῷ, καὶ σπόγγῳ τῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς πειρᾷν διακαθαίρειν τὴν σύριγγα, καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι. ταῦτα ποιέειν ἑπτὰ ἡμέρας. ἐν ταύτῃσι γὰρ μάλιστα ὁ χιτὼν τῆς σύριγγος σήπεται. τὸ δὲ λοιπὸν ἔστ᾽ ἂν ὑγιανθῇ τουτέῳ ἐπιδεῖν. κατὰ γὰρ τοῦτον τὸν τρόπον ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ ἀναπτυσσομένη ἡ σύριγξ οὔτε πάλιν ξυμπέσοι ἂν οὔτε τὸ μὲν αὐτῆς ὑγιανθείη ἂν, τὸ δὲ πάλιν ξυμπληρω(683)θείη. ἀλλ᾽ ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται. ἐν τῇ θεραπείῃ δὲ προσαιονᾷν ὕδατι πολλῷ θερμῷ καὶ λιμοκτονέειν.

|| Ἢν δὲ μὴ διαβεβρώκῃ ἡ σύριγξ, προμηλώσας μήλῃ, τέμνε ἕως ἂν διέλθῃ καὶ ἐπίπασσε ἄνθος χαλκοῦ, καὶ ἐᾷν ἐπὶ πέντε ἡμέρας. κατάχεε δὲ ὕδωρ θερμὸν, καὶ ἐπάνω ὕδατι φυρῶν, ἄλφιτον κατάπασσε καὶ φύλλα τεύτλων ἐπίδει. ἐπὴν δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν. ἢν δὲ ἐν χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε, βαθείη δὲ καὶ ἡ σύριγξ, ἄνθει χαλκοῦ καὶ

nere. Qua postridie soluta, fistula aqua calida perluenda pertentandumque ut per spongiam sinistrae manus digito purgetur, rursusque injecto aeris flore vinculum alligandum, idemque septem diebus faciendum. Intra hos enim fere dies fistulae tunica consumitur. In reliquo dum sanescat hic deligationis modus asservandus. Hac enim ratione fistula per spongiam coacta et expansa neque rursus committetur neque hac quidem sui parte curabitur, hac vero rursus implebitur, sed ipsa universa sanescet. In hac vero curatione copiosa calida perfundere juvat et inediam imperare.

Quod si fistula minime exesa fuerit, demisso ante specillo ferro quo adpenetrarit aperienda et aeris flore respergenda et per dies quinque sinenda. Tum aqua calida affundenda, et farina aqua subacta super imponenda, foliaque betae alliganda. Atque ubi aeris flos deciderit purumque fistulae ulcus fuerit, eadem quae prius curatio adhibenda. Sin locus ferramentum ferre non potest, alteque penetret fistula, flore aeris, myrrha et nitro ex urina di-

Ed.Chart. XII. [143. 144.] Foës. I. 886. 887. Ed.Lind. II. (683. 684.)

σμύρνῃ καὶ λίτρῳ οὔρῳ διεὶς, κλύζειν καὶ ἐς τὸ στόμα τῆς σύριγγος μολύβδιον ἐντιθέναι, ὅπως μὴ ξυμφύηται. κλύζειν δὲ πτεροῦ σύριγγα προσδήσας πρὸς κύστιν, καὶ καθεὶς ἐς τὴν σύριγγα πρὸς τοῦτο διάγειν κλύζων. ὑγιὴς δὲ οὐ γίνεται, ἢν μὴ τμηθῇ.

|| Ἢν ὁ ἀρχὸς φλεγμήνῃ καὶ ὀδύνη ἔχῃ καὶ πυρετὸς καὶ ἐς ἄφοδον θαμινὰ καθίζῃ καὶ μηδὲν ὑποχωρέῃ καὶ ὑπὸ τοῦ φλέγματος δοκέῃ ἐξιέναι ἡ ἕδρη καὶ ἐνίοτε στραγγουρίη ἐπιλαμβάνῃ, τοῦτο τὸ νόσημα γίνεται, ὅταν φλέγμα [144] ἐς τὸν ἀρχὸν καταστηρίξῃ ἐκ τοῦ σώματος. ξυμφέρει δὲ τὰ θερμά. δύναται γὰρ τάδε προσφερόμενα λεπτύνειν καὶ ἐκτήκειν τὸ φλέγμα καὶ ἅμα τῷ δριμεῖ τὸ ἁλμυρὸν ἐξυδατοῦν, ὥστε μὴ εἶναι τὸ καῦμα, μηδὲ δῆξίν τινα ἐν τῷ ἐντέρῳ. θεραπεύειν οὖν χρὴ ὧδε. καθίζειν ἐς ὕδωρ θερμὸν, καὶ τρίψαντα τοῦ κόκκου τοῦ Κνιδίου ἑξήκοντα κόκκους, διεῖναι ἐν οἴνου κοτύλῃ καὶ ἐλαίου ἡμικοτυλίῳ χλιήνας κλύσον. ἄγει δὲ ταῦτα φλέγ(684)μα καὶ κόπρον. ὅταν δὲ μὴ ἐν τῷ

lutis colluitur et in fistulae osculum plumbeum aliquid immittitur, ut ne coalescat. Abluere autem fistulam convenit per pennam vesicae alligatam et in fistulam demissam, ut per hanc infusum transmittatur. Verum non nisi sectione sanescit.

Si vero rectum intestinum inflammatione tentetur, dolor ac febris teneat crebraque sit desidendi cupiditas, nihil tamen dejiciat, prae inflammatione videatur sedes procidere, interdumque urinae stillicidium prehendat, quod morbi genus oritur, cum pituita ex corpore in rectum intestinum incubuerit. Conferunt autem calida, quae certe pituitam extenuare et eliquare valent; simulque quod acre est et salsum in humorem solvere, ita ut neque aestus neque morsus aliquis in intestino sentiatur. Haec igitur est curatio. Aegro in aqua calida desidere jusso, grani Cnidii sexaginta grana trita, vini hemina diluuntur adjectaque olei dimidia hemina, tepido alvus subluitur. Haec pituitam et stercus educunt. Ubi vero in aqua non desidet,

ὕδατι καθίζει, ὠὰ ἑψήσας ἐν οἴνῳ μέλανι εὐώδει, προστιθέναι πρὸς τὴν ἕδρην. ὑποπετάσας τι κάτωθεν θερμὸν, ἢ κύστιν ὕδατος θερμοῦ πλήσας, ἢ λίνου σπέρμα πεφωσμένον ἀλέσας, τρίψας καὶ μίξας ἶσον ἄλητον ἐν οἴνῳ μέλανι καὶ εὐώδει καὶ ἐλαίῳ, καταπλάσσειν ὡς θερμοτάτῳ, ἢ κριθὰς μίξας ἢ στυπτηρίην Αἰγυπτίην τετριμμένην. ἔπειτα πλάσαι βάλανον μακρὴν, καὶ χλιαίνων πρὸς πυρὸς καταπλάσσειν τε καὶ πυριῇν, καὶ τοῖσι δακτύλοισι προσπλάσσειν. ἔπειτα ἀκροχλίηρον ποιέων ἐντιθέναι ἐς τὴν ἕδρην. τὰ ἔξωθεν δὲ κηρωτῇ περιαλεῖψαι, καὶ καταπλάσσειν σκορόδοισιν ἑφθοῖσιν, ἐν οἴνῳ μέλανι κεκρημένῳ. ἐπὴν δὲ ἐξαιρέῃς, ἐς ὕδωρ θερμὸν ἐφίζειν, καὶ συμμίξας χυλὸν στρύχνου καὶ χηνὸς καὶ ὑὸς στέαρ καὶ χρυσοκόλλαν καὶ ῥητίνην καὶ κηρὸν λευκὸν, ἔπειτα διατήξας ἐν τῷ αὐτῷ καὶ ξυμμίξας, τούτοισιν ἐγχρίειν, καὶ ἕως ἂν φλεγμαίνῃ καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκείτω· ἢν δὲ μὴ, πῖσαι τὸ μηκώνιον τὸ λευκόν· ἢν δὲ μὴ,

ova vino nigro odorato incocta, ad ſedem admoventur, inſerne ſubſtrato calido aliquo, vel veſica aqua calida referta aut lini ſemine toſto, trito et in tenuiſſimum pulverem redacto cum pari farinae modo, vino nigro odorato et oleo ſubacto, ex cataplasmate quam calidiſſime impoſito. Aut ex hordeo alumini Aegyptio contrito mixto, glans oblonga conficitur, eoque ex igne tepido cataplasmate aut fotu adhibito, digitis glans effingitur, deinde omnino tepida in ſedem immittitur. Exterioribus partibus ceratum oblinitur et allia vino nigro diluto incocta, ex cataplasmate admoventur. Hoc vero ſublato, aeger in aqua calida deſidere permittatur, admixtoque ſolani ſucco, anſerino adipe et ſuillo, chryſocolla, reſina et cera alba, his deinde ſimul liquatis et inter ſe mixtis illinitur, et quoad inflammatio perſeveraverit, cataplasma ex alliis coctis admovetur. Ac ſi quidem his remediis dolor cedat, ſatis eſt praeſidii. Sin minus, meconium album potui exhibeatur,

Ed. Chart. XII. [144.] Foes. I. 887. 888. Ed. Lind. II. (684. 685.)

ἄλλο ὅ τι φλέγμα καθαίρει. διαιτᾷν δὲ, ἕως ἂν φλεγμήνῃ, τροφήμασι κούφοισιν.

‖ Ἡ δὲ στραγγουρίη ἐπιπίπτει ἐκ τῶνδε. θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ, προσάγεται τῇ θερμότητι φλέγμα. ὑπὸ δὲ τοῦ φλέγματος στραγγουρίη γίνεται. ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται. φιλέει γὰρ ὡς τὰ πολλὰ οὕτως γίνεσθαι. ἢν δὲ μὴ, δίδου τῶν φαρμάκων τῶν στραγγουρικῶν.

Ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, ἀνώσας σπόγγῳ μαλθακῷ, καὶ κατα(685)χρίσας κοχλίῃ τῶν χειρῶν δήσας, ἐκκρέμασον ὀλίγον χρόνον καὶ εἴσεισιν. ἢν δὲ μεῖζον ἐκπέσῃ καὶ μένῃ ἔνδον, διαζώσας ἐν τῇσι λαγόσι καὶ ὑφεὶς ὄπισθεν ταινίῃ, ὤσας ἔσω τὸν ἀρχὸν, προσθεῖναι σπόγγον μαλθακὸν βρέξας ὕδατι θερμῷ, ἐνεψήσας λωτοῦ πρίσματα. καταχέαι δὲ καὶ κατὰ τοῦ ἀρχοῦ ἀπ' αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι. ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων ἀναδῆσαι περὶ τὸν ὀμφαλόν. ὅταν δὲ θέλῃ ἀφοδεύειν, ἐπὶ σανίσιν ὡς στενοτάτοισιν ἀφοδευέτω. ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν πρὸς τὰ γούνατα προσκλιθείς. ὅταν δὲ ἀφοδεύῃ,

aut aliud quodpiam quod pituitam purget, dumque inflammatio manet levibus ſorbitiunculis utatur.

At urinae ſtillicidium ex his ſuccedit, cum veſica a recto inteſtino incaleſcente calore pituita adducitur, urinae vero ſtillicidium ex pituita gignitur. Hoc igitur una cum morbo plerumque ſinitur, alioqui medicamenta quae ad urinae ſtillicidium faciunt exhibentur.

Si vero anus procidat ſpongia molli ſurſum impellendus et cochlea illinendus, manibus devinctis homo pauco temporis intervallo ſuſpenditur et intus reponitur. Quod ſi amplius prolabatur, neque intus maneat ilibus praecinctis et ſubmiſſa retro faſcia, ano intro propulſo, ſpongia mollis aqua calida, in qua loti ſcobes incoxerit, madefacta admovetur, ſpongiaque expreſſa eadem aqua anus perfunditur, tum faſcia inter media crura ſubjecta, ad umbilicum religatur. Ubi vero dejiciendae alvi cupiditas fuerit, id ſuper quam maxime anguſtos aſſeres fiat. Sin puer ſit, intra mulieris pedes, ad genua reclinatus deſidat. Cumque

Ed. Chart. XII. [144. 145.] Foës. I. 888. 889. Ed. Lind. II. (685. 686.)
τὰ σκέλεα ἐκτεινάτω. οὕτω γὰρ ἂν ἥκιστα [145] ἐκπίπτοι ἡ ἕδρη. ἢν δὲ ὑγραίνηται ὁ ἀρχὸς καὶ ἰχῶρ ἀποῤῥέῃ, περινίψαι τρυγὶ κεκαυμένῃ καὶ ὕδατι ἀπὸ μυρσίνης, καὶ ἀδίαντον ξηρήνας καὶ κόψας διασήσας κατάπασσε. ἢν δὲ αἱμοῤῥοῇ, περινίψας τοῖσι αὐτοῖσι χαλκῖτιν καὶ πρίσμα κυπαρίσσου ἢ κέδρου ἢ πίτυος ἢ τερμίνθου τρίψας, συμμίξας τῇ χαλκίτιδι ἴσον καταπλάσσειν. τὰ ἔξωθεν δὲ κηρωτῇ παχείῃ περιαλείφειν.

|| Ὁκόταν ἀρχὸς ἐκπίπτῃ καὶ μὴ θέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον ξύσας λεπτὸν καταπλάσσειν, καὶ τοῦ πταρμικοῦ φαρμάκου πρὸς τὴν ῥῖνα προστιθέναι καὶ παροξύνειν τὸν ἄνθρωπον ἢ ὕδατι θερμῷ περιπλύνας σίδια, καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ, καταχέαι τοῦ ἀρχοῦ. ἔπειτα ῥάκεα ἐμβαλεῖν καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς, καὶ νηστευέτω. οἶνον δὲ πινέτω γλυ-(686)κύν. ἢν δὲ μηδὲ οὕτω διαχωρέῃ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω.

alvus dejicitur, crura distenta habeat. Hoc enim pacto sedes minimum prolabitur. At si anus humore madeat et sanie diffluat, aqua ex myrrho et faece vini usta eluitur et adiantum tritum cribratum inspergitur. Si sanguis profluat, ubi iisdem elutus fuerit, chalcitis et cupressi vel cedri vel pini vel terebinthi scobes trita, pari ad chalcitidem portione ammixta inspergitur. Exteriores partes cerato crasso oblinuntur.

Cum rectum intestinum prolabitur neque suo loco contineri potest, laserpitium quam optimum et densissimum tenuiter derasum ex cataplasmate imponitur et medicamento quod sternutamentum moveat ad nares admoto homo commovetur, aut aqua calida, in qua mali punici putamina maduerint, et alumine ex vino albo contrito anus perfunditur. Deinde injectis panniculis femora tribus diebus inter se vinciuntur et inedia imperatur, vinum vero dulce potui exhibetur. Quod si ne sic quidem procedit, minium melle permixtum illinitur.

Ed. Chart. XII. [145.] Foës. I. 889. 890. Ed. Lind. II. (686.)

Ἀρχὸς ἢν ἐκπίπτῃ καὶ αἱμοῤῥοῇ. ἄρου ῥίζης περιελὼν τὸν φλοιὸν ἑψεῖν ἐν ὕδατι, ἔπειτα τρίβειν ἄλητον ξυμμίσγων καὶ καταπλάσσειν θερμόν. ἄλλο. τῆς ἀμπέλου τῆς ἀγρίης, ἣν ἔνιοι καλοῦσι ψιλώθριον, τουτέης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα ἑψῆσαι ἐν οἴνῳ μέλανι ἀκρήτῳ αὐστηρῷ. ἔπειτα τρίψαντα καταπλάσσειν χλιηρόν. || ξυμμίσγειν δὲ καὶ ἄλευρα, καὶ φυρῆν ἐν οἴνῳ λευκῷ καὶ ἐλαίῳ χλιηρῶς. ἄλλο. κωνείου καρπὸν τρίβοντα παραστάζειν οἶνον λευκὸν εὐώδεα. ἔπειτα καταπλάσσειν χλιηρόν.

Ἢν δὲ φλεγμαίνῃ, κισσοῦ ῥίζαν ἑψήσας ἐν ὕδατι τρίψας λεῖον, ἄλευρον ξυμμίσγων ὡς κάλλιστον ἐν οἴνῳ λευκῷ φυρήσας καταπλάσσειν, καὶ ἄλειφα πρὸς τούτοις ξυμμίξας. ἄλλο. μανδραγόρου ῥίζαν μάλιστα μὲν χλωρήν· εἰ δὲ μὴ, ξηρήν. τὴν μὲν οὖν χλωρὴν ἀποπλύναντα καὶ ταμόντα ἑψῆσαι ἐν οἴνῳ κεκρημένῳ καὶ καταπλάσσειν· τὴν δέ γε ξηρὴν τρίψαντα καταπλάσσειν ὁμοίως. ἄλλο. σικύου πέπονος τὸ ἔνδον τρίψας λεῖον καταπλάσσειν.

Anus ſi procidat et ſanguine manet, ari radicis detractus cortex aqua incoquitur, deinde tritus cum farina mixtus, calidus ex cataplasmate imponitur. Aliud. Vitis agreſtis, quam nonnulli pſilothrion vocant, radices tenerrimae conciſae, vino nigro auſtero meraco incoquuntur dein contuſae ex cataplasmate tepidae imponuntur. Immiſcetur autem farina ex vino albo atque oleo tepido ſubacta. Aliud. Cicutae ſemen vino albo odorato affuſo tritum, dein tepidum ex cataplasmate imponitur.

Quod ſi inflammatione vexetur, hederae radix bene contrita ex aqua cocta farina optima ex vino albo ſubacta admixta, adjectoque ad haec oleo ex cataplasmate imponitur. Aliud. Mandragorae radix praecipue quidem viridis, vel certe arida: viridis igitur elota et conciſa, vino diluto incoquitur et ex cataplasmate adhibetur, arida vero trita ſimiliter admovetur. Aliud. Cucumeris maturi interiora trita ex cataplasmate imponuntur.

[146] Ἢν δὲ γένηται ὀδύνη καὶ μὴ φλεγμαίνῃ, λίτρον ὀπτήσας ἐρυθρὸν καὶ τρίψας λεῖον καὶ στυπτηρίην καὶ ἅλας φώξας καὶ τρίψας λείους συμμῖξαι ἴσον ἑκάστου. εἶτα πίσσῃ συμμίξας ὡς βελτίστῃ ἐς ῥάκος ἐναλείψας ἐντιθέναι καὶ καταδεῖν. ἄλλο. καππάριος φύλλα χλωρὰ τρίψας ἐς μαρσίπιον ἐμβαλὼν προσκαταδεῖν, καὶ ἐπὴν καίειν δοκέῃ, ἀφαιρέειν, καὶ αὖθις προστιθέναι. ἢν δὲ μὴ ᾖ φύλλα καππάριος, τὸν (687) φλοιὸν τῆς ῥίζης κόψας, φυρήσας ἐν οἴνῳ μέλανι τὸν αὐτὸν τρόπον καταδεῖν. τοῦτο καὶ πρὸς σπληνῶν ὀδύνην ἀγαθόν. τούτων τῶν καταπλασμάτων τὰ μὲν ψύχοντα κωλύει ῥεῖν, τὰ δὲ μαλθάσσοντα καὶ θερμαίνοντα διαχεῖν, τὰ δὲ εἰς ἑωυτὰ ἕλκοντα ξηραίνειν καὶ ἰσχναίνειν. τοῦτο δὲ τὸ νούσημα γίνεται, ὅταν χολὴ καὶ φλέγμα ἐς τοὺς τόπους καταστηρίξῃ. ἀρχοῦ δὲ φλεγμήναντος διαχρίειν τῷ φαρμάκῳ, ὅπῃ ἡ ῥητίνη καὶ τὸ ἔλαιον καὶ ὁ κηρὸς καὶ ἡ μολύβδαινα καὶ τὸ στέαρ ὡς θερμότατον διεῤῥήθησαν καταπλάττεσθαι.

At ſi dolor ſit citra inflammationem, nitrum rubrum uſtum et bene tritum alumen et ſales torrefacti et diligenter triti, pari utraque miſcentur pondere, deinde pice quam optima ammixta, linteo illita imponuntur et alligantur. Aliud. Capparis folia viridia in ſacculum conjecta adalligantur et ubi urere videbuntur, ſummoventur ac rurſus apponuntur. Quod ſi folia capparis non adſuerint, radicis cortex contuſus, vino nigro ſubactus, eodem pacto alligatur, quod etiam ad ſplenis dolorem valet. Ex his cataplasmatis quae refrigerant influxum prohibere valent, quae molliunt et calefaciunt digerere, quae ad ſe attrahunt ſiccare et extenuare. Oritur autem hic morbus, ubi bilis et pituita ad ea loca decubuerit. Ad rectum inteſtinum inflammatione tentatum illinitur medicamento quod reſinam, oleum, ceram, plumbi recrementum et adipem accipit. Haec calida liquata cataplasmate imponuntur.

Ed. Chart. XII. [147. 148.] Foës. I. 891. Ed. Lind. II. (347.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΙΜΟΡΡΟΙΔΩΝ.

[147] (347) *Αἱμοῤῥοΐδων τὸ μὲν νόσημα ὧδε γίνεται. ἢν χολὴ ἢ φλέγμα ἐς τὰς φλέβας τὰς ἐν τῷ ἀρχῷ καταστηρίξῃ, θερμαίνει τὸ αἷμα τὸ ἐν τοῖσι φλεβίοισι. θερμαινόμενα δὲ τὰ φλέβια ἐπισπᾶται ἐκ τῶν ἔγγιστα φλεβίων τὸ αἷμα, καὶ πληρεύμενα ἐξοιδέει τὸ ἐντὸς τοῦ ἀρχοῦ καὶ ὑπερίσχουσιν αἱ κεφαλαὶ τῶν φλεβίων, καὶ ἅμα μὲν ὑπὸ τῆς κόπρου ἐξιούσης φλώμεναι, ἅμα δὲ ὑπὸ τοῦ αἵματος ἀθροιζομένου βιαζόμεναι, ἐξακοντίζουσιν αἷμα. μάλιστα μὲν ξὺν τῷ ἀποπάτῳ, ἐνίοτε δὲ χωρὶς ἀποπάτου.* [148] *θεραπεύειν δὲ δεῖ ὧδε.*

Πρῶτον μὲν ὑπαρχέτω εἰδέναι ἐν οἵῳ χωρίῳ γίνονται. ἀρχὸν γὰρ καὶ τάμνων καὶ ἀποτάμνων καὶ ἀναῤῥάπτων καὶ δέων καὶ ἀποσήπων, ταῦτα γὰρ δοκέει δεινότατα εἶναι, οὐδὲν ἂν σίνοιο. παρασκευάσασθαι δὲ κελεύω ἑπτὰ ἢ ὀκτὼ σιδήρια, σπιθαμιαῖα τὸ μέγεθος, πάχος δὲ ὡσεὶ μήλης παχείης. ἐξ ἄκρου δὲ κατακάμψαι, καὶ ἐπὶ τῷ ἄκρῳ πλατὺ

HIPPOCRATIS DE HAEMORRHOIDIBVS LIBER.

Ora venarum hoc modo ſanguinem fundere ſolent. Bilis aut pituita ad venas quae in ano ſunt decumbens, ſanguinem qui in his eſt calefacit. Incaleſcentes autem venae ſanguinem ex proximis venis attrahunt eoque impletae, recti inteſtini partem interiorem in tumorem attollunt et venarum capitula conſpicua ſunt, quae dum partim a ſtercore exeunte contunduntur, partim a ſanguine coacervato perrumpuntur, ſanguinem eiaculantur, idque maxime cum ſtercore, interdum vero ſine eo. Curantur autem hoc modo.

Inprimis certe noſſe oportet, quo in loco contingant. Nam et anum incidendo, reſecando, conſuendo aut vinciendo aut putreſaciendo, etiamſi graviſſima eſſe iſta videantur, nullam inferes noxam. Ferramenta ſeptem octove parari jubeo, quae magnitudine palmum et craſſum ſpecillum craſſitudine aequent, extrema parte recurva, et in ſummo ad oboli parvi formam lata. Poſt ex-

Ed. Chart. XII. [148.] Foës. I. 891. 892. Ed. Lind. II. (347. 348.)

ἔστω, ὡς ἐπὶ ὀβολοῦ μικροῦ. προκαθήρας δὴ φαρμάκῳ τῇ πρότερον, αὐτῇ δὲ ῇ ἂν ἐπιχειρέῃς καῦσαι, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον καὶ προσκεφάλαιον ὑπὸ τὴν ὀσφῦν ὑποθεὶς, ἐξαναγκάζειν ὡς μάλιστα τοῖσι δακτύλοισι τὴν ἕδρην ἔξω. ποιέειν δὲ καὶ διαφανέα τὰ (348) σιδήρια καὶ καίειν ἕως ἂν ἀποξηραίνῃς, καὶ ὅκως μὴ ὑπαλείψῃς. καίειν δὲ καὶ μηδεμίην ἐᾶσαι ἄκαυστον τῶν αἱμοῤῥοΐδων, ἀλλὰ πάσας ἀποκαύσεις. γνώσει δὲ οὐ χαλεπῶς τὰς αἱμοῤῥοΐδας. ὑπερέχουσι γὰρ ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ, οἷον ῥᾶγες πελιδναὶ, καὶ ἅμα ἐξαναγκαζομένου τοῦ ἀρχοῦ ἐξακοντίζουσιν αἷμα. κατεχόντων δ᾽ αὐτῶν ὅταν || καίηται, τῆς κεφαλῆς καὶ τὰς χεῖρας, ὡς μὴ κινέηται, βοάτω καιόμενος. ὁ γὰρ ἀρχὸς μᾶλλον ἐξίσχει. ἐπὴν δὲ καύσῃς, φακοὺς καὶ ὀρόβους ἑψήσας ἐν ὕδατι τρίψας λείους, κατάπασσε πέντε ἢ ἓξ ἡμέρας. τῇ δὲ ἑβδόμῃ σπόγγον μαλθακὸν τάμνειν ὡς λεπτότατον. πλάτος δὲ εἶναι τοῦ σπόγγου ὅσον ἓξ δακτύλων πάντῃ. ἔπειτα ἐπιθεῖναι ἐπὶ τὸν σπόγγον ὀθόνιον ἶσον τῷ σπόγγῳ λεπτὸν καὶ λεῖον, ἀλείψας μέλιτι. ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ

hibitum pridie medicamentum purgans, eodem quo ad ustionem aggredieris die homo supinus reclinatur pulvinoque lumbis supposito sedes digitis quam maxime foras educitur, tum candentibus admotis ferramentis utuntur, quoad resiccentur ita ut ne contingas. Urere vero ita oportet ut earum venarum quae sanguinem fundunt nulla inusta relinquatur, sed omnes adurantur. Has nullo negotio deprehendes, quod interiore ani parte conspicuae sint, velut acini uvae lividae simulque cum foras anus cogitur, sanguinem ejaculantur. Inter urendum autem a quibusdam caput et manus detineantur ne moveatur, sed clamet qui inuritur. Hoc enim pacto anus magis prominet. Peracta ustione lentes et ervum tenuissime trita et ex aqua decocta quinque aut sex diebus imponuntur. Septimo die spongia mollis quam tenuissime inciditur. Spongia autem omni ex parte sex digitorum latitudinem aequet. Tum linteum quod spongiae magnitudinem non excedat, tenue et leve, melle illitum superimponitur, dein subdito sini-

Ed. Chart. XII. [148. 149.] Foës. I. 892. 893. Ed. Lind. II. (348. 349.)

λιχανῷ τῆς ἀριστερῆς χειρὸς, μέσον τὸν σπόγγον ὦσαι κάτω τῆς ἕδρης ὡς προσωτάτω. ἔπειτα ἐπὶ τὸν σπόγγον προσθεῖναι εἰρίον, ὡς ἂν ἐν τῇ ἕδρῃ ἀτρεμίζῃ. διαζώσας δὲ ἐν τῇσι λαγόσι καὶ ὑφεὶς ταινίην, ἐκ τοῦ ὄπισθεν ἀναλαβὼν ἐκ τῶν σκελέων τὸν ἐπίδεσμον, ἀναδῆσαι ἐς τὸ διάζωσμα παρὰ τὸν ὀμφαλόν. τὸ δὲ φάρμακον ὃ εἶπον ἐπιδεῖτο πυκνὴν τὴν σάρκα ποιέειν καὶ ἰσχυρὴν φῦναι. ταῦτα δὲ δεῖ ἐπιδεῖν μὴ ἔλασσον ἡμερῶν εἴκοσι. ῥοφέειν δὲ ἅπαξ τῆς ἡμέρης ἄλευρον ἢ κέγχρον ἢ τὸ ἀπὸ τῶν πιτύρων, καὶ πίνειν ὕδωρ. ἢν δὲ ἐς ἄφοδον ἵζηται, ὕδατι θερμῷ διανίζειν. λοῦεσθαι δὲ διὰ τρίτης ἡμέρης.

(349) Ἑτέρα θεραπείη. ἐκβαλὼν τὴν ἕδρην ὡς μάλιστα αἰονᾷν ὕδατι θερμῷ, ἔπειτα ἀποτάμνειν τῶν αἱμοῤῥοΐδων τὰ ἄκρα. φάρμακον δὲ προσκατασκευασθῆναι πρὸς τὴν τομὴν τόδε. οὐρήσας || ἐς χαλκεῖον ἐπίπασσον ἐπὶ τὸ οὖρον χαλκοῦ ἄνθος ὀπτοῦ καὶ τετριμμένου [149] λείου, ἔπειτα διεὶς καὶ κινήσας τὸ χαλκεῖον, ξήρανον ἐν τῷ ἡλίῳ. ὅταν δὲ

ſtrae manus indice, media ſpongia intro per inferiora quam penitiſſime in ſedem propellitur, demum ſupra ſpongiam lana apponitur, ut in ſede immota permaneat. Cingulo vero per ilia ducto faſcia ſubmittitur, exceptumque a poſteriore parte per crura vinculum ad cingulum juxta umbilicum religatur. Tum medicamentum, quod dixi carnem denſam facere ac validam producere, alligatur. Quae non minore quam viginti dierum ſpatio devincire oportet. Sorbitio autem ſemel die ex farina aut milio aut furſuribus et potui aqua exhibenda. Ubi ad dejiciendam alvum deſidet, calida proluitur. Tertio quoque die balneum adhibeatur.

Alia curatio. Foras educta quam maxime ſedes, calida perfunditur, tum venarum ſanguinem fundentium extrema praeciduntur. Hoc vero medicamentum antea praeparatum ad ſectionem habere oportet. Urina in vas aeneum immiſſa, flos aeris uſtus optime laevigatus inſpergitur, tum vaſe agitato maceratur et in ſole ſiccatur. Sic-

ξηρὸν γένηται, συνξύσας τρῖψον λεῖον, καὶ προστίθει τῷ δακτύλῳ, καὶ σπληνία ἐλαιώσας προστίθει, καὶ σπόγγον ἐπάνω ἐπίδει.

Ἕτερος τρόπος. προσφύεται πρὸς τῇ αἱματίτιδι τῇ κονδυλώδει οἷον συκαμίνου καρπὸς, καὶ εἰ μὲν ἔξω σφόδρα ᾖ ἡ κονδύλωσις, περιπέφυκεν αὐτῇ καλυπτὴρ ὁ τῆς σαρκός. καθίσας οὖν τὸν ἄνθρωπον ὀκλὰξ ἐπὶ ὅλμων δύο σκόπει. εὑρήσεις γὰρ πεφυσημένα τὰ μεσηγὺ τῶν γλουτῶν παρὰ τὴν ἕδρην. τὸ δὲ αἷμα ἐκχωρέειν ἔνδοθεν. ἢν γοῦν ἐνδίδοι ὑπὸ τῷ καλυπτῆρι, ἢ τὸ κονδύλωμα τῷ δακτύλῳ ἀφελεῖν. οὐδὲν γὰρ χαλεπώτερον ἤπερ προβάτου δειρομένου τὸν δάκτυλον μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς περαίνειν. καὶ ταῦτα διαλεγόμενος ἅμα λάνθανε ποιέων. ἐπὴν δὲ ἀφέλῃς τὸ κονδύλωμα, ἀνάγκη ῥέεσθαι δρόμους αἵματος ἀπὸ πάσης τῆς ἀφαιρέσιος. τάχα χρὴ ἀποπλῦναι οἴνῳ αὐστηρῷ κηκίδας ἐναποβρέξας, καὶ ἥ τε αἱματῖτις οἰχήσεται σὺν τῷ κονδυλώ-

catum eraditur, teritur et laevigatur, ano admovetur, ſplenia oleo madida apponuntur ſpongiaque ſuperimpoſita deligatur.

Alter curationis modus. Venae ſanguinem fundenti et tuberoſam quandam eminentiam habenti, veluti mori fructus adnaſcitur, et ſi quidem tuberoſa eminentia foras valde prominet, ei circumcirca operculum carnoſum adhaereſcit. Homine igitur in genua ſuper duos lapides teretes inclinato, anum inſpice. Invenies namque loca inter nates medias circa ſedem tumefacta, ſanguinemque ex interioribus partibus procedere. Si ergo tuberoſa eminentia ſub tegumento mollis ſit digito ea auferenda eſt. Neque enim majore negotio id fiet, quam ſi dum pellis ovi detrahitur, digitum inter pellem et carnem medium immittas. Idque inter loquendum ſimulque non advertente aegro faciendum. Sublatum tuberculum ſanguinis curſus omni ex parte ablata neceſſario conſequitur. Vino auſtero, in quo gallae maceratae fuerint, cito locus perluendus eſt venaque ſanguinem fundens una cum tuberculo recedet, et

Ed. Chart. XII. [149.] Foes. I. 893. Ed. Lind. II. (349. 350.)
ματι, καὶ τὸ κάλυμμα καταστήσεται καὶ ὅσῳ ἂν παλαιότερον ᾖ, ῥηΐδίως ἔσται ἡ ἴησις.

Ἢν δὲ ἀνώτερος ᾖ ἡ κονδύλωσις, τῷ κατοπτῆρι σκέπτε-(350)σθαι καὶ μὴ ἐξαπατᾶσθαι ὑπὸ τοῦ κατοπτῆρος. διηγούμενος γὰρ ὁμαλύνει τὴν κονδύλωσιν. ξυναγόμενος δὲ πάλιν δείκνυσιν ὀρθῶς. ἀφαιρέειν δὲ χρὴ ἐλλεβόρῳ μέλανι ὑπαλείφοντα τὸν δάκτυλον. ἔπειτα τριταίῳ οἴνῳ κλύζειν αὐστηρῷ. τὸ δὲ αἷμα ὅταν ἀφέλῃς, τὴν κονδύλωσιν ὅτι οὐ ῥέει μὴ θαυμάζειν. οὐδὲ γὰρ ἢν ἐν τοῖσιν ἄρθροισι διατάμῃς τὰς χεῖρας ἢ τὰ σκέλεα, οὐ ῥεύσεται αἷμα. ἢν δ' ἄνωθεν ἢ κάτωθεν τάμῃς τῶν ἄρθρων, εὑρήσεις κοίλας φλέβας καὶ αἱμόῤῥους, καὶ χαλεπῶς ἂν ἴσχοις εὐπόρως. οὕτω καὶ τὴν ἐν τῇ ἕδρῃ αἱμοῤῥοΐδα, ἢν μὲν ἄνωθεν ἢ κάτωθεν τάμῃς τῆς ἀφαιρέσιος τοῦ κονδυλώματος, αἷμα ῥεύσεται· ἢν δὲ αὐτὴν ἀφέλῃς τὴν κονδύλωσιν ἐν τῇ προσφύσει, οὐ ῥεύσεται. ἢν μὲν οὖν οὕτω καθίσταται, καλῶς ἂν ἔχοι. ἢν δὲ μὴ, καῦσαι, φυλασσόμενος ὡς μὴ ἅψῃ τῷ σιδήρῳ,

operculum in pristinum statum restituetur. Quoque vetustior morbus est, eo facilior curatio futura est.

At si altius insederit tuberosa eminentia, per instrumentum dilatandae sedi accommodatum catopterem dictum inspicere oportet, neque ab eo decipi. Ubi enim aperitur, tuberculum exaequat, ubi vero rursus in sese adducitur, recte conspicuum facit. Auferre autem convenit, veratro nigro ano illito, tum tertio die vinum austerum ex infuso immittendum. At vero ubi tuberosam eminentiam abstuleris, si sanguis non effluat, mirandum non est. Neque enim si in articulis manus aut crura seces, sanguis effluet. At si supra aut infra articulos sectio fiat, cavas et sanguine manantes venas deprehendes: neque facile prompte sistas. Eodem modo si venam in sede sanguinem fundentem supra quidem aut infra detractum tuberculum seces, sanguis effluet. Sin vero ipsam tuberculosam eminentiam ubi annectitur abstuleris, non profluet. Si igitur hoc pacto quidem ad pristinum statum reducitur, bene se res habet: sin minus, ustio adhibenda ea cautione ut ne ferro

Ed. Chart. XII. [149 150.] Foës. I. 893. 894. Ed. Lind. II. (350. 351.)
ἀλλ' ἐγγὺς προσφέρων τὰ σιδήρια ἀποξηραίνειν καὶ προστιθέναι τὸ τοῦ χαλκοῦ ἄνθος τὸ ἐν τῷ οὔρῳ.

|| Ἕτερος τρόπος ἰήσιος αἱμοῤῥοΐδων. καυστῆρα χρὴ ποιήσασθαι, οἷον καλαμίσκον φραγμίτην. σιδήριον δὲ ἐναρμόσαι καλῶς ἁρμόζον. ἔπειτα τὸν αὐλίσκον ἐνθεὶς ἐς τὴν ἕδρην διαφαῖνον τὸ σιδήριον καθιέναι, [150] καὶ πυκνὰ ἐξαιρέειν, ἵνα μᾶλλον ἀνέχηται θερμαινόμενος, καὶ οὔτε ἕλκος ἕξει ὑπὸ τῆς θερμασίης, ὑγιέα τε ξηρανθέντα τὰ φλέβια. ἢν δὲ βούλῃ μήτε καίειν μήτε ἀποτάμνειν, προκαταιονήσας ὕδατι πολλῷ θερμῷ καὶ ἐκτρέψας τὴν ἕδρην, σμύρναν τρίψας λείην καὶ κηκίδα καὶ στυπτηρίην Αἰγυπτίην κατακαύσας, ἓν καὶ ἥμισυ πρὸς (351) τἄλλα καὶ μελαντηρίης ἄλλο τοσοῦτον, τουτέοισι ξηροῖς χρῆσθαι. ἡ δὲ αἱμοῤῥοῒς τουτέοισι τοῖσι φαρμάκοισιν ἀποστήσεται, ὥσπερ σκῦτος κατακεκαυμένον. ταῦτα ποιέειν μέχρις ἂν πάσας ἀφανίσῃς, καὶ χαλκίτιδος ἥμισυ κεκαυμένον τωὐτὸ ἀπεργάζεται. ἢν δὲ βούλῃ βαλάνοισιν ἰῆσθαι, σηπίης ὄστρακον, μολυβδαίνης τρίτον μέ-

attingatur, sed prope admotis ferramentis exsiccetur et flos aeris ex urina adhibeatur.

Alius venarum sanguinem in ano fundentium curationis modus. Cauterium parare oportet in modum parvae arundinis vallatoriae, phragmiten vocant, et in ipsum ferramentum probe congruens accommodare, deinde immissa in sedem fistula candens ferramentum in eam demittere crebroque eximere, quo magis calorem toleret neque ulcus ex calore contrahat, et venulae exsiccatae consanescant. Quod si neque ustio neque sectio placeat, sedes multa et calida prius fovetur et evertitur, tum myrrha probe laevigata, galla et alumen Aegyptium ustum, quod reliqua una parte et dimidia superet et melanteriae tantundem accipiendum, iisque aridis utendum. Sub his medicamentis vena sanguinem fundens, velut corium ustulatum decidit, eademque facienda donec omnes dissipaveris. Idemque efficit chalcitidis ustae dimidium. At si per glandes curationem instituas, sepiae testa, plumbaginis tertia pars, bitu-

Ed.Chart.XII.[150.115.] Foës.I.894.895. Ed.Lind.II.(351.687.688.)

ρος, ἄσφαλτον, στυπτηρίην, ἄνθος ὀλίγον, κηκίδα, χαλκοῦ ἰὸν ὀλίγον. τουτέων μέλι ἑφθὸν καταχέας βάλανον ποιήσας μακροτέρην προστίθει, μέχρις ἂν ἀφανίσῃς.

Γυναικείην αἱμοῤῥοΐδα ὧδε θεραπεύειν. πολλῷ ὕδατι θερμῷ αἰονήσας, σύνεψε δὲ ἐν τῷ θερμῷ τῶν εὐωδέων τρίψας μυρίκην, λιθάργυρον ὀπτὴν καὶ κηκίδα, οἶνον λευκὸν παράχεε καὶ ἔλαιον καὶ χηνὸς στέαρ, τρίψας ὁμοῦ πάντα διδόναι ὁκόταν αἰονηθῇ, διαχρήσασθαι. αἰονᾷν δὲ καὶ τὴν ἕδρην ἐξώσας ὡς μάλιστα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΕΦΑΛΗΙ ΤΡΩΜΑΤΩΝ.

[115] || (687) Τῶν ἀνθρώπων αἱ κεφαλαὶ οὐδὲν ὁμοίως σφίσιν αὐταῖς, οὐδὲ αἱ ῥαφαὶ τῆς κεφαλῆς πάντων κατὰ ταὐτὰ πεφύκασιν. ἀλλ' ὅστις μὲν ἔχει ἐκ τοῦ ἔμπροσθεν (688) τῆς κεφαλῆς προβολήν· ἡ δὲ προβολή ἐστι τὸ τοῦ ὀστέου ἐξέχον στρογγύλον παρὰ τὸ ἄλλο· τούτου εἰσὶν αἱ ῥαφαὶ πεφυκυῖαι ἐν τῇ κεφαλῇ, ὡς γράμμα τὸ ταῦ Τ γρά-

men, alumen, floris aeris exiguum, galla, aeruginis modicum commiſcentur, his melle cocto affuſo, glans oblongior conficitur, ſupponitur, donec deleantur.

Vena ſanguinem fundens in mulieris ano ſic curatur. Multa calida, in qua ex odoratis aliquid incoxerit, perfunditur, tum myrica trita, ſpuma argenti uſta et galla additur, vino albo, oleo et anſerino adipe affuſo omnia ſimul conteruntur, poſt perfuſionem utenda dantur. Sedes autem quam maxime educta perfunditur.

HIPPOCRATIS LIBER DE CAPITIS VULNERIBVS.

Hominum capita neque inter ſe ſimiliter habent, neque ſuturae capitis in omnibus eodem loco ſitae ſunt. Verum cuicunque parte anteriore caput prominet, quod fit cum oſſis pars rotunda plus reliquo eminet, huic ſuturae in capite ad literae T ſimilitudinem a natura ſunt accommodatae.

Ed. Chart. XII. [115. 116.] Foës. I. 895. Ed. Lind. II. (688.)

ρεται. τὴν μὲν γὰρ βραχυτέρην γραμμὴν ἔχει πρὸ τῆς προ-
βολῆς ἐπικαρσίην πεφυκυῖαν, τὴν [116] δ᾽ ἑτέρην γραμμὴν
ἔχει διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος ἐς τὸν τράχηλον
αἰεί. ὅστις δ᾽ ὄπισθεν τῆς κεφαλῆς τὴν προβολὴν ἔχει, αἱ
ῥαφαὶ τούτου πεφύκασι τἀναντία ἢ τῷ προτέρῳ. ἡ μὲν γὰρ
βραχυτέρη γραμμὴ πρὸ τῆς προβολῆς πέφυκεν ἐπικαρσίη,
ἡ δὲ μακροτέρη διὰ μέσης τῆς κεφαλῆς πέφυκε κατὰ μῆ-
κος ἐς τὸ μέτωπον ἀεί. ὅστις δὲ καὶ ἀμφοτέρωθεν τῆς κε-
φαλῆς προβολὴν ἔχει, ἔκ τε τοῦ ἔμπροσθεν καὶ τοῦ ὄπισθεν,
τούτῳ αἱ ῥαφαί εἰσιν ὁμοίως πεφυκυῖαι ὡς γράμμα τὸ ἦτα
Η γράφεται. πεφύκασι δὲ τῶν γραμμῶν αἱ μὲν μακραὶ
πρὸς τῆς προβολῆς ἑκατέρης ἐπικάρσιοι πεφυκυῖαι, ἡ δὲ βρα-
χείη διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πρὸς ἑκατέρην τε-
λευτῶσαι τὴν μακρὴν γραμμήν. ὅστις μηδετέρωθι μηδεμίαν
προβολὴν ἔχει, οὗτος ἔχει τὰς ῥαφὰς τῆς κεφαλῆς ὡς γράμ-
μα τὸ χῖ Χ γράφεται. πεφύκασι δὲ αἱ γραμμαὶ ἡ μὲν
ἑτέρη ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφίκουσα, ἡ δὲ ἑτέρη
κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς.

Breviorem namque lineam transversam ad ossis prominentiam a natura productam habet, alteram vero per medium caput in longitudinem ad cervicem perpetuo tendentem. At cui posterior capitis pars prominet, huic suturae contra quam in priore naturaliter se habent. Brevior namque linea transversa ad ossis prominentiam naturaliter producitur, longior vero per medium caput in longitudinem ad frontem perpetuo tendens a natura constituta est. Cui autem utraque corporis parte, tum anteriore tum posteriore, os prominet, huic suturae ad literae H similitudinem a natura sunt accommodatae. Lineae vero longiores ad utramque prominentiam transversae a natura productae sunt, brevis autem per mediam capitis longitudinem in longam utramque lineam desinit. At cui neutra parte caput prominet, hic suturas literae X similes habet. Lineae vero ita a natura productae sunt, ut altera quidem transversa ad tempora perveniat, altera per medium caput in longitudinem feratur.

|| Δίπλοον δ' ἐστὶ τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν. σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκε τὸ ἀνώτατον, ἡ ὁμοχροίη τοῦ ὀστέου ὑπὸ τῇ σαρκὶ, καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω. ἀποχωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου ὀστέου καὶ τοῦ κατωτάτου ἀπὸ τῶν (689) σκληροτάτων καὶ πυκνοτάτων ἐπὶ τὸ μαλθακώτερον καὶ ἧσσον πυκνὸν καὶ ἐπὶ κοιλότερον ἐς τὴν διπλόην. ἡ δὲ διπλόη κοιλότατον καὶ μαλθακώτατον καὶ μάλιστα σηραγγῶδές ἐστιν. ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ κατωτάτου σπόγγῳ ὅμοιον, καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὅμοια σαρκία πολλὰ καὶ ὑγρὰ, καὶ εἴ τις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισιν, αἷμα ἂν διαγίνοιτο ἐξ αὐτῶν. ἔνι δ' ἐν τῷ ὀστέῳ καὶ φλεβία λεπτότερα καὶ κοιλότερα, αἵματος πλέα. σκληρότητι μὲν νῦν καὶ μαλθακότητι καὶ κοιλότητι ὧδε ἔχει· παχύτητι δὲ καὶ λεπτότητι οὕτως.

Συμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστι καὶ ἀσθενέστατον τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λε-

Ad medium autem caput duplex os eſt, idque tum ſumma ſui parte et aequabilitate, qua carne tegitur, tum infima qua membranam contegit et inferior eſt oſſis aequabilitas, duriſſimum et denſiſſimum eſt a natura conſtitutum. Quodque recedit a ſupremo et infimo oſſe, a duriſſimis et denſiſſimis ad molle et minus denſum quodque magis cavum eſt accedit, ad interiora usque quibus inter ſe connectuntur. Eaque maxime cava et molliſſima, plurimumque pervia ſunt. Ac totum capitis os, ſi ſupremam atque infimam partem admodum exiguam demas, ſpongiae ſimile, multasque carnes humidas ſimiles in ſe habet, quas ſi quis digitis conterat, ex ipſis ſanguis prodeat. Inſunt quoque in oſſe venulae tenues et cavae ſanguinis plenae. Quod quidem ad duritiem mollitudinemque ac cavitatem ſpectat, ſic ſe res habet, quod vero ad craſſitudinem et tenuitatem, hoc modo.

Totius capitis os id tenuiſſimum et maxime imbecillum quod ad ſinciput eſt, idque quam minimam et tenuiſ-

πιοτάτην ἔχει ἐφ᾽ ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον, καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς πλεῖστος ὕπεστι, καὶ διότι οὕτω ταῦτα ἔχει, τῶν τε τρωσίων καὶ τῶν βελέων ἴσων τε ἐόντων κατὰ μέγεθος καὶ ἐλασσόνων καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, τὸ ὀστέον ταύτῃ τῆς κεφαλῆς φλᾶται τε μᾶλλον καὶ || ῥήγνυται καὶ ἔσω ἐσφλᾶται καὶ θανασιμώτερά ἐστι καὶ χαλεπώτερα ἰητρεύεσθαί τε καὶ ἐκφυγγάνειν τὸν θάνατον ταύτῃ ἤ [117] που ἄλλοθι τῆς κεφαλῆς. ἐξίσων τε ἐόντων τῶν τρωμάτων καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ἄνθρωπος ὅταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς ἤ που ἄλλοθι. ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γινομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ. ὑπὸ λεπτοτάτῳ γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ (690) ὀλίγῃ σαρκὶ, καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. τῶν δὲ ἄλλων τὰ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστι. συμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου, καὶ ἡ ἀκοὴ πλη-

ſimam carnem hac capitis parte in ſe habet, cerebrumque plurimum eo loco ſubeſt. Cumque haec ita ſe habeant, ubi tela ictusque aequales fuerint magnitudine vel minores, tum etiam aequaliter vulneratus aut levius, os hac capitis parte magis colliditur, frangitur et medium deſidit, ſub eoque caſu magis moriuntur aegri aegriusque curantur et mortem evitant quam ſi qualibet alia capitis parte iſtud accidat. Ac ubi aequalia fuerint vulnera, aut aeque vehementer aut levius quis percuſſus fuerit, cum alioqui vulnus letale ſit. intra brevius tempus ex vulnere moritur qui hac capitis parte quam qui alia vulneratus eſt. Cerebrum namque ad ſinciput celerrime et maxime ſentit offenſas quae in carne et oſſe fiunt, cum hoc loco tenuiſſimo oſſe et exigua carne tegatur, magnaque ex parte ſub ſincipite ſitum ſit. Ex reliquis oſſibus quod eſt ad tempora maxime eſt imbecillum. Committitur enim inferna maxilla cum calvaria, moveturque in temporibus ſurſum et deorſum articuli in modum,

σίον γίνεται αὐτέου, καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.

Ἰσχυρότερον δ᾽ ἐστὶ τῆς κεφαλῆς τοῦ ὀστέου παντὸς τὸ ὀστέον τῆς κορυφῆς καὶ τῶν οὐάτων ἢ πᾶν τὸ πρόσθεν, καὶ σάρκα πλέονα καὶ βαθυτέρην ἐφ᾽ ἑωυτῷ ἔχει τοῦτο τὸ ὀστέον, καὶ δὴ τούτων οὕτως ἐχόντων, ὑπό τε τῶν τρωσίων καὶ τῶν βελέων ἴσων ἁπάντων καὶ ὁμοίων καὶ μειζόνων καὶ μειόνων ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται, καὶ ἢν μέλλῃ ἄνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλέονι χρόνῳ ἀποθανεῖται· ἐν πλέονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον διὰ τὴν παχύτητα τοῦ ὀστέου, καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι, καὶ πλέονες ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπιτοπολὺ ἢ τῶν ἔμπροσθεν, καὶ ἐν χειμῶνι πλέονα χρόνον ζῇ ἄνθρωπος ἢ ἐν θέρει, εἴ τις καὶ ἄλλως μέλλει ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὁπουοῦν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα.

auditioque etiam huic eſt vicina, venaque cava et valida per tempora fertur.

At ex univerſi capitis oſſe id quod ſecundum verticem eſt et poſt aures validius eſt quam id totum quod parte anteriore continetur, carnemque copioſiorem et altiorem in ſe habet. Saneque ſub hoc caſu, ubi ex laeſionibus et telis omnibus aequalibus et ſimilibus, majoribusque ac minoribus, ſimiliter aut gravius quis fuerit vulneratus, hac capitis parte os minus frangitur et colliditur. Ac ſi alioqui ex vulnere homo periturus ſit, diutius vitam trahet qui poſteriore capitis parte vulnus accepit. Longiore namque intervallo os ob craſſitudinem pus colligit, ipſumque infra ad cerebrum transfundit. Minor quoque cerebri portio hac parte capitis ſubeſt, fereque plures ſervantur ex iis qui parte capitis poſteriore quam qui anteriore vulnus acceperunt. Ex vulnere etiam capitis, quacunque parte acceptum ſit, ubi alioqui ex vulnere quis fuerit periturus, hieme quam aeſtate diutius vivit.

|| *Αἱ* δὲ ἕδραι τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων, αὗται ἐπὶ σφῶν αὐτῶν γινόμεναι ἐν τῷ ὀστέῳ ἄνευ ῥωγμῆς τε καὶ φλάσιος ἢ ἔσω ἐσφλάσιος. αὗται δὲ γίνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς καὶ ἐν τῷ (691) ὄπισθεν. ἐκ τούτων θάνατος οὐ γίνεται κατά γε δίκην, οὐδ᾽ ἢν γένηται. ῥαφὴ δὲ ἐν ἕλκει φανεῖσα ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γενομένου, ἀσθενέστατον γίνεται τῇ τρώσει καὶ τῷ βέλει ἀντέχειν, εἰ τύχῃ τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν στηριχθέν. πάντων δὲ μάλιστα ἢν τὸ βέλος ἐν τῷ βρέγματι γενόμενον κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς καὶ αἱ ῥαφαὶ εἰ τύχοιεν οὖσαι περὶ τὸ ἕλκος καὶ τὸ βέλος αὐτέων τύχοι τῶν ῥαφῶν.

[118] *Τιτρώσκεται* δὲ ὀστέον τὸ ἐν κεφαλῇ τοσούσδε τρόπους. τῶν δὲ τρόπων ἑκάστου πλέονες ἰδέαι γίνονται τοῦ κατήγματος ἐν τῇ τρώσει. ὀστέον ῥήγνυται τιτρωσκόμενον καὶ τῷ περιέχοντι ὀστέῳ τὴν ῥωγμὴν ἀνάγκη φλάσιν προσγενέσθαι ἥνπερ ῥαγῇ. τῶν γὰρ βελέων ὅ τι περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον ἢ μᾶλλον ἢ ἧσσον, αὐτό τε ἐν ᾧπερ καὶ ῥήγνυσι τὴν ῥωγμήν.

Ubi vero a telo acuto et levi impressum in osse vestigium fuerit, idque solum ita ut neque findatur, neque collidatur, aut medium desidat, quod aeque in anteriore capitis parte ac posteriore accidere potest, ex his mors etsi consequitur, non aequo tamen jure contingit. At ubi nudato osse sutura in vulnere conspicitur, quacunque corporis parte vulnus extiterit, minime omnium vulneri ac telo resistit, si forte telum in ipsam suturam incubuerit, tumque vel maxime, si telum sincipiti juxta debilissimam capitis partem exceptum fuerit suturaeque in ulcus incurrant, et telum ipsas suturas attigerit.

Vulnerum ossis capitis tot sunt genera, et sub quoque genere plures sunt in vulnere fracturae formae. Os sub vulnere finditur, ossique rimam habenti, si quidem fissum fuerit, collisionem accedere necesse est. Quodcunque enim telum os findit, idem os plus minusve collidit, idque ubi rimam facit. Hocque genus unum est. Rimarum autem

εἷς οὗτος τρόπος. ἰδέαι δὲ ῥωγμέων τοῖαι γίνονται, καὶ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ ὀστέου καταφανέες γίνονται. ἔστι δ᾽ αἴτιον ῥωγμέων οὔτε αὐτίκα μετὰ τὴν τρῶσιν οὔτ᾽ ἐν τῇσιν ἡμέρῃσιν ἐν ᾗσιν ἂν καὶ πόνων ἂν ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ. αἱ δ᾽ αὖ παχύτεραί τε καὶ εὐρύτεραι γίνονται τῶν ῥωγμέων, ἔνιαι δὲ καὶ πάνυ εὐρέαι. καὶ αἱ μὲν ἐπὶ μακρότερον ῥήγνυνται, αἱ δὲ ἐπὶ βραχύτερον, καὶ αἱ μὲν ἰθύτεραι, αἱ δὲ ἰθεῖαί τε καὶ πάνυ. αἱ δὲ καμπυλώτεραί τε καὶ καμπύλαι καὶ βαθύτεραι. αἱ δὲ εἰς τὸ κάτω καὶ διὰ παντὸς τοῦ ὀστέου.

|| *Φλασθείη δ᾽ ἂν τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει καὶ ῥωγμὴ τῇ φλάσει οὐκ ἂν προσγένοιτο τῷ (692) ὀστέῳ οὐδεμία. δεύτερος οὗτος. ἰδέαι δὲ τῆς φλάσιος πλείους γίνονται, καὶ γὰρ μᾶλλόν τε καὶ ἧσσον φλᾶται καὶ ἐς βαθύτερόν τε καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἧσσον ἐς βαθὺ καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἐπὶ πλέον τε καὶ ἔλασσον μήκεύς τε καὶ πλατύτητος. ἀλλὰ τουτέων τῶν ἰδεῶν οὐδεμία ἔστιν ἰδόντι τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁποίη τίς ἐστι τὴν ἰδέην*

variae ſunt formae. Nam et tenuiores ſunt et tenuiſſimae, ita ut neque quaedam conſpicuae ſint, neque protinus a vulnere, neque quibus diebus dolores augeri et mortem homini adferre aſſolent. Rurſus nonnullae craſſiores et latiores exiſtunt, quaedam etiam latiſſimae, et aliae quidem longius protenduntur, aliae brevius, quaedam etiam in rectum tendunt, quaedam rectiſſimae, nonnullae quoque magis et minus curvantur, quaedam per ſumma ducuntur, quaedam altius penetrant, aliae autem per totum os ad imum usque tendunt.

Contundi autem os poteſt, oſſe naturaliter ſe habente, ut et rima nulla ad oſſis contuſionem accedat. Atque hic alter modus eſt. At contuſionis plures ſunt formae. Nam plus aut minus et altius per totum os contuſio pervadit, aut minus alte neque per totum os et ampliorem aut minorem tum longitudinem tum latitudinem occupat. Sed nulla earum qualinam ſpecie, aut quanta magnitudine exiſtat,

καὶ ὁπόση τὸ μέγεθος. οὐδὲ γὰρ εἰ πέφλασται, ἐόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, γίνεται τοῖσιν ὀφθαλμοῖσι καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν. ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι ἑκὰς ἐοῦσαι καὶ ἐῤῥωγότος τοῦ ὀστέου.

Ἐσφλᾶται τὸ ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω σὺν ῥωγμῇσιν. ἄλλος γὰρ οὐκ ἂν ἐσφλασθείη. τὸ γὰρ ἐσφλώμενον ἀποῤῥηγνύμενόν τε καὶ καταγνύμενον ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσει τῇ ἑωυτοῦ, καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσει. τρίτος οὗτος τρόπος. ἔσφλασται δὲ τὸ ὀστέον πολλὰς ἰδέας, καὶ γὰρ ἐπιπλέον τοῦ ὀστέου καὶ ἐπ᾿ ἔλασσον, καὶ μᾶλλόν τε καὶ ἐς βαθύτερον κάτω καὶ ἧσσόν τε καὶ ἐπιπολαιότερον.

[119] Καὶ ἕδρης γενομένης ἐν τῷ ὀστέῳ βέλεος, προσγέ||νοιτο ἂν ῥωγμὴ τῇ ἕδρῃ, τῇ τε ῥωγμῇ καὶ φλάσιν προσγενέσθαι ἀναγκαῖόν ἐστιν ἢ μᾶλλον ἢ ἧσσον, ᾗ ἧπερ καὶ ῥωγμὴ προσγένηται ἐνθάπερ καὶ ἕδρη ἐγένετο, καὶ ἡ ῥωγμὴ ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν τε ἕδρην καὶ τὴν φλάσιν.

oculis dijudicari poteſt. Neque enim ubi quid contuſum eſt et malum acceſſit, ſtatim ſub ipſo vulnere contuſio oculis eſt conſpicua, ut neque rimae quaedam, quae procul a fiſſo oſſe longius excurrunt.

Os medium deſidit ubi a natura ſua intro recedit, una cum rimis, alioqui medium non deſideret. Quod enim medium deſidit, ab alio oſſe naturaliter ſe habente abruptum fractumque introcedit, itaque ſane huic caſui rimam accedere neceſſe eſt. Atque hic tertius eſt modus. Multis autem modis os medium deſidit. Namque hoc majorem et minorem oſſis partem ocupat, aut magis et altius ad imum penetrat, aut minus et in ſuperficie extat.

Ac ubi telum in oſſe veſtigium reliquit, utique rima adjici poterit et ad rimam colliſum aut magis aut minus accedere neceſſe eſt, cum qua etiam parte rima acceſſit eadem teli veſtigium appareat et rima ſit in oſſe qua teli veſtigium et colliſum continetur. Quartus hic modus eſt cum

Ed. Chart. XII. [119.] Foës. I. 900. Ed. Lind. II. (692. 693.)

τέταρτος οὗτος τρόπος. καὶ ἕδρη δὲ τοῦ βέλεος γίνεται ἐν τῷ ὀστέῳ. ἕδρη δὲ καλέεται, ὅταν μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον δῆλον ποιήσῃ ὅπῃ ἐστήριξεν. ἐν δὲ τῷ τρόπῳ (693) ἑκάστῳ πλέονες ἰδέαι γίνονται. καὶ περὶ μὲν φλάσιος καὶ ῥωγμῆς, ἢν ἄμφω ταῦτα προσγίνηται τῇ ἕδρῃ καὶ ἢν φλάσις μόνη γένηται, ἤδη πέφρασται ὅτι πολλαὶ ἰδέαι γίνονται καὶ τῆς φλάσιος καὶ τῆς ῥωγμῆς. ἡ δὲ ἕδρη αὕτη ἐφ᾽ ἑωυτῆς γίνεται μακροτέρη καὶ βραχυτέρη ἐοῦσα καὶ καμπυλωτέρη καὶ ἰθυτέρη καὶ κυκλοτερής; καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου ὁποῖον ἄν τι καὶ τὸ σχῆμα τοῦ βέλεος ᾖ. καὶ δ᾽ αὗται καὶ βαθύτεραί τε κάτω καὶ μᾶλλον καὶ ἧσσον, καὶ στενότεραι, καὶ εὐρύτεραι καὶ πάνυ εὐρέαι, ἢ διακεκόφαται. διακοπὴ δ᾽ ὁπόση τις οὖν γινομένη μήκεός τε καὶ εὐρύτητος ἐν τῷ ὀστέῳ ἕδρη ἐστὶν, ἢν τἄλλ᾽ ὀστέα τὰ περιέχοντα τὴν διακοπὴν μένει ἐν τῇ φύσει τῇ ἑωυτῶν καὶ μὴ συνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν. οὕτω δ᾽ ἔσφλασις ἂν εἴη καὶ οὐκ ἔτι ἕδρη.

teli veſtigium in oſſe remanet. Teli autem ſedes dicitur, cum os ſuo ſtatu permanens manifeſtum fecerit qua telum inſederit. In unoquoque vero genere plures ſunt formae. Quodque ad colliſum et rimam attinet, ſive haec utraque ad teli veſtigium accedant ſive colliſum duntaxat fiat, varias eſſe tum colliſi tum fiſſi ſpecies jam dictum eſt. At ipſum teli veſtigium per ſe fit longius et brevius magis curvum, aut rectum aut rotundum, ſuntque pro teli figura multae aliae hujuſcemodi ſpecies. Nam et ipſum alte magis aut minus deſcendit anguſtiusque eſt aut latius aut ampliſſimum, ſi praeciſio adjuncta ſit. Praeciſio autem quantamcunque longitudinem et latitudinem oſſis occupet, ad teli veſtigium refertur, dummodo alia oſſa quae praeciſionem continent, in ſuo ſtatu maneant neque una cum praeciſione a ſuo ſtatu recedant et media deſidant. Sic enim os medium deſideret neque amplius teli veſtigium eſſet.

Ed.Chart. XII. [119. 120.] Foës. I. 900. 901. Ed.Lind. II. (693. 694.)

Ὀστέον τιτρώσκεται ἄλλῃ τῆς κεφαλῆς ᾗ τὸ ἕλκος ἔχει ἄνθρωπος καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός. πέμπτος οὗτος τρόπος, καὶ ταύτην τὴν ξυμφορὴν, ὅταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν. οὐδὲ γὰρ εἰ πέπονθε τὸ κακὸν τοῦτο, οὐκ ἔστιν ὅπως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι εἰ πέπονθεν τὸ κακὸν τοῦτο ἄνθρωπος, οὐδ᾽ ὅπῃ τῆς κεφαλῆς.

Τούτων τῶν τρόπων τῆς κατήξιος ἐς πρίσιν ἀφήκει ἥ τε φλάσις ἡ ἀφανὴς ἰδεῖν καὶ ἢν πως τύχῃ φανερὴ γενομένη, καὶ ῥωγμὴ ἢν ἀφανὴς ἰδεῖν καὶ ἢν φανερὴ ᾖ, καὶ ἢν ἕδρης γενομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ προσγένηται ῥωγμὴ καὶ φλάσις τῇ ἕδρῃ, καὶ ἢν φλάσις μοῦνον προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. τὸ δ᾽ ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος τῆς (694) ἑωυτοῦ ὀλίγα τῶν πολλῶν πρίσιος προσδεῖται, [120] || καὶ τὰ μάλιστα ἐσφλασθέντα καὶ μάλιστα καταῤῥαγέντα, ταῦτα πρίσιος ἥκιστα κέχρηται. οὐδὲ ἕδρη αὕτη ἐφ᾽ ἑωυτῆς γενομένη ἄτερ ῥωγμῆς καὶ φλάσιος, οὐδὲ αὐτὴ πρίσιος δεῖται. οὐδ᾽ ἡ διακοπὴ, ἢν μεγάλη καὶ εὐρέη, οὐδ᾽ αὕτη. διακοπὴ γὰρ καὶ ἕδρη τωὐτό ἐστιν.

Os ſub vulnere frangitur alia capitis parte quam qua ulcus eſt et os nudatum eſt. Quintus hic modus eſt. Huicque calamitati nullis remediis ſubvenias. Neque enim ubi iſtud contingit quanam ratione iſtud homo patiatur aut quanam capitis parte ex ejus percunctatione deprehendas.

Ex his fracturae modis ad ſectionem veniendum ſuadet tum oſſis colliſio, quae et oculis non patet et aliquo modo manifeſta eſt, tum rima ſive oculos lateat, ſive ſit conſpicua. Quin et ubi teli veſtigium in oſſe remanet, ſive ad id praeterea rima et colliſio acceſſerit, ſive colliſio ſola absque rima, tunc etiam ad ſectionem veniendum. Os autem medium ex naturali ſtatu deſidens parum ſectione indiget, tum quae maxime deorſum inſederunt, maximeque perſracta ſunt, minime ſectione utendum ſuadent. Neque ubi teli veſtigium per ſe remanet citra rimam et colliſionem, ſectione opus eſt, neque ſi praeciſio magna lataque fuerit. Praeciſio enim et teli veſtigium ad idem referuntur.

Πρῶτον καὶ χρὴ τὸν τρωματίην σκοπεῖσθαι ὅπῃ ἔχῃ τὸ τρῶμα τῆς κεφαλῆς εἴτ᾽ ἐν τοῖσιν ἀσθενεστέροισιν, καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ διακεκόφαται ὑπὸ τοῦ βέλεος καὶ εἰ ἔσω εἴησαν ἐς τὸ τρῶμα, κινδυνεύειν τὸ ὀστέον ψιλὸν εἶναι τῆς σαρκός. καὶ ἢν τοῦτο ᾖ, φάναι ἔχειν τι σῖνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. ταῦτα μὲν οὖν χρὴ ἀπόπροσθεν σκεψάμενον λέξαι, μὴ ἁπτόμενον τοῦ ἀνθρώπου. ἁπτόμενον δ᾽ ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἰ ἔστι ψιλὸν τὸ ὀστέον τῆς σαρκὸς ἢ οὔ. καὶ ἢν μὲν καταφανὲς ᾖ τοῖσιν ὀφθαλμοῖσι τὸ ὀστέον ψιλόν· εἰ δὲ μή, τῇ μήλῃ σκέπτεσθαι. καὶ ἢν μὲν εὕρῃς ψιλὸν ἐὸν τὸ ὀστέον τῆς σαρκὸς καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἐόντος τὴν διάγνωσιν πρῶτα ποιέεσθαι, ὁρῶντα ὅσον τέ ἐστι τὸ κακὸν καὶ τίνος δεῖται ἔργον. χρὴ δὲ καὶ ἐρωτᾷν || τὸν τετρωμένον ὅπως ἔπαθε καὶ τίνα τρόπον. ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον, εἰ ἔχει τι κακὸν ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιέεσθαι, ψιλοῦ τε ἐόντος τοῦ ὀστέου τὸ τρῶμα ὅπως ἐγένετο καὶ ὅντινα τρόπον. τὰς

Imprimis autem ad vulneratum attendere oportet, quanam capitis parte numne imbecilliore vulnus acceperit, et capillos circa vulnus animadvertere, qui fi telo praecifi et in vulnus impacti fint, os carne nudatum effe vero eft fimile. Quod fi fic os a telo noxiam accepiffe afferendum. Haec quidem certe longe ante quam homini manus admoveas confideranda ac dicenda funt. Ubi vero jam admoveris, os carne nudatum fit necne, conandum ut aperte intelligas, idque fub confpectum veniat. Quod fi oculis non pateat, fpecillo confiderandum. Ac ubi quidem os carne nudatum, neque a vulnere integrum deprehenderis, primum infpecto malo quantum fit quamque operam requirat, ejus quod in offe fubeft dignotionem facere oportet. Interrogandus quoque vulneratus, qualiter et quonam modo vulnus acceptum fit. Sin vero minime confpicuum eft os necne vitium aliquod habuerit, multo adhuc magis interrogatione utendum nudato etiam offe, qualiter et quonam modo

Ed. Chart. XII. [120. 121.] Foës. I. 902. Ed. Lind. II. (694. 695.)
γὰρ φλάσιας καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δὲ ἐκ τῆς ὑποκρίσιος τοῦ τετρωμένου, πρῶτον διαγινώσκειν πειρῆσθαι εἴ τι πέπονθε τοῦτο τὸ ὀστέον (695) ἢ οὐ πέπονθεν. ἔπειτα δὲ καὶ λόγῳ καὶ ἔργῳ ἐξελέγχοντα πλὴν μηλώσιος. μήλωσις γὰρ οὐκ ἐξελέγχει εἰ πέπονθε τοῦτο τῶν κακῶν τὸ ὀστέον καὶ εἴτι ἔχει ἐν αὐτῷ ἢ οὐ πέπονθεν, ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐξελέγχει μήλωσις, καὶ ἢν ἐμφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ, καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον, ἅπερ καὶ τοῖσιν ὀφθαλμοῖσι καταφανέα ἐστὶν ὁρῶντα γινώσκειν.

Ῥήγνυται δὲ τὸ ὀστέον τάς τε ἀφανέας ῥωγμὰς καὶ τὰς φανερὰς καὶ φλᾶται τὰς ἀφανέας φλάσιας καὶ ἐσφλᾶται ἔσω ἐκ τῆς φύσεως τῆς ἑωυτοῦ μάλιστα ὅταν ἕτερος ὑφ' ἑτέρου τιτρωσκόμενος ἐπίτηδες τρῶσαι βουλόμενος ἢ ὅταν ἐξ ὑψηλοτέρης γίνηται ἡ βολὴ ἢ ἡ πληγὴ, ὁπότερ' ἂν ᾖ μᾶλλον, ἢ ὅταν ἐξ ἰσοπέδου τοῦ χωρίου, καὶ ἢν ἐπικρατέῃ τῇ χειρὶ τὸ βέλος, ἤν τε βάλλῃ ἤν τε τύπτῃ, καὶ ἰσχυρότερος ἐὼν ἀσθενεστέρους τιτρώσκει. [121] ὅσοι δὲ πίπτοντες τιτρώ-

vulnus illatum sit. Ubi enim ossa collisa aut fissa non apparent, esse tamen solent, primum ex sauciati responsione enitendum ut cognoscamus os necne aliquam noxiam senserit, deinde vero ratione et opere citra specillum res est exploranda. Neque enim specillo hoc ossis vitium deprehenditur, neque si quam in se noxiam senserit necne. Sed ubi teli vestigium remanet, aut os a naturali statu recedens medium desidit, aut vehementer perfractum est, id specillo arguitur, quod et oculis intuenti manifesto notum est.

Frangitur autem os rimis obscuris et conspicuis, et colliditur collisionibus minime patentibus, et a naturali suo statu recedens medium desidit, tum praecipue cum alter alterum de industria sauciare cupiens vulnerat, aut cum ex superiore loco telum emittitur, aut ictus infligitur, utrolibet modo contingat potius quam si ex complanato loco, et si quis manu telum continens vel jaciat vel feriat, vel cum robustior imbecilliores vulnerat. Ex iis quibus ex casu par-

σκονται, πρός τε τὸ ὀστέον καὶ αὐτὸ τὸ ὀστέον. ὁ ἀπὸ ὑψηλοτάτου πίπτων καὶ ἐπὶ σκληρότατον καὶ ἀμβλύτατον, τούτῳ κίνδυνος τὸ ὀστέον ῥαγῆναί τε καὶ φλασθῆναι καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. τῷ δ᾽ ἐξ ἰσοπέδου μᾶλλον χωρίου πίπτοντι καὶ ἐπὶ μαλθακώτερον, ἧσσον ταῦτα πάσχει τὸ ὀστέον ἢ οὐκ ἂν πάθοι. ὅσα δὲ ἐσπίπτοντα ἐς τὴν κεφαλὴν βέλεα τιτρώσκει πρός τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐμπεσὸν καὶ ἥκιστα ἐξ ἰσοπέδου, καὶ σκληρότατόν τε καὶ ἀμβλύτατον καὶ βαρύτατον καὶ ἥκιστα κοῦφον, καὶ ἥκιστά τε καὶ ὀξὺ καὶ μαλθακόν. τοῦτο ἂν ῥήξειε τὸ ὀστέον καὶ φλάσειε, καὶ μάλιστά γε ταῦτα πάσχειν τὸ ὀστέον κίνδυνος, ὅταν ταῦτά τε γίνηται καὶ ἐς ἰθὺ τρωθῆναι κατ᾽ (696) ἀντίον γένηται τὸ ὀστέον τοῦ βέλεος. ἤν τε πληγῇ ἐκ χειρὸς, ἤν τε βληθῇ, ἤν τέ τι ἐμπέσῃ αὐτέῳ καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ, καὶ ὁπωσοῦν τρωθεὶς κατ᾽ ἀντίον γένοιτο τοῦ ὀστέου τῷ βέλει. τὰ δὲ πλάγιον τοῦ ὀστέου παρασύραντα βέλεα ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον καὶ φλάσει εἴσω ἐς κεφαλὴν, κἂν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός. ἔνια γὰρ τῶν

tes quae circa os ſunt, aut os ipſum vulneratur, qui ex maxime ſublimi loco in duriſſimum et obtuſiſſimum quid cadit, is periclitatur ne os perrumpatur aut collidatur, aut a naturali ſuo ſtatu intro medium deſidat. At qui ex complanato loco potius et in mollius quiddam cadit, ei minus iſtas offenſiones, aut nullo modo os ſentiet. Ex telis autem quae in caput illabuntur, et quae juxta os ſunt vulnerant, quod ex maxime ſublimi et minime complanato loco incidit, quodque duriſſimum, maxime obtuſum et grave, minimeque leve aut minime acutum et molle fuerit, id os rumpere ac collidere poterit. Ac praecipue ſane periculum eſt ne ea os ſentiat, ubi talia contigerint ſicque vulnerari os contingat, ut e directo telo occurrat, ſive manu ſive jactu vulnus nfligatur, ſive quid in ipſum illabatur ſive corruens vulneretur, ſeu quomodolibet vulnerati os telo obviam eat. At tela quae in obliquum diſtrahunt, ſub his os minus rumpitur et intro ad caput contunditur, licet os carne nudatum

Ed. Chart. XII. [121.] Foëſ. I. 902. 903. Ed. Lind. II. (696.)
τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός.

|| Τῶν δὴ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον τάς τε φανερὰς ῥωγμὰς καὶ τὰς ἀφανέας καὶ φλᾶται καὶ ἐσφλᾶ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον, τὰ στρογγύλα τε καὶ περιφερέα καὶ ἀρτίστομα, ἀμβλέα τε ὄντα καὶ βαρέα καὶ σκληρά, καὶ τὴν σάρκα ταῦτα φλᾶται καὶ πέπειρον ποιέει καὶ κόπτει, καὶ τὰ ἕλκεα γίνεται ὑπὸ τῶν τοιούτων βελέων ἐς τὸ πλάγιον, καὶ ἐν κύκλῳ ὑπόκοιλα καὶ διάπυά τε μᾶλλον γίνεται καὶ ὑγρά ἐστι καὶ ἐπὶ πλέονα χρόνον καθαίρεται. ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας πῦον γενομένας ἐκτακῆναι. τὰ δὲ βέλεα καὶ προμήκεα ἐπιπολὺ λεπτὰ ἐόντα καὶ ὀξέα καὶ κοῦφα τήν τε σάρκα διατάμνει μᾶλλον ἢ φλᾷ καὶ ὀστέον ὡσαύτως. καὶ ἕδρην μὲν ἐμποιέει αὐτὸ καὶ διακόψαν. διακοπὴ γὰρ καὶ ἕδρη τωυτόν ἐστι. φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαυτα βέλεα οὐδὲ ῥήγνυσιν, οὐδ᾽ ἐκ τῆς φύσιος ἔσω ἐσφλᾷ.

ſit. Quaedam enim ſic illata vulnera neque os carne detegunt.

Sub telis ſane quae rotunda ſunt, orbiculata, omni ex parte plana, retuſa, gravia et dura os maxime finditur tum rimis conſpicuis tum obſcuris et colliditur et a naturali ſtatu recedens medium deſidit. Eadem quoque carnem contundunt, maturant et lacerant. At ſub hujusmodi telis vulnera ad latera et in orbem aliquantulum cava purulentaque magis redduntur atque humida, longioreque tempore repurgantur. Carnes enim colliſas et laceratas in pus verſas neceſſe eſt tabeſcere. Tela vero oblonga magna ex parte tenuia, acuta et levia carnem magis incidunt osque ſimiliter, quam collidant. Idque etiam quod incidit teli veſtigium inducit. Praeciſio enim et teli veſtigium ad idem referuntur. Ac tela hujusmodi neque magnopere os collidunt, neque findunt neque a naturali ſtatu recedens medium deſidere faciunt.

Ἀλλὰ χρὴ πρὸς τῇ ὄψει τῇ ἑωυτοῦ ὅ τι ἄν σοι φαίνηται ἐν τῷ ὀστέῳ καὶ ἐρώτησιν ποιέεσθαι πάντων τούτων· τοῦ γὰρ μᾶλλόν τε καὶ ἧσσον τρωθέντος ταῦτ᾽ ἐστὶ σημεῖα, καὶ ἢν ὁ τρωθεὶς καρωθῇ, καὶ σκότος περιχυθῇ καὶ δῖνος, ἢ καὶ πέσῃ.

[122] Ὅταν (697) δὲ τύχῃ ψιλωθὲν τὸ ὀστέον τῆς σαρκὸς ὑπὸ τοῦ βέλεος καὶ τύχῃ κατ᾽ αὐτὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος, χαλεπὸν γίνεται καὶ τὴν ἕδρην τοῦ βέλεος φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φανερὴν γινομένην, εἴτ᾽ ἔνεστιν ἐν τῷ ὀστέῳ, εἴτε μὴ ἔνεστιν, ἤν τε τύχῃ γινομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥαφῇσι. συμβλέπει γὰρ αὐτὴ ἡ ῥαφὴ τρηχυτέρη ἐοῦσα τοῦ ἄλλου ὀστέου, καὶ οὐ διάδηλον ὅτι τε αὐτοῦ ῥαφή ἐστι καὶ ὅτι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα μεγάλη γένηται ἡ ἕδρη. προσγίνεται δὲ καὶ ῥῆξις τῇ ἕδρῃ ὡς ἐπὶ τὸ πουλὺ αὕτη ἐν τῇσι ῥαφῇσι γινομένη, καὶ γίνεται καὶ αὐτῇ ἡ ῥῆξις χαλεπωτέρη φράσασθαι ἐῤῥωγότος τοῦ ὀστέου, διὰ τοῦτο ὅτι κατ᾽ αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆξις γίνεται, ἢν ῥηγνύηται ὡς ἐπὶ τὸ πολύ. ἕτοιμον γὰρ ταύτῃ ῥήγνυσθαι τὸ ὀστέον καὶ διαχαλᾷν διὰ τὴν ἀσθένειαν τῆς φύσιος τοῦ ὀστέου ταύτῃ καὶ ἀραιότητα καὶ διά τε τῆς ῥα-

Caeterum praeter id quod oculis tuis subjicitur, quicquid in osse tibi apparere videbitur, etiam ex aegro requirendum: etenim magis aut minus vulnerati haec sunt indicia. Tum si aeger alto sopore detentus fuerit, aut tenebrae oculis offusae, aut si vertigo prehenderit, aut ipse conciderit.

At ubi osse a telo nudato vulnus ad ipsas suturas fieri contigerit, teli vestigium, quod in alio osse relictum necne fuerit conspicuum est, si in suturis ipsis extiterit, asserere est difficile. Fallit enim sutura ipsa reliquo osse asperior, neque constat sitne illic sutura, an teli vestigium, nisi admodum magnum teli vestigium relictum sit. Accedit quoque ad teli vestigium plerumque rima ipsa in suturis existens, fractoque osse rimam asserere ideo difficilius est, quod ubi plurimum frangi contingit, ad suturam ipsam rima existat. Prompte enim os hac parte, ob eam quam a natura habet imbecillitatem, frangitur et elaxatur, aut quia sutura prompte

Ed. Chart. XII. [122.] Foës. I. 903. 904. Ed. Lind. II. (697. 698.)

ῆς ἑτοίμης ἐούσης ῥήγνυσθαι καὶ διαχαλᾷν. τ' ἄλλα τὰ ὀστέα ὰ περιέχοντα τὴν ῥαφὴν μένει ἀῤῥαγέα, ὅτι ἰσχυρότερά στι τῆς ῥαφῆς. ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν γινομένη καὶ ιαχάλασίς ἐστι τῆς ῥαφῆς καὶ φράσασθαι οὐκ εὐμαρὴς ᾖ, ὔτε ὑπὸ ἕδρης τοῦ βέλεος γενομένης ἐν τῇ ῥαφῇ, ἐπειδὰν αγῇ καὶ διαχαλάσῃ, ἀλλ' ἔστι χαλεπώτερον φράσασθαι τὴν πὸ τῆς φλάσιος ῥωγμήν. συγκλέπτουσι γὰρ τὴν γνώμην καὶ ὴν ὄψιν τοῦ ἰητροῦ αὗται αἱ ῥαφαὶ ῥωγμοειδέες φαινόμεαι καὶ τρηχύτεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου, ὅτι μὴ ἰσχυῶς διεκόπη καὶ διέχαλασε. || διακοπὴ δὲ καὶ ἕδρη τωὐτόν στιν. ἀλλὰ χρὴ εἰ κατὰ τὰς ῥαφὰς τὸ τρῶμα γένοιτο καὶ ρός γε τὸ ὀστέον στηρίξειε τὸ βέλος, προσέχοντα τὸν όον ἀνευ(698)ρίσκειν ὅ τι πέπονθε τὸ ὀστέον. ἀπὸ γὰρ σων βελέων τὸ μέγεθος καὶ ὁμοίων καὶ πολλόν τε ἐλασσόνων καὶ ὁμοίως τρωθεὶς καὶ πολὺ ἧσσον, πολλῷ μεῖζον κτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ ἐς τὰς ῥαφὰς δεξάμενος τὸ έλος ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος καὶ τούτων τὰ πολλὰ ρίεσθαι δεῖ. ἀλλ' οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ' ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιέεσθαι,

frangi ac elaxari solet. Reliqua vero ossa suturam ambientia, quod sutura sint robustiora, citra fracturam permanent. At fractura ad suturam existens suturae etiam laxatio est, quam ubi fracta fuerit et elaxata, num id a teli vestigio in sutura existente contingat, asserere non est facile. Verum rimam ubi ex colliso contigerit, difficilius est asserere. Suturae enim rimae speciem referentes et reliquo osse asperiores, medici judicium et visum fallunt, nisi os vehementer dissectum sit et elaxatum. Praecisio autem et teli sedes eodem referuntur. Sed ubi suturas vulnus attigerit et in osse telum insederit, mentem adhibere oportet, ut qua noxa os afficiatur inveniamus. Ab aequalibus enim magnitudine telis aut similibus, aut longe etiam minoribus, similiter ac multo levius vulneratus, longe gravius offenditur qui osse ad suturas telum excepit quam qui alia parte ex iisque plerumque sectione indigent. Ad ipsas tamen suturas non est sectio adhibenda, verum ubi ab his recesseris, si sectio-

Ed. Chart. XII. [122. 123.] Foës. I. 904. Ed. Lind. II. (698.)
ἢν πρίης. περὶ δὲ ἰήσιος τρώσιος τῶν ἐν τῇ κεφαλῇ καὶ ὡς χρὴ ἐξελέγχειν τὰς πάθας τὰς ἐν τῷ ὀστέῳ γινομένας τὰς μὴ φανερὰς, ὧδέ μοι δοκέει.

Ἕλκος ἐν τῇ κεφαλῇ οὐ χρὴ τέγγειν οὐδενὶ, οὐδὲ οἴνῳ ἄλλως ἥκιστα, οὐδὲ καταπλάσσειν, οὐδὲ μοτῷ τὴν ἴησιν ποιέεσθαι. οὐδὲ πιέζειν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος ἢ ἐν τῷ ψιλῷ τῶν τριχῶν ἢ περὶ τὴν ὀφρῦν καὶ τὸν ὀφθαλμόν. ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα καταπλάσιος καὶ ἐπιδέσιος μᾶλλον κέχρηται ἤ που ἄλλοθι τῆς [123] κεφαλῆς τῆς ἄλλης. περιέχει γὰρ ἡ κεφαλὴ ἡ ἄλλη τὸ μέτωπον πᾶν. ἐκ δὲ τῶν περιεχόντων τὰ ἕλκεα καὶ ἐν ὅτῳ ἂν ᾖ τὰ ἕλκεα φλεγμαίνει καὶ ἐπανοιδίσκεται δι᾽ αἵματος ἐπιῤῥοήν. χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ᾽ ἐπειδὰν παύσηται φλεγμαίνοντα καὶ τὸ οἴδημα καταστῇ, παύσασθαι καταπλάσσοντα καὶ ἐπιδέοντα. ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρὴ οὔτε καταπλάσσειν οὔτ᾽ ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς δέοιτο.

nem adhibes, in osse proximo facienda. De capitis autem vulneribus eorumque curatione, quaque ratione latentes ossis affectiones deprehendi debeant, sic censeo.

Capitis ulcus nulla re madefaciendum, ac ne vino quidem, aut quam minimum. Neque vero cataplasmata, neque per linamenta curationem postulat. At neque comprimendum capitis ulcus est, nisi in fronte sit aut in parte pilis nudata, aut circa supercilium et oculum. Harum enim partium ulcera cataplasmatis et deligationis usum magis requirunt, quam quae alia reliqui capitis parte fiunt, cum a reliquo capite frons universa contineatur, ulcera vero quacunque in parte fiant ob sanguinis fluxum, ab iis quibus continentur ad inflammationem et tumorem adducantur. At neque in his quae in fronte sunt toto tempore cataplasmate et deligatione utendum, sed ubi inflammatio cessarit et tumor conquieverit, ab his desistendum. In reliquis autem capitis ulceribus, neque linamentis neque cataplasmate neque deligatione utendum, nisi sectione opus sit.

d. Chart. XII. [123.] Foes. I. 906. Ed. Lind. II. (698. 699.)

|| Τάμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν τῇ κεφαλῇ γινο-
699)μένων καὶ ἐν μετώπῳ, ὅπῃ ἂν τὸ μὲν ὀστέον ψιλὸν τῆς σαρκὸς καὶ δοκέῃ τι σῖνος ἔχειν ὑπὸ τοῦ βέλεος. τὰ ἕλκεα μὴ ἱκανὰ τὸ μέγεθος τοῦ μήκεος καὶ τῆς εὐρύτηος, ἐς τὴν σκέψιν τοῦ ὀστέου εἴτι πέπονθεν ὑπὸ τοῦ βέλεος κακὸν καὶ ὁποῖόν τι πέπονθε καὶ ὅσον ἡ μὲν σὰρξ ἔφλασται, καὶ τὸ ὀστέον ἔχει τὸ σῖνος, καὶ δ᾽ αὖ τε εἰ σινές τέ ἐστι τὸ ὀστέον ὑπὸ τοῦ βέλεος καὶ μηδὲν πέπονθε κακὸν, καὶ ἐς τὴν ἴησιν, οἵης δεῖταί τινος τό τε ἕλκος, ἥ τε σὰρξ, καὶ ἡ πάθη τοῦ ὀστέου. τὰ δὴ τοιαῦτα τῶν ἑλκέων τομῆς δεῖται. ἂν καὶ μὲν ὀστέον ψιλωθῇ τῆς σαρκὸς, ὑπόκοιλα δὲ ᾖ ἐς πλάγιον ἐπιπολὺ ἐπανατέμνειν τὸ κοῖλον, ὅκου μὴ εὐχερὲς τῷ φαρμάκῳ ἀφικέσθαι, ὁκοίῳ ἄν τινι χρὴ, καὶ τὰ κυκλότερα τῶν ἑλκέων, καὶ ὑπόκοιλα ἐπὶ πολὺ καὶ τὰ τοιαῦτα ἐπανατέμνων τὸν κύκλον διχῇ κατὰ μῆκος, ὡς πέφυκεν ἄνθρωπος μακρὸν ποιέειν τὸ ἕλκος.

Τάμνοντι δὲ κεφαλὴν τὰ μὲν ἄλλα τῆς κεφαλῆς ἀσφα-

Sectionem autem postulant capitis et frontis ulcera, ubi os quidem carne nudatum fuerit, aut sub telo noxiam aliquam sensisse videatur. Ipsa vero ulcera non satis idoneam habent longitudinem et latitudinem qua perspici possit nunquid os sub telo male affectum sit, aut qualemnam noxam senserit, aut quantum quidem carnis collisum sit et quantum offensionis os senserit, contraque num os a telo inviolatum manserit, nihilque mali senserit, et quanam curatione tum ulcus tum caro, tum ossis offensio opus habeat. Ejusmodi sane ulcera sectionem postulant. Atque etiam ubi os quidem carne nudatum fuerit, ulcera autem obliquam quandam cavitatem habeant, abunde cavum incidere oportet, ubi medicamentum, quodcunque opus fuerit, non facile pervenire potest. Sed et ulcera orbiculata et admodum cava ejusmodi quoque incidere oportet, ut orbe in longitudinem bifariam diviso, prout est hominis natura, ulcus longum efficiatur.

At in capitis sectione caeterae quidem capitis partes

Ed. Chart. XII. [123. 124.] Foës. I. 906. 907. Ed. Lind. II. (699. 70
λείην ἔχει τεμνόμενα; ὁ δὲ κρόταφος καὶ ἄνωθεν ἔτι τ
κροτάφου, κατὰ τὴν φλέβα τὴν διὰ τοῦ κροτάφου φερομ
νην, τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν. σπασμὸς γὰρ ἐπιλα
βάνει τὸν τμηθέντα. καὶ ἢν μὲν ἐπ' ἀριστερὰ τμηθῇ κρ
τάφου, τὰ ἐπιδεξιὰ ὁ σπασμὸς ἐπιλαμβάνει· ἢν δ' ἐπὶ
δεξιὰ τμηθῇ κροτάφου, τὰ ἐπ' ἀριστερὰ ὁ σπασμὸς ἐπιλα
βάνει.

|| Ὅταν οὖν τάμνῃς ἕλκος ἐν κεφαλῇ ὀστέων εἵνε
τῆς σαρκὸς ἐψιλωμένων, θέλων εἰδέναι εἴ τι ἔχει τὸ ὀστέ
[124] κακὸν ὑπὸ τοῦ βέλεος ἢ καὶ οὐκ ἔχει, τάμνειν χρ
τὸ μέγεθος τὴν ὠτειλὴν, ὅση ἂν δοκέῃ ἄνω χρῆναι. τε
μνοντα δὲ χρὴ ἀναστεῖλαι τὴν σάρκα ἀπὸ τοῦ ὀστέου,
πρὸς (700) τῇ μήνιγγι καὶ πρὸς τῷ ὀστέῳ πέφυκεν. ἔπειτ
διαμοτῶσαι τὸ ἕλκος πᾶν μοτῷ, ὅστις ἂν εὐρύτατον τὸ ἕλ
κος παρέξει ἐς τὴν ὑστεραίην ξὺν ἐλαχίστῳ πόνῳ. μοτώσαντ
δὲ καταπλάσματι χρῆσθαι ὅσον ἂν χρόνον καὶ τῷ μοτ
μάζην ἐκ λεπτῶν ἀλφίτων, ἐν ὄξει διαμάσσειν ἢ ἕψειν κα
γλίσχρην ποιέειν ὡς μάλιστα.

tuto secari possunt, tempus vero et quod adhuc supra es juxta venam quae per tempora fertur, haec inquam regi secari non debet. Nervorum enim distentione prehenditu qui sectus est. At si sinistra tempora secta fuerint, dextr convulsio prehendit, sin ad dextra sectio fuerit, sinistra con velluntur.

Ubi igitur ossium carne nudatorum causa ulcus in capite secatur, ut cognoscas sub telo os aliquod vitium senserit necne, vulnus ea magnitudine superiore parte, quanta opus esse videbitur, secari debet. Cum autem inciditur, carnem quae ossi et membranae adhaeret, ab osse diducere oportet. Tum linamentis ulcus implendum, quae in posterum diem quam minimo labore ulcus amplissimum exhibeant. Admotis linamentis, cataplasmate quamdiu linamenta adhibentur utendum, maza ex tenuissima polenta ex aceto subacta et incocta, ut quam maxime glutinosa reddatur.

.. Chart. XII. [124.] Foëf. I. 907. Ed. Lind. II. (700.)

Τῇ δ᾽ ὑστεραίῃ ἡμέρῃ ἐπειδὰν ἐξέλῃς τὸν μοτὸν, κατι-
..ν τὸ ὀστέον ὅ τι πέπονθεν, ἐὰν μή σοι καταφανὴς ᾖ ἡ
..ῶσις ὁποίη τίς ἐστιν ἐν τῷ ὀστέῳ, μηδὲ διαγινώσκῃς
..ε τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ ἢ καὶ οὐκ ἔχει, τὸ
.. βέλος δοκέῃ ἀφικέσθαι ἐς τὸ ὀστέον καὶ σινᾶσθαι, ἐπι-
..ειν χρὴ τῷ ξυστῆρι κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀν-
..ρώπου ὡς πέφυκεν. καὶ αὖθις εἰ ᾖ κάρσιον τὸ ὀστέον
..ῶν ῥήξεων εἵνεκα τῶν ἀφανέων ἰδεῖν καὶ τῆς φλάσιος εἵ-
..κα τῆς ἀφανέος τῆς οὐκ ἐσφλωμένης εἴσω ἐκ τῆς φύσιος
..ῆς κεφαλῆς τοῦ ἄλλου ὀστέου. ἐξελέγχει γὰρ ἡ ξύσις μᾶλ-
..ν, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι
..σαι ἐν τῷ ὀστέῳ τοῦ βέλεος, καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ
..τέῳ τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην τοῦ
..έλεος καὶ τὰ περιέχοντα αὐτὴν ὀστέα, μὴ πολλάκις τῇ
..ρῃ προσγένηται ῥῆξις καὶ φλάσις ἢ μούνη φλάσις, ἔπειτα
..ανθάνῃ οὐ καταφανέα ἐόντα.

Ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκέῃ
.. πρίσιν ἀφίκειν ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ καὶ τὰς

Poſtridie exemptis linamentis ubi os affectum conſpe-
..eris, ſi cujusmodi plaga in oſſe fuerit non ſit tibi conſpicua,
..eque dijudices os mali aliquid in ſe receperit necne, te-
..um autem ad os perveniſſe ipſumque offendiſſe videatur,
..d ſcalpro raſorio in altitudinem et longitudinem, prout
..ſt hominis natura radendum eſt, atque etiam ſi transverſum
..s fuerit, ob rimas quae in conſpectum non veniunt, aut
..olliſionem non apparentem, ubi os medium non deſederit,
..eque ſua natura ab altero capitis oſſe intro receſſerit. Ubi
..amque os deraſeris, magis deprehendes oſſis ex telo affe-
..tiones, ſi alioqui in conſpectum non venerint. Ac ſi teli
..eſtigium in oſſe conſpiciatur, ipſum quoque eradendum
..ſt, tum circum ambientia oſſa, ne cum ſaepe ad teli ve-
..ſtigium fiſſum et colliſum, aut colliſum tantum accedat, ea
..poſtea lateant neque in conſpectum veniant.

Poſtquam autem os ſcalpro eraſeris, ſi quidem oſſis
vulnus ad ſectionem tendere videatur, intra triduum ad

Ed. Chart. XII. [124. 125.] Foës. I. 907. 908. Ed. Lind. II. (700. 70

τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἀπρίωτον, ἀλλ' ἐν ταύτῃ πρίειν ἄλλως τε καὶ τῆς θερμῆς ὥρης, ἢν ἐξ ἀρχῆς λα βάνῃς || τὸ ἴημα. ἢν δὲ ὑποπτεύσῃς μὲν τὸ ὀστέον ἐῤ γέναι ἢ πε(701)φλᾶσθαι, ἢ ἀμφότερα ταῦτα, τεκμαιρόμει ὅτι ἰσχυρῶς τέτρωται ἐκ τῶν λόγων τοῦ τρωματίου, καὶ ὑπὸ ἰσχυροῦ τοῦ τρώσαντος, ἢν ἕτερος ὑφ' ἑτέρου τρωθ καὶ τὸ βέλος ὅτῳ ἐτρώθη ὅτι τῶν κακούργων βελέων ἔπειτα τὸν ἄνθρωπον ὅτι δῖνός τε ἔλαβε καὶ σκότος ἐκαρώθη καὶ κατέπεσε. τούτων δὲ οὕτω γι[125]νομένα ἢν μὴ διαγινώσκῃς εἰ ἔῤῥωγε τὸ ὀστέον ἢ πέφλασται ἢ ἀμφότερα ταῦτα, μήτε ἄλλως ὁρῶν, δεῖ δὴ ἐπὶ τὸ ὀστέ τήκειν τὸ μελάντατον δεύσαντα τῷ μέλανι φαρμάκῳ τῷ τ κομένῳ. τό τε ἕλκος ὑποτείνας ὀθόνιον ἐλαίῳ τέγξαι, εἶ καταπλάσας τῇ μάζῃ ἐπιδῆσαι. τῇ δ' ὑστεραίῃ ἀπολύσ καὶ ἐκκαθήρας τὸ ἕλκος ἐπιξύσαι, καὶ ἢν μὴ ᾖ ὑγιὲς, ἀλ ἐῤῥώγῃ καὶ πεφλασμένον ᾖ, τὸ μὲν ἄλλο ἔσται ὀστέον λευκ ξυόμενον. ἡ δὲ ῥωγμὴ καὶ ἡ φλάσις κατακέντος τοῦ φαρμ

sectionem veniendum, neque id spatium citra sectione superandum, idque praecipue si calida anni tempestate initio curationem susceperis. At si os quidem fissum susp ceris aut collisum, aut utrumque, ex vulnerati sermonib de vulneris magnitudine conjecturam faciens, quod a r busto vulnus illatum sit, si alter ab altero vulneratus fuer quodque telum quo vulnus est inflictum ex eorum est gene quae noxam inferunt, tum quia aeger vertigine corrept fuerit, aut tenebrae oculis offusae, aut alto sopore detent conciderit. Quae quidem ubi inciderint, nisi dignosc osne fissum sit aut collisum, aut utroque modo vitiatum n que alia ratione conspicere liceat: super os atramentu scriptorium medicamento aliquo nigro liquato maceratu inducendum, ulcusque subjecto linteo oleo madefacto, dei de cataplasmate ex maza imposito deligandum, postridie ve ulcere resoluto ac repurgato os deradendum. Et si inte grum non fuerit, sed fissum et collisum, reliquum quide os erasum album erit. At fissum et collisum, in se medi

κου δεξαμένη τὸ φάρμακον ἐς ἑωυτὴν μέλαν ἐὸν, ἔσται μέλαινα ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλλῳ. ἀλλὰ χρὴ αὖθις τὴν ῥωγμὴν ταύτην φανεῖσαν ἐπιξέειν κατὰ βάθος, καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν ταύτην φανεῖσαν μέλαιναν ἐξέλῃς καὶ ἀφανέα ποιήσῃς, φλάσις μὲν γεγένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον, ἥτις περ ἔῤῥηξε καὶ τὴν ῥωγμὴν τὴν ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος. ἧσσον δὲ φοβερὸν καὶ ἧσσον ἂν πρῆγμα ἀπ' αὐτῆς γένοιτο ἀφανισθείσης τῆς ῥωγμῆς. ἢν δὲ κατὰ βάθος ᾖ καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, ἀφίκει ἐς πρίσιν ἡ τοιαύτη ξυμφορή. ἀλλὰ χρὴ πρίσαντα τὰ λοιπὰ ἰητρεύειν τὸ ἕλκος. φυλάσσεσθαι δὲ χρὴ ὅπως μή τι κακὸν (702) ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢν κακῶς ἰητρεύηται. ὀστέῳ γὰρ καὶ πεπρισμένῳ καὶ ἄλλως ἐψιλωμένῳ, ὑγιεῖ δὲ ἐόντι καὶ ἔχοντί τι σῖνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιεῖ εἶναι, κίνδυνός ἐστι μᾶλλον ὑπόπυον γενέσθαι, ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται καὶ φλεγμαίνηται καὶ περισφίγγηται. πυρετῶδες γὰρ γίνεται καὶ πολλοῦ φλογμοῦ πλέον, καὶ δὴ τὸ ὀστέον

camentum nigrum dilutum recipiens, reliquo osse albo existente nigrum conspicietur. Verum iterum rimam ipsam in conspectum venientem alte radere oportet. Ac si quidem radendo rimam ejusmodi nigram visam exemeris et deleveris, collisum quidem os plus aut minus fuit, ex quo rimam accepit, quam scalper rasorius delevit. At rima deleta res minus terret minusque negotii exhibet. Ubi vero altius descendit, neque radendo eximi potest, in hoc casu ad sectionem deveniendum est. Caeterum sectione utendum in reliquo ad ulceris curationem intentum esse oportet, cavendumque est ne os a male curata carne aliquid vitii contrahat. Os enim sectionem expertum et alioqui nudatum, integrum tamen aut quod a telo offensionem accepit, sed integrum videtur, magis periclitatur ne purulentum evadat, quamvis id alias futurum non sit, tum si caro os ambiens male curetur tum inflammationem concipiat, et constricta sit. Igneum enim evadit multoque ardore redundat, sane-

Ed. Chart. XII. [125. 126.] Foës. I. 908. 909. Ed. Lind. II. (702.)

ἐκ τῶν περιεχουσῶν σαρκέων ἐς ἑωυτὸ θέρμην τε καὶ φλογμὸν καὶ ἄραδον ἐμποιέει καὶ σφυγμὸν, καὶ ὅσα περ ἡ σὰρξ ἔχει κακὰ ἐν ἑωυτῇ, καὶ ἐκ τουτέων ὧδε ὑπόπυον γίνεται.

|| *Κακὸν δὲ καὶ ὑγρήν τε εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει καὶ μυδῶσαν καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα. οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος καὶ τάχιστα καθαρὸν εἴη. ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας* [126] *καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος ὑποπύους γενομένας ἐκτακῆναι. ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γίγνεσθαι τὸ ἕλκος. οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς, καὶ οὕτως οὐκ ἂν ὑπερσαρκίσῃ τὸ ἕλκος. ὁ δ᾽ αὐτὸς λόγος καὶ ὑπὲρ τῆς μήνιγγος τῆς περὶ τὸν ἐγκέφαλον. ἢν γὰρ αὐτίκα ἐκπρίσας τὸ ὀστέον καὶ ἀφελὼν ἀπὸ τῆς μήνιγγος ψιλώσας, αὐτὴν καθαρὴν χρὴ ποιῆσαι ὡς τάχιστα καὶ ξηρὴν, ὡς μὴ ἐπὶ πουλὺν χρόνον ἐοῦσα μυδήῃ τε καὶ ἐξαίρηται. τούτων γὰρ οὕτω γινομένων σαπῆναι αὐτὴν κίνδυνος.*

que os ipſum ex ſuperjectis carnibus calorem, incendium, perturbationem, pulſum, caeteraque vitia quibus caro vexatur in ſe inducit, ex hisque hoc modo purulentum evadit.

Vitioſa autem eſt ulceris caro humida et nimia uligine marceſcens, idque longo tempore repurgari. Sed quam celerrime quidem ulcus ad ſuppurationem adducere oportet. Hac enim ratione ulcus ambientes partes minime inflammatione vexabuntur, ipſumque purum citiſſime evadet. A telo namque tum conciſas tum colliſas carnes in pus verti ac tabeſcere neceſſe eſt. At ubi repurgatum ulcus fuerit, ſiccius evadat oportet. Sic enim citiſſime ſaneſcet et caro ſicca minimeque humida ſuccreſcet, neque hoc pacto in ulcere caro modum excedet. Eadem quoque eſt ratio membranae cerebrum ambientis. Ea enim protinus oſſe ſecto et exempto denudata quam citiſſime purgari et ſiccari debet, ne ſi diutius madeſcat tum nimia uligine marceſcat, tum in tumorem aſſurgat. His enim ita ſe habentibus periculum eſt ne ipſa putreſcat.

Ed. Chart. XII. [126.] Foëſ. I. 909. 910. Ed. Lind. II. (702. 703.)

Ὀστέον δὲ ὅ τι δὴ ἀποστῆναι δεῖ ὅτου ἄλλου ὀστέου ἕλκεος ἐν κεφαλῇ (703) γενομένου, ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ ἢ ἄλλως ἐπὶ πουλὺ ψιλωθέντος τοῦ ὀστέου, ἀφίσταται ἐπὶ πουλὺ ἔξαιμον γινόμενον. ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν || πλείστων. τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοιτο λοιπὸν τό τε ἕλκος καὶ τὸ ὀστέον, καὶ τὸ μεῖζον καὶ τὸ ἧσσον. τὸ γὰρ τάχιστα ἀποξηρανθὲν καὶ ἀποστρακὸς ἐν τούτῳ μάλιστα ἀφίεται ἀπὸ τοῦ ἄλλου ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος αὐτέου, ἔξαιμόν τε γενόμενον καὶ ξηρὸν τῷ ἐναίμῳ καὶ ζῶντι μάλα ἀφίσταται.

Ὅσα δὲ τῶν ὀστέων ἐσφλᾶται ἔσω, ἐκ τῆς φύσιος τῆς ἑωυτῶν καταῤῥαγέντα ἢ καὶ διακοπέντα πάνυ εὐρέα, ἀκινδυνότερα τὰ τοιαῦτα γίνεται. ἐπὴν ἡ μῆνιγξ ὑγιὴς ᾖ, καὶ τὰ πλέοσι ῥωγμῇσιν ἐσκαταῤῥαγέντα καὶ εὐρυτέρῃσιν, ἔτι ἀκινδυνότερα καὶ εὐμαρέστερα ἐς τὴν ἀφαίρεσιν γίνεται, καὶ οὐ χρὴ πρίειν τῶν τοιούτων οὐδὲν, οὐδὲ κινδυνεύειν τὰ

At vero in capitis vulnere os quod ab alio quovis oſſe abſceſſurum eſt, ſive teli veſtigium in oſſe relictum ſit, ſive alioqui os plurimum nudatum ſit, plerumque abſcedit ubi exangue redditum fuerit. Reſiccatur enim ſanguis in oſſe tempore, et ſub plurimis medicamentis. Abſcedet autem celerrime, ſi quis quam citiſſime repurgato ulcere in reliquo tum ulcus tum os ſiccet, idque plus aut minus. Quod enim citiſſime reſiccatum eſt et in teſtulam abiit, ideo ab alio oſſe vitam et ſanguinem habente potiſſimum abſolvitur, et cum exangue et ſiccum reddatur, ab eo quod vitam in ſanguinem habet valde abſcedit.

Oſſa quae a ſuo naturali ſtatu recedunt et media deſidunt, fracta aut late admodum praeciſa, haec minus habent periculi ubi membrana integra fuerit, quaeque rimis pluribus et latioribus intus fracta ſunt, minus etiam periculo ſunt obnoxia et facilius eximuntur, neque horum quicquam ſectione indiget, neque cum periculo oſſa auferre tentan-

ἐστέα πειρώμενον ἀφαιρέειν πρὶν ἢ αὐτόματα ἐπανίῃ, εἰκὸς πρῶτον χαλάσαντος. ἐπανέρχεται δὲ τῆς σαρκὸς ὑποφυομένης, ὑποφύεται δὲ ἐκ τῆς διπλόης τοῦ ὀστέου καὶ ἐκ τοῦ ὑγιέος, ἢν ἡ ἄνωθεν μοῖρα τοῦ ὀστέου μούνη σφακελίσῃ. οὕτω δ᾽ ἂν τάχιστα ἥ τε σὰρξ ὑποφύοιτο καὶ βλαστάνοι καὶ τὰ ὀστέα ἐπανίοι, εἴ τις τὸ ἕλκος ὡς τάχιστα διάπυον ποιήσας καθαρὸν ποιήσηται, καὶ ἢν διὰ παντὸς τοῦ ὀστέου ἄμφω αἱ μοῖραι ἐσφλασθῶσιν ἔσω ἐς τὴν μήνιγγα, ἥ τε ἄνω μοίρη τοῦ ὀστέου καὶ ἡ κάτω, ἰητρεύοντι ὡσαύτως τὸ ἕλκος ὑγιὲς τάχιστα ἔσται, καὶ τὰ ὀστέα τάχιστα ἐπάνεισιν τὰ ἐσφλασθέντα ἔσω.

[127] (704) Τῶν δὲ παιδίων τὰ ὀστέα καὶ λεπτότερά ἐστι καὶ μαλθακώτερα διὰ τοῦτο, ὅτι ἐναιμότερά ἐστι καὶ κοῖλα, καὶ οὔτε σηραγγώδεα καὶ οὔτε πυκνὰ οὔτε στερέα, καὶ ὑπὸ τῶν βελέων ἴσων τε ἐόντων καὶ ἀσθενεστέρων καὶ τρωθέντων ὁμοίως τε καὶ ἧσσον, τὸ τοῦ νεωτέρου παιδίου καὶ μᾶλλον καὶ θᾶσσον ὑποπυΐσκεται ἢ τὸ τοῦ πρεσβυτέρου καὶ ἐν ἐλάσσονι χρόνῳ καὶ ὅσα ἂν ἄλλως μέλλῃ ἀποθανεῖ-

dum prius quam ſponte ſurſum cedant. Surſum autem os educi priore laxato et carne ſubnaſcente eſt conſentaneum, quae ex oſſis meditullio, ubi oſſa inter ſe connectuntur, et ab eo quod ſanum eſt ſuccreſcit, ſi ſuperior tantum oſſis pars corrupta ſit. Hac vero ratione tum caro celerrime ſuccreſcet et pullulabit, tum oſſa ſurſum educentur, ſi quis ulcus quam citiſſime in pus mutatum repurget. Quod ſi os totum utraque ex parte, tam ſuperiore quam inferiore, deorſum ad membranam inſederit, ſub eadem curatione et ulcus citiſſime ſaneſcet, et oſſa deorſum inſidentia celerrime ſurſum educentur.

At puerorum oſſa et tenuiora ſunt et ob eam cauſam molliora, quod ſanguine magis redundant et cava ſunt, non dura, non denſa, non ſolida, et ſi ſub telis aequalibus et imbecillioribus aequale aut etiam levius vulnus acceptum ſit, junioris pueri os magis et citius minorique ſpatio puru-

σθαι ἐκ τοῦ τρώματος, ὁ νεώτερος τοῦ πρεσβυτέρου θᾶσσον ἀπόλλυται.

|| Ἀλλὰ χρὴ, ἢν ψιλωθῇ τῆς σαρκὸς τὸ ὀστέον, προσέχοντα τὸν νόον πειρῆσθαι διαγινώσκειν ὅτι μή ἐστι τοῖσιν ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνῶναι εἰ ἔῤῥωγε τὸ ὀστέον καὶ εἰ πέφλασται ἢ μοῦνον πέφλασται, καὶ εἰ ἕδρης γενομένης τοῦ βέλεος πρόσεστι φλάσις ἢ ῥωγμὴ ἢ ἄμφω ταῦτα, καὶ ἤν τι τούτων πεπόνθῃ τὸ ὀστέον, ἀφεῖναι τοῦ αἵματος τρυπῶντα τὸ ὀστέον σμικρῷ τρυπάνῳ φυλασσόμενον ἐπ᾽ ὀλίγον. λεπτότερον γὰρ τὸ ὀστέον καὶ ἐπιπολαιότερον τῶν νέων ἢ τῶν πρεσβυτέρων.

Ὅστις δὲ μέλλει ἐκ τρωμάτων ἐν κεφαλῇ ἀποθνήσκειν καὶ μὴ δυνατὸν αὐτὸν ὑγιᾶ γενέσθαι μηδὲ σωθῆναι, ἐκ τῶνδε τῶν σημείων χρὴ τὴν διάγνωσιν ποιέεσθαι τοῦ μέλλοντος ἀποθνήσκειν καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι. πάσχει γὰρ τάδε. ὁκόταν τις ὀστέον κατεηγὸς ἢ ἐῤῥωγὸς ἢ πεφλασμένον ἢ ὅτῳ γοῦν τρόπῳ κατεηγὸς ἐννοήσας ἁμάρτῃ καὶ μήτε ξύσῃ μήτε πρίσῃ μήτε δεόμενον, μήτε δὲ ὡς ὑγιέος

lentum evadit quam ſenioris, ac ſi alioqui ex vulnere moriundum ſit, junior ſeniore citius perit.

Verum ubi os carne nudatum fuerit, animi intentione adhibita conandum eſt ut dignoſcas, ſi minus id licet oculis videre et cognoſcere, num os fiſſum ſit et colliſum, an colliſum tantum, vel num ad teli veſtigium colliſio vel rima vel utrumque acceſſerit. Ac ſi quid horum ſenſerit, per exiguam terebram perforato oſſe ſanguis detrahendus, ſubinde adhibita cautione, quod os juvenum quam ſenum tenuius ſit et per ſumma magis feratur.

At ubi quis ex capitis vulneribus periturus eſt, neque ulla ratione ſanitatem recipere neque ſervari poteſt, hunc ex his notis moriturum dignoſcere licet et ex his quae ei contingunt quod eventurum eſt praedicere. Ubi os fractum aut fiſſum aut colliſum, aut quocunque modo fractum eſſe quis intellexerit, neque per errorem raſerit aut ſecuerit, tanquam ſectionem non poſtulet aut os integrum exiſtat

ὄντος τοῦ ὀστέου, πρὸ τῶν τεσσαρεσκαίδεκα ἡμερέων πυρετὸς ἐπιλήψεται ὡς ἐπιπολὺ ἐν χειμῶνι. ἐν δὲ τῷ θέρει μετὰ τὰς ἑπτὰ ἡμέρας ὁ πυρετὸς ἐπιλαμβάνει, καὶ ἐπειδὰν τοῦτο γένηται, τὸ (705) ἕλκος ἄχροον γίνεται, καὶ ἐξ αὐτοῦ ἰχὼρ ῥέει σμικρὸς, καὶ φλεγμαῖνον ἐκτέθνηκεν ἐξ αὐτοῦ καὶ γλισχρῶδες γίνεται καὶ φαίνεται ὥσπερ τάριχος χροιὴν πυῤῥὸν, ὑποπέλιον, καὶ τὸ ὀστέον σφακελίζειν τηνικαῦτα ἄρχεται, καὶ γίνεται περκνὸν, λεῖον ὂν, τελευταῖον ἔπωχρον γενόμενον ἢ ἔκλευκον. ὅταν δ' ἤδη ὑπόπυον ᾖ, ἐπὶ τῇ γλώσσῃ φλυκταῖναι γίνονται καὶ παραφρονέων τελευτᾷ, καὶ σπασμὸς ἐπιλαμβάνει τοὺς πλείστους τὰ ἐπὶ θάτερα τοῦ σώματος. ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπὶ δεξιὰ τοῦ σώματος ὁ σπασμὸς λαμβάνει· ἢν δ' ἐν τῷ ἐπὶ δεξιὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπ' ἀριστερὰ τοῦ σώματος ὁ σπασμὸς ἐπιλαμβάνει. εἰσὶ δ' οἳ καὶ ἀπόπληκτοι γίνονται, καὶ οὕτως [128] ἀπόλλυνται πρὸ ἑπτὰ ἡμερέων ἐν θέρει ἢ τεσσάρων καὶ δέκα ἐν χειμῶνι. ὁμοίως δὲ καὶ σημεῖα ταῦτα σημαίνει καὶ ἐν πρεσβυτέρῳ ἐόντι τῷ τρώματι ἢ καὶ ἐν νεωτέρῳ. ἀλλὰ χρὴ εἰ ἐννοίῃς τὸν πυρετὸν ἐπιλαμβάνοντα καὶ

ante decimum quartum diem hieme plerumque febris invadet, aeſtate vero poſt ſeptimum. Quod ubi contigerit, ulcus coloris expers evadit ex eoque ſanies parva effluit, et quod in eo inflammatum eſt emoritur glutinoſumque fit, ac ſalſamentum refert colore fulvum et aliquantulum lividum, tuncque os corruptione vitiari incipit et nigreſcit, laeve exiſtens, ad extremum autem ſubpallidum et exalbicans evadit. Cum vero jam purulentum extiterit, puſtulae in lingua exoriuntur et cum delirio mors contingit, plerosque etiam altera corporis parte nervorum diſtentio invadit. Si quidem ſiniſtra capitis parte ulcus fuerit, dextram corporis partem convulſio prehendit. Sin vero dextra capitis parte ulcus fuerit, ſiniſtra corporis pars convulſione corripitur. Quidam etiam attoniti fiunt, eoque modo aeſtate ante ſeptimum diem, aut decimum quartum hieme pereunt. Idem quoque haec indicia ſignificant, tum in ſenioris vulnere tum junioris. Caeterum ubi febrem occupaſſe, vel aliquod aliud

Ed. Chart. XII. [128.] Foës. I. 911. 912. Ed. Lind. II. (705. 706.)
τῶν ἄλλων τι σημεῖον τούτῳ προσγενόμενον μὴ διατρίβειν, ἀλλὰ πρίσαντα τὸ ὀστέον πρὸς τὴν μήνιγγα, ἢ καταξύσαντα τῷ ξυστῆρι. εὔπριστον δὲ γίνεται καὶ εὔξυστον. ἔπειτα τὰ λοιπὰ οὕτως ἰητρεύειν ὅπως ἂν δοκέῃ ξυμφέρειν πρὸς τὸ γινόμενον ὁρῶν.

|| Ὅταν δ᾽ ἐπὶ τρώματι ἐν κεφαλῇ ἀνθρώπου ἢ πεπριωμένου ἢ ἀπριώτου, ἐψιλωμένου δὲ τοῦ ὀστέου οἴδημα ἐπιγένηται ἐρυθρὸν καὶ ἐρυσιπελατῶδες ἐν τῷ προσώπῳ καὶ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἀμφοτέροισιν ἢ τῷ ἑτέρῳ, καὶ εἴ τις ἅπτοιτο τοῦ οἰδήματος ὀδυνῷτο, καὶ πυρετὸς ἐπιλαμβάνοι καὶ ῥῖγος, τὸ δὲ ἕλκος αὐτὸ τὸ ἀπὸ τῆς σαρκὸς κα(706)λῶς ἔχοι ἰδέσθαι καὶ τὸ ἀπὸ τοῦ ὀστέου καὶ τὰ περιέχοντα τὸ ἕλκος ἔχῃ καλῶς, πλὴν τοῦ οἰδήματος τοῦ ἐν τῷ προσώπῳ, καὶ ἄλλην ἁμαρτάδα μηδεμίαν ἔχοι τὸ οἴδημα τῆς ἄλλης διαίτης, τούτου χρὴ τὴν κάτω κοιλίην ὑποκαθῆραι φαρμάκῳ ὅ τι χολὴν ἄγει. καὶ οὕτω καθαρθέντος ὅ τε πυρετὸς ὑφίησιν καὶ τὸ οἴδημα καθίσταται καὶ ὑγιὴς γίνεται. τὸ δὲ φάρμακον χρὴ διδόναι πρὸς τὴν δύναμιν τοῦ ἀνθρώπου ὁρῶν, ὡς ἂν ἔχῃ ἰσχύος.

signum huic adesse cognoveris, minime differendum est, sed os ad membranam usque secandum aut scalpro eradendum, facile autem secatur et eraditur. Tum in reliquis ea curatio adhibenda quae commoda videbitur, ad id quod fit oculos intendendo.

At ubi in capitis vulnere, sive serra fuerit adhibita sive non, nudato tamen osse, tumor rubicundus ad erysipelatis naturam accedens, in facie et oculis utrisque vel altero subortus fuerit, quique ad contactum doleat ac febris et rigor corripiat, ulcus vero ipsum quod ad carnem osque attinet, ad aspectum recte habeat, quaeque ulcus ambiunt bene habeant excepto faciei tumore, eique nullum aliud peccatum in reliqua victus ratione accesserit, medicamento quod bilem moveat homini alvus purganda est. Quo sic purgato tum febris remittit tum tumor subsidit, sanusque evadit. Medicamentum autem exhibendum pro hominis robore virium illius habita ratione.

Περὶ δὲ πρίσιος, ὅταν καταλάβῃ ἀνάγκη πρῖσαι ἄνθρωπον, ὧδε γινώσκειν. ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα πρίῃς, οὐ χρὴ ἐκπρίειν τὸ ὀστέον πρὸς τὴν μήνιγγα αὐτίκα. οὐ γὰρ συμφέρει τὴν μήνιγγα ψιλὴν εἶναι τοῦ ὀστέου ἐπὶ πολὺν χρόνον κακοπαθοῦσαν, ἀλλὰ τελευταῖον σάπη καὶ διεμύδησεν. ἔστι δὲ καὶ ἕτερος κίνδυνος, ἢν αὐτίκα ἀφαιρέῃς πρὸς τὴν μήνιγγα ἐκπρίσας τὸ ὀστέον, τρῶσαι ἐν τῷ ἔργῳ τῷ πρίονι τὴν μήνιγγα. ἀλλὰ χρὴ πρίοντα, ἐπειδὰν ὀλίγου πάνυ δέῃ διαπεπρίσθαι καὶ ἤδη κινέηται τὸ ὀστέον, παύσασθαι πρίοντα καὶ ἐᾷν ἐπὶ τὸ αὐτόματον ἀποστῆναι τὸ ὀστέον. ἐν γὰρ τῷ διαπριωτῷ ὀστέῳ καὶ ἐπιλελειμμένῳ τῆς πρίσιος οὐκ ἂν ἐπιγένοιτο κακὸν οὐδέν. λεπτὸν γὰρ τὸ λειπόμενον ἤδη γίνεται. τὰ δὲ λοιπὰ ἰῆσθαι χρὴ ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκει.

[129] || *Πρίοντα δὲ χρὴ πυκινὰ ἐξαιρέειν τὸν πρίονα τῆς θερμασίης εἵνεκα τοῦ ὀστέου καὶ ὕδατι ψυχρῷ ἐναποβάπτειν. θερμαινόμενος γὰρ ὑπὸ (707) τῆς περιόδου πρίων καὶ τὸ ὀστέον ἐκθερμαίνων καὶ ἀναξηραίνων κατακαίει, καὶ*

At vero de ſectione, ubi eam in homine uſurpare neceſſe fuerit, ſic ſtatuendum. Si per exordia ſuſcepta curatione ad ſectionem venias, non protinus os ad membranam usque ſecari debet. Neque enim expedit membranam diutius eſſe nudatam male affici, verum demum putreſcit et nimio humore marceſcit. Aliud quoque periculum ſubeſt, ſi os ad membranam ſectum protinus auferatur, ne in ipſo opere terebra membranam vulneret. Verum inter ſecandum, ubi parum admodum abeſt ut os ipſum totum ſectum ſit, jamque os labat, ab ipſa ſectione deſiſtendum, permittendumque uti os ſponte ſua diſcedat. Secto enim oſſi et inter ſecandum relicto mali nihil contingere poteſt. Tenue namque jam fit quod relictum eſt. In reliquo ea curatio inſtituenda, quae ulceri conferre videatur.

Inter ſecandum autem terebra ſaepius, ne os incaleſcat, auferenda et in aquam frigidam demergenda. Terebra enim dum circumagitur incaleſcens, os calefaciendo et reſiccando incendit, efficitque ut plus ejus oſſis quod ſectionem ambit

μεῖζον ποιέει ἀφίστασθαι τὸ ὀστέον τὸ περιέχον τὴν πρίσιν ἢ ὅσον μέλλει ἀφίστασθαι. καὶ ἢν αὐτίκα βούλῃ ἐκπρῖσαι τὸ πρὸς τὴν μήνιγγα, ἔπειτα ἀφελέειν τὸ ὀστέον, ὡσαύτως χρὴ πυκινά τε ἐξαιρέειν τὸν πρίονα καὶ ἐναποβάπτειν τῷ ὕδατι τῷ ψυχρῷ. ἢν δὲ μὴ ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα, ἀλλὰ παρ᾽ ἄλλου παραδέχῃ ὑστερίζειν τῆς ἰήσιος, πρίονι χρὴ χαρακτῷ ἐμπρίειν μὲν αὐτίκα τὸ ὀστέον πρὸς τὴν μήνιγγα. θαμινὰ δὲ ἐξαιρεῦντα τὸν πρίονα σκοπεῖσθαι καὶ ἄλλως καὶ τῇ μήλῃ πέριξ κατὰ τὴν ὁδὸν τοῦ πρίονος, καὶ γὰρ πολὺ θᾶσσον διαπρίεται τὸ ὀστέον, ἢν ὑπόπυόν τε ἐὸν ἤδη καὶ διάπυον πρίῃς, καὶ πολλάκις τυγχάνει ἐπιπόλαιον ἐὸν τὸ ὀστέον. ἄλλως τε καὶ ἢν ταύτῃ τῆς κεφαλῆς ᾖ τὸ τρῶμα, ᾗ τυγχάνει λεπτότερον ἐὸν τὸ ὀστέον ἢ παχύτερον. ἀλλὰ φυλάσσεσθαι χρὴ ὡς μὴ λάθῃς προσβαλὼν τὸν πρίονα, ἀλλ᾽ ὅπῃ δοκέῃ παχύτατον εἶναι τὸ ὀστέον, ἐς τοῦτο αἰεὶ ἐνστηρίζειν τὸν πρίονα, θαμινὰ σκοπούμενος καὶ πειρᾶσθαι ἀνακινέων τὸ ὀστέον ἀναβάλλειν. ἀφελὼν δὲ τὰ λοιπὰ, ἰητρεύειν ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκεϊ. καὶ ἢν ἐξ ἀρχῆς λαβὼν τὸ

abscedat quam quod abscedere debuerat. Quod si protinus os ad membranam secare velis, ipsumque postea eximere, eodem modo saepius terebra extrahenda est et in aquam frigidam immergenda. At si per initia curationem non aggressus fueris, sed eam ab altero tibi traditam tardius susceperis, terebra cava et serrata statim os ad membranam excidendum, eaque saepius exempta cum alias tum specillo per ambitum demisso terebrae via exploranda. Nam et longe citius os secatur, si ubi suppuratum existit et pure manat sectio adhibeatur, saepiusque in summo fluitans apparet, idque vel maxime si ea capitis parte vulnus inflictum sit, qua os tenue potius quam crassum existit. Quare adhibenda cautio est, ne te in admovenda terebra ista lateant, sed qua parte os crassissimum esse videbitur, in eam semper adigenda terebra est saepius considerando, osque dimovendo educere tentandum. Quo educto reliqua curatio prout ulceri conferr evidebitur adhibenda. At si per initia suscepta

ἴημα αὐτίκα βούλῃ ἐκπρίσας τὸ ὀστέον ἀφελεῖν ἀπὸ τῆς μήνιγγος, ὡσαύτως χρὴ πυκινά τε σκοπεῖσθαι τῇ μήλῃ καὶ περίοδον τοῦ πρίονος, καὶ ἐς τὸ παχύτατον ἀεὶ τοῦ ὀστέου τὸν πρίονα ἐνστηρίζειν καὶ ἀνακινέων βούλεσθαι ἀφελέειν τὸ ὀστέον. ἢν δὲ τρυ(708)πάνῳ χρῇ, πρὸς δὲ τὴν μήνιγγα μὴ ἀφικνέεσθαι, ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἴημα τρυπαῖς, ἀλλ' ἐπιλιπεῖν τοῦ ὀστέου λεπτὸν, ὥσπερ καὶ ἐν τῇ πρίσει γέγραπται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ.

[550] || (662) *Περὶ δὲ τῶν μὴ κατὰ τρόπον κυϊσκομένων, ἀλλ' ἐγκατατεμνομένων οὕτως, πρῶτον μὲν ἐπὶ τὴν γυναῖκα σινδόνα ἐπιβαλὼν, κατάζωσον ἀνωτέρω τῶν μαζῶν, καὶ τὴν κεφαλὴν κατακαλύψαι χρὴ τῇ σινδόνι, ὅκως μὴ ὁρῶσα φοβῆται ὅ τι ἂν ποιήσῃς. ἢν οὖν ἐξίσχῃ τὴν χεῖρα τὸ ἔμβρυον, παραπλάγιον παραπέσον καὶ τῆς χειρὸς ἐπιλαβόμενος προάγειν ἔξω ἐπιχείρει ὡς μάλιστα. παραδεῖραι δὲ καὶ τὸν βραχίονα καὶ ἀποψιλώσας αὐτοῦ τὸ ὀστέον, ἰχθύην*

curatione protinus os excifum a membrana auferre velis, eodem modo per fpecillum terebrae circuitus fubinde confiderandus et in offis partem craffiffimam terebra femper adigenda, osque dimovendo educere tentandum. Ubi terebrae ufus inciderit, fi ab initio fufcepta curatione os perforandum eft, non eft ad membranam perveniendum, fed tenuis offis pars velut in fectione fcriptum eft, relinquenda.

HIPPOCRATIS LIBER DE FOETVS IN VTERO MORTVI EXECTIONE.

De foetibus qui non convenienter in utero geftantur, fed intro excifi educuntur, fic ftatuo. Imprimis injecto in mulierem tenui linteo et fupra mammas praecincto, caput etiam linteo velandum eft, ne, fi quod facturus es videat, perterreatur. Si foetus igitur in obliquum prolapfus manum eduxerit, eam apprehenfam ut quam maxime foras educas conandum. Brachio vero excoriato ejusque offe de-

περίδησον περὶ τοὺς δακτύλους τῆς χειρὸς τοὺς δύο, ὅκως μὴ ἀπολισθάνοι ἡ σάρξ. μετὰ δὲ ταῦτα τὸν ὦμον περισάρκισον καὶ ἄφελε κατὰ τὸ ἄρθρον. ἔπειτα τὴν κεφαλὴν κατὰ φύσιν παρώσας, ὑπάγειν ἔξω τὴν κεφαλὴν τοῦ ἐμβρύου. τῷ δὲ δακτύλῳ τὸ ἔμβρυον εἴσω ἀπῶσαι ἢ μαχαιρίῳ διὰ τῶν πλευρέων ἢ διὰ τῆς κληῖδος, ὅκως τὴν φῦσαν ἀφῇ καὶ ξυμπέσῃ τὸ ἔμβρυον καὶ ἡ ἔξοδος αὐτέῳ εὐπετεστέρη ᾖ. τὴν δὲ κεφαλὴν, ἢν μὲν δύνασαι κατὰ φύσιν ἔξω ὦσαι. ἢν δὲ μὴ, ξυμφλάσαι, καὶ οὕτως ὑπεξαγαγεῖν ἔξω τὸ ἔμβρυον. ἔπειτα τὸ θερμῷ πολλῷ καταχέας καὶ ἀλείψας ἐλαίῳ, κατακεῖσθαι κελεύειν ἐπαλλάξασαν τὼ πόδε, καὶ μεταπῖσαι οἶνον γλυκὺν κεράσας, εὐζωρότερον καὶ λευκόν. (663) ἀλλὰ μὴν καὶ ῥητίνην, μέλιτι διατρίψας, μίξας τῷ οἴνῳ διδόναι πιεῖν. τὰ δ' ἄλλα θεραπεύειν ὥσπερ λέγω, κατὰ τὰ εἰρημένα. ὅταν δὲ τῇ τικτούσῃ γυναικὶ πλάγιον παραπέσῃ τὸ ἔμβρυον, γίνεται δὲ ὁκόταν στρέφηται τὸ τοιόνδε, καὶ ὁ ὀμφαλὸς περὶ τὸν τράχηλον περιελίσσηται καὶ ἐπίσχῃ τὴν ἔξοδον τοῦ ἐμβρύου καὶ ἐς τὸ ἰσχίον ἐπεμβάλλῃ τὴν κεφαλὴν καὶ ἡ χεὶρ ὡς ἐπιτοπολὺ

nudato, squatinae marinae pellem aridam circum duos manus digitos obligato, ut ne caro sua lubricitate elabatur. Post haec autem detracta circa humerum carne, ipsum juxta articulum eximito. Deinde foetus caput naturaliter protrusum foras educito. Foetum vero intro digito retrudito, vel scalpello per costas vel jugulum adacto, quo flatu emisso et concidat foetus et facilior ei exitus pateat. Caput, si quidem fieri possit secundum naturam extra protrudito, sin minus, in partes comminuito sicque foetum foras subducito. Deinde calida multa affusa oleo illitam decumbere jubeto pedibus alternatis. Postea vinum album dulce bene meracius infusum propinato. Quin etiam resinam cum melle tritam, vino ammixtam, in potu exhibeto. In reliquis vero curatio, velut dico, juxta ea quae relata sunt procedat. Cum vero parturienti mulieri transversus foetus ceciderit, quod fit ubi ipse vertitur et umbilicus circa collum obvolvitur, foetusque exitum cohibet et caput in coxendicem inserit,

ἔξω γίνεται. ἢν μὲν οὖν ἤδη τεθνηκὸς ἔξω γένηται, τοῦτο προσημαίνει. ᾗσι δὲ μὴ ἔξω ἡ χεὶρ τοῦ ἐμβρύου, ὡς ἐπιτοπολὺ ζῇ τὸ ἔμβρυον. κίνδυνος δὲ καὶ οὕτως. ἔνιαι δὲ καὶ τὰ λόχια πρὸ τοῦ ἐμβρύου ἀφιᾶσιν. ἀναγκαῖον δὲ γινώσκειν εἶναι τὴν ὠδῖνα ξηρὰν καὶ ἐπίπονον. ὅσαι δὲ τὰ λόχια μὴ προ[551]καθαίρονται, ῥᾷον ἀπαλλάττουσιν ἐν τῷ τόκῳ. ἀνασείειν δὲ δεῖ ὧδε σινδόνα ὑποστορέσασαν, ἀνακλῖναι τὴν γυναῖκα, καὶ ἑτέρην ἐπιβαλεῖν ὅκως ἂν αὐτῆς τὸ αἰδοῖον κεκρυμμένον ᾖ, καὶ περικαλύψαι περὶ ἑκάτερον τὸ σκέλος τὴν σινδόνα καὶ περὶ ἑκάτερον τὸ γυῖον. || γυναῖκας δὲ δύο λαβέσθαι τοῦ σκέλεος ἑκατέρου καὶ τῆς χειρὸς ἑκατέρης, ἑτέρας γυναῖκας δύο. ἔπειτα διασείειν λαβούσας ἐγκρατῶς, μὴ ἔλασσον ἢ δεκάκις. ἔπειτα δὲ ἐς κλίνην ἀνακλῖναι τὴν γυναῖκα ἐπὶ κεφαλήν. τὰ δὲ σκέλεα ἄνω ἔχειν, καὶ τὰς γυναῖκας πάσας λαβέσθαι τοῖν σκελέοιν, ἀφείσας τὰς χεῖρας. ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους καὶ ποιεῖν ἀναβολὰς ἐπὶ τὴν κλίνην, ὅκως ἐς τὴν εὐρυχωρίην ἐπανασεισθὲν τὸ ἔμβρυον στραφῇ καὶ δύνηται ἐπὶ φύσιν ἰέ-

manusque ut plurimum foras eminet, quod quidem jam mortui foetus significationem praebet. At quibus manus extra non apparet, his ut plurimum foetus vitalis est. Periculum autem etiam hoc modo imminet. Quaedam enim partus purgamenta ante foetum emittunt, ex quo partionem siccam et laboriosam fore necessario cognoscas. Quibus autem puerperii purgamenta non ante repurgantur, eae faciliore partu defunguntur. Concutere autem hoc modo oportet. Super tenui linteo substrato mulier reclinanda, alio superinjecto, quo ejus pudendum obveletur et utrumque crus tenui linteo circumtegendum, et utraque manus. Duae autem mulieres utrumque crus apprehendant, et aliae duae utramque manum, deinde eam ipsam non minus quam decies valide concutiant. Postea vero mulier in lectum reclinetur, ita ut caput deorsum, crura autem sursum habeat, et mulieres omnes dimissis manibus crura apprehendant, eamque crebro in lecto concutiant, facta in humeros rejectione, uti in ampliorem locum concussus foetus convertatur et

ιι. καὶ ἢν ἔχῃς δίκταμνον Κρητι(764)κὸν, μεταπῖσαι δός. δὲ μὴ, κάστορας ἐνεψῆσαι τῷ οἴνῳ Χίῳ. ἢν δὲ αἱ ὑστέραι ξω χωρέωσι, ἐάν τε ἐκ πόνου ἐάν τε ἐκ τόκου, ἢν μὲν οὖν αραλάβῃς νέας, ἄξιον ἐπιχειρεῖν· εἰ δὲ μὴ, ἐᾷν. ἐπιχειρεῖν ὲ χρὴ ὧδε. ἐπιταμὼν τὸν ὑμένα τῆς ὑστέρης κατὰ φύσιν αὶ κατὰ πλάγιον, τρῖψαι ὀθονίῳ ὡς φλεγμαίνῃ καὶ κατα-είψας φώκης ἐλαίῳ ἢ πίσσης καταπλάσας ἢ κυτίνοισι καὶ αλθακοὺς σπόγγους ἐν οἴνῳ ῥήνας προσθεὶς ἀναδῆσαι ἐκ ῶν ὤμων καὶ ἀνακείσθω ὡς ἀνωτάτω τὸ σκέλεα ἔχουσα. σθιέτω δὲ σιτία μέτρια.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΝΑΤΟΜΗΣ.

[552] (287) Ἀρτηρίη ἐξ ἑκατέρου φαρυγγέθρου τὴν ἔκ-φυσιν ποιευμένη ἐς ἄκρον πνεύμονος τελευτᾷ, κρίκοις ξυγ-κειμένη ὁμορυσμοῖς, τῶν περιηγέων ἁπτομένη κατ᾽ ἐπίπεδον ἀλλήλων. αὐτὸς δὲ ὁ πνεύμων συνεξαναπληροῖ τὴν χέλυν,

naturaliter prodire possit. Quod si dictamnum Creticum ad manum habeas, ipsum propinato, sin minus, castoreum vino Chio incoctum. Si vero uteri sive ex labore sive ex partu foras prodierint, si quidem juvenculae tibi in manus venerint, aggressionem facere aequum est, alioqui sinere oportet. Hunc autem in modum aggressio facienda. Uteri tunica naturali modo et oblique incisa, linteo confricanda, ut inflammationem concipiat, et illito phocae oleo aut pice aut mali punici floribus, in cataplasmate adhibitis mollibusque spongiis vino resperfis, in subdititio appositis et ex humero deligatis, mulier quam maxime excitatis cruribus decumbat, et moderatis cibis vescatur.

HIPPOCRATIS LIBER DE CORPORVM RESECTIONE.

Arteria ab utraque faucium parte ortum ducens in summum pulmonem desinit annulis inter se similibus constans rotundis, in superficie mutuo connexis. Ipse autem pulmo ad sinistram conversus pectus implet quinque ha-

Ed. Chart. XII. [552.] Foes. I. 915. 916. Ed. Lind. II. (287. 288.

τετραμμένος ἐς τὰ ἀριστερὰ πέντε ὑπερκορυφώσιας ἔχων, ἃς δὴ καλέουσι λοβοὺς, τεφρίνης χροιῆς τυχὼν, || στίγμασιν ἀφροναγέσι κεκεντημένος; φύσει ἐὼν τεθρηνιώδης. μέσῳ δ' αὐτέῳ ἡ καρδίη ἐγκαθίδρυται, στρογγυλωτέρη καθεστεῶσα πάντων ζώων. ἀπὸ δὲ καρδίης ἐς ἧπαρ βρογχίη πολλὴ καθήκει, καὶ μετὰ βρογχίης φλὲψ μεγάλη καλευμένη, δι' ἧς οὖλον τὸ σκῆνος τρέφεται. (288) τὸ δὲ ἧπαρ ὁμορυσμίην μὲν ἔχει τοῖς ἄλλοις ἅπασιν. αἱμοῤῥωδέστερον δέ ἐστι τῶν ἄλλων, ὑπερκορυφώσιας ἔχον δύο, ἃς καλέουσι πύλας ἐν δεξιοῖς τόποις κειμένας. ἀπὸ δὲ τουτέου σκαληνὴ φλὲψ ἐπὶ τὰ κάτω νεφρῶν ἀποτείνουσα. νεφροὶ δὲ ὁμοιορυσμοὶ, τὴν χροιὴν δὲ ἐναλίγκιοι μήλοισιν. ἀπὸ δὲ τουτέων ὀχετοὶ σκαληνοειδέες ἄκρην κορυφὴν κύστιος κεῖνται. κύστις δὲ νευρώδης οὔλη καὶ μεγάλη. ἑκάσταθε κύστιος μετοχὴ εἴσω πέφυκε, καὶ τὰ μὲν ἓξ ἀνὰ μέσον ἐντὸς φύσις ἐκοσμήθη. οἰσοφάγος δὲ ἀπὸ γλώσσης τὴν ἀρχὴν ποιεύμενος ἐς κοιλίην τελευτᾷ, ὃν δὴ καὶ ἐπὶ σηπτικῆς κοιλίης στόμαχον καλέουσιν. πρὸς δὲ ἀκάνθης ὄπισθεν ἥπατος φρένες πεφύκασιν. ἐκ δὲ πλευρῆς

bens summitates, quas lobos vel fibras vocant, cinericium nactus colorem, notis cavernosis compunctus et natura perforatus. In cujus medio cor intro situm est, rotundius constitutum, quam in omnibus animantibus. Ex corde vero ad jecur multa cartilaginosa arteria pervenit, et cum ipsa vena magna appellata, per quam corpus totum nutritur. Jecur autem cum aliis quidem cognationem habet, sed caeteris sanguine magis fluit, duos habens vertices, portas vocant, dextra parte locatas. Ab eo vena oblique deorsum ad renes portenditur. Renes vero inter se colore similes malorum speciem prae se ferunt. Ab his ductus oblique tendentes in summum vesicae verticem siti sunt. Vesica autem tota nervosa et ampla ubique intra se perceptionis compos a natura est condita. Et his quidem sex partibus in medio intus natura exornata est. Gula vero a lingua initium sumens, in ventriculum desinit, quam sane etiam in concoquente ventriculo *στόμαχον*, hoc est os angustum, nominant. Ad spinam autem retro hepar, septum trans-

νόθης, λέγω δὲ ἀριστερῆς, σπλὴν ἀρξάμενος ἐκτέταται ὁμοιορυσμὸς ἴχνει ποδός. κοιλίη δὲ ἥπατι παρακειμένη κατ᾽ εὐώνυμον μέρος οὐλομένη ἐστὶ νευρώδης. ἀπὸ δὲ κοιλίης πέφυκεν ἔντερον, ὁμοιορυσμὸν μικρὸν πηχέων οὐκ ἔλασσον δώδεκα ἑλικηδὸν ἐν κόλποις ἐνειλούμενον, ὃ καλέουσιν ἔνιοι κῶλον, δι᾽ οὗ ἡ παραφορὰ τῆς τροφῆς γίνεται. ἀπὸ δὲ κώλου πέφυκεν ἀρχὸς λοίσθιος, σάρκα περιπληθέα ἔχων ἐς ἄκρον δακτυλίου τελευτῶν. τὰ δὲ ἄλλα ἡ φύσις διετάξατο.

verfum fitum habet. Ex cofta vero notha, finiftram intelligo, lien initium fumens ad humani veftigii fimilitudinem extenditur. Ventriculus jecori ad finiftram adjacens totus nervofus eft. Ex ventriculo vero procedit inteftinum fibi fimile, parvum, cubitorum non minus duodecim, in orbem per finus convolutum, quod nonnulli colon vocant, per quod alimentum defertur. Colo annexum eft princeps inteftinum poftremum, multam carnem habens, in fummum podicem definens. Reliqua natura ipfa ordine dispofuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΠΡΩΤΟΝ.

Ed. Chart. IX. [6.] Foëſ. I. 938. Ed. Lind. I. (653.

[*Κατάστασις πρώτη.*] Ἐν *Θάσῳ φθινοπώρου περὶ ἰση-μερίην καὶ ὑπὸ πληϊάδα ὕδατα πουλλὰ, ξυνεχέα, μαλθακά ὡς ἐν νοτίοισι, χειμὼν νότιος, σμικρὰ πνεύματα βόρεια, αὐχμοί. τὸ σύνολον εἴς γε χειμῶνα ὁκοῖον ἦρ γίνεται. ἦρ δὲ νότιον ψυχινόν. μικρὰ ὕσματα. θέρος ὡς τὸ πολὺ ἐπινέφελον ἀνυδρίαι, ἐτησίαι, ὀλίγα, σμικρὰ, διεσπασμένως ἔπνευσαν*

HIPPOCRATIS DE MORBIS VULGARIBVS LIBER PRIMVS.

[*Status Primus.*] In Thaſo ad autumnum circiter aequinoctium et ſub vergiliarum occaſum pluviae multae continentes et leves fuerunt, non ſecus ac ſpirantibus auſtris. Hiems auſtrina quae flatus aquilonares parvos et juſto majores ſiccitates habuit, atque etiam in totum veri ſimilis fuit. Ver autem auſtrinum, frigidum, parvas habens pluvias. Aeſtas ut plurimum nubila, in qua ab imbribus ceſſatio fuit. Anniverſarii venti, qui eteſiae dicuntur, parum tenuiter, disjunctim ſegregatimque ſpiravere. Exiſtente igitur toto nos ambientis aëris ſtatu auſtrino et ad magnas

γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετὰ αὐχμῶν, πρωῒ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ βορείου γενομένης, ὀλίγοισιν ἐγένοντο καῦσοι, καὶ τουτέοισιν πάντη εὐσταθεῖς, καὶ ὀλίγοισιν ἡμοῤῥάγεεν. οὐδ᾽ ἀπέθνησκον ἐκ τουτέων. ἐπάρματα δὲ κατὰ τὰ ὦτα πολλοῖσιν ἑτεροῤῥοπα, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν ἀπύροισιν ὀρθοστάδην. ἔστι δὲ οἷς καὶ μικρὰ (654) ἐπεθερμαίνοντο. κατέσβη πᾶσιν ἀσινέως. οὐδ᾽ ἐξεπύησεν οὐδενὶ ὥσπερ τὰ ἐξ ἄλλων προφασίων.

[19] || Ἦν δὲ ὁ τρόπος αὐτέων, χαῦνα, μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς, ἀνώδυνα, πᾶσιν ἀσήμως ἠφανίσθη. ἐγένετο δὲ ταῦτα μειρακίοισιν, νέοισιν, ἀκμάζουσι, καὶ τούτων τοῖσι περὶ παλαίστρην καὶ γυμνάσια πλείστοισιν. γυναιξὶ δὲ ὀλίγῃσιν ἐγένετο. πλείστοισι δὲ βῆχες ξηραί. βήσσουσι καὶ οὐδὲν ἀνάγουσι, καὶ φωναὶ βραγχώδεες, οὐ μετὰ πουλύ. τοῖσι δὲ καὶ μετὰ χρόνον. φλεγμοναὶ μετ᾽ ὀδύνης ἐς

ſiccitates vergente, ante ver quidem, quod ſuperior ſtatus ſubcontrarius et aquilonius factus fuerit, paucis febres ardentes contigerunt, eaeque valde mites et facillime conſiſtentes, quae neque ſanguinis ex naribus profuſionem niſi paucis, neque mortem attulerunt. Multis vero aurium tumores ſubnaſcebantur, qui in alteram partem vergebant, plerisque etiam in utramque, iisque febre vacuis et in erectum ſtantibus nec decumbentibus, etſi nonnullis pauliſper incaleſcerent. Omnibus absque noxa extincti ſunt neque cuiquam, velut ii qui alias ſui ortus cauſas habent, ſuppurationem fecerunt.

Horum autem ea fuit natura ut molles et laxi eſſent, magni, diffuſi aut ſparſi, ſine inflammatione et dolore, omnibusque ſenſim et ſine ulla ſignificatione evaneſcerent. Fiebant iſta quidem adoleſcentibus, juvenibus, aetate florentibus, atque horum plurimis qui in palaeſtra et gymnaſiis exercebantur, mulieribus vero paucis contingebant. Multis tuſſes aridae et inanes, quibus cum tuſſi nihil educebatur, nec ita multo poſt voces rauceſcebant. Quibusdam vero ex temporis intervallo inflammationes cum do-

Ed. Chart. IX. [19. 25.] Foës. I. 939. 940. Ed. Lind. I. (654. 655.)
ὄρχιν ἑτεροῤῥόπαι. τοῖσι δὲ ἐπ' ἀμφοτέρους πυρετοὶ, τοῖσι μὲν, τοῖσι δ' οὔ. ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι. τὰ δ' ἄλλα ὁκόσα κατ' ἰητρεῖον ἀνόσως διῆγον. πρωῒ δὲ τοῦ θέρεος ἀρξαμένου καὶ διὰ θέρεος καὶ κατὰ χειμῶνα πολλοὶ τῶν ἤδη πουλὺν χρόνον ὑποφθειρομένων φθινώδεες κατεκλίθησαν, ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσι ἐβεβαίωσε τότε. ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τουτέων, καὶ τῶν κατακλιθέντων οὐκ οἶδ' εἴ τις καὶ μέτριον χρόνον διεγένετο. ἀπέθνησκον δὲ ὀξυτέρως ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα. ὡς τά γε ἄλλα καὶ μακρότερα ἐν τοῖσι πυρετοῖσιν ἐόντα, εὐφόρως ἤνεγκαν καὶ οὐκ ἀπέθνησκον. περὶ ὧν γεγρά(655)ψεται. μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νουσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινεν.

[25] || Ἦν δὲ τοῖσι πλείστοισι αὐτέων τὰ παθήματα

lore in alterum testem erumpebant, quibusdam etiam in utrosque. Alii quidem febribus corripiebantur, nonnulli vero sine febre persistebant. Atque adeo haec ipsa plurimis gravia et molesta fuere. De reliquo autem quod ad ea attinet, quae ad chirurgiam spectant, in his inculpate habebant. Ante vero aestatis initium et per ipsam aestatem, atque etiam ad hiemem, eorum multi, qui jam longo intervallo consumpti erant, tabefacti decubuerunt, si quidem et multis de tabe in dubium venientibus ipsa tunc est confirmata. Est ubi etiam eos, qui natura erant ad tabem prompte comparata, tum primum occupavit. Ex his multi atque etiam plurimi interierunt. Atque haud scio si quis ex decumbentibus etiam modico tempore superfuit. Celerius vero interierunt quam talia transigi soleant, praesertim cum alios et diuturniores et cum febribus conjunctos pertulerunt nec interierunt, de quibus paulo post scribetur. Solus namque et eorum qui tunc viguerunt maximus multos tabes ipsa peremit.

Eorum autem plurimis hujusmodi affectus aderant,

τοιάδε. φρικώδεες πυρετοὶ, ξυνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες. ὁ δὲ τρόπος ἡμιτριταῖος· τὴν μὲν κουφοτέρην, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. ἱδρῶτες δὲ αἰεὶ, οὐ δι' ὅλου ψύξις ἀκρέων πολλὴ καὶ μόλις ἀναθερμαινόμενα. κοιλίαι ταραχώδεες, χολώδεσιν, ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι. πυκνὰ ἀνίσταντο. οὖρα δ' ἦν λεπτὰ καὶ ἄχροα καὶ ἄπεπτα καὶ ὀλίγα ἢ πάχος ἔχοντα καὶ μικρὴν ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ' ὠμῇ τινι καὶ ἀκαίρῳ ὑποστάσει. ἔβησσον δὲ μικρὰ καὶ πυκνὰ, πέπονα κατ' ὀλίγον μόλις ἀνάγοντες. οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐς ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες. φάρυγγες δὲ πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνον εἶχον, ἔχοντες ἔρευθος μετὰ φλεγμονῆς, ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα, ταχὺ τηκόμενοι καὶ κακούμενοι, ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεος, ἄδιψοι καὶ παράληροι || πουλλοὶ περὶ θάνατον.

febres horroris ſenſu inſignes, aſſiduae et acutae, in totum quidem non deſinentes, ſed quae erant ex ſemitertianarum genere uno die leviores, altero vero inſuper ingraveſcentes, omninoque vehementius increſcentes. Sudores autem perpetui, non tamen per totum corpus, diffuſi extremorum refrigeratio multa, quae vix quidem incaleſcebant. Alvi conturbatae bilioſa, pauca, ſincera, tenuia, mordacia egeſſerunt crebroque aſſurrexerunt. Urinae tenues, crudae, decolores atque paucae aut craſſitudinem et paucum quod deſideret habentes, neque probe conſiſtentes, ſed in quibus ea quae ſubſidebant cruda et intempeſtiva erant. Tuſſiendo vero pauca, denſa, concocta rejiciebant et quae paulatim ac non niſi aegre educerentur. Qui autem violentiſſime conflictabantur, iis ne parva quidem concoctio adfuit, ſed perpetuo cruda expuebant. Horum etiam plurimis fauces ſtatim et ad extremum usque rubore et inflammatione affectae doluerunt, fluxionibusque parvis, tenuibus et acribus tentati, cito conſumpti maleque vexati ſunt, perpetuo cibos omnes averſabantur, neque ſiti capiebantur multique circa mortem delirabant. Atque iſta quidem tabidis contigerunt.

Ed. Chart. IX. [25. 29.] Foës. II. 941. Ed. Lind. I. (655. 656.)

περὶ μὲν τὰ φθινώδεα ταῦτα. [29] κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον πυρετοὶ πολλοὶ καὶ ξυνεχέες, οὐ βίαιοι. μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοιτο. κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως καὶ οὐδὲν ἄξιον λόγου προσέβλα(656)πτον. οὖρά τε τοῖσι πλείστοισιν εὔχροα μὲν καὶ καθαρὰ, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα. βηχώδεες οὐ λίην. οὐδὲ τὰ βησσόμενα δυσκόλως, οὐδ᾽ ἀπόσιτοι. ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν οὖν ὅλον ὑπενόσεον οἱ φθινώδεες οὐ τὸν φθινώδεα τρόπον, πυρετοῖσι φρικώδεσι σμικρὰ ἐφιδροῦντες, ἄλλοτε ἄλλοι ὡς παροξυνόμενοι πεπλανημένως. τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον. ἐκρίνετο δὲ τουτέων, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ εἰκοστὴν ἡμέρην, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστήν. πολλοῖσι δὲ περὶ ὀγδοηκοστήν. ἔστι δὲ οἷσιν οὐδ᾽ οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον. τουτέων δὲ τοῖς

Jam vero ad aestatem et autumnum febres multae, assiduae, neque violentae prehendebant, istaque diu laborantibus, non his qui caetera moleste habebant, contigerunt. Alvi plurimis valde placide conturbatae sunt, nihilque essatu dignae noxae attulerunt, urinaeque plurimis boni quidem coloris et purae aderant, sed tenues et quae tandem judicationis tempore concoquebantur. Hi non admodum tussiculosi erant, neque ea quae tussi rejiciuntur negotium exhibebant, neque cibum non aversabantur modo, verum etiam exhibendi illius facilem faciebant copiam. In summa igitur, afficiebantur qui tabescebant non quomodo caeteri tabidi solent, sed febribus cum horroris sensu correpti parum insudabant, interdum alii vagas quodammodo et errabundas accessiones habebant, neque in totum febres desinebant, sed quae in speciem tertianarum insultus facerent. Inter eos autem quibus erant brevissimi morbi, ii ad vigesimum diem judicatione solvebantur, plerisque vero ad quadragesimum, nonnullis etiam ad octogesimum. Est ubi ne sic quidem, sed errabunde et nulla observata judica-

πλείστοισιν οὐ πολὺν διαλείποντες χρόνον ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν. ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσι αὐτῇσι περιόδοισιν ἐκρίνοντο. πολλοὶ δὲ αὐτέων ἀνήγαγον, ὥστε καὶ ὑπὸ χειμῶνα νοσέειν. ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μούνοισι τοῖσι φθινώδεσι θανατώδεα ξυνέπεσεν. ἐπὶ τοῖσί γε ἄλλοισιν εὐφόρως πᾶσι καὶ θανατώδεες ἐν τοῖσιν ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένοντο.

[32] || ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ. [Κατάστασις δευτέρα.] Ἐν Θάσῳ πρωῒ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρὸν, ἀλλ᾽ ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖς, ὑγροὶ καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι πληϊάδος δύσεως καὶ ὑπὸ πληϊάδα. χειμὼν δὲ βόρειος. ὕδατα πολλὰ, λαῦρα, μεγάλα, χιόνες. μιξαίθρια τὰ πλεῖστα. ταῦτα (657) δὲ ἐγένοντο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων. ἤδη δὲ μεθ᾽ ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα Ζέφυρος πνέειν ἄρχεται, ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πουλλὰ,

tione quibusdam desinerent. Horum quoque plurimis quae non longo post intervallo remiserant febres reversiones fecerunt, iisdemque dierum ambitibus post ipsas reversiones judicabantur, earumque nonnullae aegros ita produxerunt, ut sub hiemem affligerentur. Ex his autem omnibus qui in hac status conditione descripti sunt, solis tabidis lethalia contigerunt, in aliis vero febribus nequaquam obvenere.

SECTIO SECUNDA. [*Status secundus.*] Ante autumnum in Thaso tempestates non tempestivae, sed cum multis austris et aquilonibus repentinae et humidae prorupere. Taliaque ad vergiliarum occasum usque et sub vergilias ipsas extitere. Hiems autem aquilonea aquae multae, vehementes, magnae, nives, hisque intermixta ut plurimum aëris serenitas. Atque ista omnia contingebant, nec certe admodum inopportuna erant frigora. Jam vero post brumale solstitium eoque tempore quo spirare incipit favonius, extremae hiemis frigora magna fuere, aquilones multi, nives et pluviae continenter multae, coelumque cum ventorum turbine nimbosum et nubilum, eaque ipsa non

Ed. Chart. IX. [32. 36.] Foës. II. 942. 943. Ed. Lind. I. (657.)

χιὼν καὶ ὕδατα ξυνεχῶς πουλλὰ, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος, ταῦτα δὲ ξυνέτεινε καὶ οὐκ ἀνίει μέχρις ἰσημερίης. ἦρ δὲ ψυχρὸν, βόρειον, ὑδατῶδες, ἐπινέφελον, θέρος οὐ λίην καυματῶδες ἐγίνετο. ἐτησίαι ξυνεχῶς ἔπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ πάλιν ὕδατα. γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα. πρωῒ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως.

[36] || Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραὶ, ἄπεπτοι, σμικραὶ λημίαι πολλοῖσι δυσκόλως ἐῤῥηγνύμεναι, τοῖσι πλείστοισιν ὑπέστρεφον. ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. κατὰ δὲ θέρος ἤδη καὶ τὸ φθινόπωρον δυσεντεριώδεες καὶ τεινεσμοὶ καὶ λειεντεριώδεες, καὶ διάῤῥοιαι χολώδεες, λεπτοῖσι, πολλοῖσιν, ὠμοῖσι καὶ δακνώδεσιν. ἔστι δ᾽ οἷσι καὶ ὑδατώδεες. πολλοῖσι δὲ καὶ περίῤῥοιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες,

remiserunt, sed se ad aequinoctium extenderunt. Ver autem frigidum, aquilonium, pluviosum nubilumque neque admodum aestuans aestas fuit. Venti anniversarii continenter spiravere, statimque ad arcturum perflantibus aquilonibus aquae admodum multae. Existente igitur anno toto humido, frigido et aquilonio ad hiemem quidem ut plurimum bene valuerunt, ante ver autem plerique omnes moleste et graviter vitam traduxerunt.

Primum itaque lippitudines fluentes cum dolore, humentes et crudae obortae sunt, sordes in oculis concretae, quas lemias vocant, parvae, nec sine difficultate multis erumpebant, quae cum plurimis revertissent, tandem ad autumnum reliquerunt. Jam vero per aestatem et autumnum, ex intestinorum laevitate et torminibus, continuaque et inani egerendi cupiditate laborarunt alvique fluidae, biliosa, tenuia multa, cruda et mordacia, nonnunquam etiam aquosa desecerunt. Plerisque etiam circumflui non sine dolore humorum affluxus contigere, biliosi, aquosi, strigmentosi, purulenti et qui urinae difficultatem facerent, non

πυώδεες, στραγγουριώδεες, οὐ νεφριτικὰ, ἀλλὰ τουτέοισιν ἀντ' ἄλλων ἄλλα. ἔμετοι χολώδεες, φλεγματώδεες, καὶ σιτίων ἀπέπτων ἀναγωγαί. ἱδρῶτες πᾶσι πάντοθεν πουλὺς ὁ πλάδος. ἐγένετο δὲ ταῦτα πουλλοῖσιν, ὀρθοστάδην ἀπύροισιν. πολλοῖσι δὲ πυρέττουσι περὶ ὧν γεγράψεται, ἐνίοισί τε ἐπεφαίνοντο πάντα τὰ ὑπογεγραμμένα. μετὰ πόνου (658) φθινώδεες. ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα πυρετοὶ ξυνεχέες, καὶ τοῖσιν αὐτέων ὀλίγοισι καυσώδεες, ἡμερινοὶ, νυκτερινοὶ, ἡμιτριταῖοι, ἀκριβέες, τεταρταῖοι, πλάνητες.

[42] || Ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγένοντο. οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγίνοντο καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμοῤῥαγέει, εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε οἱ παράληροι. τά τε ἄλλα πάντα εὐφόρως. ἐκρίνετο δὲ τουτέοισιν πάνυ εὐτάκτως. τοῖσι πλείστοισι ξὺν τῇσι διαλιπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν. οὐδὲ ἀποθανόντα οὐδένα οἶδα τότε ἐν

ex proprio aliquo renum vitio, sed quod istis alia in aliorum vicem succederent. Vomitiones pituitosae, biliosae et crudorum ciborum eductiones ac sudores aderant; atque omnibus undiquaque diffluebat humiditas multa. Multis autem haec fiebant, qui erecti et stantes a febribus erant vacui, plerisque etiam febre correptis, de quibus mox scribetur. In quibus vero descripta omnia deprehendebantur, ii jam quidem ad autumnum et sub hiemem non sine labore tabidi evadebant. Febres erant assiduae, atque eorum paucis quibusdam ardentes, diurnae, nocturnae, semitertianae, tertianae exquisitae, quartanae, erraticae.

Atque enumeratarum febrium singulae multis oboriebantur, ardentes vero omnino paucis, iisque ex aegrotantibus minimum laborarunt. Nam neque sanguis ex naribus nisi paucus admodum, iisque paucis profluxit, neque delirarunt, caeteraque omnia placide tulere. Horum plurimis bene admodum constituto et composito judicationis ordine, febris ardens cum intermissione in septendecim diebus solvebatur, atque haud scio an quisquam tunc ex

καύσῳ, οὐδὲ φρενιτικὰ τότε γινόμενα. οἱ δὲ τριταῖοι πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι. εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος τέσσαρας περιόδους. ἐν ἑπτὰ δὲ τελέως ἔκριναν, οὐδ᾽ ὑπέστρεψεν οὐδενὶ τούτων. οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς ἐν τάξει τεταρταίου ἤρξαντο, ἔστι δ᾽ οἷς οὐκ ὀλίγοισιν ἐξ ἄλλων πυρετῶν καὶ νουσημάτων ἀποστάσιες ἐς τεταρταίους ἐγένοντο. μακρὰ δὲ καὶ, ὡς εἴθισται τουτέοισι, καὶ ἔτι μακρότερα ξυνέπιπτεν. ἀμφημερινοὶ δὲ καὶ νυκτερινοὶ καὶ πλάνητες πολλοῖσι πολλοὶ, καὶ πουλὺν χρόνον παρέμενον, ὀρθοστάδην τε καὶ κατακειμένοισι. τοῖσι πλείστοισι τουτέων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο. σπασμοὶ δὲ πουλλοῖσι, μᾶλλον δὲ παιδίοισιν ἐξ ἀρχῆς καὶ ἐπύρεσσον, καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοὶ, χρόνια μὲν τοῖσι πλείστοισι τουτέων. ἀβλαβέα (659) δὲ, εἰ μὴ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσιν.

[46] || Οἱ δὲ ξυνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκλείποντες, παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπον. μίαν ὑπο-

hac ipſa interierit, aut ad phrenitim devenerit. At vero tertianae plures quidem quam ardentes et laborioſiores fuerunt, atque in his omnibus rite et ordine a primo inſultu ad quaternos circuitus proceſſere, in ſeptem vero abſolute judicabantur, neque horum cuiquam reverterunt. Quartanae autem multis per initia certo et rato quartanae tenore coeperunt, quibusdam vero non paucis ex aliis febribus et morbis ſeceſſus in quartanas fiebant, longaeque his pro conſuetudine, atque etiam interdum longiores contingebant. Sed et quotidianae nocturnaeque et errantes multae diuque plerisque perſeveravere tum erectis tum decumbentibus, horumque plurimos febres ſub vergilias et in hiemem usque comitabantur. Multos autem ſtatim ab initio praecipueque pueros convulſiones cum febre tentabant, quae etiam febribus ſuccedebant, erantque haec plurimis diuturna, quidem innoxia tamen, niſi ſi quibus caetera omnia perniciem adferrent.

At vero continue quidem omnino febres erant nihilque intermittebant, ſed omnes invadebant earum febrium

κουφίζοντες καὶ μίαν παροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε γενομένων, καὶ μακρότατοι καὶ μετὰ πόνων μεγίστων γενόμενοι, πρηέως ἀρχόμενοι τὸ ὅλον ἐπιδιδόντες αἰεὶ καὶ παροξυνόμενοι ἐν κρισίμοισι, καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιον σμικρὰ διακουφίζοντες, καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσιος, βιαιοτέρως παροξυνόμενοι ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πουλὺ κακούμενοι. ῥίγεα δὲ πᾶσι μὲν ἀτάκτως καὶ πεπλανημένως ἐγίνετο, ἐλάχιστα δὲ καὶ ἥκιστα τουτέοισιν. ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν μείζω, ἱδρῶτες πολλοὶ, τουτέοισι δὲ ἐλάχιστοι. κουφίζοντες οὐδὲν, ἀλλ' ὑπεναντίον βλάβας φέροντες. ψύξις πολλὴ τουτέοισιν ἀκρέων καὶ μόλις ἀναθερμαινόμενα. οὐδὲ ἄγρυπνοι τὸ σύνολον μάλιστα οὗτοι, καὶ πάλιν κωματώδεες. κοιλίαι πᾶσι μὲν ταραχώδεες καὶ κακαὶ, πολὺ δὲ τουτέοισι κάκισται. οὖρα δὲ τοῖσι πλείστοισι τουτέων ἢ λεπτὰ καὶ ὠμὰ καὶ ἄχροα καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως ἢ πάχος μὴ ἔχοντα. θολερὰ δὲ καὶ οὐδὲν καθιστάμενα,

more quae ad tertianarum naturam propius accederent, uno quidem die leviores, altero vero vehementiores, omnium quae tunc contingerent violentissimae, longissimae et laboriosissimae, per initia leves et in totum perpetuo increscentes diebus judicatoriis insultus habebant et in deterius procedebant. Quae etiam cum parvam allevassent, celeriter rursus ex intermissione vehementius invadebant, et diebus judicatoriis magna ex parte deterius affligebant. In his omnibus rigores incomposite et errabunde contingebant, paucissimique et minimi, verum in caeteris febribus majores, ut et sudores multi, his vero perpauci nihilque allevantes, sed contra noxiam afferentes. His magna extremorum perfrictio, quae vix etiam recalescerent. Neque penitus pervigiles erant, maxime vero hi etiam vicissim sopore gravabantur. Alvi omnibus quidem conturbatae erant maleque affectae; istis vero multo pessime. Horum autem plurimis urinae aut tenues erant crudaeque et decolores, aliquantoque post intervallo nonnihil concoctae, non sine judicatoriis signis aut crassitudine quidem praeditae, verum turbidae, nihil consistentes aut subsidentes,

οὐδ᾽ ὑφιστάμενα, οὐδὲ πεπαινόμενα, ἢ σμικρὰ καὶ κακὰ καὶ ὠμὰ τὰ ὑφιστάμενα. κάκιστα δὲ ταῦτα πάντα. βῆχες μὲν παρείποντο τοῖσι πυρετοῖσι. γράψαι δὲ οὐκ ἔχω βλάβην οὐδ᾽ ὠφελείην γενομένην διὰ βηχὸς τότε. χρόνια μὲν οὖν καὶ δυσχερέα καὶ πάνυ ἀτάκτως καὶ πε(660)πλανημένως καὶ ἀκρίτως τὰ πλεῖστα τουτέων διετέλει γινόμενα καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι καὶ τοῖσι μή. εἰ γάρ τινας αὐτέων διαλίποιεν σμικρὸν, ταχὺ πάλιν ὑπέστρεφον. ἔστι δὲ οἷσιν ἔκριεν αὐτέων ὀλίγοισιν οἷσι τὰ βραχύτατα γένοιτο περὶ ὀγδοηκοστὴν ἐοῦσι καὶ τουτέων ἐνίοις ὑπέστρεφεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείους αὐτέων ἔτι νοσέειν. τοῖσι δὲ πλείστοισιν ἀκρίτως ἐξέλιπον. ὁμοίως δὲ ταῦτα συνέπιπτε τοῖσι περιγινομένοισι καὶ τοῖσιν οὔ.

[50] || *Πολλῆς δέ τινος γενομένης ἀκρισίης καὶ ποικίλης ἐκ τῶν νουσημάτων καὶ μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος παρεπομένου, τοῖσι πλείστοισιν ἀποσίτους εἶναι πάντων γευμάτων, μάλιστα δὲ τουτέων οἷσι καὶ τἄλλα*

neque concoctae aut paucae, vitiosae, crudae, subsidentes et in summa pessimae omnes. Tusses quidem febres comitabantur, sed neque quam utilitatem aut noxam tunc tussis attulerit licet scribere. Diuturna itaque et difficilia haec erant, valdeque incomposite et errabunde atque citra solutionem horum plurima tum his qui exitialiter valde, tum his qui nequaquam ita se haberent permanebant. Si quibus enim aliquantulum intermitterent, in iis celeriter reversiones faciebant. Est ubi quibusdam iisque paucis, ad octogesimum diem cum brevissime judicatione solverentur, nonnullis repeterent, ut etiam in hiemem eorum plurimi aegrotarent. Plerosque vero omnes absque judicatione deserebant. Haec autem tum his qui superstites erant, tum iis qui moriebantur ex aequo contigerunt.

Cumque multa eaque varia esset in morbis judicationis cessatio, maximum sane et pessimum signum plerosque omnes ad extremum usque prosecutum est, quod cibos omnes aversarentur, iique maxime qui caetera quoque ex-

Ed. Chart. IX. [50. 53.] Foëſ. II. 946. 947. Ed. Lind. I. (660. 661.)

ὀλεθρίως ἔχοι, διψώδεες οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ πυρετοῖσι τούτοισι. γενομένων δὲ χρόνων μακρῶν καὶ πόνων πολλῶν καὶ κακῆς ξυντήξιος, ἐπὶ τουτέοισιν ἀποστάσιες ἐγένοντο ἢ μείζους ὥστε ὑποφέρειν μὴ δύνασθαι ἢ μείους ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ παλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιον. ἦν δὲ τουτέοισι τὰ γινόμενα δυσεντεριώδεα καὶ τεινεσμοὶ καὶ λειεντερίαι καὶ ῥοώδεες. ἔστι δ' οἷσι καὶ ὕδρωπες. μετὰ τούτων καὶ ἄνευ τούτων ἄσαι. ὅ τι δὲ παραγένοιτο τούτων βιαίως, ταχὺ ξυνήρει ἢ πάλιν ἐπὶ τὸ μηδὲν ὠφελέειν. ἐξανθήματα μικρὰ καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν νοσημάτων καὶ ταχὺ πάλιν ἀφανιζόμενα, ἢ παρὰ τὰ ὦτα οἰδήματα μὴ λυόμενα καὶ (661) οὐδὲν ἀποσημαίνοντα. ἔστι δ' οἷσι ἐς ἄρθρα, μάλιστα δὲ κατὰ τὸ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολιπόντα, καὶ ταχὺ πάλιν ἐπικρατευόμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

[53] || Ἔθνησκον δὲ ἐκ πάντων μὲν, πλεῖστοι δὲ ἐκ του-

itialiter haberent. In his vero ſebribus non admodum inopportune ſiticuloſi erant. Longo autem progreſſu temporis, cum et labores multi malaque corporis extenuatio fieret, his humorum ſeceſſus aut viribus ſuperiores, aut minores quam ut prodeſſent quicquam ſuccedebant, ſed qui confeſtim intro recurrerent et in deterius contenderent. Atque his aderant inteſtinorum tormina, crebrae et inanes egerendi cupidines, inteſtinorum laevores et alvi fluentes, nonnullis etiam aqua inter cutem cum hujusmodi enumeratis caſibus, aut ſine his contingebat. Ex his vero quicquid violenter urgebat, aut ſtatim e medio tollebat, aut prorſus nihil conferebat. Papulae parvae, quae nec ſatis pro dignitate morborum excretioni reſpondebant, ſed contra celeriter diſparebant, aut aurium tumores oboriebantur, qui ſenſim et ſine ulla ſignificatione evaneſcebant. Nonnullis ad articulos praecipueque ad coxendicem decumbebant, paucis decretorie deſinebant, ſed celeriter rurſus priſtinum habitum aſſequebantur.

Ex quovis autem hominum genere interibant qui-

Ed. Chart. IX. [53.] Foes. II. 947. 948. Ed. Lind. I. (661.)

τέων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα ὀκταετέα καὶ δεκαετέα, καὶ ὅσα προ ἥβης. ἐγίνετο δὲ τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων. τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τουτέων. μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων, καὶ πλείστους ἐῤῥύσατο τῶν ὄντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίνοντο. ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγγουριῶδες. τῇσιν ἡλικίῃσι ταύτῃσι γίνεσθαι μάλιστα. || ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην καὶ ἐπὶ τῶν νοσημάτων. ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο. κοιλίαι τε γὰρ εἰ καὶ τύχοιεν ἐφυγραινόμεναι, κακοήθεα τρόπον ταχὺ ξυνίσταντο γεύμασί τε πᾶσιν ἡδέως εἶχον, οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. χρόνια δὲ τουτέοισι τὰ περὶ τὴν στραγγουρίην καὶ ἐπίπονα ἦν. οὖρα δὲ τουτέοισιν εἴη πουλλὰ, παχέα καὶ ποικίλα καὶ ἐρυθρὰ, μιξόπυα μετ᾽ ὀδύνης. περιεγένοντο δὲ πάντες οὗτοι, καὶ οὐδένα τουτέων οἶδα ἀποθανόντα.

dem, atque ex his plurimi pueri jam a lacte depulſi, iique quibus aetas paulum proceſſerat, octennes aut decennes nec dum etiam puberes. Atque iſta quidem his non ſine ſuperius deſcriptis, multis vero ſuperiora absque his contingebant. Quibus autem ad urinae difficultatem res tota ſe converterat, in eamque humorum ſeceſſus fierent, iis hoc unum utile omniumque efficaciſſimum ſignum fuit, quod etiam plerosque omnes ab imminenti maximo diſcrimine vindicavit. Accidit vero plurimis urinae difficultatem potiſſimumque his aetatibus fieri, itemque aliis multis qui etiam in morbis erecti obambulabant. Hic quoque ſubita quaedam et magna omnium mutatio aderat. Alvos namque ſi contigiſſet fuſas fuiſſe, eae confeſtim peſſime cogebantur et ad omnes cibos alacres erant, poſteaque placidae febres tentabant. Verum quae ad urinae difficultatem ſpectabant, ea his diuturna et moleſta fuere urinaeque copioſae, craſſae, evariantes et rubrae partimque cum dolore purulentae. Atque hi omnes ſuperſtites evaſere, neque eorum quenquam interiiſſe cognovi.

Ὁκόσα δὲ ἀκινδύνως, πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας, σκοπεῖσθαι. πεπασμοὶ ταχυτῆτα κρίσεως καὶ ἀσφαλίην ὑγείην σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα καὶ ἐς κακὰς (662) ἀποστάσιας τρεπόμενα, ἀκρισίας ἢ πόνους ἢ χρόνους ἢ θανάτους ἢ τῶν αὐτῶν ὑποστροφάς. ὅ τι δὲ τουτέων ἔσται μάλιστα, σκεπτέον ἐξ ἄλλων λέγειν τὰ προγινόμενα. γινώσκειν τὰ παρεόντα, προλέγειν τὰ ἐσόμενα, μελετᾶν ταῦτα, ἀσκεῖν περὶ τὰ νουσήματα δύο, ὠφελέειν ἢ μὴ βλάπτειν. ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα, ὁ νοσέων καὶ ὁ ἰητρός, ὁ ἰητρὸς ὑπηρέτης τῆς τέχνης. ὑπεναντιοῦσθαι τῷ νουσήματι τὸν νοσεῦντα μετὰ τοῦ ἰητροῦ χρή. τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βαρέα μετ᾽ ὀδύνης, ἄνευ πυρετῶν καὶ σὺν πυρετοῖσι. φρενιτικοῖσι μὲν σπασμοὶ, [60] καὶ ἰώδεα ἐπανεμέουσιν, ἔνιοι ταχυθάνατοι τούτων. ἐν καύσοις δὲ καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν οἷσι μὲν τραχήλου πόνος, καὶ κροτάφων

In quibus vero casibus nullum periculum suspectum est, eorum quae exeunt maturationes omnes num undique tempestive procedant, considerandae sunt. In quibus etiam num abscessus bono sint, aut cum judicatione fiant videndum est. Concoctiones judicationem brevi fore et certam salubritatem portendunt. Cruda vero et incocta, quaeque in malos abscessus vertunt, aut judicationis cessationem aut dolorem aut diuturnitatem aut mortem aut eorundem reversiones significant. Horum autem quodcunque maxime futurum sit, ex aliis considerandum. Summa cura anniti oportet ut praeterita enarres, praesentia cognoscas et futura praedicas. Duoque ista elaboranda sunt, ut in morbis commodes aut ne quid offendas. Artem tria ista circumscribunt, morbus, aeger et medicus, qui artis est administer, aegrumque oportet una cum medico morbo reluctari. Capitis et cervicis dolores et gravitates si febres comitentur, aut sine iis accidant, phrenitide quidem laborantibus ad convulsiones desinunt, praesertim ubi aeruginosa vomitione refuderint: sed et eorum nonnulli celeriter intereunt. Qui febribus ardentibus aliisve conflictantur

βάρος, καὶ σκοτώδεα περὶ τὰς ὄψιας ἢ καὶ ὑποχονδρίου ξύντασις μετ' ὀδύνης γίγνεται, τουτέοισιν αἱμοῤῥαγέειν διὰ ῥινῶν. οἷσι δὲ βαρέα μὲν ὅλης τῆς κεφαλῆς, || καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα τὸ πολὺ δὲ παιδίοισιν. ἐν τουτέοισι γὰρ οἱ σπασμοὶ μάλιστα. γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνοι. πρεσβυτέροισι δὲ καὶ ὅσοισιν ἤδη τὸ θερμὸν κρατέεται, παραπληκτικὰ ἢ μανικὰ ἢ στερήσιες ὀφθαλμῶν.

[62] || [Κατάστασις τρίτη.] Ἐν Θάσῳ πρὸ ἀρκτούρου ὀλίγον καὶ ἐπ' ἀρκτούρου ὕδατα πολλὰ μεγάλα ἐν βορείοισι, περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος νότια ὕσματα ὀλίγα. χειμὼν βόρειος, αὐχμοὶ, ψυχρὰ πνεύματα μεγάλα, χιό(663)νες. περὶ δὲ ἰσημερίην χειμῶνες μέγιστοι. ἦρ βόρειον, αὐχμοὶ, ὕσματα ὀλίγα, ψύχεα. περὶ δὲ ἡλίου τροπὰς θερινὰς ὕδατα ὀλίγα, μεγάλα ψύχεα μέχρι κυνός. μετὰ δὲ κύνα μέχρις ἀρκτούρου θέρος θερμόν. καύματα μεγάλα οὐκ ἐκ προσ-

cum cervicis dolore et temporum gravitate, ſi tenebricoſa caligo oculis obverſatur praecordiorumque contentio ſine doloris ſenſu affuerit, iis ſanguis e naribus profunditur. Qui vero toto capite gravitatem ſentiunt, cum oris ventriculi morſu et ſtomachi faſtidio, ii bilioſa et pituitoſa vomitione rejiciunt. Quibus in caſibus plerumque pueris convulſiones maxime fiunt. Eadem etiam mulieribus contingunt, praetereaque obſcoenorum locorum dolores. Grandioribus autem natu et quos jam calor defecit, partium reſolutiones aut inſaniae aut caecitates.

[*Status Tertius.*] Paulo ante arcturum ſub ipſoque arcturo imbres copioſi et magni ſpirantibus aquilonibus in Thaſo fuerunt. Circa aequinoctium autem et ad vergilias usque parvae et modicae pluviae auſtrinae. Hiems aquilonibus perflata juſto majores ſiccitates, frigidos ventos et magnas nives habuit. Ad aequinoctium autem maxima frigora. Ver aquilonium, exuperantes ſiccitates, modicae pluviae et frigidae. Circa aeſtivum ſolſtitium aquae paucae, frigora magna ad canem usque. Poſt canem vero ad arcturum usque, per calidam aeſtatem aeſtus magni, qui non

Ed. Chart. IX. [62. 64.] Foeſ. II. 950. 951. Ed. Lind. I. (663.)

αγωγῆς, ἀλλὰ συνεχέα καὶ βίαια. ὕδωρ οὐκ ἐγένετο. ἐτησίαι ἔπνευσαν. περὶ ἀρκτοῦρον. ὕσματα νότια μέχρις ἰσημερίης. ἐν τῇ καταστάσει ταύτῃ κατὰ χειμῶνα μὲν ἤρξαντο παραπληγίαι καὶ πολλοῖσιν ἐγίνοντο, καὶ τινὲς αὐτέων ἔθνησκον διὰ ταχέων, καὶ γὰρ ἅλις τὸ νούσημα ἐπίδημον ἦν. τά τ' ἄλλα διετέλεον ἄνοσοι, [64] πρωῒ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι καὶ διετέλεον μέχρις ἰσημερίης καὶ πρὸς τὸ θέρος. || ὅσοι μὲν οὖν ἦρος καὶ θέρεος ἀρξαμένου αὐτίκα νοσέειν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο, ὀλίγοι δέ τινες ἔθνησκον. ἤδη δὲ τοῦ φθινοπώρου καὶ τῶν ὑσμάτων γενομένων θανατώδεες ἦσαν καὶ πλείους ἀπώλλυντο.

Ἦν δὲ τὰ παθήματα τῶν καύσων οἷσι μὲν καλῶς καὶ δαψιλέως ἐκ ῥινῶν αἱμοῤῥαγῆσαι, διὰ τούτου μάλιστα σώζεσθαι, καὶ οὐδένα οἶδα εἰ καλῶς αἱμοῤῥαγήσαιεν ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. Φιλίσκῳ γὰρ καὶ Ἐπαμίνωνι καὶ Σιλήνῳ τεταρταίῳ καὶ πεμπταίῳ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν

per intervalla aut ſenſim fierent, ſed tum perpetui tum vehementes, non pluebat, anniverſarii venti ſpiravere. Ad arcturum autem pluviae auſtrinae ad aequinoctium usque. In hac temporis conditione ad hiemem partium reſolutiones coeperunt multosque invaſerunt, ex quibus nonnulli celeriter interierunt, mire quippe vulgariter graſſabatur hic morbus, caetera vero integre degebant. Febres autem ardentes ante ver coeperunt, et ad aequinoctium usque et ad aeſtatem perſeveraverunt. Quos itaque ſtatim ſub ipſa veris et aeſtatis primordia morbus invaſit, plerique omnes ſuperſtites evaſerunt paucique interierunt. Cum vero autumnus eſſet pluviaeque impeterent, lethales erant pluresque peribant.

Inerant vero in febribus ardentibus affectiones hujusmodi, ut qui bene et largiter ſanguinem e natibus profudiſſent, ii vel ex eo maxime ſervati viderentur, neque ullum cui modo ſanguis bene profluxiſſet hoc in ſtatu mortuum videre licuit. Philiſcus ſi quidem et Epaminon ac Silenus, quod his quarto die et quinto de naribus pa-

Ed. Chart. IX. [64. 66.] Foës. II. 951. Ed. Lind. I. (663. 664.)

καὶ ἀπέθανον. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων περὶ κρίσιν ἐπεῤῥίγεον καὶ μάλιστα οἷσι μὴ αἱμοῤῥαγῆσαι. ἐπεῤῥίγουν δὲ καὶ οὗτοι καὶ ἐφίδρουν. [66] ἔστι δ' οἷσιν (664) ἴκτεροι ἑκταίοισι, ἀλλὰ τούτοισιν ἡ κατὰ κύστιν κάθαρσις ἢ κοιλίη ἐκταραχθεῖσα ὠφελήσαιεν, ἢ δαψιλὴς αἱμοῤῥαγίη, οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ Ἀριστοκύδη, καίτοι τούτῳ καὶ ἐκ ῥινῶν αἱμοῤῥάγησε καὶ ἡ κοιλίη ἐπεταράχθη, καὶ τὰ κατὰ κύστιν ἐκαθήρατο. ἐκρίθη εἰκοσταῖος. οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τουτέων ἐγένετο, ἀπέθανεν. αἱμοῤῥαγίαι δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ μειρακίοισι καὶ ἀκμάζουσι, καὶ ἔθνησκον πλεῖστοι τοιουτέων, οἷσι μὴ αἱμοῤῥαγῆσαι ἐγένετο. πρεσβυτέροισι δὲ ἐς ἰκτέρους, ἢ κοιλίαι ταραχώδεες ἢ δυσεντεριώδεες, οἷον Βίωνι τῷ παρὰ Σιληνὸν κατακειμένῳ. ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος, καὶ τισὶ καὶ τῶν διανοσησάντων, οἷσι καὶ αἱμοῤῥαγίαι ἐγένοντο,

rum ſtillaverit, mortem obierunt. Plerique igitur omnes aegri appetente judicatione rigore corripiebantur, iique potiſſimum qui ſanguinem e naribus non profudiſſent, atque hi inſuper novo ſuborto rigore exudarunt. Quosdam etiam ſexto die morbus regius prehendit, verum iſtos per veſicam expurgatio aut commota alvus, aut larga ſanguinis e naribus profuſio ſublevavit, quale quid Heraclidae, qui apud Ariſtocyden decumbebat, contigit, quippe qui largum e naribus ſanguinem profudit, et alvum conturbatam habuit et per veſicam perpurgatus eſt. Vigeſimo autem die judicatione eſt liberatus, non quomodo Phanagorae famulus, qui, cum ipſi nihil horum quicquam eveniſſet, periit. Plurimis ſanguis e naribus erumpebat, praecipue tamen adoleſcentibus et aetate florentibus, atque eorum bona pars periit qui ſanguinem e naribus non profuderunt. Aetate autem provectioribus, res ſeſe in morbum arquatum vertebat, aut iis alvi commotae, aut inteſtinorum difficultates aderant, quale quid Bioni qui ad Silenum decumbebat, contigit. Aeſtate etiam inteſtinorum difficultates populariter vagatae ſunt, et quidam eorum qui morbis conflictabantur, quibus etiam ſanguis e naribus eruperat, hunc exitum ha-

Ed. Chart. XII. [66. 67.] Foës. II. 951—953. Ed. Lind. I. (664. 665.)

ἐς δυσεντεριώδεα ἐτελεύτησαν, οἷον τοῦ Ἐράτωνος τῷ παιδὶ καὶ μύλλῳ, πολλῆς αἱμοῤῥαγίης γενομένης, ἐς δυσεντεριώδεα κατάστασιν περιεγένοντο.

[67] || Πολλοῖς μὲν οὖν μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασεν, ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ἡμοῤῥάγησεν, ἀλλὰ παρὰ τὰ ὦτα || ἐπαναστάντα ἠφανίσθη. τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν καὶ ἐς ἄκρον ἰσχίον. ἀλγήματος δὲ μετὰ κρίσιν γενομένου καὶ οὔρων λεπτῶν διεξιόντων, αἱμοῤῥαγέειν σμικρὰ ἤρξαντο. περὶ δὲ εἰκοστὴν τετάρτην ἐγένοντο ἐς αἱμοῤῥαγίην ἀποστάσιες Ἀντιφῶντι τῷ Κριτοβούλου. ἐπεπαύσατο καὶ (665) ἐκρίθη τελέως περὶ τεσσαρακοστήν. γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαὶ, ἐλάσσους δὲ ἢ ἄνδρες, καὶ ἔθνησκον ἥσσους. ἐδυστόκεον δὲ πλεῖσται, καὶ μετὰ τοὺς τόκους ἐπενόσεον, καὶ ἔθνησκον αὗται μάλιστα, οἷον Τελεβόλου θυγάτηρ ἀπέθανεν ἑκταίη τόκου. τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσιν πυρετοῖσιν γυναικεῖα ἐπε-

buerunt ut in difficultatem inteſtinorum inciderent, quale quid Eratonis puero Myllo accidit, qui poſt multam ſanguinis e naribus profuſionem in difficultatem inteſtinorum delapſi ſunt et periculo exempti.

Copioſus igitur praecipueque hic humor fluitabat. Si quidem nonnullis impendente judicatione ſanguis e naribus non profluxit, ſed ad aures enati tumores diſparuerunt. Quibus evaneſcentibus ad ſiniſtri lateris inanitatem ſummamque coxendicem gravitas decubuit, doloribusque poſt judicationem obortis, atque urinis tenuibus prodeuntibus, paucum e naribus ſanguinem profundere coeperunt. Ac circiter quartum et vigeſimum diem Antiphonti Critobuli filio, humores in ſanguinis e naribus profluvium receſſerunt, quod ubi deſiit integre circa quadrageſimum diem judicio eſt abſolutus. Mulieres praeterea multae aegrotarunt, minus tamen quam viri nec ita multae obierunt. Plurimae autem difficulter partum ediderunt, atque a partu inſuper laborarunt ipſaeque potiſſimum obierunt, non ſecus ac Telebuli filia, quae ſexto a partu die interiit. In febribus itaque plurimis menſes apparuerunt, nonnullis etiam ſanguis ex

φαίνετο. ἔστι δὲ ᾗσιν ἐκ ῥινῶν ἡμοῤῥάγησεν, καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο. ἔστι δ' ᾗσι καὶ ἐκ ῥινῶν καὶ τὰ γυναικεῖα τισὶν ἐπεφαίνετο, οἷον τῇ Δαϊθαρσέως θυγατρὶ παρθένῳ ἐπεφάνη τότε πρῶτον καὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη, καὶ οὐδεμίην οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο. ᾗσι δὲ συνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν. ὡς καὶ ἐγὼ οἶδα. οὖρα δὲ τοῖσι πλείστοισι εὔχροα μὲν, λεπτὰ δὲ καὶ ὑποστάσιας ὀλίγας ἔχοντα, διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσι. πολλοῖσι δὲ τῶν ἄλλων κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα, οἷον Ξενοφάνει καὶ Κριτίᾳ οὖρα ὑδατώδεα πολλὴ, καθαρὰ καὶ λεπτὰ καὶ μετὰ κρίσιν καὶ ὑποστάσιος καλῆς γινομένης καὶ τῶν ἄλλων καλῶς κεκριμένων, ἀναμνήσομαι οἷσιν ἐγένετο. Βίωνι ὃς κατέκειτο παρὰ Σιληνόν. Κρατίῃ τῇ παρὰ Ξενοφάνους. Ἀρέτωνος παιδὶ, Μνησιστράτου γυναικί. μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες. ἦρά γε ὅτι οὔρησαν ὑδατώδεα σκεπτέον.

naribus profluxit, multisque virginibus id tum primum contigit. Est ubi etiam sanguis e naribus, quibusdam vero menstruae purgationes erumperent, quale quid in Daïtharsis filia virgine tum primum apparuit, cum larga sanguinis e naribus profusione. Atque haud scio, quibus horum quicquam rite evenerit, an ex iis quaequam perierit. In quas vero praegnantes morbus forte incidit, hae omnes, quod sciam abortionibus periclitatae sunt. Plurimis vero urinae bene quidem coloratae, tenues autem et pauca habentes subsidentia, cum dejectionibus tenuibus et biliosis. Plerisque vero alioqui judicatis, morbus in intestinorum tormina desiit, quale quid Xenophani et Critiae accidit. Urinae etiam quibusdam dilutae, multae, liquidae, tenues post judicationem fuerunt, in quibus cum reliqua etiam probe judicata forent, multa subsedere. Atque hoc quidem recensere aequum videtur, in quibus fuere Bion, qui apud Silenum decumbebat, Cratia quae cum Xenophane versabatur, Aretonis puer et Mnesistrati uxor. Qui omnes postea in difficulta em intestinorum delapsi sunt. An vero iccirco id contigerit quod urinae dilutae prodierint, animadversione dignum est.

[68] || Περὶ δὲ ἀρκτοῦρον ἑνδεκαταίοισι πουλλοῖσιν ἔκρινε καὶ τουτέοισιν οὔθ᾽ αἱ κατὰ λόγον γενόμεναι ὑποστροφαὶ ὑπέστρεφον. (666) ἦσαν δὲ κωματώδεες περὶ τὸν χρόνον τοῦτον. πλείω δὲ παιδία καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων. περὶ δὲ ἰσημερίην καὶ μέχρι πλειάδος καὶ ὑπὸ χειμῶνα παρείποντο μὲν οἱ καῦσοι. ἀτὰρ καὶ φρενιτικοὶ πλεῖστοι τηνικαῦτα ἐγένοντο καὶ ἔθνησκον τούτων οἱ πλεῖστοι, ἐγένοντο δὲ καὶ κατὰ θέρος ὀλίγοι. τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια ξυνέπιπτεν. αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξὺς, ἐπεῤῥίγουν σμικρὰ, ἄγρυπνοι, διψώδεες, ἀσώδεες, σμικρὰ ἐφίδρουν περὶ τὸ μέτωπον καὶ κληῗδας, οὐδεὶς δι᾽ ὅλου. πολλὰ παρέλεγον, φόβοι, δυσθυμίαι, ἄκρεα ὑπόψυχρα, πόδες ἄκροι, μάλιστα δὲ καὶ τὰ περὶ χεῖρας. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι, τοῖσι δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι, καὶ ἱδρὼς ἐπὶ

Multi circa arcturum undecimo die judicatione absoluti sunt neque his quae ob justam causam fieri solent morborum reversiones recurrerunt. Sub hoc tempus autem sopore opprimebantur, atque inter hos plures pueri, qui omnium vel maxime morte exempti sunt. Ad aequinoctium vero et ad vergilias usque et sub hiemem febres ardentes accidebant. Quin etiam tunc plurimi perpetuo cum febribus delirio corripiebantur, atque ex his plerique omnes moriebantur, aestate autem pauci tales evadebant. Invadentes itaque febres ardentes, quibus praesens immineret pernicies, satis indicabant. Nempe statim ab initio febris acuta cum modico insuper rigore prehendebat, vigiles erant, impotentes animi, sitibundi, aestuatione et corporis incontinenti jactatione conflictabantur, cum parvo tenuique sudore circa frontem et claviculas oborto, nullo tamen per totum corpus diffuso, multum deliri erant, timore et omni moerore confecti ac velut animum despondentes, extrema paulatim frigus concipiebant, pedes summi, maximeque manuum summitates, diebus paribus accessiones contingebant. Plerisque vero omnibus maximi labores die quarto aderant, su-

πλεῖστον ὑπόψυχρος, καὶ ἄκρεα οὐκ ἔτι ἐθερμαίνοντο, ἀλλ' ἦσαν πελιδνὰ καὶ ψυχρὰ καὶ οὐδ' ἐδίψων ἐπὶ τούτοις. οὖρα τούτοις μέλανα, ὀλίγα, λεπτὰ, καὶ κοιλίαι ἐφίσταντο. οὐδ' ἡμοῤῥάγησαν ἐκ ῥινῶν οὐδενὶ οἷσι ταῦτα ξυμπίπτοι, ἀλλὰ σμικρὰ ἔσταξεν οὐδ' ἐς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνησκον ξὺν ἱδρῶτι. τοῖσι δὲ φρενιτικοῖσι ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα πάντα, ἐκρίνετο δὲ τουτέοισιν ὡς ἐπὶ τὸ πολὺ ἑνδεκαταίοισιν· ἔστι δ' οἷσι καὶ εἰκοσταίοισι. οἷσιν εὐθὺς οὐκ ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο περὶ τρίτην ἢ τετάρτην ἡμέραν, ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ, περὶ τὴν ἑβδόμην εἰς ὀξύτητα τὸ νόσημα μετέπεσεν.

[72] || Πλῆθος μὲν οὖν τῶν νο(667)σημάτων ἐγένετο. ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, ὑπολευκοχρῶτες, ἰθύτριχες, μελανότριχες, μελανόφθαλμοι, οἱ εἰκῇ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες, ὑψόφωνοι, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοὶ, ὀργίλοι. γυναῖκες δὲ πλεῖσται ἐκ τουτέου τοῦ εἴδεος ἀπέθνησκον. ἐν δὲ τῇ

doresque longiſſime ſubfrigidi, nec extrema amplius recaleſcebant, ſed livida et frigida permanebant, neque amplius ſitiebant. Urinae his erant nigrae, tenues et paucae, alvique reſtiterant, ac ne his quidem quibus haec acciderent ſanguis e naribus profluxit, ſed paucus ſtillavit, neque horum cuiquam res ad recidivam devenit, verum ſexto die cum ſudore perierunt. Phreniticis autem contigerunt quidem deſcripta non omnia, ſed his fere undecimo die, quibusdam etiam vigeſimo judicatione ſolvebantur. Quos ſtatim ab initio circa tertium aut quartum diem phrenitis non prehenderat, ſed primo tempore moderate ſe habebant, iis circa ſeptimum diem morbus ad vehementiam devenit.

Magnus itaque fuit morborum numerus, atque ex aegris praecipue interibant adoleſcentes, juvenes, aetate florentes, quique erant glabro corpore, cute ſubalbida, extenſo et nigro capillitio et nigris oculis, otioſe et ſegniter vitam degentes, voce alta, exili, aſpera, balbi, irae praecipitis et acerbae, plurimaeque hujuſce generis mulieres peribant.

Ed. Chart. IX. [72. 75.] Foës. II. 955. 956. Ed. Lind. I. (667.)

καταστάσει ταύτῃ ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο. οἷσι γὰρ ἦν ἢ διὰ ῥινῶν αἱμοῤῥαγῆσαι ἢ κατὰ κύστιν οὖρα πολλὰ καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἔλθοι, ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεα ἐπικαίρως, ἢ δυσεντερικοὶ γενοίατο. πολλοῖσι δὲ ξυνέπιπτε μὲν ἐφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖσι πλείστοισι, καὶ δοκέειν μὲν ἔχειν ὀχληροτέρως. διεσώζοντο δὲ πάντες οἷσι ταῦτα ξυνέπιπτε. γυναιξὶ δὲ καὶ παρθένοισι, ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα. ἧσι δὲ ἢ τούτων τι καλῶς γένοιτο ἢ τὰ γυναικεῖα δαψιλῶς ἐπιφανείη, διὰ τουτέων ἐσώζοντο καὶ ἔκρινε, καὶ οὐδεμίαν οἶδα ἀπολουμένην, ἧσι τούτων τι καλῶς γένοιτο. Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη, ἑβδομαίη δὲ οὖσα ἐδείπνησεν ἀκαιροτέρως, ἀπέθανεν.

[75] || Οἷσιν ἐν πυρετοῖσιν ὀξέσι μᾶλλον καυσώδεσιν ἀκούσια δάκρυα παραῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥαγίην προσδέχεσθαι, ἢν καὶ τἄλλα μὴ ὀλεθρίως ἔχωσιν, ἐπὶ τοῖς

At vero hoc in ſtatu ex quatuor maxime ſignis ſervabantur ii, quibus aut ex naribus bene ſanguis profluiſſet, aut urina multa, in qua quod deſidebat copioſum et laudabile erat, per veſicam proceſſiſſet; quique aut per alvum turbulenta, biliofa, tempeſtive demitterent; aut in difficultatem inteſtinorum delaberentur. Multisque uſu venit ut non ab uno ex deſcriptis ſignis judicarentur, ſed ut plurimi per omnia percurrerent et gravius habere viderentur. Sed hi omnes, quibus iſta contingerent, incolumes evaſerunt. Mulieribus item et virgunculis evenerunt paulo ante memorata ſigna omnia. Decernebat autem ſi quibus aut horum quippiam optime fieret, aut liberaliter muliebria apparerent, nullaque, quod ſciam, ex his quibus horum quid optime factum eſſet interiit. Philonis namque filia, cum liberaliter ex naribus ſanguis effluxiſſet, quod ſeptimo die intempeſtivius coenaſſet, mortem obiit.

Quibus invitis per febres acutas atque adeo ardentes lacrimae effluunt, in his, dum caetera exitialiter non ſe habeant, ſanguinis ex naribus profluvium expectandum eſt.

γε φλαύρως ἔχουσιν οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει. τὰ παρὰ (668) τὰ ὦτα ἐν πυρέττουσιν ἐπαιρόμενα μετ' ὀδύνης ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως οὔτε καθίστατο οὔτε ἐξεπύει, τουτέοισι διάῤῥοια χολώδεων, ἢ δυσεντερίη, ἢ παχέων οὔρων ὑπόστασις γενομένη λύει, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ. τὰ δὲ περὶ τὰς κρίσιας ἐξ ὧν καὶ διαγινώσκομεν ἢ ὅμοια ἢ ἀνόμοια, οἷον οἱ δύο ἀδελφεοὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην, κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοὶ, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἕκτῃ, τῷ δὲ νεωτέρῳ ἑβδόμῃ. ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην, καὶ διέλιπεν ἡμέρας πέντε. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ ξύμπαν ἑπτακαιδεκαταίοισιν. ἔκρινε δὲ τοῖσι πλείστοισι πέμπτῃ, διέλιπεν ἑβδόμῃ, ἐκ δὲ τῶν ὑποστροφέων ἔκρινε πεμπταίοισιν. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισιν, διέλιπεν ἑβδόμῃ, ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τρίτῃ. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διαλιπόντας τὴν

In his si quidem qui male habent non sanguinis eruptionem, verum mortem portendunt. Quibus febre judicatorie desinente, tumores ad aures in febribus cum dolore suborti, neque conquiescunt neque suppurantur, eos, biliosum alvi profluvium aut intestinorum difficultas, aut quod in urinis crassis subsidet, liberat, quale quid Hermippo Clazomenio evenit. Quod vero ad judicia attinet, ea, ut satis perspicere licet, aut sunt inter se similia aut dissimilia. Velut in duobus fratribus apparuit, qui ad theatrum Epigenis habitabant, quibus, cum eadem simul hora morbus coepisset, aetate provectiori sexto die, juniori vero septimo decrevit, reversus utrique eadem simul hora, dies quinque intermisit, atque ex reversione uterque simul in totum die decimoseptimo est judicatione liberatus. Plurimis autem quinto die decrevit, septem intermisit et post reditum die quinto judicatio facta est. Quibusdam etiam septimo die decrevit, diebus septem intermisit et ex recidiva die tertio judicatio facta est. Nonnullis quoque morbus die septimo judicatus est, cumque diebus tribus intermisisset, septimo decrevit. Ali-

Ed. Chart. IX [75. 76. 78.] Foes. II. 956—958. Ed. Lind. I. (668. 669.)

τρίτην ἔκρινεν ἑβδόμῃ. οἷσι δὲ ἔκρινεν ἑκταίοισιν, διαλιπόντας ἕκτην ἐλάμβανε τρίτῃ. οἷσι δὲ ἔλιπε πρώτῃ, [76] || ἐλάμβανε καὶ ἔκρινε πρώτῃ, οἷον Εὐάγοντι τῷ Δαϊθάρσους. οἷσι δὲ ἔκρινεν στ', διέλιπεν ζ', ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τετάρτῃ. οἷον τῇ Ἀγλαΐδου θυγατρί. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν (669) τῇ καταστάσει ταύτῃ τούτῳ τῷ τρόπῳ διενόσησαν, καὶ οὐδένα οἶδα τῶν περιγενομένων ὅντινα οὐχ ὑπέστρεψαν κατὰ λόγον αἱ ὑποστροφαὶ γενόμεναι, καὶ διεσώζοντο πάντες οὓς ἐγὼ οἶδα, οἷσιν ἂν ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γενοίατο. οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν. ἔθνησκον δὲ ἐν τοῖσι νουσήμασιν τούτοισιν οἱ πλεῖστοι ἑκταῖοι, οἷον Ἐπαμινώνδας καὶ Σιληνὸς καὶ Φιλίσκος ὁ Ἀνταγόρεω.

[78] || Οἷσι δὲ τὰ παρὰ τὰ ὦτα γενοίατο ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι καὶ οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο. Κρατιστώνακτι, ὃς παρὰ Ἡρακλεῖ ᾤκει, καὶ

quibus die fexto morbus decrevit, atque ubi dies fex intermififfet, tribus diebus prehendit, quos etiam ubi uno die reliquiffet, altero rurfus prehendit et judicatus eft, quemadmodum Euagonti Daipharfis filio contigit. Aliis fexto die decrevit, feptem intermifit et ex repetitione die quarto judicatus eft, quale quid Aglaidae filiae ufuvenit. Plurimi igitur eorum qui tunc aegrotarunt hunc habuerunt morbi tenorem, atque haud fcio an eorum cuiquam qui fuperfuerunt rite factae morborum reverfiones non recurrerint, omnesque, quod fciam, fervabantur quibus hoc recidivae genus contigit, neque hoc modo aegrotantium cuiquam morbum rurfus repetiviffe memini. Moriebantur autem plurimi ex his morbis fexto die, velut Epaminondas, Silenus et Philifcus Antagorae filius.

Quibus tubercula ad aures enafcebantur, ea die vigefimo decernebant. Sedata autem funt iis omnibus quibus non fuppurarunt, ad veficam tamen fefe converterunt. Cratiftonactae qui ad Heraclium decumbebat, et Scymni ful-

Σκύμνου τοῦ γναφέως θεραπαίνη ἐξεπύησεν, ἀπέθανον. οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν, ἐνάτῃ ὑπέστρεφεν. ἔκρινεν ἐκ τῆς ὑποστροφῆς. ἔκρινεν ἑβδόμῃ Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι τῷ γραφεῖ. ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρις ἰσημερίης παρέμενον μὲν οἱ καῦσοι καὶ τὰ φρενιτικὰ, καὶ ἔθνησκον πολλοί. αἱ μέντοι κρίσιες μετέπεσον, καὶ ἐκρίνετο τοῖσι πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοισι. διέλιπε τεταρταίοισι, ὑπέστρεψεν, ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισι. τὸ δὲ ξύμπαν τεσσαρεσκαιδεκαταίοισι. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. ἔστι δ' οἷσιν ἔκρι(670)νεν ἑνδεκαταίοισι, ὑπέστρεφε τεσσαρεσκαιδεκάτῃ. ἔκρινε τελείως εἰκοστῇ. εἰ δέ τινες ἐπεῤῥίγουν περὶ τὴν εἰκοστὴν, τουτέοισιν ἔκρινε τεσσαρακοστῇ. ἐπεῤῥίγουν δ' οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς. οἱ δ' ἐπιῤῥιγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει. [79] ἐπεῤῥίγουν δ' ἐλά-

lonis ancillae fuppurarunt, et perierunt. Nonnullis vero morbus die feptimo decrevit, novem intermifit diebus, reverfus eft et ex recidiva quarto die judicatus eft. Phanocritus qui apud Gnathonem pictorem decumbebat, feptimo die judicatione eft abfolutus. Sub hiemem vero circa brumale folftitium ad aequinoctium usque, febres ardentes et phrenitides perdurabunt, multique peribant. Judicationes tamen varie ceciderunt, plurimisque quinto ab initio die morbus decrevit, quarto intermifit, repetiit et ex recidiva quinto die judicatio facta eft, omnino diebus quatuordecim. Atque hunc in modum pueris plurimis, quin etiam natu grandioribus judicatio facta eft. Nonnullis vero undecimo die morbus decrevit, decimo quarto repetiit, perfecteque vigefimo judicatus eft. Quod fi qui vigefimo novo infuper rigore corriperentur, iis quadragefimo die morbus decrevit. Plerique autem omnes fub primam judicationem denuo rigebant. Quin etiam quidam per exordia fub judicium ipfum novo rigore correpti, adhuc in ipfis morborum reverfionibus una cum judicatione riguerunt. Vere autem rigebant omnino

χιστοι μὲν τοῦ ἦρος, θέρεος πλείους, φθινοπώρου ἔτι πλείους. ὑπὸ δὲ χειμῶνα πολὺ πλεῖστοι. αἱ δ' αἱμοῤῥαγίαι ὑπέληγον.

[80] [Τμῆμα τρίτον.] Τὰ δὲ περὶ τὰ νουσήματα ἐξ ὧν διεγινώσκομεν μαθόντες ἐκ τῆς κοινῆς φύσιος ἁπάντων καὶ τῆς || ἰδίης ἑκάστου, ἐκ τοῦ νουσήματος, ἐκ τοῦ νοσέοντος, ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος. ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον ἐκ τούτων. ἐκ τῆς καταστάσιος ὅλης, καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστης. ἐκ τοῦ ἔθεος, ἐκ τῆς διαίτης, ἐκ τῶν ἐπιτηδευμάτων, ἐκ τῆς ἡλικίης ἑκάστου, λόγοισι, τρόποισι, σιγῇ, διανοήμασι, ὕπνοισιν, οὐχ ὕπνοισιν, ἐπυπνίοισί τισι, καὶ ὅτε τιλμοῖσι, κνησμοῖσι, δακρύοισιν, ἐκ τῶν παροξυσμῶν διαχωρήμασιν, οὔροισι, πτυάλοισιν, ἐμέτοισι, καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον, ἱδρὼς, ψύξις, ῥῖγος, βὴξ, πταρμοὶ, λυγμοὶ, πνεύματα,

pauci, aestate plures, per autumnum adhuc plures, sub hiemem longe plurimi. At sanguinis e naribus profluvia cessarunt.

[*Sectio Tertia.*] Quaenam in his quae ad morbos spectant dignotio facienda sit, facile discemus ex communi omnium et cujusque propria natura, ex morbo et aegroto, ex his quae offeruntur et eo qui offert. Nam et ex his melius vel gravius se habent. Praeterea ex universali ac particulari aeris conditione et regionis cujusque, ex consuetudine, victus ratione, vitae genere, ex cujusque aetate, aegri sermonibus, moribus, silentio, imaginationibus, somnis, vigiliis, ex insomniis, quae qualia et quando obveniant videndum est, vellicationibus, pruritibus, lacrimis, ex accessionibus, dejectionibus, urinis, sputis, vomitionibus. Videndae sunt etiam quaecunque fiunt morborum vicissitudines, et ex quibus in quos succedant, et quinam abscessus perniciem aut solutionem portendant. Sed et sudor, rigor, perfrictio, tussis, sternutationes, singultus, spiritus, eructationes, flatus silentes, strepitum cientes, sanguinis eruptiones, ora venarum ex ano sanguinem fundere solita, Graeci

Ed.Chart.IX. [80, 86.] Foes. II. 959. 961. Ed. Lind. I. (670, 671.)
ἐρεύξιες, φῦσαι, σιγώδεες, ψοφώδεες, αἱμοῤῥαγίαι, αἱμοῤῥοΐδες. ἐκ τούτων καὶ ὅσα διὰ τούτων σκεπτέον.

[86] || Πυρετοὶ, οἳ μὲν ξυνεχέες, οἳ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι. νύκτα ἔχουσιν, ἡμέ(671)ραν διαλείπουσιν, ἡμιτριταῖοι, τριταῖοι, τεταρταῖοι, πεμπταῖοι, ἑβδομαῖοι, ἐναταῖοι. εἰσὶ δὲ ὀξύταται μὲν καὶ μέγισται καὶ χαλεπώταται νοῦσοι καὶ θανατωδέσταται ἐν τῷ ξυνεχεῖ πυρετῷ. ἀσφαλέστατος δὲ πάντων καὶ ῥήϊστος καὶ μακρότατος ὁ τεταρταῖος. οὐ γὰρ μόνον αὐτὸς ἀφ' ἑωυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων μεγάλων ἄλλων ῥύεται. ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθαι, καὶ ἔστι τῶν λοιπῶν οὗτος θανατωδέστατος. ἀτὰρ καὶ φθινώδεες καὶ ὅσα ἄλλα μακρότερα νοσήματα νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι. νυκτερινὸς οὐ λίην θανατώδης. μακρὸς δὲ ἡμερινὸς μακρότερος. ἔστι δὲ οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδες. ἑβδομαῖος μακρὸς οὐ θανατώδης. ἐναταῖος μακρότερος καὶ οὐ θανατώδης.

haemorrhoidas dicunt. Atque ex his quae per haec contingunt confideranda funt.

Febrium hae quidem funt continuae, hae vero interdiu prehendunt, noctu intermittunt, aut noctu prehendunt, interdiu intermittunt. Sunt et femitertianae, tertianae, quartanae, quintanae, feptimanae et nonanae. In febre autem continua morbi funt valde praecipites, maximi et graviffimi praecipueque lethales. At omnium eft tutiffima quartana, placidiffima et longiffima. Non enim folum per fe ipfa talis eft, verum etiam ab aliis magnis morbis vindicat. In ea vero quae femitertiana dicitur, tum morbi acuti accidunt, tum etiam praeter caeteras ifta praecipue letalis eft. Quin etiam tabes et quicunque alii morbi longi affligunt, in hac potiffimum detinent. Nocturna non admodum letalis eft, longa tamen. Diurna longior, nonnullis autem ad tabem vergit. Septimana longa eft, non tamen lethalis. Nonana hac adhuc longior, fed non lethalis.

[95] || Τριταῖος ἀκριβὴς ταχυκρίσιμος καὶ οὐ θανατώδης. ὁ δέ γε πεμπταῖος πάντων μὲν κάκιστος, καὶ γὰρ πρὸ φθίσιος καὶ ἤδη φθίνευσιν ἐπιγινόμενος κτείνει. εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, ὁμοίως ξυνεχέων διαλιπόντων. αὐτίκα γὰρ ξυνεχής ἐστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται. ἔστι δὲ οἷσιν ἄρχεται, μαλακῶς καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέρην ἑκάστην. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἅλις ἐξέλαμψεν, ἔστιν οἷσιν ἀρχόμενος πρηέως ἐπιδιδοῖ καὶ παροξύνεται καὶ μέχρι τινὸς ἀκμάσας, πάλιν ὑφίησιν μέχρι κρίσιος || καὶ (672) περὶ κρίσιν. ξυμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ καὶ παντὸς νουσήματος. δεῖ δὲ τὰ διαιτήματα σκοπεύμενον ἐκ τούτων προσφέρειν. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοισιν ἐστὶν ἠδελφισμένα, περὶ ὧν τὰ μέν που γέγρα-

Tertiana exacta celerem habet judicationem, neque letalis est. Quintana autem omnium est pessima. Haec nempe ante tabem, aut jam contabescentibus ubi supervenerit, perimit. Insunt autem in singulis hisce febribus, tum continuis tum intermittentibus, formae, constitutiones et accessiones hujuscemodi. Videlicet quidem continua quibusdam ubi incoepit floret et viget maxime et in gravius tendit, circa judicium vero in ipsoque judicio extenuatur. Nonnullis vero leniter ac latenter incipit, increscit autem in dies exacerbaturque, sed sub judicium in ipsoque judicio abunde emicat. Est ubi ex moderatis initiis augescit et exacerbatur, et simulatque aliquantisper vigorem acceperit, ad judicium usque sub ipsumque judicium rursus se remittit. Atque haec in omnem febrem omnemque morbum cadere solent. Ex his autem bene subducta ratione victum offerre necesse est. Jam quoque multa alia praecipua signa his sunt cognata, de quibus partim aliquando scriptum est, partim vero scribetur. Quae tecum animo reputans, perpendendum considerandumque quodnam praeceps periculum et

Ed. Chart. IX. [95.] Foes. II. 964. 965. Ed. Lind. I. (672.)

πται, τὰ δὲ γεγράψεται. πρὸς ἃ δεῖ διαλογιζόμενον δοκιμάζειν καὶ σκοπεῖσθαι τίνι τουτέων ὀξὺ καὶ θανατῶδες ἢ περιεστικὸν, καὶ τίνι προσακτέον ἢ οὔ, καὶ πότε καὶ πόσον, καὶ τί τὸ προσφερόμενον ἔσται. τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃ κρίνεται ἐν ἀρτίῃσιν. ὧν δὲ οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνεται ἐν περισσῇσιν.

|| Ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων ἐν τῇσιν ἀρτίῃσι κρινόντων, δ', στ', η', ι', ιδ', κη', λ', λδ', μη', ξ', π', ρ', τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περιόδων, α', γ', ε', ζ', θ', ια', ιζ', κα', κζ', λα'. εἰδέναι δὲ χρὴ ὅτι ἢν ἄλλως κριθῇ ἔξω τῶν ὑπογεγραμμένων ἐσομένας ὑποστροφὰς σημαίνοιτο καὶ γένοιτο ἂν ὀλέθρια. δεῖ δὲ προσέχειν τὸν νοῦν καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοισι τὰς κρίσιας ἐσομένας ἐπὶ σωτηρίῃ ἢ ὀλέθριον ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον ἢ τὸ χεῖρον. πλάνητες δὲ πυρετοὶ καὶ τεταρταῖοι καὶ πεμ-

mortem portendat, aut quodnam fuperftitem aegrum fore indicet, et cuinam admovendus cibus necne et quando et quantus, et quinam cibus futurus fit. Quae diebus imparibus invafiones habent, ea diebus paribus decernunt. Quorum vero acceffiones imparibus diebus fiunt, ea imparibus judicantur.

Circuituum autem qui diebus paribus judicant primus eft decretorius quartus, fextus, octavus, decimus, decimus quartus, vigefimus octavus, trigefimus, quadragefimus octavus, fexagefimus, octogefimus et centefimus. Circuituum vero qui diebus imparibus judicant, primus eft tertius, quintus, feptimus, nonus, undecimus, decimus feptimus, primus et vigefimus, feptimus et vigefimus, et trigefimus primus. Confiderandum autem eft, quod fi quid aliter extra hos praefcriptos dies decernat, recidivas fore perniciemque portendi. Animumque advertere et noffe oportet, his in temporibus futuras judicationes ad falutem aut perniciem tendere, vel momenta in melius aut deterius facere. Praetereaque videndum eft quibusnam circuitibus febres

Ed. Chart. IX. [95. 99.] Foës. II. 965. 966. Ed. Lind. I. (672. 673.)

παῖοι καὶ ἑβδομαῖοι καὶ ἐναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται σκεπτέον.

[99] || ΑΡΡΩΣΤΟΙ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑ. [Πρῶτος.] Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος, κατεκλίθη τῇ πρώτῃ, πυρετὸς ὀξύς. ἵδρωσεν ἐν νυκτὶ ἐπιπόνως δευτέρῃ, πάντα παρωξύνθη. ὀψὲ δὲ ἀπὸ (673) κλυσματίου καλῶς διῆλθε, νύκτα δι' ἡσυχίης. τρίτῃ πρωῒ καὶ μέχρι μέσου ἡμέρης ἔδοξε γενέσθαι ἀπύρετος. πρὸς δείλην δὲ πυρετὸς ὀξὺς, μετὰ ἱδρῶτος, διψώδης, γλῶσσα δὴ ἐπεξηραίνετο. μέλανα οὔρησεν, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. τετάρτῃ πάντα παρωξύνθη, οὖρα μέλανα, νύκτα εὐφορωτέρην. οὖρα εὐχρούστερα. πέμπτῃ περὶ μέσον ἡμέρας, μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον. οὖρα δὲ ποικίλα, ἔχοντα ἐναιωρήματα στρογγύλα, γονοειδέα, διεσπαρμένα. οὐχ ἵδρυτο, προσθεμένῳ δὲ βάλανον φυσώδεα σμικρὰ διῆλθε. νύκτα ἐπιπόνως, ὕπνοι σμικροὶ, λόγοι, λῆρος, ἄκρεα πάντοθεν ψυχρὰ καὶ οὐκ ἔτι ἐπαναθερμαινόμενα, οὔρησε μέλανα. ἐκοιμήθη σμικρὰ πρὸς

errantes, quartanae, quintanae, ſeptimanae judicationes ſubeant.

AEGROTI QVATVORDECIM. [*Primus.*] Philiſcus qui propter moenia habitabat, primo die decubuit, eumque febris acuta praehendit cum ſudoribus et nocte laborioſa. Poſtridie ingraveſcentibus omnibus ex alvi dilutione meliuſcule habuit cum nocte quieta. Die tertio mane et ad meridiem usque liber a febre eſſe viſus eſt, ad veſperam vero febris acuta invaſit cum ſudore et ſiti, lingua inaruit, nigrum lotium reddidit, nox gravis et moleſta fuit, non dormivit prorſusque deliravit. Quarto graviora evaſerunt omnia, urinae nigrae, nox facilior fuit et urinae melius coloratae. Quinto circa meridiem parum idque ſincerum e naribus ſtillavit, urinae variae, in quibus ſublimia quaedam innatantia rotunda, genitali ſemini ſimilia, diſperſa inerant, neque reſidebant. Huic ſuppoſita glande flatuoſa pauca prodierunt, nox gravis fuit, ſomni parvi, verba cum delirio, extrema undiquaque frigida, quae nec etiam ad calorem amplius revocari poterant, uri-

Ed. Chart. IX. [99. 101.] Foes. II. 966. 969. Ed. Lind. I. (673. 674.)
ἡμέρην, ἄφωνος, ἵδρωσε ψυχρὸν, ἄκρεα πελιδνά. περὶ δὲ μέσον ἡμέρης ἑκταῖος ἀπέθανε. τουτέῳ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ ἀραιὸν μέγα σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι, ἱδρῶτες ψυχροὶ διὰ τέλεος. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

[101] || [Ἄῤῥωστος δεύτερος.] Σιληνὸς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος πλησίον τῶν Εὐαλκίδου, ἐκ κόπων καὶ ποτῶν καὶ γυμνασίων ἀκαίρων πῦρ ἔλαβε. ἤρξατο δὲ πονέειν, καὶ ἰσφῦν καὶ κεφαλὴν εἶχε βάρος, καὶ τραχήλου ἦν ξύντασις. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθεν. οὖρα μέλανα, μέλαιναν τὴν ὑπόστασιν ἔχοντα, διψώδης, γλῶσσα ἐπίξηρος, νυκτὸς οὐδὲν ἐκοιμήθη. δευτέρῃ πυρετὸς ὀξὺς, (674) διαχωρήματα πλείω, λεπτότερα, ἔπαφρα, οὖρα μέλανα, νύκτα δυσφόρως, μικρὰ παρέκρουσε, τρίτῃ πάντα παρωξύνθη. ὑποχονδρίου ξύντασις ἐξ ἀμφοῖν παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος. διαχωρήματα λεπτὰ,

nam nigram reddidit, aliquantulum dormivit, sub diem vox defecit, sudor frigidus obortus est, summitates livescebant. Die sexto circa meridiem obiit. Spiratio huic perpetuo quasi intro revocanti et ingeminanti rara et magna fuit, lien in gibbositatem rotundam sublatus est, et ad finem usque sudores frigidi perseverarunt. Accessiones diebus paribus invaserunt.

[*Aeger secundus.*] Silenum, qui in Platamone habitabat juxta Eualcidis aedes, ex laboribus, compotationibus et exercitationibus intempestivis, ignis, hoc est febris vehementissima, prehendit. Coepit autem ex lumbis laborare et capitis gravitate teneri, cum cervicis distensione. Primo die ex alvo biliosa, sincera, spumantia, abunde saturata et affatim colorata multa prodiere. Urinae nigrae, in quibus nigra subsidebant sitibundus erat, lingua insuper arida, nocte nihil dormivit. Altero die febris acuta fuit, dejectiones plures, tenuiores, spumantes, urinae nigrae, nox inquies et gravis, aliquantulum deliravit. Tertio omnia graviora evasere, praecordiorum contentio utrimque ad umbilicum promissa, submollis, dejectiones tenues, nigricantes,

Ed. Chart. IX. [101.] Foes. II. 969. 970. Ed. Lind. I. (674.)

ὑπομέλανα, οὖρα θολερὰ, ὑπομέλανα, νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολλοὶ, γέλως, ᾠδὴ, κατέχειν οὐκ ἠδύνατο. τετάρτῃ διὰ τῶν || αὐτῶν. πέμπτῃ διαχωρήματα ἄκρητα, χολώδεα, λεῖα, λιπαρὰ, οὖρα λεπτὰ, διαφανέα, σμικρὰ κατενόει. ἕκτῃ περὶ κεφαλὴν σμικρὰ ἐφίδρωσεν, ἄκρεα ψυχρὰ, πελιδνὰ, πολὺς βληστρισμὸς, ἀπὸ κοιλίης οὐδὲν διῆλθεν, οὖρα ἐπέστη, πυρετὸς ὀξύς. ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκ ἔτι ἀνεθερμαίνετο, οὔρησεν οὐδὲν. ὀγδόῃ ἵδρωσε δι᾽ ὅλου ψυχρόν. ἐξανθήματα μετὰ ἱδρῶτος ἐρυθρὰ, στρογγύλα, σμικρὰ οἷον ἴονθοι παρέμενεν, οὐκ ἀφίστατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτὰ οἷα ἄπεπτα, πολλὰ διῄει μετὰ πόνου. οὔρει μετὰ ὀδύνης δακνώδεα. ἄκρεα σμικρὰ ἀνεθερμαίνετο, ὕπνοι λεπτοὶ, κωματώδεες, ἄφωνος, οὖρα λεπτὰ διαφανέα. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ ποτὰ οὐκ ἐδέχετο κωματώδης, οἱ δὲ ὕπνοι λεπτοί. ἀπὸ δὲ κοιλίης ὅμοια, οὔ-

urinae turbidae, nigrae, nox infomnis, verba multa, rifus, cantus, continere fe non potuit. Quarto eadem affligebant omnia. Quinto per alvum fecellere fincera, biliofa, laevia, pinguia, urinae tenues, pellucidae, paulum ad intelligentiam rediit. Sexto circa caput tenuis et paucus fudor obortus eft cum extremorum frigore et livore, multa corporis incontinentia et jactatio, nihil demifit alvus, urinae reftiterunt, febris acuta. Septimo voce defectus eft, corporis fumma non amplius ad calorem revocari poterant, nihil minxit. Octavo fudor frigidus per omnia membra diffufus eft, cum puftulis rubentibus, rotundis, parvis, varis non abfimilibus, quae permanebant neque abfceffum faciebant. Alvus vero parum concitata, ftercora tenuia, crudis fimilia multa non fine labore demifit, urina cum dolore mordax reddebatur, corporis fumma paulifper ad calorem reducebantur, fomni exigui erant ac veluti fopores, vox defecit, urinae tenues et perfpicuae. Nono eadem fere omnia. Decimo potum non capiebat, fopore detinebatur, fomni autem exigui erant. Ab alvo fimilia prodibant, minxit affatim fubcraffum in matella depofitum. Quod fubfederat hor-

ρησεν ἀθρόον ὑποπαχὺ κείμενον. ὑπόστασις κριμνώδης λευκή, ἄκρεα πάλιν ψυχρά. ἑνδεκάτη ἀπέθανεν. ἐξ ἀρχῆς τούτῳ καὶ διὰ τέλεος πνεῦμα μέγα ἀραιόν. ὑποχονδρίου παλμὸς ξυνεχής, ἡλικίη ὡς περὶ ἔτεα εἴκοσι.

[103] || (675) [Ἄῤῥωστος τρίτος.] Ἡροφῶντι πυρετὸς ὀξὺς, ἀπὸ κοιλίης ὀλίγα. τεινεσμώδεα κατ᾽ ἀρχάς. μετὰ δὲ ταῦτα λεπτὰ διήει χολώδεα, ὑπόσυχνα. ὕπνοι οὐκ ἐνῆσαν, οὖρα μέλανα λεπτά. πέμπτῃ πρωῒ κώφωσις. παρωξύνθη πάντα, σπλὴν ἐπήρθη, ὑποχονδρίου ξύντασις. ἀπὸ κοιλίης ὀλίγα μέλανα διῆλθε, παρεφρόνησεν. ἕκτῃ ἐλήρει, ἐς νύκτα ἱδρὼς, ψύξις, λῆρος παρέμενεν. ἑβδόμῃ περιέψυκτο, διψώδης, παρέκρουσε νύκτα, κατενόει, κατεκοιμήθη. ὀγδόῃ ἐπύρεσε, σπλὴν ἐμειοῦτο, κατενόει πάντα, ἤλγησεν κατὰ βουβῶνα. ἔπαρμα τὸ πρῶτον σπληνὸς κατ᾽ ἴξιν. ἔπειτα ἐπόνει ἐς ἀμφοτέρας κνήμας, νύκτα εὐφόρως, οὖρα εὐχρούστερα, ὑπόστα-

dei tosti non exacte moliti crassioribus frustulis simile erat, album, summa corporis iterum frigida. Undecimo die obiit. Huic per exordia ad extremum usque spiratio magna et rara fuit, et continens praecordiorum palpitatio. Aetatis annum agebat fere vigesimum.

[*Aeger Tertius.*] Herophontem febris acuta prehendit, alvus circa initia pauca et cujusmodi in crebra et inani egerendi voluntate solent, demisit, deinde vero tenuia, biliosa et copiosa. Somnum nullum capiebat, urinae nigrae et tenues erant. Quinto die mane surditas obvenit, exasperata sunt omnia, lien sublatus intumuit, cum praecordiorum contentione ex alvo pauca et nigra percurrebant, desipuit. Sexto delirabat, sub noctem sudor ocortus est, frigus, delirium perseverabat. Septimo corporis summa perfrixerunt, siticulosus fuit, deliravit, sub noctem ad mentem rediit, dormivit. Octavo febricitavit, lien imminuebatur, prorsus ad intelligentiam rediit. Ad inguen doluit, primumque ei tumor subortus est qua lieni e directo respondebat, deinde dolor ad utramque tibiam transiit, nox facilis, urinae melius coloratae, in quibus quaedam alba subsidebant. Die

σιν εἶχε σμικρήν. ἐνάτῃ ἵδρωσεν, ἐκρίθη, διέλιπεν, πέμπτῃ ὑπέστρεψεν, αὐτίκα δὲ || σπλὴν ἐπήρθη, πυρετὸς ὀξὺς, κώφωσις πάλιν. μετὰ δὲ τὴν ὑποστροφὴν τρίτῃ σπλὴν ἐμειοῦτο. κώφωσις ἧσσον, σκέλεα ἐπωδύνως, νύκτα ἵδρωσεν, ἐκρίθη ἑπτακαιδεκάτῃ, οὐδὲ παρέκρουσεν ἐπὶ τῇ ὑποστροφῇ.

[104] || [Ἄῤῥωστος τέταρτος.] Ἐν Θάσῳ Φιλίνου γυναῖκα θυγατέρα τεκοῦσαν κατὰ φύσιν καθάρσεως γινομένης καὶ τἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκάτην ἐοῦσαν μετὰ τὸν τόκον, πῦρ ἔλαβε μετὰ ῥίγεος· ἤλγεε δὲ ἀρχομένη καρδίην, καὶ περὶ ὑποχόνδριον δεξιόν. γυναικείων πόνοι, κάθαρσις ἐπαύσατο, προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη. κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέ(676)μενον. ὕπνοι οὐκ ἐνῆσαν, ἄκρεα ψυχρὰ, διψώδης, κοιλίη ξυνεκαύθη, σμικρὰ διήει οὖρα λεπτὰ, ἄχροα κατ' ἀρχάς. ἑκταίῃ ἐς νύκτα παρέκρουσε πολλὰ καὶ πάλιν κατενόει. ἑβδόμῃ διψώδης, διαχωρήματα χολώδεα κατακορέα. ὀγδόῃ ἐπεῤῥίγωσε πυρετὸς

nono ſudore oborto morbus decrevit, intermiſit. Quinto poſt reverſus eſt die, ſimulque lien in tumorem ſublatus eſt, febris acuta rurſusque ſurditas. Tertio poſt recidivam die imminuebatur lienis tumor, minorque ſurditas erat, dolor crura invaſit, noctu ſudore oborto ad decimum ſeptimum diem judicatus eſt, neque in morbi reverſione deliravit.

[*Aeger Quartus.*] Philini uxorem in Thaſo quae filiam pepererat, cum ex naturae praeſcripto purgationes procederent, caeteraque leviter haberet, decimo quarto poſt partum die, ignis, hoc eſt febris vehementiſſima, cum rigore prehendit. Huic circa exordia oris ventriculi dolor contigit et praecordiorum dextrorum, locorum muliebrium dolores, purgatio defecta eſt. Ex ſubdito autem peſſo iſta quidem allevata ſunt, capitis vero et cervicis lumborumque dolores perſeverabant, ſomni non aderant, extrema frigida, ſitibunda erat, alvus adulta pauca demittebat. Urinae tenues et per initia decolores. Sexto die ad noctem multum deliravit, rurſusque ad intelligentiam rediit. Septimo ſiticuloſa, dejectiones bilioſae, in plenum et affatim coloratae. Octavo novo rigore ſuborto

Ed. Chart. IX. [104. 106.] Foëſ. II. 978. 979. Ed. Lind. I. (676.)

ὀξὺς, σπασμοὶ πολλοὶ μετὰ πόνου, πολλὰ παρέλεγεν. ἐξανίστατο βάλανον προσθεμένη. πολλὰ διῆλθε μετὰ περιῤῥόου χολώδεος. ὕπνοι οὐκ ἐνῆσαν. ἐνάτη σπασμοὶ, δεκάτη σμικρὰ κατενόει, ἑνδεκάτη ἐκοιμήθη, πάντων ἀνεμνήσθη. ταχὺ δὲ πάλιν παρέκρουσεν, οὔρει δὲ μετὰ σπασμὸν, ἀθρόον πουλὺ ὀλιγάκις ἀναμιμνησκόντων παχὺ λευκόν. οἷον γίνεται ἐκ τῶν καθισταμένων ὅταν ἀναταραχθῇ κείμενον πουλὺν χρόνον. οὐ καθίστατο, χρῶμα καὶ πάχος ἴκελον οἷον γίνεται ὑποζυγίου, τοιαῦτα οὔρει οἷα κἀγὼ εἶδον. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐούσῃ παλμοὶ δι᾽ ὅλου τοῦ σώματος. λόγοι πολλοὶ, σμικρὰ κατενόει. διὰ ταχέων δὲ πάλιν παρέκρουσεν. περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος, εἰκοστῇ ἀπέθανε.

[106] || [Ἄῤῥωστος πέμπτος.] Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχιγέτην, περὶ τόκον ἤδη ἐοῦσαν ῥῖγος ἔλαβε ἰσχυρῶς, οὐκ ἐθερμάνθη ὡς ἔλεγον, καὶ τῇ ὑστεραίῃ τοιαῦτα. τρίτῃ δὲ ἔτεκε θυγατέρα καὶ τἄλλα πάντα κατὰ

febris acuta prehendit, convulſiones multae non ſine dolore, multum deliravit. Glande ſubdita ad deſidendum exurrexit, multaque prodierunt cum bilioſo affluxu. Somnum capere non poterat. Nono convulſiones, decimo aliquantulum mente conſtabat, undecimo dormivit, omnia in memoriam ſubierunt, ſed ſtatim rurſus deliravit. Convulſa autem urinam conſertim multam reddidit, raro ab iis qui aſſidebant admonita, craſſam, albam, quale quid in ſubſidentibus urinis viſitur, quae longo intervallo in matula depoſitae et reſervatae returbantur, eaque non ſubſidebat, ſed colore et craſſitudine veterini generis urinas referebat. Atque iſtiusmodi fuerunt urinae quas videre licuit. Ad decimum quartum diem totum corpus palpitationes occuparunt, multum loquebatur, aliquantulum mente conſtabat, ſed confeſtim rurſus deſipuit. Circa decimum ſeptimum voce defecta eſt, vigeſimo obiit.

[*Aeger Quintus.*] Epicratis uxor quae apud Archigeten decumbebat, cum jam partus inſtaret vehementi rigore correpta eſt, nec, ut ajebant, incaluit et poſtridie eadem adfuerunt. Tertio die filiam peperit, caeteraque omnia

λόγον ἦλθε. δευτέρῃ μετὰ τόκον ἔλαβε πυρετὸς ὀξὺς, καρδίης πόνος καὶ γυναικείων. προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη. (677) κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνος, ὕπνοι οὐκ ἐνῆσαν. ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διῄει ἄκρητα. οὖρα λεπτὰ ὑπομέλανα. ἀφ' ἧς δὲ ἐλάμβανε πῦρ ἐς νύκτα, ἑκταίῃ παρέκρουσε. ἑβδόμῃ πάντα παρωξύνθη, ἄγρυπνος, παρέκρουσε, διψώδης, διαχωρήματα χολώδεα καταχορέα. ὀγδόῃ ἐπεῤῥίγωσεν, ἐκοιμήθη πλείω. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγει. καρδίης πάλιν ὀδύνη, καρηβαρίη, οὐ παρέκρουσεν, ἐκοιμᾶτο μᾶλλον. κοιλίη ἐπέστη. ἑνδεκάτῃ οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα. διῆγε κουφότερον. τεσσαρεσκαιδεκάτῃ ἐπεῤῥίγωσε πυρετὸς ὀξύς. πεντεκαιδεκάτῃ ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα. ἵδρωσεν ἄπυρος, ἐς νύκτα δὲ πυρετὸς ὀξὺς, οὖρα πάχος ἔχοντα. ὑπόστασις λευκή. ἑξκαιδεκάτῃ παρωξύνθη νύκτα καὶ δυσφόρως, οὐχ ὕπνωσε, παρέκρουσεν. ὀκτωκαιδεκάτῃ διψώδης,

rite atque ordine processerunt. Altero a partu die eam febris acuta prehendit, cum oris ventriculi et locorum muliebrium dolore. Quae quidem omnia ex subdito pesso allevata sunt, sed tum capitis tum cervicis ac lumborum dolor invasit, neque somni ulli aderant. Ex alvo pauca, biliosa, tenuia et sincera demisit, cum urinis tenuibus et nigricantibus. Sexto postquam febris corripuit die sub noctem deliravit. Septimo exasperata sunt omnia, cum pervigilio desipuit, sitibunda fuit, ex alvo biliosa omnia abundeque colorata secesserunt. Octavo rursus suborto rigore liberalius quievit. Nono iisdem perseverantibus, decimo molestus crurum rursusque oris ventriculi dolor invasit cum capitis gravitate et absque delirio, aliquanto plus dormivit, alvus substitit. Undecimo melius coloratas urinas cum copioso sedimento reddidit, levius habuit. Decimo quarto suborto novo rigore febris acuta prehendit. Decimo quinto biliosa, flava, subfrequentia vomitione refusa sunt, ex sudore febris reliquit. Sub noctem febris acuta, urinae crassae quae album habebant sedimentum. Quibus decimo sexto ad noctem ingravescentibus moleste habuit, non dormivit, deliravit.

γλῶσσα ἐπεκαύθη, οὐχ ὕπνωσε, παρέκρουσε πολλά. σκέλεα ἐπωδύνως εἶχε, περὶ δὲ εἰκοστὴν πρωῒ σμικρὰ ἐπεῤῥίγωσε· κωματώδης, δι᾽ ἡσυχίης ὕπνωσε, ἤμεσε χολώδεα ὀλίγα, μέλανα, ἐς νύκτα κώφωσις, περὶ δὲ πρώτην καὶ εἰκοστὴν πλευροῦ ἀριστεροῦ βάρος δι᾽ ὅλου μετ᾽ ὀδύνης, σμικρὰ ἐπέβησεν, οὖρα δὲ πάχος ἔχοντα, θολερά, ὑπέρυθρα, κείμενα οὐ καθίστατο· τὰ δ᾽ ἄλλα κουφοτέρως, οὐκ ἄπυρος, αὖθις ἐξ ἀρχῆς φάρυγγα ἐπωδύνως· ἔρευθος, κίων ἀνεσπασμένος, ῥεῦμα δριμύ· δακνῶδες, ἁλμυρῶδες διὰ τέλεος παρέμενε, περὶ δὲ εἰκοστὴν ἑβδόμην (678) ἄπυρος, οὔροισιν ὑπόστασις, πλευρὸν ἤλγεεν. περὶ δὲ πρώτην καὶ τριακοστὴν, πῦρ ἐλάβετο. κοιλίη χολώδεσιν ὑπεταράχθη. ἤμεσε τῇ τεσσαρακοστῇ ὀλίγα χολώδεα. ἐκρίθη τελέως ἄπυρος τῇ ὀγδοηκοστῇ.

[108] || [Ἄῤῥωστος ἕκτος.] Κλεονακτίδην, ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως, ἤλγει δὲ καὶ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερὸν, καὶ τῶν

Decimo octavo ſitibunda fuit, lingua retorrida, non dormivit, multum deliravit, crurum dolor infeſtavit. Ad vigeſimum mane parvo ſuborto rigore ſopor tenuit, placide dormivit, bilioſa pauca, nigra vomuit, ſub noctem ſurditas oborta eſt. Circiter vero vigeſimum primum ſiniſtrum latus undique gravitas cum dolore occupavit, parva inſuper ſuborta tuſſi, urinae craſſae, turbulentae, ſubrubrae, quae depoſitae non ſubſederunt. Caetera vero levius habuit, neque a febre immunis fuit. Statim per exordia faucium dolor et rubor adſuit, columella contracta fuit fluxio acris, mordax et ſalſa ad extremum perſeveravit. Ad vigeſimum ſeptimum diem febre libera, urinae cum ſedimento aderant, latus aliquantulum doluit. Ad trigeſimum vero quartum febris corripuit, alvum bilioſa conturbarunt. Quadrageſimo pauca bilioſa vomuit. Octogeſimo judicatione prorſus eſt abſoluta et febre liberata.

[*Aeger ſextus.*] Cleonactidem qui ſupra Heraclium decumbebat, ignis hoc eſt febris vehemens, vago et incerto quodam ordine prehendit. Capitis et lateris ſiniſtri circa

ἄλλων πόνοι κοπιώδεα τρόπον. οἱ πυρετοὶ παροξυνόμενοι, ἄλλοτε ἀλλοίως ἀτάκτως. ἱδρῶτες ὁτὲ μὲν, ὁτὲ δ᾽ οὔ, τὰ μὲν πλεῖστα ἐπεσήμαινον οἱ παροξυσμοὶ, ἐν κρισίμοισι μᾶλλον. περὶ δὲ εἰκοστὴν τετάρτην χεῖρας ἄκρας ἐψύχετο, ἤμεσε χολώδεα ξανθὰ, ὑπόσυχνα, μετ᾽ ὀλίγον δὲ ἰώδεα, πάντων ἐκουφίσθη. περὶ δὲ τριακοστὴν ἐόντι ἤρξατο ἀπὸ ῥινῶν αἱμοῤῥαγεῖν ἐξ ἀμφοτέρων καὶ ταῦτα πεπλανημένως κατ᾽ ὀλίγον μέχρι κρίσιος. οὐκ ἀπόσιτος δὲ οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος. οὖρα δὲ λευκὰ, οὐκ ἄχροα. περὶ δὲ τεσσαρακοστὴν ἐὼν οὔρησεν ὑπέρυθρα. ὑπόστασιν πολλὴν, λίην ἐρυθρὴν ἔχοντα. ἐκουφίσθη, μετὰ δὲ ταῦτα ποικίλως τὰ τῶν οὔρων ὁτὲ μὲν ὑπόστασιν εἶχεν, ὁτὲ δὲ οὔ. ἑξηκοστῇ οὔροισιν ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λείη. ξυνέδωκε πάντα, πυρετοὶ διέλιπον, οὖρα λεπτὰ μὲν, εὔχροα δέ. ἑβδομηκοστῇ ἄπυρος διέλιπεν ἡμέρας δέκα. ὀγδοηκοστῇ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν.

initia dolor adfuit, caeterorumque membrorum perinde ac ex lassitudine labores. Febrium accessiones aliae subinde absque ullo ordine, et nunc quidem sudores, nunc vero minime. Febrium insultus ut plurimum diebus decretoriis fere invadebant. Ad vigesimum quartum diem extremae manus frigescebant, vomitione refusa sunt biliosa, flava, subfrequentia, non longe vero post, virulenta, quibus omnibus levatus est. Circiter trigesimum sanguis fluere ex utraque nare coepit, idque inconstanter paulatim ad judicationem usque, sed nec cibum aversabatur, nec siticulosus toto tempore fuit, neque vero insomnia torquebatur, urinae tenues, non tamen decolores erant. Ad quadragesimum vero subrubra minxit, cum sedimento multo rubro, levius habuit. Post quae varie se habuerunt urinae, ut quae interdum sedimentum haberent, interdum vero nequaquam. Sexagesimo urinis sedimentum multum, album et laeve adfuit, remissa sunt omnia, febris intermisit. Urinae vero iterum tenues quidem, boni coloris tamen. Die septuagesimo a febre liber fuit, quae dies decem intermisit. Octogesimo rigore oborto febris acuta prehendit, sudor multus,

Ed. Chart. IX. [108—110.] Foëſ. II. 982—984. Ed. Lind. I. (679.)
ἵδρωσε πολλῷ. (679) οὔροισιν ὑπόστασις ἐρυθρὴ, λείη. τελείως ἐκρίθη.

[109] || [Ἄῤῥωστος ἕβδομος.] Μέτωνα πῦρ ἔλαβεν, ὀσφύος βάρος ἐπώδυνον. δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον, ἀπὸ κοιλίης καλῶς διῆλθεν. τρίτῃ κεφαλῆς βάρος. διαχωρήματα λεπτὰ, χολώδεα, ὑπέρυθρα. τετάρτῃ πάντα παρωξύνθη. ἐῤῥύη ἀπὸ δεξιοῦ μυκτῆρος αἷμα δὶς ὀλίγον. νύκτα δυσφόρως. διαχωρήματα ὅμοια τῇ τρίτῃ. οὖρα ὑπομέλανα εἶχεν. ἐναιώρημα ὑπόμελαν ἐὸν διεσπασμένον οὐχ ἱδρύετο. πέμπτῃ ἐῤῥύη λαῦρον ἐξ ἀριστεροῦ ἄκρητον. ἵδρωσεν, ἐκρίθη, μετὰ δὲ κρίσιν ἄγρυπνος παρέλεγεν. οὖρα λεπτὰ ὑπομέλανα. λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς, ἐκοιμήθη, κατενόει, τούτῳ οὐχ ὑπέστρεψεν, ἀλλ' ἡμοῤῥάγη πολλάκις καὶ μετὰ κρίσιν.

[110] || [Ἄῤῥωστος ὄγδοος.] Ἐρασινὸν, ὃς ᾤκει παρὰ Βοώτου χαράδρην, πῦρ ἔλαβε μετὰ δεῖπνον, νύκτα ταραχώδης. ἡμέρην τὴν πρώτην δι' ἡσυχίης, νύκτα ἐπιπόνως. δευ-

urinis ſedimentum rubrum, laeve adſuit. Quibus perfecta judicatio ſucceſſit.

[*Aeger ſeptimus.*] Metonem ignis, hoc eſt febris vehemens, prehendit cum lumborum gravitate et dolore. Poſtridie ex liberaliore aquae potu alvus recte demiſit. Tertio capitis gravitas tenuit, dejectiones tenues, bilioſae, aliquantulum rubentes prodierunt. Quarto exaſperata ſunt omnia, bis ex nare dextra ſanguis paulatim effluxit, nox laborioſa, dejectiones eaedem quae die tertio, urinae nigricantes, quae ſublime quiddam in medio innatans, ſubnigrum divulſum nec ſubſiſtens habebant. Quinto die ex nare ſiniſtra liberaliter ſanguis ſincerus effluxit, ſudore oborto judicatus eſt. Poſt judicationem autem cum pervigilio praeter rationem loquebatur, urinae tenues et nigricantes erant. Poſt capitis perfuſiones quievit, mente conſtitit. Huic morbus non revertit, verum etiam poſt judicationem crebro ſanguis e naribus erupit.

[*Aeger Octavus.*] Eraſinum qui ad Bootae torrentem habitabat, febris a coena vehemens corripuit, noctem turbulentam transegit. Primus dies quietus fuit, nox laborioſa.

τέρῃ πάντα παρωξύνθη, ἐς νύκτα παρέκρουσε. τρίτῃ ἐπιπόνως, παρέκρουσε πολλά. τετάρτῃ δυσφορώτατα, ἐς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη, ἐνύπνια καὶ λογισμοί. ἔπειτα χείρω, μεγάλα καὶ ἐπίκαιρα, φόβος, δυσφορίη. πέμπτῃ πρωῒ κατήρτητο καὶ κατενόει πάντα. πουλὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάνη. κατέχειν οὐκ ἠδύνατο, ἄκρεα ψυχρὰ ὑποπέλια, οὖρα ὑπέστη, ἀπέθανε περὶ ἡλίου δυσμάς. τούτῳ οἱ πυρετοὶ διὰ τέλεος ξὺν ἱδρῶτι. (680) ὑποχόνδρια μετέωρα, ξύντασις μετ' ὀδύνης. οὖρα δὲ μέλανα ἔχοντα ἐναιωρήματα στρογγύλα, οὐχ ἱδρύετο. ἀπὸ δὲ κοιλίης κόπρανα διῄει, δίψα διὰ τέλεος οὐ λίην. σπασμοὶ δὲ πολλοὶ ξὺν ἱδρῶτι περὶ θάνατον.

[111] || [Ἄῤῥωστος ἔνατος.] Κρίτωνι ἐν Θάσῳ, ποδὸς ὀδύνη ἤρξατο ἰσχυρὴ ἀπὸ δακτύλου τοῦ μεγάλου. ὀρθοστάδην περιιόντι, κατεκλίθη αὐθημερὸν, φρικώδης, ἀσώδης, μικρὰ ὑποθερμαινόμενος, νύκτα παρεφρόνησε. δευτέρῃ οἴδημα δι' ὅλου τοῦ ποδὸς, καὶ περὶ σφυρὸν ὑπέρυθρον μετὰ ξυν-

Postridie ingravescentibus omnibus sub noctem deliravit. Tertio die laboriose habuit, multum deliravit. Quarto gravissime, per noctem vero nihil dormivit, somnia aderant et ratiocinationes, deinde deteriora magna et imprimis animadvertenda, timor et magna corporis incontinentia. Quinto mane compositus erat, omninoque ad intelligentiam redierat. Ad meridiem vero valde insanivit, neque se cohibere poterat, summa corporis frigida et liventia, urinae crudae, sub solis occasum defunctus est. Huic ad extremum usque febres cum sudore aderant, praecordiorum tumor et contensio non sine dolore. Urinae vero nigrae, sublimia quaedam in medio innatantia rotunda habebant, neque subsidebant, et ex alvo stercora demissa sunt. Sitis continua non magna tamen. Convulsiones cum sudore sub mortem multae.

[*Aeger nonus.*] In Thaso Critoni erecto et obambulanti pes vehementer dolere ex pollice coepit, eodem die decubuit cum horrore et stomachi fastidio aliquantulum incalescens, sub noctem desipuit. Postridie per totum pedem et ad talum tumor subruber et contensus, pustulae parvae n-

Ed. Chart. IX. [111. 112.] Foeſ. II. 985. 986. Ed. Lind. I. (680. 681.)

τάσιος. φλυκταινίδια μέλανα, πυρετὸς ὀξὺς, ἐξεμάνη. ἀπὸ δὲ κοιλίης, ἄκρητα, χολώδεα, ὑπόσυχνά διῆλθεν. ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

[112] [Ἄῤῥωστος δέκατος.] Τὸν Κλαζομένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβεν. ἤλγει δὲ κεφαλὴν, τράχηλον, ὀσφῦν ἐξ ἀρχῆς, αὐτίκα δὲ κώφωσις, ὕπνοι οὐκ ἐνῆσαν, πυρετὸς ὀξὺς ἔλαβεν, ὑποχόνδριον ἐπῆρτο μετ' ὄγκου, || οὐ λίην σύντασις, γλῶσσα ξηρή. τετάρτῃ ἐς νύκτα παρεφρόνησε. πέμπτῃ ἐπιπόνως καὶ πάντα παρωξύνθη. περὶ δὲ ἑνδεκάτην σμικρὰ ἐνέδωκεν. ἀπὸ δὲ κοιλίης ἐξ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτην λεπτὰ, πολλὰ, ὑδατόχροα διήει. εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν. ἔπειτα κοιλίη ἐπέστη, οὖρα διὰ τέλος λεπτὰ μὲν, εὔχροα δὲ καὶ πολλὰ εἶχεν ἐναιωρήματα ὑποδιεσπασμένον οὐχ ἱδρύετο. περὶ δὲ ἕκτην καὶ δεκάτην οὔρησεν ὀλίγῳ παχύτε(681)ρα. εἶχε σμικρὴν ὑπό-

grae, febris acuta, inſania correptus eſt. Ex alvo mere biliosa plurima proceſſerunt. Poſtridie ex quo laborare coeperat mortuus eſt.

[*Aeger decimus.*] Clazomenius, qui ad Phrynichidae puteum decumbebat, igne h. e. vehementiſſima febre correptus, per exordia ex capite, cervice et lumbis dolere coepit. Confeſtim ſurditas invaſit, neque ſomni aderant, febris acuta prehendit, praecordium in tumorem ſublatum fuit, neque valde contenſum, lingua arida. Die quarto ſub noctem deliravit. Quinto cum moleſtia exaſperata ſunt omnia, ad undecimum vero aliquantulum remiſerunt, alvus ab initio ad decimum quartum usque multa, tenuia, aquae ſimilia transmittebat. Quod ad dejectiones attinet, commode habebat, deinde alvus ſuppreſſa eſt. Urinae per totum morbum tenues quidem, boni tamen coloris erant et ſublime quiddam in medio innatans multum, nonnihil diſperſum habebant, neque ſubſidebant. Ad decimum ſextum paulo craſſiores urinas reddidit, quibus paulum inerat ſedimenti, nonnihil allevatus eſt, meliusque ſibi conſtabat. Decimo ſeptimo rurſus tenues profluxerunt, ſecundum utramque aurem tumor

Ed. Chart. IX. [112, 113.] Foëf. II. 986. 987. Ed. Lind. I. (681.)

στασιν, ἐκούφισεν ὀλίγῳ, κατενόει μᾶλλον. ιζ' δὲ πάλιν λεπτὰ, παρὰ δὲ τὰ οὔατα ἀμφότερα ἐπήρθη ξὺν ὀδύνῃ. ὕπνοι οὐκ ἐνῆσαν, παρελήρει, περὶ δὲ τὰ σκέλεα ἐπωδύνως εἶχε. κ' ἄπυρος ἐκρίθη, οὐχ ἵδρωσε, πάντα κατενόει. περὶ δὲ κζ' ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶς. διὰ ταχέων ἐπαύσατο. τὰ δὲ παρὰ τὰ οὔατα οὔτε καθίστατο οὔτε ἐξεπύει, ἤλγεε δέ. περὶ δὲ τὴν λά διάῤῥοια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων. οὖρα παχέα οὔρει, κατέστη παρὰ τὰ ὦτα. περὶ δὲ τὴν μ' ὀφθαλμὸν δεξιὸν ἤλγει. ἀμβλύτερα ἑώρα, κατέστη.

[113] || [Ἄῤῥωστος ἑνδέκατος.] Τὴν Δρομεάδεω γυναῖκα, θυγατέρα τεκοῦσαν καὶ τῶν ἄλλων πάντων γενομένων κατὰ λόγον δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε, πυρετὸς ὀξύς. ἤρξατο δὲ πονέειν τὴν πρώτην περὶ ὑποχόνδριον, ἀσώδης, φρικώδης, ἀλύουσα, καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε. πνεῦμα ἀραιὸν, μέγα, αὐτίκα ἀνεσπασμένον. β', ἀφ' ἧς ἐῤῥίγωσεν

cum dolore fubortus eft, fomni non aderant, delirabat, crurum dolore vexabatur. Vigefimo judicatione a febre vindicatus eft, non fudavit, omninoque ad intelligentiam rediit. Circa vigefimum feptimum vehemens coxendicis dolor obortus ftatimque fedatus eft. Quae autem ad aures erant tubercula neque conquiefcebant, neque fuppurabant, verum dolebant. Ad trigefimum primum ex alvi profluvio, aquofa excrementa multa et cujusmodi in difficultate inteftinorum effe folent, prodierunt, craffas urinas reddidit, tubercula circa aures conquieverunt. Circa quadragefimum vero oculi dextri dolor fubortus eft, hebetior vifus fuit, conftitit.

[*Aeger undecimus.*] Dromeadae conjugem, poftquam filiam peperiffet, caeteraque omnia rite atque ordine procederent, poftridie rigor cum febre acuta prehendit. Primo ftatim die praecordii dolor invafit, non fine ftomachi faftidio, horrore, magnaque corporis incontinentia, neque iis qui poft confecuti funt diebus fomnum capere potuit. Spiratio rara, magna fubitoque revulfa ac velut retracta fuit.

ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν· οὖρα παχέα, λευκὰ, θολερὰ, οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πουλύν. οὐ καθίστατο, νύκτα οὐκ ἐκοιμήθη. τρίτῃ περὶ μέσον ἡμέρης ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, οὖρα ὅμοια. ὑποχονδρίου πόνος, ἀσώδης, νύκτα δυσφόρως οὐκ ἐκοιμήθη. ἵδρωσε δι᾽ ὅλου ὑπόψυχρα, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. (682) δ᾽ περὶ μὲν ὑποχόνδρια μικρὰ ἐκουφίσθη. κεφαλῆς δὲ βάρος μετ᾽ ὀδύνης, ὑπεκαρώθη, ἔσταξε μικρὰ ἀπὸ ῥινῶν. γλῶσσα ἐπίξηρος, διψώδης, οὖρα λεπτὰ ἐλαιώδεα, σμικρὰ ἐκοιμήθη. ε᾽ διψώδης, ἀσώδης, οὖρα ὅμοια, ἀπὸ κοιλίης οὐδὲν, περὶ δὲ μέσον ἡμέρης πολλὰ παρέκρουσε, καὶ πάλιν ταχὺ σμικρὰ κατενόει. ἀνισταμένη ὑπεκαρώθη, ψύξις μικρὰ, νυκτὸς ἐκοιμήθη, παρέκρουσε. στ᾽ πρωῒ ἐπεῤῥίγωσε. ταχὺ δὲ διεθερμάνθη, ἵδρωσε δι᾽ ὅλου ἄκρεα ψυχρὰ, παρέκρουσε, πνεῦμα μέγα ἀραιὸν, μετ᾽ ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο, ταχὺ ἀπέθανεν.

Poſtridie ejus diei quo rigor cepit, ex alvo commode ſtercora proceſſerunt, urinae craſſae, albae, turbulentae, cujusmodi eſſe ſolent quae ſubſederunt, ubi in matella multo tempore depoſitae returbantur, neque ſubſidebant, noctu nihil dormivit. Tertio ad meridiem novo ſuborto rigore febris acuta prehendit, urinae ſimiles, praecordii dolor, ſtomachi faſtidium et nauſea aderant, nox difficilis fuit, neque dormivit, ſudor per totum corpus frigidus diffuſus eſt, ſtatim tamen rurſus ad calorem rediit. Quarto praecordii dolor aliquantum remiſit, ſed una cum dolore capitis gravitas adfuit, ſopore nonnihil detenta eſt, nares paucum ſtillarunt ſanguinem, lingua valde reſiccata, ſitibunda fuit, urinae tenues, oleoſae, parum dormivit. Quinto ſiticuloſa, nauſeabunda, urinae eaedem, ex alvo nihil ſeceſſit, circa meridiem valde deliravit, confeſtimque rurſus parum ad intelligentiam rediit, ubi ſurrexiſſet, ſopore detenta eſt, paulum perſrixit, nocte dormivit, deliravit. Sexto die mane novus ſubortus eſt rigor celeriterque recaluit, ſudor toto corpore dimanavit, extrema frigeſcebant, deliravit, ſpiratio magna et rara fuit. Paulo poſt convulſionibus a capite ſubortis celeriter defuncta eſt.

Ed. Chart. IX. [114.] Foës. II. 988. 989. Ed. Lind. I. (682. 683.)

[114] || [Ἄῤῥωστος δωδέκατος.] Ἄνθρωπος θερμαινόμενος ἐδείπνησε καὶ ἔπιε πλέον, ἤμεσε πάντα νυκτὸς, πυρετὸς ὀξύς. ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ εἴσω μέρεος, νύκτα δυσφόρως. οὖρα δὲ κατ' ἀρχὰς πάχος ἔχοντα, ἐρυθρὰ, κείμενα οὐ καθίστατο. γλῶσσα ἐπίξηρος, οὐ λίην διψώδης. δ' πυρετὸς ὀξύς. πόνοι πάντων. ε' οὔρησε λεῖον ἐλαιῶδες πουλύ. πυρετὸς ὀξύς. στ' δείλης πολλὰ παρέκρουσεν. || οὐδὲ ἐς νύκτα ἐκοιμήθη. ζ' πάντα παρωξύνθη, οὖρα ὅμοια, λόγοι πολλοὶ, κατέχειν οὐκ ἠδύνατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ ταραχώδεα διῆλθε μετὰ ἑλμίνθων. νύκτα ὁμοίως ἐπιπόνως, πρωῒ δὲ ἐῤῥίγωσε, πυρετὸς ὀξύς. ἵδρωσε θερμῷ, ἄπυρος ἔδοξε γενέσθαι, οὐ πολὺ ἐκοιμήθη, ἐξ ὕπνου ψύξις. πτυαλισμὸς, δείλης πολλὰ παρέ(683)κρουσε, μετ' ὀλίγον δὲ ἤμεσε μέλανα, ὀλίγα χολώδεα. θ' ψύξις, παρελήρει πολλὰ, οὐχ ὕπνωσε. δεκάτη σκέλεα ἐπωδύνως, πάντα παρωξύνθη, παρελήρει. ια' ἀπέθανεν.

[*Aeger duodecimus.*] Incalefcens quidam coenavit bibitque largius, nocte omnibus vomitu refufis febris acuta prehendit cum praecordii dextri dolore, inflammatio fubinanis ad interna vergebat, nox molefta et difficilis fuit. Urinae vero per initia craffae, rubrae, quae in matula depofitae non fubfidebant, lingua valde reficcata, non admodum erat fiticulofus. Quarto die febris acuta invafit, undique dolores urgebant. Quinto minxit laeve, oleofum, multum, febris acuta detinebat. Sexto ad vefperam plurimum deliravit, neque nocte dormivit. Septimo exafperata funt omnia, urinae fimiles erant, verba multa profundebat, neque fe continere poterat. Ex alvo irritata liquida et turbulenta cum lumbricis fecefferunt, nox perinde laboriofa fuit. Mane vero ex rigore febris prehendit acuta, fudor calidus fubfecutus eft, ex quo fine febre effe vifus eft, non multum quievit. Ex fomno perfrictio, crebra fpiratio, ad vefperam multum deliravit. Paulo poft vero nigrorum, paucorum bilioforum vomitus eft fubfecutus. Nono perfrictio, magnum delirium, neque dormivit. Decimo crurum dolor invafit, ingravefcebant omnia, defipuit. Undecimo mortuus eft.

[115] || [Ἄῤῥωστος τρισκαιδέκατος.] Γυναῖκα, ἣ κατέκειτο ἐν ἀκτῇ, τρίμηνον πρὸς ἑωυτὴν ἔχουσα πῦρ ἔλαβε. αὐτίκα τε ἤρξατο πονέειν ὀσφῦν. γ' πόνος τραχήλου, κεφαλῆς, κατὰ κληῗδα χεῖρα δεξιήν. διὰ ταχέων δὲ γλῶσσα ἠφώνει. δεξιὴν χεῖρα παρελύθη μετὰ σπασμοῦ, παραπληκτικὸν τρόπον παρελήρει πάντα. νύκτα δυσφόρως οὐκ ἐκοιμήθη. κοιλίη ἐταράχθη χολώδεσιν ἀκρήτοισιν ὀλίγοισιν. δ' γλῶσσα φωνῆς ἐλύθη, σπασμοὶ τῶν αὐτῶν πόνοι πάντων παρέμενον. κατὰ ὑποχόνδριον ἔπαρμα ξὺν ὀδύνῃ, οὐκ ἐκοιμᾶτο. παρέκρουσε πάντα, κοιλίη ταραχώδης, οὖρα λευκὰ, οὐκ εὔχροα. ε' πυρετὸς ὀξὺς, ὑποχονδρίου πόνος. παρέκρουσε πάντα, διαχωρήματα χολώδεα, ἐς νύκτα ἵδρωσεν, ἄπυρος. στ' κατενόει, πάντων ἐκουφίσθη. περὶ δὲ κληῗδα ἀριστερὴν πόνος παρέμενε, διψώδης, οὖρα λεπτὰ, οὐκ ἐκοιμήθη. ζ' τρόμος, ὑπεκαρώθη, σμικρὰ παρέκρουσεν ἀλγήματα κατὰ κληῗδα καὶ

[*Aeger decimus tertius.*] Mulier quaedam, quae in littore decumbebat, trimestri foetu gravida, igne, hoc est vehemente febre correpta est, statimque ex lumbis dolor invasit. Die tertio cervicem, caput, circa jugulum manumque dextram dolor occupavit. Celeriter vero lingua voce defecta est, manus dextra non sine convulsione elanguit, quale quid in partium resolutionibus levibusque siderationibus contingere solet, deliravit prorsus, nox difficilis et laboriosa fuit, neque dormivit, ex conturbata alvo biliosa, sincera et pauca secesserunt. Quarto linguae vox soluta, eorundem convulsiones et undique dolores perdurabant, praecordia cum tumore dolor occupavit, somnum non capiebat, prorsus deliravit, alvi perturbatio aderat, urinaeque tenues nec probati coloris reddebantur. Quinto febris acuta prehendit cum praecordiorum dolore, penitus deliravit, alvi recrementa biliosa erant, sub noctem sudor obortus est et a febre vindicata. Sexto ad mentem rediit, allevarunt omnia, ad jugulum vero sinistrum perseverabat dolor, sitibunda erat, urinas tenues reddidit, neque quievit. Septimo tremor corripuit, aliquantulum soporata est, nonnihil deliravit, juguli

Ed. Chart. IX. [115. 116.] Foës. II. 990. 991. Ed. Lind. I. (683. 684.)

βραχίονα ἀριστερὸν παρέμενε. τὰ δ᾽ ἄλλα διεκούφισε, πάντα κατενόει. τρὶς δὲ διέλιπεν ἄπυρος. ια΄ ὑπέστρεψεν, ἐπεῤῥίγωσε, πῦρ ἔλα(684)βε. περὶ δὲ ιδ΄ ἤμεσε χολώδεα ξανθὰ, ὑπόσυχνα, ἵδρωσεν, ἄπυρος ἐκρίθη.

[116] || [Ἄῤῥωστος τεσσαρεσκαιδέκατος.] Μελιδίη, ἣ κατέκειτο παρὰ τὸ τῆς Ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρός. αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε. γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο. πόνοι τουτέων πάντων ξυνεχέες. ἕκτη κωματώδης, ἀσώδης, φρικώδης, ἐρύθημα ἐπὶ γνάθῳ, σμικρὰ παρέκρουσε. ζ΄ ἵδρωσε, πυρετὸς διέλιπεν, οἱ πόνοι παρέμενον, ὑπέστρεψεν, ὕπνοι σμικροὶ, οὖρα διὰ τέλεος εὔχροα μὲν, λεπτὰ δέ. διαχωρήματα λεπτὰ, χολώδεα, δακνώδεα, κάρτα ὀλίγα μέλανα, δυσώδεα διῆλθεν, οὔροισιν ὑπόστασις λευκὴ, λείη, ἵδρωσεν. ἐκρίθη τελέως ἑνδεκαταίη.

et brachii finistri dolores perseveraverunt, caetera vero allevarunt, ad se plane rediit. Tribus autem diebus defecit febris ab eaque immunis visa est, undecimo rediit et novo insuper orto rigore febris vehemens corripuit. Ad decimum vero quartum diem biliosa, flava, crebra vomitione sunt refusa, obortoque sudore a febre judicatione est liberata.

[*Aeger decimus quartus.*] Melidia, quae ad Junonis aedem decumbebat, ex capite, cervice et pectore vehementer dolere coepit, confestimque febris acuta prehendit. Menstruae vero purgationes paucae visae sunt, horumque omnium continentes erant dolores. Sexto die profundus eam sopor corripuit, stomachi fastidium et aestuatio, horror, malarum rubor, deliravit. Septimo profuso sudore febris intermisit, dolores perseverabant, febris rediit, somni parvi aderant. Urinae per totum morbum laudabilis fuere coloris, caeterum tenues. Alvi recrementa tenuia, biliosa, mordacia admodum pauca, nigra, graveolentia prodierunt. In urinis subsederunt alba et laevia, sudor dimanavit, die undecimo judicatione integre est absoluta.

Ed.Chart.IX.[118. 119.] Foës.II.994–996. Ed. Lind.I.(684. 685.)

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ.

[118] || [ΤΜΗΜΑ ΠΡΩΤΟΝ.] Ἄνθρακες ἐν Κρανῶνι θερινοὶ, ὗεν ἐν καύμασιν ὕδατι λαύρῳ δι' ὅλου. ἐγένετο δὲ μᾶλλον νότῳ, καὶ ὑπεγίνοντο μὲν ἐν τῷ δέρματι ἰχῶρες. ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο καὶ κνησμὸν ἐνεποίεον· εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι διανίσταντο καὶ ὑπὸ τὸ δέρμα καίε(685)σθαι ἐδόκεον. ἐν καύμασιν ἀνυδρίης· οἱ πυρετοὶ ἀνιδρῶτες τὰ πλεῖστα. ἐν τουτέοισιν δὲ ἢν ἐπιψεκάσῃ, ἱδρωτικώτεροι γίνονται κατ' ἀρχάς· ταῦτα δυσκριτώτερα μένει ἢ ἄλλως. ἀτὰρ ἧσσον, εἰ μὴ εἴη διὰ ταῦτα, ἀλλὰ διὰ τῆς νόσου τὸν τρόπον.

|| Οἱ καῦσοι ἐν τῇσι θερινῇσι μᾶλλον γίνονται καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. ἐπιξηραίνονται δὲ μᾶλλον θέρεος.

[119] || Φθινοπώρου μάλιστα θηριώδεες καὶ ἡ καρδιαλγία, καίτοι καὶ αὐτὴ ἧσσον κακουργέοι ἂν, αὐτοῦ τοῦ

HIPPOCRATIS DE MORBIS VULGARIBVS LIBER SECVNDVS.

[SECTIO PRIMA.] Cranone carbunculi aeſtate graſſabantur. Per magnos aeſtus affatim et continenter compluit, idque ab auſtro magis. Sanies quidem plurima cuti ſubnaſcebatur, quae intro concluſa dum incaleſceret, pruriginem excitabat. Deinde vero in puſtulas erumpebat iis affines, quae in ambuſtis fieri ſolent. Tantus inerat ſub cute ardoris ſenſus, ut uri viderentur. Magnis et ſqualidis aeſtibus febres, ut plurimum ſine ſudoribus: in quibus ſi levior imber guttatim defluxerit aut ſtillaverit, copioſiores ſtatim ſudores in febribus fiunt. Haec diuturniorem et difficiliorem morbi ſolutionem habent quam ſi aliter contingerent. Minus tamen niſi ſi haec ab hoc rerum ſtatu, ſed et ex morbi natura procederent.

Aeſtatis temporibus plurimum oriuntur febres ardentes, et ſi aliis quoque. Aeſtate tamen ſicca et exaeſtuante contrahuntur magis et increſcunt.

Autumnus ſua feritate et malignitate interaneorum animalia maxime gignit orisque ventriculi dolorem, qui tamen

Ed. Chart. IX. [119.] Foëſ. II. 996. 997. Ed. Lind. I. (685. 686.)

νοσήματος τουτέου ἐόντος. αἱ ἀσκάριδες δείλης ὁμοίως τούτῳ, καὶ ἐκεῖνα τηνικαῦτα ὀχλέουσι τῆς ἡμέρης τὰ πλεῖστα, οὐ μόνον διὰ τὸ μᾶλλον πονέειν, ἀλλὰ καὶ αὗται διὰ σφαςέωυτάς.

Ἐν φθινοπώρῳ ὀξύταται νόσοι καὶ θανατωδέσταται. τὸ ἐπίπαν ὅμοιον τῷ δείλης παροξύνεσθαι. ὡς τοῦ ἐνιαυτοῦ περίοδον ἔχοντος τῶν νούσων, οἷον ἡ ἡμέρη τῆς νούσου, οἷον τὸ δείλης παροξύνεσθαι. τοιοῦτον τῆς νόσου || καὶ ἑκάστης καταστάσιος πρὸς ἀλλήλας, ὅταν μή τι νεωτεροποιηθῇ ἐν τῷ ἄνω εἴδει. εἰ δὲ μὴ, ἄλλης ταῦτα καταστάσιος ἂν ἄρχοι. ὥστε καὶ τὸν ἐνιαυτὸν πρὸς ἑωυτὸν οὕτως ἔχειν.

Ἐν τοῖσι καθεστεῶσι καιροῖσι καὶ ὡραίως τὰ ὡραῖα ἀποδιδοῦσιν ἔτεσιν εὐστάθεες καὶ εὐκρινέστατοι αἱ νοῦσοι, ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι. ἐν γοῦν Περίνθῳ ὅταν τι ἐκλίπῃ ἢ πλεονάσῃ ἢ πνευμάτων ἢ μὴ πνευμάτων ἢ ὑδάτων ἢ αὐχμῶν ἢ καυμάτων ἢ (686)

in ejusmodi morbo minus infeſtus eſt. Lumbrici tenues, aſcarides dicti, veſpere maxime, cui analogia quodammodo reſpondet autumnus, infeſtant. Affligunt vero ut plurimum hac diei parte, non ſolum doloris ratione, qui tunc magis urget, ſed ſuopte quodam impetu.

Autumnus acutiſſimos morbos et maxime exitiales gignit. Qui in eo quod acceſſiones veſpere moveat, eam omnino habet affectionem ad annum totum, morborum velut reverſiones et circuitus habentem, quam veſpertinae acceſſiones ad eam in qua fiunt, morbi diem. Tale quid evenit, ubi morbus et temporis circumſcriptio ſibi mutuo reſponderint: dum ne quid in ſublimi illa natura innovetur. Quod ſi accidat, iſta in alium temporis ſtatum erumpent, quo et plurimum poterunt et valebunt. Ut neceſſe ſit, annum ipſum et anni partes ſic ſe invicem habere.

Conſtantibus et certis temporibus et annorum tempeſtiva tempeſtivitate morbi qui facile ſolvantur et conſiſtant gignuntur. Incertis vero et inconſtantibus, qui neque facile ſolvantur neque conſiſtant. Quale quid in Perintho accidit, ubi ventorum flatus aut ab his quies et ceſſatio aut imbres aut ſiccitates aut vehementes aeſtus aut algores exuperarint

Ed. Chart. IX. [119.] Foes. II. 997. 998. Ed. Lind. I. (686.)

ψύξεων. τὸ δὲ ἔαρ τὸ ἐπίπαν ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες.

|| Πρὸς τὰς ἀρχὰς σκεπτέον τῶν νούσων, εἰ αὐτίκα ἀνθεῖ. δῆλον δὲ τῇ ἐπιδόσει. τὰς δὲ ἐπιδόσιας τῇσι περιόδοισι, καὶ αἱ κρίσιες ἐντεῦθεν δῆλοι, καὶ τοῖσι ἐν τῇσι περιόδοισι παροξυσμοῖσιν, εἰ πρωϊαίτερον ἢ οὒ, καὶ εἰ πλείονα χρόνον ἢ οὒ, καὶ εἰ μᾶλλον ἢ οὔ. πάντων δὲ τῶν συνεχέων ἢ διαλειπόντων χρονίων καὶ τρωμάτων καὶ πτυέλων ὀδυνωδέων, καὶ φυμάτων φλεγμοναὶ, καὶ ὅσα ἄλλα ἐπιφαίνονται ὕστερον, ἴσως δὲ καὶ ἄλλων πρηγμάτων κοινῶν, τὰ μὲν θᾶσσον βραχύτερα, τὰ δὲ βραχύτερον μακρότερα, καὶ ἐν περιόδοισι τὸ ἐπιπρωϊαίτερον, καὶ ἄλλης ἐπιδόσιος ἀπαυδώσης τῆς νόσου. καὶ γὰρ τῶν παραχρῆμα ἀπολλυμένων ταχύτεραι αἱ κρίσιες, ὅτι ταχέες οἱ πόνοι καὶ ξυνεχέες καὶ ἰσχυροί. τὰ δὲ κρίνοντα ἐπὶ τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαινέσθω.

aut defecerint. Ver vero faluberrimum omnium eft, et minime exitiale.

Ad dignofcenda morborum principia confiderandum an confeftim confiftendi vigorem habeant. Quod ex incremento manifeftum fiet. Incrementa autem ex ipfis morborum circuitionibus et ambitibus. Ex quibus judicationes etiam ipfae cognofcuntur, atque ex acceffionum, quae in circuitionibus fiunt, inter fe commiffione, num maturius aut diutius aut magis affligant, necne. Ex omnibus autem continuis, aut intermittentibus aut diuturnis vulneribus et fputis cum dolore affligentibus, orientium tuberculorum inflammationes et quaecunque fucceffu quodam in morbis apparent, atque adeo ex his quae vulgo in morbis fiunt, quae celerius quidem, breviorem, quae vero tardius, diuturniorem folutionem indicant: morbo ipfo plerumque eas quae in morborum reverfionibus fiunt acceffionum anticipationes atque alia incrementa denegante. Eorum enim qui confeftim intereunt velociores aliquanto funt judicationes, quod et celeres fint dolores et continentes et validi. Quae autem in melius decernunt et judicant, non ftatim apparere debent.

Ed. Chart. IX. [120.] Foës. II. 999. 1002. Ed. Lind. I. (686. 687.)

[120] || Τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. τὰ προκρινόμενα ἢν ὠμῶς κριθῇ, ὑποστροφαὶ, ἢν δὲ μὴ, ἀκρισίαι, γένοιτο δ' ἂν καὶ ὀλέθρια τὰ μὴ σμικρά. ὅσα κρίσιμα σημεῖα γινόμενα, τὰ αὐτὰ ταῦτα μὴ γινόμενα δύσκριτα. τὰ ἐναντία δὲ σημαίνοντα κακὸν, οὐ μόνον ἢν παλινδρομέῃ, ἀλλὰ καὶ τῆς ἀρχαίης φύσιος (687) τὰ ἐναντία ῥέποντα, ὥσπερ καὶ τῶν κακῶν σημεῖον ἐπὶ τἀναντία ῥέποντα. θεωρεῖν δὲ οὕτω δεῖ, βρωμάτων, συμπτώσεων φλεβῶν, ὄγκων ὑποχονδρίων, ἀναῤῥοπίων, καταῤῥοπίων. πολλὰ δὲ καὶ τῶν τοιούτων, οἷον, ἀποφθειρουσέων οἱ τιτθοὶ προσισχναίνονται, οὐδὲ γὰρ ἐναντίον οὐδὲ βῆχες χρόνιαι ὅτι ὄρχιος οἰδήσοντος παύονται. ὄρχις οἰδήσας ἀπὸ βηχέων ὑπόμνημα κοινωνίης, στηθέων, μαζῶν, γονῆς, φωνῆς.

|| Ἀποστάσιες ἢ διὰ φλεβῶν ἢ δι' ὀστέων ἢ νεύρων ἢ δέρματος ἢ ἐκτροπέων ἑτέρων. χρησταὶ δὲ αἱ κάτω τῆς νόσου,

Signa judicatoria quae nihil decernunt, partim mortem, partim difficilem morbi solutionem significant. Quae vero praematuram judicationem, dum adhuc cruda sunt, omnia occupant, morborum recidivas convehunt et solutionem omnino malam aut prope nullam portendunt. Perniciosa quoque evadunt si modum excedant. Eorum quae decernere nata sunt, si quae judicatoria non fiant, difficilem solutionem, si quae vero contraria significant, malum indicant. Non ideo tantum quod recurrunt, verum etiam quod priscam naturam exuunt et ad contraria vergunt, non secus ac ea mala sunt quae in contraria transeunt. Id quoque videndum est in cibis, venarum subsidentiis, hypochondriorum tumoribus et his quae sursum aut deorsum feruntur momentis. Multa vero ejusce sunt generis. Velut si in abortiones facturis emacruerint mammae, neque enim hic contrarietas apparet, ut nec si diuturnae tusses in testium tumores desinunt et cessant. Unde sit ut testis ex tussi intumescens nos consensionis quae est geniturae et voci cum pectore et mammis commonefaciat.

Quae abscedere nata sunt ea per venas, ossa, nervos, cutim, aut alia hujusmodi diverticula abscedunt, bonaque

Ed. Chart. IX. [120.] Foës. II. 1002. 1004. Ed. Lind. I. (687. 688.)
οἷον κιρσοὶ, ὀσφύος βάρεα ἐκ τῶν ἄνω. ἄριστα δὲ μάλιστα αἱ κάτω καὶ αἱ κατωτάτω κοιλίης καὶ προσωτάτω ἀπὸ τῆς νόσου καὶ αἱ κατ' ἔκρουν. οἷον αἷμα ἐκ ῥινέων, πῦον ἐξ ὠτὸς, πτύαλον, οὖρον, κατ' ἔκρουν. οἷσι μὴ ταῦτα ἀποστάσιες, οἷον ὀδόντες, ὀφθαλμοὶ, ῥὶς, ἱδρώς. ἀτὰρ καὶ τὰ ὑπὸ δέρμα ἀφιστάμενα ἐς τὸ ἔξω φύματα, οἷον ταγγαὶ καὶ τὰ ἐκπυοῦντα ἢ ἕλκος καὶ τὰ τοιαῦτα ἐξανθήματα, ἢ λοποὶ καὶ μάδισις τριχῶν, ἀλφοὶ, λέπραι, ἢ τὰ τοιαῦτα ὅσα ἀποστάσιες μέν εἰσιν ἀθρόως ῥεύσασαι, καὶ μὴ ἡμιῤῥόπως, καὶ ὅσα ἄλλα εἴρηται, καὶ ἣν μὴ ἀναξίως τῆς περιβολῆς τῆς νόσου, οἷον τῇ Τημενέω ἀδελφιδῇ ἐκ νόσου ἰσχυρῆς, ἐς δάκτυλον ἀπεστήριξεν, οὐχ ἱκανὸν δὲ δέξασθαι τὴν νοῦσον, ἐπαλινδρόμησεν, ἀπέθανεν.

|| Ἀποστάσιες (688) ἢ διὰ φλεβῶν ἢ διὰ κοιλίης ἢ διὰ νεύρων ἢ διὰ δέρματος ἢ κατὰ ὀστέα ἢ κατὰ τὸν νωτιαῖον

ſunt, ſi infra morbum fiant. Qualia ſunt varices et lumborum gravitates, ſi ex ſuperioribus partibus ad infernas demittantur. Praeſertim vero optima ſunt quae ad inferna et infra ventrem maxime et quam remotiſſime a morbo abscedunt, ac ea quae per emiſſaria quaedam effluunt aut per emiſſionem fiunt, quemadmodum ſanguis ex naribus aut pus ex aure, ſputum et urina per emiſſionem effluunt. Quibusdam non eodem modo abscedit, velut dentes, oculi, naſus et ſudor. Quin etiam quae in cutem abscedunt, foras erumpentia tubercula: velut putreſcentes et purulenti quidam tumores, aut ulcus aut reliquae hujuſce generis in cute efflorefcentes puſtulae, deſquamatio, glabratio et capillorum defluvium, vitiligines, ſcabies, aliaque hujuſcemodi, quae conferto et repentino quodam confluxu, non autem dimidiato et ſemirepente abſcedunt, et quaecunque alia dicta ſunt, etſi non indigne morbi excretioni reſpondeant. Quemadmodum Temenei nepti ex valido morbo quiddam in digitum ſirmatum eſt, qui cum morbo ſuſcipiendo non eſſet, ex interno recurſu obiit.

Quae per venas, alvum, nervos aut cutem abscedunt, ad oſſa, medullam dorſalem aut alia quaedam emiſſaria

Ed. Chart. IX. [120. 121.] Foes. II. 1004—1006. Ed. Lind. I. (688.)

ἢ κατὰ τὰς ἄλλας ἐκροὰς στόμα, αἰδοῖον, ὦτα, ῥῖνας, ἐξ ὑστέρης ὀκταμήνῳ τὰ τῶν κρίσεων, τῇ ὑστεραίῃ ὡς ἂν ἐς τὴν ὀσφὺν ἢ ἐς τὸν μηρὸν καὶ ἐς ὄρχιας ἔστι. ὁτὲ δ᾽ ἐκ βηχέων καὶ ὄρχις αὐτὸς || ἐφ᾽ ἑωυτοῦ. βηχώδεες ἀποστάσιες. αἱ μὲν ἀνωτέρω τῆς κοιλίης οὐχ ὁμοίως τελέως ῥύονται. αἱμοῤῥαγίαι λαῦροι ἐκ ῥινῶν. ῥύονται πολλὰ, οἷον τὸ Ἡραγόρεω οὐκ ἐγίνωσκον οἱ ἰητροί.

[121] || Τὰς φωνὰς οἱ τρηχέας φύσει ἔχοντες καὶ αἱ γλῶσσαι ὑποτρηχέες, καὶ ὅσαι τραχύτητες ὑπὸ νούσων ὡσαύτως. αἱ οὖν ἐοῦσαι σκληραὶ τῇ φύσει καὶ ἄνοσοι τοῦτ᾽ ἔχουσιν. αἱ δὲ μαλθακαὶ καὶ βραδύτεραι ἐς ἁμαρτωλίην ἢ χρηστὸν ἢ ἀρχαίη φύσις. σκεπτέον καὶ τὰ ἀπὸ τῶν διαιτέων τὰ μακροκέφαλα καὶ μακραύχενα ἀπὸ τῶν ἐπικυψίων, καὶ τῶν φλεβῶν ἡ εὐρύτης καὶ παχύτης ἀπὸ τοῦ αὐτοῦ, καὶ στενότητες καὶ πλατύτητες καὶ βραχύτητες καὶ λεπτότητες, καὶ ἀπὸ τῶν ἐναντίων, ὧν αἱ φλέβες εὐρεῖαι καὶ αἱ κοιλίαι

effluunt, qualia funt os, pudendum, aures, nares. Uteri affectus octavo menfe judicationem fubeuntes poftridie velut in lumbos aut femur decumbunt. Interdum vero ex tuffi in teftes et in teftem per fe folum. Quae in tuffi abfcedere nata funt, fi in fuperiore corporis parte, quae fupra ventrem eft, fiant, non aeque perfecte levant. Sanguinis ex naribus eruptiones, quae liberales funt et largae, ut plurimum morbos folvunt. Quod in Heragora non fatis reputarunt medici.

Quibus voces natura funt afperae, iis linguae funt fubafperae. Quod idem ufu venire folet in iis afpredinibus, quae ex morbis contingunt. Hoc igitur habent, quae natura, non autem ex morbo durae funt. Molles vero ad noxam et utilitatem tardius quam prior illa natura transeunt. Videnda quoque veniunt quae ex vivendi ratione oblonga funt capita, et cervices quae ex his quae in pronum fiunt inflexionibus longae funt. Venarum etiam capacitas et craffitudo, quae ex eadem caufa fit, confideranda eft, et coarctationes et latitudines, brevitates et exilitates. Et quibus contrariis ex caufis venae latae, iis ven-

Ed. Chart. IX. [121.] Foës. II. 1006. 1008. Ed. Lind. I. (688. 689.)
καὶ τὰ ὀστέα εὐρέα. εἰσὶ δὲ οὗτοι οἱ λεπτοὶ, οἱ δὲ πίονες τἀναντία τουτέων, καὶ ἐν τοῖσι λιμαγχικοῖσιν αἱ μετριότητες ἀπὸ τουτέων σκεπτέαι, αἱ προαυξήσιες ἑκάστῳ ἃ μειοῦσι, καὶ αἱ μειώσιες ἃ προαυξοῦσι, καὶ τοῖσι προαύξεσιν, ὁποῖα συμπροαύξεται καὶ ὁποῖα συγκρατύνεται καὶ διασφάξιες ποῖαι κοιναὶ τῶν φλεβῶν.

|| *Αἱ* τῶν ἤτρων ῥήξιες αἱ μὲν περὶ ἥβην τὰ πλεῖστα (689) ἀσινέες τοπαραυτίκα, αἱ δὲ σμικρὸν ἄνωθεν τοῦ ὀμφαλοῦ ἐν δεξιῇ. ὀδυνώδεες αὗται καὶ ἀσώδεες καὶ κοπριήμετοι, οἷον καὶ τὸ *Πιττακοῦ*. γίνονται δὲ αὗται ἢ ἀπὸ πληγῆς ἢ σπάσιος ἢ ἐμπηδήσιος ἑτέρου. οἷσι τὸ μεταξὺ τοῦ ἤτρου καὶ τοῦ δέρματος ἐμφυσᾶται καὶ οὐ καθίσταται τὸ τῶν χροιῶν, οἷον τὸ πολυχλώριον, τό τε ἐκ λευκοχροίου, ὅτι ἀπὸ τοῦ ἥπατος πᾶν τὸ τοιοῦτον, καὶ ἀπὸ τουτέου ἡπατικὰ νοσήματα ἐν τουτέοισι, καὶ ἴκτεροι οἱ ἀπὸ ἥπατος ἐς τὸ ὑπόλευκον καὶ ὑδαταινόμενοι καὶ οἱ λευκοφλέγματοι. οἱ δὲ

tres et ossa lata quoque sunt gracilesque existunt, quibus repugnant obesi et pingues. Ex his quoque videndi sunt, quinam ad inediam moderate se habeant et quae fiunt adauctiones, quidnam cuique detrahant et quidnam diminutiones adaugeant, et quaenam cum his quae augentur simul increscant aut firmitudinem et robur capiant. Videndae etiam quaenam sint venarum inter se distantiae et intercapedines.

Quae ad imum ventrem rupta fiunt si circa pubem accedunt, ut plurimum statim sunt indolentia. Quod si dextram umbilici superiorem partem attingat, dolorem et corporis jactationem afferunt et stercoris per vomitum eductionem, velut etiam Pittaco accidit. Fiunt autem rupta ex plaga aut diruptione, aut alterius assultu. Quibus quod imum ventrem et cutem intercedit, inflatur nec quiescit, iis color pallido multo suffunditur, ac velut ex albido pallescit, quod eorum omnium in hepate causa sit, atque hepaticis morbis conflictentur. Quin etiam morbi regii, qui ex hepate fiunt, colorem subalbidum habent non secus quam qui ex aquoso hydrope aut pituita alba periclitantur.

ἀπὸ σπληνὸς μελάντεροι καὶ ὕδρωπες καὶ οἱ ἴκτεροι καὶ αἱ δυσελκίαι τῶν ἐκλεύκων, τῶν ὑποφακωδέων καὶ τὸ δέρμα καταῤῥήγνυται καὶ τὰ χείλεα, οἷος Ἀντίλοχος καὶ Ἀλεύας, τὸ ἀπὸ τῶν χυμῶν τῶν ἐκ τοῦ σώματος τοῦ ἁλμώδεος. ὅτι ὑπὸ τὸ δέρμα μάλιστα καὶ ἀπὸ κεφαλῆς ὅταν ἀπὸ τοῦ πλεύμονος διαθερμαίνεται.

[122] || Τὰς ἀφορμὰς ὁπόθεν ἤρξατο κάμνειν, σκεπτέον, εἴτε κεφαλῆς ὀδύνη εἴτε ὠτὸς εἴτε πλευροῦ. σημεῖον δὲ ἐφ᾽ οἷσιν ὀδόντες καὶ ἐφ᾽ οἷσι βουβῶνες. τὰ γενόμενα ἕλκεα καὶ κρίνοντα πυρετοὺς καὶ φύματα. οἷσι ταῦτα μὴ παραγίνεται ἀκρισία. οἷσιν ἐγκαταλείπεται βεβαιόταται ὑποστροφαὶ καὶ τάχισται. τὰ ὠμὰ διαχωρήματα καὶ ὑγρά. κέγχρος στερεὸς ἐν ἐλαίῳ ἑφθὸς ἵστησιν, οἷον τὸ ναυτοπαίδιον καὶ ἡ Μυριοχαύνη.

Qui vero ex ſplene fiunt tum morbi regii tum hydropes nigricantiores ſunt. Sed et in ſubalbidis lenticoloribus ulcera peraegre ad cicatricem veniunt, ac cutis et labia diffinduntur, quod Antilocho et Aleuae accidit. Id autem oritur ex ſalſuginoſi corporis humoribus, cum in cutem a capite maxime ex pulmone concalefacto, deciderit.

Videndae ſunt cauſae ex quibus quis laborare coeperit, ſive morbus ex capitis et auris, aut etiam lateris dolore initium ſumpſerit. Quibusdam vero dentes, quibusdam etiam glandularum tumores, morborum ſignificationem afferunt. Quae erumpere et febres decernere nata ſunt ulcera ac tubercula, ſi non affuerint, judicationem ipſam tollunt. Quibus vero intro ſubſiſtunt, certiſſimas et celerrimas morborum recidivas afferunt. Milium ſolidum oleo incoctum, liquidas et crudas dejectiones ſiſtit, ut exemplo eſt nautae puer et Myriochaune.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ

[123] || (690) [*Τμῆμα δεύτερον.*] *Γυνὴ ἐκαρδιάλγει καὶ οὐδὲν καθίστατο. πάλην ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα καὶ μονοσιτίῃ ἤρκεσε καὶ οὐκ ἀνήμει, οἷα τὰ Χαρίωνος. αἱ μεταβολαὶ ὠφελέουσιν. ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ, οἷον ἀπὸ φαρμάκων ἐμέουσι πυρετῶν ἕνεκα. αἱ ἐς ἀκρητέστερα τελευταὶ σῆψιν σημαίνουσιν, οἷον Δεξίππῳ. ἡ Σεράπις ἐξ ὑγρῆς κοιλίης ᾤδησε. κνησμοὶ δ᾽ οὐκ οἶδα ποσταίῃ οὐ πρόσω. ἔσχε δέ τι καὶ ἀπόστημα ἐν κενεῶνι, ὅπερ μελανθὲν ἀπέκτεινε. καὶ ἡ Στυμαργέω ἐκ ταραχῆς ὀλιγημέρου πολλὰ στήσασα, καὶ παιδίου μετάστασιν θήλεως ἀπὸ φθορῆς τετράμηνον ὑγιήνασα ᾤδησε. Μόσχῳ λιθῶντι ἰσχυρῶς ἐπὶ τῷ βλεφάρῳ τῷ ἄνω κρίθη ἐγένετο πρὸς τοῦ ὠτὸς μᾶλλον, ἔπειτα ἐξελκώθη ἔσω. πέμπτῃ καὶ ἕκτῃ ἔσωθεν πύον*

HIPPOCRATIS COI DE MORBIS VULGARIBVS LIBRI SECVNDI

[*Sectio ſecunda.*] Mulier oris ventriculi dolore conflictabatur, qui non conquieſcebat. Haec tenuiſſimo farinae hordeaceae polline mali punici ſucco macerato ſemel die in cibatu contenta, non revomebat, velut Charioni contigit. Mutationes ſi non in deteriora mutentur, bonae ſunt, quod in iis vomitibus accidit, qui ſumpto medicamento in febribus fiunt. In quorum extremo quae ſincera et meraciora vomitu rejecta ſunt, putredinem ſignificant, quemadmodum Dexippo contigit. Serapis ex liquida et humente alvo intumuit. Pruritus autem haud ſcio quoto die non ulterius progreſſi ſint. Ex abſceſſu vero in lateris inanitate orto et nigrefacto mortua eſt. Stymargi uxor ubi ventris perturbatio, quae per paucos dies duraverat, plurimum conſtitiſſet et ex abortione quadrimeſtris foetus foeminei convaluiſſet, intumuit. Moſcho ex calculo graviter laboranti in ſuperiori palpebra hordeolum innatum eſt quod ad aurem magis vergebat et intro exulceratum fuit. Quinta aut ſexta die pus ex internis erupit, atque inde inferiorum partium affectiones ſolutae ſunt. Glandularum

ἐῤῥάγη· τὰ κάτωθεν ἔλυσε, βουβὼν παρ' οὖς ἦν, καὶ κάτω ἐπὶ τῷ τραχήλῳ κατ' ἴξιν τοῦ ἄνω βουβῶνος.

[128] || Ὁ τῆς Ἀρισταίου γυναικὸς ἀδελφὸς χλιαινόμενος ἐταλαιπώρει ὁδῷ, κἄπειτα ἐν κνήμῃ τέρμινθοι ἐγένοντο. ἔπειτα συνεχὴς πυρετὸς ἐγένετο, καὶ τῇ ὑστεραίῃ ἱδρὼς ἐγένετο, καὶ τὰς ἄλλας τὰς ἀρτίους ἐγένετο ἀεί. ἔτι δὲ ὁ πυρετὸς εἶχεν, ἦν δὲ ὑπόσπληνος. αἱμοῤ(691)ῥάγει ἐξ ἀριστεροῦ πυκνὰ καὶ κατ' ὀλίγον ἐκρίθη, τῇ ὑστεραίῃ ἀριστερὸν παρ' οὖς οἴδημα. τῇ δὲ ὑστέρῃ καὶ παρὰ δεξιὸν, ἧσσον δὲ τοῦτο καὶ ἐπεχλιαίνετο. ταῦτα κατεμωλύνθη καὶ οὐκ ἀπεπύησεν. ὁ περὶ Ἀλκιβιάδεω ἐλθὼν ἐκ πυρετῶν ὀλίγων πρὸ κρίσιος, ὄρχις ἀριστερὸς ᾤδησεν. ἦν δὲ σπλῆνα μέγαν ἔχων, καὶ δὴ τότε ἐκρίθη ὁ πυρετὸς εἰκοσταῖος. κἄπειτα ὑπεχλιαίνετο ἄλλοτε καὶ ἄλλοτε καὶ ἔπτυεν ὑπανθηρόν. ἦ ἡ χεὶρ ἡ δεξιὴ, σκέλος δὲ ἀριστερὸν ἐκ τῶν βηχωδέων βραχὺ οὐκ ἄξιον λόγου βηξάσῃ παρελύθη παραπληγικῶς. ἄλλο δὲ οὐδὲν ἠλλοιώθη οὔτε πρόσωπον οὔτε γνώμην, οὐ μὴν ἰσχυρῶς ταύτῃ.

ad aures tumor aderat et earum quae collo fubjacent inflammatio, fuperiori tumori e directo refpondens.

Ariftaei uxoris frater ex via delaffatus incaluit, eique poftea terminthi in tibia coorti funt. Adfuit febris continua et poftridie fudor, qui et reliquis diebus paribus cum febre femper fubortus eft. Praebebat autem fufpicionem lienis aliquantulum male affecti. Sanguis ex nare finiftra crebro fluxit, atque ita fubinde judicatus eft. Poftridie fecundum aurem finiftram tumor, fequentique die etiam fecundum dextram fubortus eft, qui tamen minor erat et intepefcebat. Hi omnes fenfim conquieverunt aut evanuerunt, nec fuppurarunt. Ex moderatis febribus ei qui ab Alcibiade venerat et lienem magnum habebat, ante judicationem teftis finifter intumuit. Et fane tunc illi febris die vigefimo judicata eft. Deinde aliquando fubincalefcebat et aliquatenus floridum confpuebat. Quae ex tuffi paucum et nihil effatu dignum rejiciebat, huic manus dextra et crus finiftrum fiderata et refoluta funt. Nulla autem alia pars immutata eft, non facies, non mens ipfa, ac ne

ἐπὶ τὸ βέλτιον ἤρξατο χωρέειν περὶ εἰκοστὴν ἡμέρην. σχεδὸν ἐγένετο οἱ περὶ γυναικείων κατάῤῥηξιν καὶ ἴσως τότε πρῶτα γινόμενα. παρθένος γὰρ ἦν. Ἀπήμαντος καὶ ὁ τοῦ τέκτονος πατὴρ τοῦ τὴν κεφαλὴν καταγέντος καὶ Νικόστρατος οὐκ ἐξέβησσεν. ἦν δὲ ἑτέρωθι κατὰ νεφροὺς ἀλγήματα, ἐρωτήματα. ἤρεον γὰρ αὐτοὺς ἀεὶ πληροῦσθαι ποτοῦ ἢ σίτου.

[130] || Ὀδύνας τὰς ἰσχυροτάτας, ὅτῳ τρόπῳ διαγνοίη ἄν τις ἰδὼν ὁ φόβος, αἱ εὐφορίαι, αἱ ἐμπειρίαι καὶ αἱ δειλίαι. ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον ἀεὶ κουφότερον. τὰ βρώματα καὶ τὰ πόματα πείρης δεῖ, εἰ ἐπὶ τὸ ἴσον μένει. ῥητέον ὅτι αἵματος ῥυέντος ἐκχλοοῦνται καὶ ὅσα ἄλλα τοιαῦτα ὅτι πρὸς τὸ ὑγραίνειν καὶ ξηραίνειν καὶ θερμαίνειν καὶ ψύχειν πολλὰ ἄν τις τοιαῦτα εὕροι. τὸ ἑξηκονθήμερον ἀπόφθαρ(692)μα ἄρσεν τόκον ἐν ἐπισχέσεσιν ὑγιηρόν. Ἡράκλεις ὧδε τοῦ κακοῦ ὀγδοαίῳ. δυσεντεριώδης μᾶλλον ὅστις ἄρα καὶ τεινεσμώδης. θηλάζουσα εἶτα ἐκθύματα

illis quidem partibus valide admodum. Ad vigefimum diem in melius proceffit. Quod fere circa menfium eruptionem contigit, qui jam primum illi, quod illibatae effet virginitatis, forte apparuerunt. Apemantus et fabri illius qui caput fregit pater et Nicoftratus tuffi nihil rejecerunt. Decumbebant autem alioqui ad renes dolores. Ad interrogata dicebant, eos femper potu aut cibo impleri.

Vehementiffimos dolores confpicatus aliquis, quonam modo dignofcat, terror, tolerandi facilitas, experientia, ipfaque timiditas et ignavia indicant. Aqua quo citius calefit aut frigefcit, eo femper levior eft. Cibi et potus num aequales moras faciant, ut judices, experientia opus eft. Dicendum etiam, quod in fanguinis profluvio ex pallido virefcunt. Et quaecumque alia hujufce generis: nempe quod ad humectandum, ficcandum, calefaciendum, et refrigerandum talia multa inveniri queunt. Ejectus abortu foetus mafculus fexaginta dierum in partuum fuppreffionibus falubris. Hercules mali octavo die intumuit. Quisquis tinesmo aut inani egerendi voluntate prehenditur, is

ἀνὰ τὸ σῶμα πάντη εἶχεν, ἐπεὶ ἐπαύσατο θηλάζουσα, καθέστη θέρεος τῇ τοῦ σκυτέως, ὃς τὰ σκύτινα ἐποίησε τεκούσῃ καὶ ἀπολυθείσῃ τελέως, ἐδόκει τοῦ μὲν χωρίου τι τὸ ὑμενοειδὲς ἀπέσχεν, ὑπῆλθεν τεταρταίῃ κακῶς. στραγγουριώδης γὰρ ἐγένετο. αὐτίκα συλλαμβάνουσα ἔτεκεν ἄρσεν. πολλὰ δὲ ἔτεα ἤδη εἶχε, τὰ ὕστατα καὶ οὐδ᾽ ἐπιμήνια εἴη. ὅτε τέκοι, διέλιπεν ἐπ᾽ ὀλίγον ἡ στραγγουρίη.

[139] || Ἰσχίον δέ τις ἤλγει, πρὶν ἴσχειν. ἐπεὶ δὲ ἔσχεν, οὐκ ἔτι ἤλγει. ἐπεὶ δὲ ἔτεκεν, εἰκοσταίη ἐοῦσα, αὖθις ἤλγησεν. ἔτεκεν οὖν ἄρσεν. ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ κάτω δεξιῇ ἢ τρίτῳ ἢ τετάτῳ μηνὶ ἐξανθήματα πρὸς ἃ τῇ μάννῃ χρώμεθα καὶ ἐν χειρὶ δεξιῇ παρὰ μέγαν δάκτυλον, οὐκ οἶδ᾽ ὅτι ἔτεκε, κατέλιπον γὰρ ἑξάμηνον. ᾤκει δὲ ὡς ἐγὼ οἶμαι τὰ Ἀρχελάου πρὸς τῷ κρημνῷ ἢ Ἀντιγενέος ἡ περὶ Νικόμαχον, τέκεν παιδίον σαρκῶδες μὲν, ἔχον δὲ τὰ μέγιστα διακεκρι-

profecto plerumque ex torminibus laborat. Lactanti puſtulae per totum corpus eruperunt, quae ad aeſtatem conſederunt, ubi lactare deſiiſſet. Coriarii illius, qui coriariam faciebat, uxori, ubi peperiſſet atque omnino abſoluta eſſet, ex locellis membranoſum quiddam ſubſiſtere viſum eſt, quod quarto die demiſſum eſt, non ſine pernicie tamen, cum difficultate urinae premeretur. Quae ubi non multo poſt concepiſſet, marem peperit. Per multos autem annos jam id ipſum duraverat, et ad extremum menſes non prodibant. Ubi autem peperiſſet, ſenſim urinae difficultas intermiſit.

Cuidam ante conceptum coxendicis dolor commotus a conceptu ceſſavit. Vigeſimo autem a partu die rurſus doluit. Marem igitur peperit. In inferiori tibia dextra, itemque in manu dextra ad pollicem, praegnanti tertio aut quarto menſe puſtulae eruperunt, ad quas thuris micas concuſſu eliſas, mannam vocant, adhibere ſolemus. Quae an pepererit neſcio; eam enim reliqui ſemeſtrem. Habitabat autem, ni fallor, in Archelai aedibus, ad rupem. Antigenis uxor, quae ad Nicomachum habitabat, carnoſum puerum peperit, membris quidem et praecipuis

μένα. μέγεθος δὲ ὡς τετραδάκτυλον ἀνόστεον. ὕστερον δὲ παχὺ στρογγύλον, αὕτη δὲ ἀσθματώδης ἐγένετο πρὸ τοῦ τόκου. ἔπειτα ἅμα τῷ τόκῳ πῦον ἀνήμεσεν (693) ὀλίγον, οἷον ἐκ δοθιῆνος. θυγατέρας τεκούσης διδύμους καὶ δυστοκησάσης καὶ οὐ πάνυ καθαρθείσης, ἐξῴδησεν ὅλη. ἔπειτα ἡ γαστὴρ μεγάλη ἐγένετο. τὰ δ᾽ ἄλλα ἐταπεινώθη, καὶ ἐρυθρὰ εἴη μέχρι τοῦ ἕκτου μηνός. ἔπειτα λευκὰ κάρτα πάντα ἤδη τὸν χρόνον. πρὸς δὲ τἀφροδίσια οἱ ῥόοι ἔβλαπτον καὶ οἱ ἄκρητα ἐρυθρὰ ἱκνεύμενα ᾔει.

[142] || Τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη γενομένη, πρόσθεν μηδέποτε γενομένη σημεῖον χρηστὸν, οἷον Δημαινέτῃ ἐγένετο. ἴσως δ᾽ ἔστι καὶ τεχνήσασθαι, καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται ἀλλοιοῦσιν. ἴσως δὲ καὶ ὀξυρεγμίαι λειεντερίην λύουσιν. ἰήθη ἐλλεβόρου πόσει Λυκίη, τὰ ὕστατα σπλὴν μέγας καὶ ὀδύναι καὶ πυρετὸς καὶ ἐς ὦμον ὀδύναι, καὶ ἡ φλὲψ ἡ κατὰ σπλῆνα ἐπ᾽ ἀγκῶνι ἐτέτατο καὶ ἔσφυζε

corporis partibus diſtinctum, magnitudinem vero quatuor digitorum qui non excederet, totusque eſſet exoſſis, tandem etiam craſſus et rotundus. Ipſa autem ante partum ſuſpirioſa erat, ſimulque cum partu pus paucum vomitione rejecit, quale ex furunculo. Ei quae ex difficili partu gemellas edidit, nec admodum perpurgata eſt, venter totus intumuit tandemque in magnitudinem excrevit, reliqua vero depreſſa ſunt et ſubſederunt. Ad ſextum menſem rubra, deinde reliquo toto tempore alba admodum profluxerunt. Hae vero fluxiones veneri officiebant, illique mere rubicunda prodibant.

Diuturnis et trahentibus inteſtinorum laevitatibus ructus acidus bono eſt qui prius non adſuit, qualis Demaenetae contingit. Quem et arte parare forte licet. Nam et hujuscemodi perturbationes prioris ſtatus immutationes afferunt, forte etiam inteſtinorum laevitatem acidi ructus ſolvunt. Lyciae, quae veratri potione ſanata fuit, ad extremum ſplen magnus fuit cum dolore et febri. Dolores vero ad humorum pertingebant. Vena quae ad ſplenem eſt in cubito diſtendebatur, et plerumque quidem pulſare

Ed. Chart. IX. [142. 145.] Foës. II. 1015. 1016. Ed. Lind. I. (693. 694.)

μὲν πολλάκις, ἔστι δ᾽ ὅτε καὶ οὐκ ἐτμήθη, ἀλλ᾽ ἅμα ἱδρῶτι διῆλθεν ἢ αὐτόματον. ἐξ οὗ δὲ ἰόντων ὁ σπλὴν τὰ δεξιὰ ἐνετείνετο, πνεῦμα ἐνεδιπλασιάζετο, οὐ μὴν μέγα παρεφέρετο, περιεστέλλετο. φῦσα ἐνιοῦσα, οὐ διῄει κάτω οὐδὲν οὐδὲ οὔρει. ἀπέθανε πρὸ τοῦ τόκου. τὰ ἀμφὶ φάρυγγα ἑτερόῤῥοπα, ὁρμήσαντα οὐκ ἐφειλκώθη, ἐπὶ τὰ ἀριστερὰ μετῆλθεν. ἐς σπλῆνα ὀδύνη ἦλθεν ἀκρίτως. Ἱέρωνι ἐκρίθη πεντεκαιδεκαταίῳ. τῇ Κώου ἀδελφαίῃ ἧπαρ ἐπήρ(694)θη σπληνικὸν τρόπον· ἀπέθανε δευτεραίη, βίων ἅμα τε οὔρει ὑπέρπολυ ἀνυπόστατον καὶ αἷμα ἐξ ἀριστεροῦ. ἦν γὰρ καὶ ὁ σπλὴν κυρτὸς καὶ σκληρὸς καὶ ἄνω περιεγένετο ὑποστροφή.

[145] || Ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τάδε τοῦ τραχήλου οἱ σπόνδυλοι ἔσω ἔῤῥεπον, τοῖσι μὲν πλέον, τοῖσι δὲ πέλας καὶ ἔσωθεν ἔνδηλας ἔγκοιλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ταύτῃ ψαυόμενος. ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν. ἔστι δ᾽ οἷσι

videbatur. Interdum vero neque secta est, sed simul cum sudore aut sponte sua considebat. Quibus procedentibus splen ad dextra pertendebat, spiritus ex internis duplicem elidebat sonum, neque tamen magna erat respiratio, leviter mente movebatur, cooperiebatur et flatus intro suberat, nec quicquam infra subibat neque mejebat. Obiit ante partum. Quae sua irruptione ad alterutram faucium partem vergebant, exulcerata non sunt, in sinistram partem transierunt, lienem dolor invasit, idque sine judicatione. Hieroni ad decimum quintum judicatio facta est. Coi soror ad instar splenis jecur intumuit, et die secunda obiit. Bioni cum ex larga urina nihil subsideret, sanguis ex nare sinistra erupit: lienem enim durum et incurvum habebat. Cum vero sursum emersisset, recidivam passus est.

Erant autem eorum qui ex angina laborabant affectiones hujusmodi. Cervicis vertebrae modo plurimum, modo vero prope erant, ut intro vergerent. Collumque ipsum qua parte cavitatis internae significationem prae se ferebat, contactu dolorem sentiebat. Cuidam vero affectus ipse paulo infra os, cui dentis nomen est, pertingebat, nec ita

καὶ πάνυ περιφερὲς, μέζονι περιφερείῃ. εἰ μὴ ξὺν τῷ ὀδόντι καλεομένῳ φάρυγξ οὐ φλεγμαίνουσα. κειμένη δὲ τὰ ὑπὸ γνάθους ὀγκηρὰ, οὐ φλεγμαίνουσιν ἴκελα οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν. ἀλλὰ φύσει μὲν καὶ γλῶσσαν οὐ ῥηϊδίως στρέφοντες. ἀλλὰ μείζων τε αὐτέοισι ἐδόκει εἶναι καὶ προπετεστέρη, καὶ ὑπὸ γλώσσῃ φλέβες ἐμφανέες. καταπίνειν οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς. ἀλλ' εἰς τὰς ῥῖνας ἔφευγεν εἰ πάνυ ἐβίαζον, καὶ διὰ τῶν ῥινῶν διελέγοντο. πνεῦμα δὲ τουτέοισιν οὐ πάνυ || μετέωρον. ἔστι δ' οἷσι φλέβες αἱ ἐν κροτάφοισι καὶ ἐν κεφαλῇσι καὶ ἐπ' αὐχένι ἐπηρμέναι· βραχὺ δέ τι τουτέων τοῖσι παλιγκοτάτοισι. κρόταφοι θερμοὶ, καὶ τἄλλα μὴ πυρεταίνοιεν, οὐ πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμέοιντο ἢ πτύαλον ἢ ἄλλο τι. οὐδ' οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα, μήτε ἑτερόῤῥοπον, οὗτοι οὔτε παραπληκτικοὶ ἐγένον(695)το. ἀπολλύμενον

praeceps erat, quibusdam etiam majori ambitu circumſcribebatur. Qui ſi ſecundam vertebram dentem appellatam non attingeret, fauces nulla inflammatione tentabantur, ſed ſubſidebant. Partes quae ſub malis intumeſcebant, non erant inflammatis affines, neque ulli glandularum inflammatio adfuit. Sed cum haec ſecundum naturam ſe haberent, linguam non facile convolvebant; major enim et prominentior ipſis eſſe videbatur. Quae ſub lingua ſunt venae, erant conſpicuae nec devorare aliquid poterant, niſi admodum moleſte. Quod ſi vi cogerentur, in nares erumpebat. Sermo etiam ipſis per nares efferebatur. Reſpiratio his non admodum elata neque ſublimis. Quibusdam vero temporum, capitis et cervicis venae intumeſcebant. Atque horum quibusdam paululum dolores exaſperabantur, quibus tempora incaleſcebant, etſi alias non febricitarent. Multis non praecludebatur ſpiritus, niſi ſi ſalivam aut aliud quiddam deglutire cuperent. Neque intro deſigebantur oculi. Quibus igitur neutram in partem deflectebat tumor, ſed recta procedebat, iis ne membrorum quidem reſolutio accidit. Quod ſi quem horum periiſſe mihi conſtiterit, eum recenſere non gravabor. Sed ii omnes, quos videre licuit,

Ed. Chart. IX. [145. 148.] Foëſ. II. 1017. Ed. Lind. I. (695.)

δὲ εἴ τινα εἶδον, ἀναμνήσομαι. οὓς δὲ οἶδα νῦν, πε-[148] ριεγένοντο. ἦν δὲ τὰ μὲν τάχιστα ῥηΐζοντα, τὰ δὲ πλεῖστα καὶ ἐς τεσσαράκοντα ἡμέρας περιήει. τοῦτο δὲ οἱ πλεῖστοι καὶ ἄπυροι. πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πολὺν χρόνον ἔχοντές τι μέρος τοῦ ἐξογκώματος καὶ κατάποσις καὶ φωνὴ ἐνσημαίνουσα. κίονές τε τηκόμενοι μινύθησίν τινα παρεῖχον, πονηρὸν οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δὲ ἑτερόῤῥοπα ἔχοντες οὗτοι ὁπόθεν ἂν ἐγκλιθείησαν οἱ σπόνδυλοι ταύτῃ παρελύοντο. τὰ δ᾽ ἐπὶ θάτερα εἵλκοντο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα καὶ τῷ στόματι καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι, ἀτὰρ καὶ γνάθοι οἱ κάτω παρήλλασσον κατὰ λόγον, αἱ δὲ παραπληγαὶ οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο οἷον ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρός. τὰ ὑπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες καὶ βραγχώδεες ἦσαν. οἷσι δ᾽ ἐς ὀρθὸν καὶ ἀπέπτυον, οἷσι δὲ καὶ ξὺν πυρετῷ, οὗτοι πολλῷ μᾶλλον καὶ δύσπνοοι καὶ διαλεγομένοισιν ἀλλο-

ſuperſtites permanſerunt. Atque horum quidam quam celerrime allevabantur, plurimi vero quadraginta dies percurrebant, idque non paucis ſine febre contigit. Multis etiam in longum valde temporis intervallum, tumoris aliquid protrahebatur, cujus rei indicium deglutitio et vox quoque ipſa praebebant. Ipſae quoque columellae eliquatae imminutionis pravam quandam ſignificationem prae ſe ferebant, etſi nihilo deterius habere videbantur. Quibus vero in alterutrum partem tumores decumbebant, ii ea ex parte, unde vertebrarum inclinationes fiebant, nervorum reſolutione tentabantur, atque inde verſus alteram trahebantur. Apparebant autem haec maxime in facie, ore et eo, quod ad gurgulionem eſt interſepto. Quin etiam genae inferiores non temere immutabantur. Caeterum quae ab angina fiebant leves membrorum reſolutiones, non totum corpus perreptabant, quod in aliis fieri ſolet, ſed ad manus usque pertingebant. Atque ii concocta quidem, ſed pauca, nec ſine moleſtia expuebant. Quin et ii quibus in rectum tumor decumbebat, expuere quoque poterant. Quos vero febris infeſtabat, hi multo graviori difficultate ſpi-

Ed.Chart.IX.[148.152.] Foëſ.II.1019.1020. Ed. Lind. I. (695.696.)

χόοι καὶ φλέβες τουτέοισι μᾶλλον ἐπηρμέναι καὶ πόδες πάντων μὲν ψυχρότατοι. τούτων δὲ μάλιστα, καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι, καὶ οἵτινες μὴ αὐτίκα ἔθνησκον. οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ

[152] || (696) [ΤΜΗΜΑ ΤΡΙΤΟΝ.] Ἐς Πέρινθον περὶ ἡλίου τροπὰς ὀλίγον τὰς θερινὰς ἤλθομεν. ἐγεγόνει δὲ ὁ χειμὼν εὔδιος, νότιος. τὸ ἔαρ καὶ τὸ θέρος πάνυ ἄνυδρον μέχρι πληϊάδων δύσιος. εἰ γάρ τι καὶ ἐγένετο, ἦν ὅσον ψεκάς, καὶ ἐτησίαι οὐ κάρτα ἔπνευσαν, καὶ οἱ πνεύσαντες διεσπασμένως. τοῦ θέρεος καῦσοι ἐπεδήμησαν πολλοί. ἦσαν δὲ || ἀνήμετοι, καὶ κοιλίαι ταραχώδεες, λεπτοῖσιν, ὑδατώδεσιν, ἀχόλοισιν, ἐπ᾽ ἀφροῖσι πολλοῖσιν, ἴσχοντα ἔστιν ὅτε καὶ ὑπάστασιν τεθέντα, ἐξ οἵων δὴ καὶ ἐξαιθριαζόμενον τὸ

randi conflictabantur, et inter loquendum alieniores videbantur, ipſis quoque venae magis intumeſcebant, atque horum omnium pedes erant frigidiſſimi. Ex quibus illi praecipue, ſi qui non illico mortui ſunt, erigere haud quaquam ſe poterant. Verum omnes, quos videre licuit, mortui ſunt.

HIPPOCRATIS COI DE MORBIS VULGARIBVS LIBRI SECVNDI

[SECTIO TERTIA.] Perinthum venimus ad ſolſtitium pene aeſtivum, ubi hiems placida et auſtralis fuit. Ver autem atque aeſtas valde ſicca ad vergiliarum occaſum. Quod ſi quae pluvia decidiſſet, guttatim defluebat, eratque rori ſimillima. Eteſiae non multum ſpirarunt, idque disperſim et contractim. Aeſtate febres ardentes plurimae populariter graſſatae ſunt: in quibus nulli aderant vomitus, ſed alvi perturbationes ex tenuibus, aquoſis, non bilioſis et ſpumantibus multis, quae interdum depoſita ſubſidebant. Quibus ſane ſimile erat quod aeri exponebatur. Alvique ſeceſſus eandem perpetuo ſpeciem referentes malo

ἴκελον. ἴσα τῷ εἴδει διαχωρήματα διὰ παντὸς κακόν. ἐν τουτέοισι πολλοὶ κωματώδεες ἦσαν καὶ παράφοροι. οἱ δὲ ἐξ ὕπνων τοιοῦτοι ἐγίνοντο. ὅτε δὲ ἐγερθεῖεν, κατενόουν πάντα. πνεύματα μετέωρα, οὐ μὴν πάνυ. οὖρα λεπτὰ μὲν τοῖσι πλείστοισι καὶ ὀλίγα, ἄλλως δὲ οὐκ ἄχροα. αἱμοῤῥαγίαι ἐκ ῥινῶν οὐκ ἐγένοντο, εἰ μὴ ὀλίγοισιν. οὐδὲ παρωτίδες περὶ ὧν ὕστερον γράψω, οὐδὲ σπλῆνες ἐπήροντο οὐδὲ δεξιὸν ὑποχόνδριον, οὐδ᾽ ἐπώδυνον κάρτα οὐδ᾽ ἐντεταμένον ἰσχυρῶς. ἦν δέ τι ἐνσημαῖνον, καὶ μάλιστα ἐκρίνετο πάντα τὰ πολλὰ περὶ τεσσαρεσκαίδεκα, ὀλίγα σὺν ἱδρῶτι, ὀλίγα σὺν ῥίγει καὶ πάνυ ὀλίγοισιν ὑποστροφαὶ ἐγίνοντο. ὑπὸ δὲ τὰς ψεκάδας τὰς γενομένας ἐν τῷ θέρει ἐπεφαίνετο ἱδρώς. ἐν τοῖσι (697) πυρέττουσι, καί τινες αὐτίκα ἱδρῶτες ἐπ᾽ ἀρχῆς ἐγίνοντο, οὐ μὴν κακοήθως, καὶ τοῖσιν ὑπὸ τοῦτον τὸν χρόνον καὶ ἐκρίθη σὺν ἱδρῶτι. ἐγένοντο καὶ ἐν τοῖσι θερινοῖσι πυρετοῖσι περὶ ζ' καὶ η' καὶ θ' τρηχίσματα ἐν τῷ χρωτὶ κεγχρώδεα, τοῖσιν ὑπὸ κωνώπων γινομένοις μάλιστα ἴκελα ἀναδήγμασιν, οὐ

erant. In his multi soporati leviterque mente emoti, praecipueque ex somno tales evadebant, cum vero expergiscerentur, de omnibus recte sentiebant. Respiratio non admodum elata. Urinae multis quidem tenues et paucae, nec alioqui decolores. Sanguinis ex naribus fluxus non nisi paucis contingebant, atque sub auribus tumores, parotides dicti: de quibus postea scribam. Neque vero lienis tumor aderat, aut praecordii dextri magnus dolor aut valida contensio: etsi quiddam erat, quod levem praeberet significationem. Judicabantur vero maxime omnia ut plurimum ad decimum quartum diem, partim cum sudore, partim vero cum rigore, nec nisi admodum paucis recidivae contingebant. At vero dum guttatim roris modo sub aestatem decidebant pluviae, sudor apparebat. Quin etiam febrium initio quidam sudores statim fiebant, neque tamen maligne, et quibusdam sub hoc tempus judicatio cum sudore facta est. In febribus autem aestivis circa septimum, octavum et nonum diem asperdines quaedam miliaceae, culicum morsibus fere similes, quae tamen non admodum

πάνυ κνησμώδεα. ταῦτα διετέλει μέχρι κρίσιος. ἄρσενι δὲ οὐδενὶ εἶδον τοιαῦτα ἐξανθήσαντα. γυνὴ δὲ οὐδεμία ἀπέθανεν, ᾗ ταῦτα ἐγένετο, βαρυήκοοί τε ἦσαν καὶ κωματώδεες. πρόσθεν δὲ οὐ κάρτα ἦσαν κωματώδεες ᾗσιν ἔμελλε ταῦτα ἔσεσθαι. οὐ μὴν τὸ σύμπαν διετέλεον. κωματώδεες δὲ καὶ ὑπνώδεες τὸ θέρος καὶ μέχρι πληϊάδων δύσιος. ἔπειτα μὴν ἀγρυπνίαι μᾶλλον. ἀτὰρ οὐδὲ τὸ σύμπαν ὑπὸ τῆς καταστάσιος ταύτης ἔθνησκον. [156] κοιλίην μὲν οὖν οὐκ ἐνεδέχετο, οὐδὲ τοῖσι γεύμασι ἱστάναι, ἀλλὰ παρὰ λόγον ᾤετο ἄν τις ἰήσασθαι ξυμφέρειν. καίτοι ὑπέρπολλά ἐστιν οἷσι τάδ' ἰόντα ἦν, τῷ ἐν ψύχει κεῖσθαι ὑποβεβλημένον. ὡς ἑλκοῖ μὲν τὸ ψυχρὸν, θάλπει δὲ τὸ τοιοῦτον εἶδος ἐκ προσαγωγῆς ἐστὶ μᾶλλον καὶ τὸ μηδὲν τῇ φύσει πάθει γίνεσθαι, ἐφ' οἷσί τε καὶ ὁκοῖα τὰ σημεῖα καὶ πλείω ἢ μείω γινόμενα, χάσμη, βὴξ, πταρμὸς, σκορδίνημα, ἔρευξις, φῦσα, πάντα τὰ τοιαῦτα διαφθείρουσιν. ᾗσιν ἐν πυρετοῖσι ἀσώδεσι, φρικώδεσιν, ἐρεύ-

pruriebant, in ſumma cute ſubnaſcebantur, et ad judicationem usque perdurabant. Ac ne eae quidem maſculorum ulli eruperunt. Mulier vero cui talia fierent, nulla mortua eſt. Hebetiori tamen erant auditu et ſoporoſae, quamvis antea non admodum ſoporoſae eſſent, quibus iſta evenire debebant. Neque tamen in totum perſeverabant. Aeſtate vero etiam ad vergiliarum occaſum in ſoporem et ſomnum pronae erant, poſt ea quippe inſomnia magis urgebantur. Verum neque prorſus ob iſtam temporis conſtitutionem moriebantur. Alvum igitur non licebat, ne per ea quidem quae aſſumebantur, ſiſtere: ſed eam, quae praeter rationem fieret, medelam conferre poſſe, facile quis exiſtimaſſet: quamvis permulta quibusdam procederet, ex eo qui in cubili frigido ſubſtrato fiebat decubitu. Frigidum quippe exulcerat. Calido vero quicquid hujusce eſt generis, ſenſim magis procedit. Et quamvis nullus natura affectus inerat, quibus hujuscemodi ſigna aut majora aut minora aderant, oſcitatio, tuſſis, ſternutamentum, pandiculatio, eructatio, flatus, reliquaque ejusce generis perniciem afferebant. Quibus in febribus quae cum corporis jactatione et horrore

Ed. Chart. IX. [156. 158.] Foes. II. 1020. 1022. Ed. Lind. I. (697. 698.)
θονται πρόσωπα, κοπιώδεες, ὀμμάτων ὀδυνώδεες καρηβαρίαι. παραπληγίαι καὶ γυναικεῖα, ἢν ἐπι(698)φαίνηται· μάλιστα δὲ ἦσι πρῶτον, ἀτὰρ καὶ παρθένοισι καὶ γυναιξὶν ἦσι διὰ χρόνου, ἀτὰρ καὶ ἦσι μὴ ἐν ᾧ εἴθισται χρόνῳ ἢ ὡς δεῖ ἐπιφαίνονται. ἔπειτα ἔξωχροι γίνονται, μέγα δ᾽ ἐν ἅπασι τὸ καὶ ἑξῆς καὶ ἐν ᾧ χρόνῳ καὶ ἐφ᾽ οἷσι. τοῖσι πάνυ χολώδεσιν ἐν πυρετοῖσι μάλιστα. ὅλως οἷσιν ἐπὶ σκέλεα ἡ κάθαρσις.

[158] || Φαρμάκων τε τρόπους ἴσμεν, ἐξ ὧν γίνεται ὁποῖα ἄσσα, οὐ γὰρ πάντες, ἀλλ᾽ ἄλλοι ἄλλως εὖ κεῖνται, καὶ ἄλλοθι πρωΐτερον ἢ ὀψίτερον, ληφθέντα διαχειρισμοῖσιν. οἷον ἢ ξηρᾶναι ἢ κόψαι ἢ ἑψῆσαι, καὶ τὰ τοιαῦτα ἐῶ τὰ πλεῖστα ὁκόσα ἑκάστῳ καὶ ἐφ᾽ οἷσι νουσήμασι καὶ ὁπότε τοῦ νουσήματος, ἡλικίην, εἰδέαν, δίαιταν, ὁποίη ὥρη ἔτεος καὶ ἥτις καὶ ὁκοίως ἀγομένη καὶ τὰ τοιαῦτα.

accidunt, vultus rubet, lassitudines, oculorum dolores, capitis gravitates, aut leves membrorum resolutiones adsunt. In quibus videndum si menstrua appareant, praecipue vero quibus primum erumpunt. Quin et virgunculis et mulieribus quibus ex longo intervallo, sed et quibus non consueto tempore aut ut decet, apparent et si succedente tempore plurimum pallidae fiant. Plurimi autem refert videre in omnibus, quod et postea consequitur et quo tempore et in quibus, velut biliosis admodum in febribus maxime quibusdam prorsus in crura purgatio secedit.

Medicamentorum vero naturas esse scimus, ex quibus ut talia et hujusmodi sint, habent. Neque enim omnes uno et eodem modo, sed aliae aliter se habent. Quin alias quoque tardius aut maturius sumpta differunt et praeparationes ipsae, quale est siccare, tundere, incoquere et caetera hujuscemodi. Plurima vero praetereo, quae huc consideranda veniunt, quaenam cuique conveniunt et in quibus morbis et quo morbi tempore. Aetas etiam cujusque, forma, victus ratio, anni quoque tempus quodnam sit et qualiter circumscribatur, aliaque id genus in speculationem veniunt.

|| Ζωΐλῳ τῷ παρὰ τὸ τεῖχος ἐκ βηχὸς πεπείρης πυρετὸς ὀξὺς καὶ προσώπου ἔρευθος καὶ κοιλίη ἀπολελαμμένη, πλὴν πρὸς ἀνάγκην. πλευροῦ ὀδύνη ἀριστεροῦ, καὶ οὖς κατ' ἴξιν ὀδυνῶδες πάνυ καὶ κεφαλὴ οὐ τοσοῦτο, πτύων διὰ παντὸς ὑπόπυον ἐνόσει, ἀλλὰ τὰ ἄλλα ἐκρίθη, καὶ κατὰ οὖς ἐῤῥάγει πῦον πολὺ περὶ ὀγδόην ἢ ἐνάτην. αἱ δ' ἀρχαὶ τῆς ἐνάτης, ὀδύνης τοῦ ὠτός. οὐκ οἶδ' ὅπως ἄνευ ῥίγεος ἡ κρίσις. ἵδρωσε κεφαλὴν κάρτα, καὶ οὗτος ἐμπεδοτίμη ξύγκαυσις καὶ ἀριστεροῦ πλευροῦ. ἄνω ἅμα ὠτὶ, ἀνωδύνη μάλιστα [160] κατ' ὠμοπλάτην, ἀτὰρ καὶ ἔμπροσθεν πτύαλα πολλὰ, κατ' ἀρχὰς (699) πτυέντα ἀνθηρὰ καὶ ἀμφὶ ἑβδόμην ἢ ὀγδόην. ἔπειτα ἐπίπονα. κοιλίη ἐστήκει μέχρις ἀμφὶ ἐνάτην καὶ δεκάτην. ἡ ὀδύνη ἀπέσβη. οἴδημα ἀνίει καὶ ἱδρώτια ἐγένετο. οὐ μὴν ἔκρινε. δῆλα δὲ ἦν καὶ ἄλλοισι καὶ τῇ ἐξόδῳ. περὶ γὰρ ἀρχομένην τὴν τοῦ ὠτὸς ὀδύνην καὶ ἡ γαστὴρ ἐπεταράχθη. ἐῤῥάγει δὲ ἐκ τοῦ ὠτὸς ἐνάτῃ καὶ ἐκρίθη τεσ-

Zoilo, qui ad murum habitabat, ex matura tuſſi febris acuta ſuborta eſt et faciei rubor, alvusque intercepta nil niſi coacte reddebat. Lateris ſiniſtri et auris quae e directo erat, magnus dolor. Caput vero non ita dolebat. Purulentum quodammodo expuebat ſemperque aegrotabat, alioqui caetera judicata ſunt, et ad octavum aut nonum diem ex aure pus multum erupit, ad noni diei initia auris dolor ceſſavit, atque haud ſcio quomodo ſine rigore judicatio conſecuta eſt. Caput valde ſudavit, aurisque et lateris ſiniſtri ſtabilis erat quidam ardor. Superne una cum aure ad ſcapulas praecipue dolor ſedatus eſt. Sed et prius ſputa multa rejecta ſunt, quae ad expuitionis initia et circa ſeptimum aut octavum diem florida erant, deinde vero laborioſa. Alvus ſubſtitit ad nonum et decimum diem, dolor extinctus eſt et tumor remittebat, ſudoresque parvi fiebant, qui neque tamen decernebant, ut ex ſeceſſibus ipſis aliisque ſatis manifeſtum fuit. Incipiente enim auris dolore, alvus perturbata eſt. Nono autem die ex aure pus erupit, judicatusque eſt morbus absque rigore decimo-

Ed. Chart. IX. [160.] Foëſ. II. 1023—1025. Ed. Lind. I. (699.)
σαρεσκαιδεκάτῃ ἄνευ ῥίγεος ἡ νοῦσος τῇ αὐτῇ ἡμέρῃ· ἀτὰρ καὶ τὸ πτύελον λαυρότερον εἴη, ἐπεὶ τὸ οὖς ἐῤῥάγει καὶ || πειρότερον. ἱδρῶτες δὲ καὶ ἕρπητα ἐπὶ πολὺν χρόνον τῆς κεφαλῆς ἐγίνοντο, ἐξηράνθη ὡς τρίτῃ. ὁπόσα ἀσήμως ἀφανίζεται δύσκριτα καὶ οἷον τῇ τοῦ Πολεμάρχου παιδίσκῃ ἐρυσίπελας.

|| Οἱ ἐπὶ βουβῶσι πυρετοὶ κακὸν πλὴν τῶν ἐφημέρων, καὶ οἱ ἐπὶ πυρετοῖσι βουβῶνες κακίονες ἐν τοῖσιν ὀξέσιν ἐξ ἀρχῆς παρακμάσαντες. τὰ πνεύματα ὑποχονδρίοισιν ἔπαρσις μαλθακὴ καὶ ἔντασις οὐδετέρῃ. ἐπ᾽ αὐτῶν ἄνω στρογγύλον, ἐν τοῖσι δεξιοῖσι οἷον περιφέρεια ἀποπυητική. ἄλλο μακρότερον ἐπὶ πλέον. ἄλλο κεχυμένον, ἄλλο κάτω ῥέπον καὶ ἔνθεν καὶ ἔνθεν ξύντασις μέχρι τοῦ ὀμφαλοῦ. ἐν πάσῃ τῇ ἄνω ἴξει, ἣν ἐπανάληται καὶ ἐπίληπται ἐς τὸ περιφερὲς, ἢν μὲν πνεῦμα ᾖ, ἀκρίτως λεπτύνεται θέρμῃ. ἢν δὲ τοῦτο διαφύγῃ, ἐς ἐμπύησιν ὁρμᾷ. πυκνὰ πνεύματα, σμικρὰ, μεγάλα,

quarto eodemque ipſo die. Quin et ſputum copioſius et coctum magis procedebat, ubi pus ex aure liberius effluxit. Sudores autem et ſerpentia ulcera longo poſtea intervallo in capite fiebant, quae tertio die exiccata ſunt. Quaecunque absque judicationis ſignificatione diſparent, male decernunt velut in eryſipelate, quod Polemarchi ancillae contigit, videre ſatis licuit.

Febres ex glandularum tumoribus ortae praeter diarias malae. Sed et glandularum tumores, qui in febribus accidunt, deteriores ſunt, ſi in acutis ſtatim quidem remiſerint. Qui flatibus conflictatur cum molli praecordiorum tumore et neutrius lateris contenſione, iis ſuperne in dextris rotundum quiddam ac veluti circumferentia aliqua pure plena. Quod modo valde extenſum eſt, modo vero diffuſum, interdum etiam deorſum vergit, et utrimque ad umbilicum contenſionem facit. Si flatus in ea quae ſurſum fit in directum latione, in rotundum quiddam concludatur, et velut comprehendatur, absque judicatione calore attenuatur. Quod ſi illud effugerit, ad ſuppurationem fertur. Spiratio frequens,

ἀραιά. ἔξεισιν, ἔξω μέγα, ἔσω σμικρόν. τὸ (700) μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν ἐν θερμῷ ψυχρόν. ἰητήριον συνεχέων χασμέων, μακρόπνους· τοῖσιν ἀπότοισι καὶ μόγις μικρόπνους.

[165] || Κατ' ἴξιν, καὶ πλευρῶν ἔντασις ὀδυνώδης καὶ ἐντάσιες ὑποχονδρίων καὶ σπληνὸς ἐπάρσιες, ἐκ ῥινῶν ῥήξιες. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν ὑποστροφώδεα. τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ, αἱμοῤῥαγίη γίνεται. ὑποχονδρίου δεξιοῦ ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα, αὕτη γὰρ ἡ κατάληψις ἀμφοῖν καὶ ὑποστροφαί. ἀποστάσιας οὖν ποιέεσθαι αὐτὸν ἡγεύμενον. τὰς δὲ παρακλίνειν ἤδη γινομένας ἀποδέχεσθαι, ἢν ἴωσιν ἤδη, καὶ ὁποῖα δεῖ, καὶ ὁπόσα. μὴ ξυνδρᾷν δέ, τὰς δ' ἀποτρέπειν, ἢν πάντη ἀσύμφοροι ἔωσι. μάλιστα δὲ ταύτας μελλούσας. εἰ δὲ μὴ,

parva, magna, rara: foras magna procedit, intro parva. Haec quidem protensa, illa vero urgens. Duplicata intro revocatio, qualis superspirantibus: calida item et frigida. Oscitationes assiduas longa spiratio sanat. Iis qui non bibunt aut ne vix quidem, brevis spiratio plurimum confert.

Secundum directionem laterum et praecordiorum contensiones laboriosae, tum vero lienis tumores et sanguinis e naribus eruptiones fieri debent. Quae post judicationem relinquuntur, recidivas facere solent. Primum igitur in lienum tumoribus, nisi in articulos desinant vel sanguinis e naribus eruptio, vel praecordii dextri contensio fiet, nisi si urinae irruperint et viam quodammodo sibi fecerint. Sunt enim velut utrorumque interceptio. Atque sic quidem merito horum recidivae fient. Haec igitur perpendentem abscessus procurare conveniet, si non fiant: quosdam vero qui jam fiunt, declinare: quosdam etiam qui qua et qualiter oportet prodierint, recipere. Qui vero ne abunde quidem prodeunt, coadjuvandi sunt: quidam etiam qui prorsus sunt incommodi, avertendi, utque eo maxime si nullam adhuc sui significationem edidere, sed futuri sint, alioqui vero cum adhuc rude habuerint initium. Sanguinis e naribus eru-

Ed.Chart.IX.[165.169.] Foëf.II.1027.1028. Ed. Lind.I.(700.701.)

ἄρτι ἀρχομένας αἱ τεταρταῖαι αἱμοῤῥαγίαι δύσκριτοι. οἱ διαλείποντες μίαν τῇ ἑτέρῃ ἐπιῤῥίγευσιν ἅμα κρίσει ἐς ἑβδόμην.

[169] || Σκόπῳ ἐκ κορυζοδέων, χολωδέων καὶ φάρυγγος φλεγμονῆς φλαύρως διαιτηθέντι, ἡ κοιλίη ἀπελήφθη καὶ πυρετὸς συνεχὴς ἐγένετο καὶ γλῶσσα εὐανθὴς καὶ ἄγρυπνος. ἥτρου ἔντασις ἰσχυρῶς ὁμαλῶς κατὰ σμικρὸν ἐς τὸ κάτω ἐν τοῖσι δεξιοῖσι πνεῦμα ὑπόπυκνον, ὑποχόνδρια ἤλγει καὶ ἀναπνέων καὶ στρεφόμενος. ἄνευ δὲ βηχὸς ἀνεχρέμπτετο. ὑπὸ παχέος πέπλος δοθεῖσα, (701) ἀπὸ τοῦ ὑποχονδρίου μὲν ὤνησεν. ἐπεραιώθη δὲ οὐδέν. τῇ δὲ ὑστεραίῃ βάλανοι δύο προστεθεῖσαι οὐκ ἐφάνησαν. οὖρον δὲ παχὺ καὶ θολερὸν, λείη καὶ ὁμαλὴ, καὶ ἔστη κοιλίη ἐν θολερότητι, ἥ τε γαστὴρ μαλακωτέρη ἦν καὶ σπλὴν ἐπηρμένος καὶ κατώῤῥοπος ἐγένετο. ποτῷ ἐχρῆτο ὀξυγλύκει. δεκάτη, αἷμα ἐξ ἀριστεροῦ ὑδαρὲς ὀλίγον ἦλθεν. οὐ πάνυ δέ τι ὤῤῥωστος αὐτὸ τοῦτο, καὶ οὔ-

[*Aeger ſeptimus.*] Quae apud Ariſtionem erat et angina conflictabatur, primum ex lingua laborare coepit. Vox obſcure ſe prodebat, lingua rubens et reſiccata erat. Primo

Ed.Chart.IX.[235.242.] Foes.II.1075—1077. Ed.Lind.I.(718.719.)

ἐπεθερμάνθη. γ ῥῖγος, πυρετὸς ὀξὺς, οἴδημα ὑπέρυθρον, σκληρόν. τραχήλου καὶ ἐπὶ στῆθος ἐξ ἀμφοτέρων, ἄκρεα ψυχρὰ, πελιδνὰ, πνεῦμα μετέωρον, ποτὸν διὰ ῥινῶν ἐχεῖτο. καταπίνειν οὐκ ἠδύνατο, τὰ διαχωρήματα καὶ οὖρα ἐπέστη. δ πάντα παρωξύνθη. ε ἀπέθανε κυναγχική. $\frac{o}{M}$. Δ. Ε. Ε. Θ.

[242] || [Ἄῤῥωστος ὄγδοος.] Τὸ μειράκιον, ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων καὶ πόνων καὶ δρόμων παρὰ τὸ ἔθος. τῇ α κοιλίη ταραχώδης, χο(719)λώδεσι, λεπτοῖσιν, πολλοῖσιν, οὖρα λεπτὰ, ὑπομέλανα, οὐχ ὕπνωσε, διψώδης. β πάντα παρωξύνθη, διαχωρήματα πλείω ἀκαιρότερα. οὐχ ὕπνωσε, τὰ τῆς γνώμης ταραχώδεα, σμικρὰ ὑφίδρωσε. γ δυσφόρως, διψώδης, ἀσώδης, πουλὺς βληστρισμὸς, ἀπορίη, παρέκρουσεν, ἄκρεα πελιδνὰ καὶ ψυχρὰ, || ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. δ οὐχ ὕπνωσεν, ἐπὶ τὸ χεῖρον. ζ ἀπέθανεν, ἡλικίαν περὶ ἔτεα κ $\frac{o}{M}$. Ξ. Ζ. Θ.

die horruit, incaluit. Tertio rigor, febris acuta prehendit, colli tumor fubruber, durus et in pectus utraque ex parte imminebat, extrema frigida, livida, fpiratio fublimis, potus per nares refluebat neque devorare quicquam poterat, dejectiones et urinae reftiterunt. Quarto exafperata funt omnia. Quinto angina periit.

[*Aeger octavus.*] Qui ad mendacium forum decumbebat adolefcens, ex laffitudinibus, laboribus ac curfibus praeter confuetudinem igne, hoc eft febre vehementiffima, correptus eft. Primo die conturbata alvus, biliofa, tenuia multa reddidit. Urinae tenues et nigricantes erant, fomnum non cepit, fitibundus fuit. Poftridie exafperata funt omnia, dejectiones plures erant et importuniores, neque dormivit, mens perturbata fuit, aliquantulum infudavit. Tertio inquiete habuit, fitibundus, naufeabundus, multa corporis jactatio et anguftia, extrema livida et frigida, praecordiorum contenfio fubmollis utrinque. Quarto fomnum non cepit, pejus habuit, feptimo obiit. Aetas erat annorum prope viginti.

[247] [Ἄῤῥωστος ἔνατος.] Ἡ παρὰ Τισαμένου γυνὴ κατέκειτο, ᾗ τὰ εἰλεώδεα δυσφόρως ὥρμησεν. ἔμετοι πολλοί, τὸ ποτὸν κατέχειν οὐκ ἠδύνατο. πόνοι περὶ ὑποχόνδρια, καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην πόνοι. στρόφοι ξυνεχέες, οὐ διψώδης, ἐπεθερμαίνετο, ἄκρεα ψυχρὰ διὰ τέλεος. ἀσώδης, ἄγρυπνος, οὖρα ὀλίγα, λεπτά. διαχωρήματα ὠμὰ, λεπτὰ, ὀλίγα. ὠφελέειν οὐκ ἔτι ἠδύνατο, ἀπέθανεν.

[248] || [Ἄῤῥωστος δέκατος.] Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου τῶν περὶ Παντιμίδην τῇ α πῦρ ἔλαβεν. ἡ γλῶσσα ἐπίξηρος, διψώδης, ἄγρυπνος. κοιλίη ταραχώδης λεπτοῖσι, πολλοῖσι, ὠμοῖσι. β ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς ἀπὸ κοιλίης, οὐχ ὕπνωσε πολλά. τρίτη μείζους οἱ πόνοι· τετάρτη παρέκρουσεν· ἑβδόμῃ ἀπέθανεν. ἡ κοιλία διὰ παντὸς ὑγρὴ, διαχωρήμασι πολλοῖσι, λεπτοῖσιν, ὠμοῖσιν, οὖρα ὀλίγα λεπτά, πυρετὸς καῦσος.

[*Aeger nonus.*] Mulier ad Tisamenum molestis volvuli casibus appetita fuit, multis vomitionibus conflictabatur, potum continere non poterat. Dolores circa praecordia aderant, qui in inferioribus secundum ventrem locis cum torminibus assiduis urgebant. Non sitiebat, incalescebat, extrema perpetuo frigescebant, stomachi fastidio laborabat, vigil erat. Urinas paucas, tenues reddidit. Alvi recrementa cruda, tenuia, pauca. Nil amplius juvare poterat, defuncta est.

[*Aeger decimus.*] Ex his quae circa Pantimiden erant, mulier quaedam ex infantuli foetus abortione, primo die igne, hoc est febre vehementissima, correpta est. Lingua resiccata, siticulosa erat, aestuabunda cum insomnia. Alvus conturbata ex multis tenuibus et crudis. Postridie novo oborto rigore febris acuta prehendit, venter multa reddidit, non dormivit. Tertio die inaugebantur dolores: quarto deliravit, septimo defuncta est. Alvus per totum morbum recrementis multis tenuibus, crudis fluxit, urinae paucae, tenues erant. Febris ardens.

[250] || (720) [Ἄῤῥωστος ἑνδέκατος.] Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον πῦρ ἔλαβεν. ἀρχομένη δὲ κωματώδης ἦν, καὶ ἄγρυπνος πάλιν, ὀσφύος ὀδύνη, κεφαλῆς βάρος. β κοιλίη ἐπεταράχθη, ὀλίγοισι, λεπτοῖσιν, ἀκρήτοισι τὸ πρῶτον. τρίτη πλείω, χείρω, νυκτὸς οὐκ ἐκοιμήθη. τετάρτη παρέκρουσε, φόβοι, δυσθυμία, δεξιῷ ἴλλαινε, ἵδρωσε περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, ἄκρεα ψυχρά. παρωξύνθη, πολλὰ παρέλεγε, καὶ πάλιν ταχὺ κατενόει. ἄδιψος, ἄγρυπνος, κοιλίη πουλλοῖσιν ἀκαίροισι διὰ τέλεος. οὖρα ὀλίγα, λεπτὰ, ὑπομέλανα, ἄκρεα ψυχρὰ ὑποπέλιδνα. ἕκτη διὰ τῶν αὐτῶν. ἑβδόμη ἀπέθανε φρενιτιαῖα.

[252] || [Ἄῤῥωστος δωδέκατος.] Γυναῖκα, ἥτις κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τότε τεκοῦσαν πρῶτον ἐπιπόνως ἄρσεν, πῦρ ἔλαβεν. αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίην ὑπήλγει. γλῶσσα ἐπίξηρος, κοιλίη ἐπεταράχθη λεπτοῖσιν

[*Aeger undecimus.*] Alteram ex abortivo foetu circiter quintum menſem ignis, hoc eſt febris vehementiſſima, prehendit. Per exordia vero ſopore rurſusque inſomnia detinebatur cum lumborum dolore et capitis gravitate. Secundo die alvus turbata eſt, primumque pauca, tenuia et ſincera dejecit. Tertio plura et pejora, nocte nihil dormivit. Quarto mens emota fuit, metus atque animi aegritudo inerat, dexter oculus perverſus eſt, ſudor paucus et frigidus circa caput dimanavit, extremitates frigidae. Quinto exaſperata ſunt omnia, multum deliravit confeſtimque rurſus ad intelligentiam rediit, ſiticuloſa erat, inſomnis. Alvus per totum morbum multis et intempeſtivis fluxit. Urinae paucae, tenues, nigreſcentes erant: extrema frigida, ſublivida. Sexto eadem perſeverarunt. Septimo phrenitide extincta eſt.

[*Aeger duodecimus.*] Quae in mendacium foro decumbebat, tum primum laborioſe maſculum enixa, igne, hoc eſt febre vehementiſſima, correpta eſt. Statim per exordia ſitibunda, ex ſtomachi faſtidio et oris ventriculi dolore laborabat, lingua reſiccata erat, alvus tenuibus, paucis perturbata fuit, neque ſomnum cepit. Poſtridie novo ali-

Ed. Chart. IX. [252.] Foës. II. 1080. Ed. Lind. I. (720. 721.)
ὀλίγοισιν, οὐχ ὕπνωσε. β σμικρὰ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, μικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. γ ἐπιπόνως ἀπὸ κοιλίας ὠμὰ, λεπτὰ, πολλὰ διῄει. δ ἐπεῤῥίγωσε, πάντα παρωξύνθη, ἄγρυπνος. ε ἐπιπόνως. στ διὰ τῶν αὐτῶν. ἀπὸ κοιλίης δὲ ἦλθε ὑγρὰ πολλά. ζ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, δίψα πουλλὴ, βληστρισμὸς, περὶ δείλην ἵδρωσε δι᾽ ὅλου ψυχρῷ. ψύξις, ἄκρεα ψυχρὰ, οὐκ ἔτι ἀνεθερμαίνετο, καὶ πάλιν εἰς νύκτα ἐπεῤῥίγωσεν. (721) ἄκρεα οὐκ ἀνεθερμαίνοντο, οὐχ ὕπνωσε, σμικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. η περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης, ἤμεσε χολώδεα, μικρὰ ὑπόξανθα. νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, οὔρησε πουλὺ ἀθρόον οὐκ εἰδυῖα. θ ξυνέδωκε πάντα κωματώδης. πρὸς δείλην σμικρὰ ἐπεῤῥίγωσεν, ἤμεσε μικρὰ χολώδεα. ι ῥῖγος, πυρετὸς παρωξύνθη, οὐχ ὕπνωσεν οὐδὲν, πρωῒ οὔρησε πουλὺ ὑπόστασιν ἔχον, ἄκρεα ἀνεθερμάνθη. ια ἠμε-

quantulum ſuborto rigore ſebris acuta prehendit, modicus circa caput ſudor frigidus dimanavit. Tertio non ſine dolore ab alvo cruda, tenuia, multa demiſſa ſunt. Quarto novus obortus eſt rigor, exaſperata ſunt omnia, pervigil fuit. Quinto moleſte habuit. Sexto eadem perſeverarunt. Ex alvo vero liquida multa ſeceſſere. Septimo novo ſuborto rigore ſebris acuta corripuit, ſitis multa aderat et incontinens corporis jactatio. Ad veſperam frigidus toto corpore diffuſus eſt ſudor, perfrixit, extremorum frigus, quae nec jam ad calorem revocari poterant. Iterumque ſub noctem oborto rigore extrema non recaleſcebant, neque dormivit, aliquantulum deliravit, confeſtimque rurſus ad intelligentiam rediit. Octavo circa meridiem recaluit, ſitivit, ſopore oppreſſa fuit, nauſeabunda. Bilioſa, pauca, nonnihil flava vomitione refudit, nox inquies, non dormivit, multum confertas urinas reddidit, idque non ſentiens. Nono remiſſa ſunt omnia, ſopore detenta eſt, ad occaſum ſuborto aliquantulum rigore, pauca, bilioſa vomuit. Decimo rigor, febrilis inſultus, neque quicquam quievit. Mane urinam multam, in qua nulla ſubſidentia inerant, reddidit, extrema

σεν ἰώδεα, χολώδεα. ἐπεῤῥίγωσεν οὐ μετὰ πουλὺ, καὶ πάλιν ἄκρεα ψυχρὰ, ἐς δείλην ἱδρὼς, ῥῖγος, ἤμεσε [253] πολλὰ, νύκτα ἐπιπόνως. ιβ ἤμεσε πολλὰ μέλανα, δυσώδεα, λυγμὸς πουλὺς, δίψος ἐπιπόνως. ιγ μέλανα, δυσώδεα, πουλλὰ ἤμεσε. ῥῖγος, περὶ δὲ μέσον ἡμέρης ἄφωνος. ιδ αἷμα διὰ ῥινῶν, ἀπέθανε. ταύτῃ διὰ τέλευς κοιλίη ὑγρὴ, φρικώδης. ἡλικίη περὶ ἔτεα ιζ.

[254] || ΤΜΗΜΑ ΤΡΙΤΟΝ. [Κατάστασις λοιμώδης.] Ἔτος νότιον ἔπομβρον. ἄπνοια διὰ τέλεος. αὐχμῶν δὲ γενομένων, τοὺς ὑπόπροσθεν χρόνους ἐπ' ἐνιαυτόν. ἐν νοτίοισι περὶ ἀρκτοῦρον, ὕδατα πουλλά. || φθινόπωρον, σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθεα. χειμὼν νότιος, ὑγρὸς, μαλακὸς, μετὰ δὲ ἡλίου τροπὰς, ὕστερον πολλῷ πλησίον ἰσημερίης ὀπισθοχειμῶνες, καὶ ἤδη περὶ ἰσημερίην βόρεια, χιονώδεα, (722) οὐ πολὺν χρόνον. ἦρ πάλιν νότιον ἄπνοον. ὕδατα

recaluerunt. Undecimo vomuit virulenta, biliofa, non ita multo poft rigore correpta eft, rurfusque extrema frigefcebant. Sub occafum fudor, rigor, vomuit multum, noctem molefte tulit. Duodecimo multa, nigra, foetida vomuit, fingultus multus adfuit et fitis molefta. Decimo tertio rigore correpta, nigra, graveolentia, multa vomitu effudit. Circa meridiem vero voce defecta eft. Decimo quarto fanguis per nares effluxit, defuncta eft. Huic per totum morbum alvus lubrica et horroris fenfus adfuit. Aetas erat annorum fere feptendecim.

SECTIO TERTIA. [*Status Peftilens.*] Annus auftrinus, imbribus abundans, atque in totum a ventis tranquillus fuit. Quum autem paulo fuperioribus anni temporibus, jufto majores ficcitates viguiffent, fub arcturum fpirantibus auftris multum pluit. Autumnus obfcurus, nebulofus, cum aquarum abundantia, hiems auftrina, humida et levis. Longo vero poft folis converfionem intervallo, juxta aequinoctium, extrema hiemis frigora adfuerunt, jamque fub aequinoctium ipfum aquilonares venti cum nivibus non ita diu fpiravere. Ver rurfus auftrinum, a flatibus quietum, aquae multae et continentes ad canem usque. Ae-

πολλὰ διὰ τέλεος μέχρι κυνὸς, θέρος αἴθριον, θερμὸν, πνίγεα μεγάλα. ἐτήσιά γε σμικρὰ διεσπασμένως ἔπνευσαν. πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά. γενομένου δὲ τοῦ ἔτεος νοτίου καὶ ὑγροῦ καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα διῆγον ὑγιηρῶς, πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται.

[260] || Πρωῒ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν ἐρυσιπέλατα πολλὰ, τοῖσι καὶ μετὰ προφάσιος, τοῖσι δ᾽ οὔ· κακοήθεα πολλοὺς ἔκτειναν. πολλοὶ φάρυγγας ἐπόνησαν. φωναὶ κακούμεναι, καῦσοι φρενιτικοὶ, στόματα ἀφθώδεα, αἰδοίοις φύματα, ὀφθαλμίαι, ἄνθρακες, κοιλίαι ταραχώδεες, ἀπόσιτοι, διψώδεες, οἱ μὲν, οἱ δ᾽ οὔ. οὖρα ταραχώδεα, πουλλὰ κακά. κωματώδεες, ἐπὶ πουλὺ καὶ πάλιν ἄγρυπνοι. ἀκρασίαι πουλλαὶ, δύσκριτα, ὕδρωπες, φθινώδεες πουλλοί. τὰ μὲν ἐπιδημήσαντα νουσήματα ταῦτα. ἑκάστου δὲ τῶν ὑπογεγραμμένων εἰδῶν ἦσαν οἱ κάμνοντες καὶ ἔθνησκον πολλοί. ξυνέπιπτε δὲ ἐφ᾽ ἑκάστοισι τουτέων ὧδε. πολ-

ſtas ſerena, calida, aeſtus praeſocantes magni. Anniverſarii venti, eteſias vocant, pauci disjunctim ſpiravere. Sub arcturum rurſus ſpirantibus aquilonibus aquae multae. Exiſtente igitur anno auſtrino, humido et leni, hieme quidem ſalubriter agebant praeter tabidos, de quibus mox ſcribetur.

Ante ver autem una cum frigoribus conſecutis ignes ſacri plurimi, partim quidem aliqua de cauſa, partim quidem ſine ea contingebant, atque hi maligni quidem multos ſuſtulerunt. Multi ex faucibus laborabant, voces vitiatae erant, febres ardentes una cum phrenitide, ſerpentia oris ulcera, pudendorum tubercula, lippitudines, carbunculi. Alvi perturbatae, cibos averſabantur et hi quidem partim ſiticuloſi, partim ſine ſiti erant. Urinae turbulentae, multae, malae reddebantur. Sopore ut plurimum detinebantur, rurſusque pervigiles. Morborum ſolutiones prorſus nullae partimque difficiles, aquae inter cutem, tabidi multi. Atque hi quidem morbi populariter vulgabantur. Ex enumeratorum autem generum unoquoque laborabant multi et

λοῖσι μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος ἐπὶ τοῖσι τυχοῦσι καὶ πάνυ ἐπὶ σμικροῖσι τρωματίοισιν, ἐφ' ὅλῳ τῷ σώματι. μάλιστα δὲ τοῖσι περὶ ξ ἔτεα. περὶ κεφαλὴν, εἰ καὶ σμικρὸν ἀμεληθείη. πολλοῖσι δὲ καὶ ἐν θεραπείῃ ἐοῦσι μεγάλαι φλεγμοναὶ ἐγίνοντο, καὶ τὸ ἐρυσίπελας πολὺ, ταχὺ πάντοθεν ἐπενέμετο. [265] τοῖσιν μὲν οὖν πλείστοισιν αὐτῶν ἀποστάσιες ἐς ἐμπυήματα συνέπιπτον. σαρκῶν καὶ νεύρων καὶ ὀστέων (723) ἐκπτώσιες μεγάλαι. ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ ξυνιστάμενον οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη καὶ ῥεῦμα πουλὺ καὶ ποικίλον. οἷσι μὲν οὖν περὶ κεφαλὴν τουτέων τι ξυμπίπτει γίνεσθαι, μαδίσιές τε ὅλης τῆς κεφαλῆς ἐγίνοντο καὶ τοῦ γενείου, καὶ ὀστέων ψιλώματα καὶ ἐκπτώσιες, καὶ πολλὰ ῥεύματα. ἐν πυρετοῖσί τε ταῦτα καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα ἢ κακίω. οἷσι γὰρ ἐς ἐμπύημα ὁ τῶν τοιούτων ἀφίκοιτο πεπασμὸς, οἱ πλεῖστοι τούτων ἐσώζοντο. οἷσι δὲ ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας

moriebantur plurimi, eorumque singulis hunc in modum accidit. Multis certe ignis sacri occasio ex contemnendis valdeque parvis ulcusculis toto corpore oblata est, praecipue vero sexagenariis circum caput, vel si quid paululum negligeretur. Nonnullis autem etiam inter curationes ipsas magnae inflammationes contingebant, multusque ignis sacer celeriter ubique populabatur. Horum igitur plurimis abscessus ad suppurationes vertebant, carniumque et ossium ac nervorum ex decidentia mutilationes magnae fiebant. Neque vero contracta fluxio puri erat affinis, sed aliud quoddam putredinis et fluxionis multae ac variae genus. Quibus itaque circa caput hujusmodi aliquid contigit, totius capitis et menti glabrationes, ossiumque denudationes et prolapsus acciderunt, multaeque fluxiones fiebant istaque partim in febribus, partim sine his aderant. Atque haec terrorem potius quam periculum denunciabant. Quibus namque talium maturatione res ad suppurationem devenit, eorum plerique superstites evadebant. At vero quos inflammatio quidem sacerque ignis reliquerat, nullumque

ἀπέλθοι, τοιαύτην δὲ ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τούτων ἀπόλλοιντο πουλλοί. ὁμοίως δὲ καὶ ὅποι ἄλλῃ τοῦ σώματος πλανηθῇ, ξυνέπιπτε ταῦτα. πολλοῖσι μὲν γὰρ βραχίων καὶ πῆχυς ὅλος περιεῤῥύη. οἷσι δ' ἐπὶ τὰ πλευρὰ ταῦτα ἐκακοῦτο ἢ τῶν ἔμπροσθέν τι ἢ τῶν ὄπισθεν. οἷσι δὲ ὅλος ὁ μηρὸς ἢ τὰ περικνήμια ἐψιλοῦτο καὶ πούς ὅλος. [266] ἦν δὲ πάντων χαλεπώτατον τῶν τοιούτων, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γενοίατο, καὶ τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα. πολλοῖσι δὲ ἐν πυρετοῖσι καὶ πρὸ πυρετοῦ καὶ ἐπὶ πυρετοῖσι ξυνέπιπτεν. ἦν δὲ καὶ τούτων ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐκπυῆσαι ἢ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελύσθαι. οἷσι δὲ μηδὲν τούτων ξυμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων θανατώδεα γίνεσθαι. πολὺ μὲν οὖν τοῖσι πλείστοισι ξυνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος. παρείπετο δὲ καὶ διὰ τοῦ θέρεος καὶ ὑπὸ φθινόπω(724)ρον. πολλὴ δὲ ταραχὴ

hujusmodi abscessum creaverat, ii frequentes periere. Similiter quoque et quacunque corporis parte oberrarunt, ista contigerunt. Multis si quidem brachium ac cubitus totus defluebat. Nonnullis vero ista latera male vexabant, aut anteriorum aut posteriorum aliquid. Est ubi etiam foemur integrum, aut tibia, aut pes totus denudabantur. Horum autem omnium gravissime urgebant quae circum pubem pudendaque contingebant. Atque ea quidem fuit eorum quae cum ulcere aut occasione aliqua externa contigerunt conditio. Multis autem una cum febribus ipsis aut ante febrem, atque etiam post febres ipsas inciderunt. Illud vero ipsis inerat, ut quaecunque per suppurationem abscederent, si vel insignis aliqua alvi perturbatio, aut probarum urinarum transmissio extitisset, per ea ipsa solutio procederet: sin quibusdam nihil horum contigisset, temereque et sine ulla solutionis significatione evanescerent, ea mortem inferebant. Longe igitur plurimos sacer ignis vere appetivit, qui et per aestatem et sub autumnum consequebatur. Magna vero perturbatio quibusdam inerat et ac

τισι καὶ τὰ περὶ τὸν φάρυγγα φύματα, καὶ φλεγμοναὶ γλώσσης, καὶ τὰ παρ' ὀδόντας ἀποστήματα. φωναί τε πολλοῖσιν ἐπεσήμαινον κακούμεναι καὶ κατατίλλουσαι, πρῶτον μὲν φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσι καὶ τοῖσι φρενιτικοῖσιν.

[270] || Ἤρξαντο μὲν οὖν οἱ καῦσοι πρωῒ τοῦ ἦρος καὶ τὰ φρενιτικὰ μετὰ τὰ γενόμενα ψύχεα, καὶ πλεῖστοι τηνικαῦτα διενόσησαν. ὀξέα δὲ τούτοισι καὶ θανατώδεα ξυνέπιπτεν. ἦν δὲ ἡ κατάστασις τῶν γενομένων καύσων ὧδε. ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες, πυρετὸς ὀξὺς, οὐ διψώδεες λίην. οὐ παράληροι. ἀπὸ ῥινῶν ἔσταξε μικρὰ, οἱ παροξυσμοὶ τοῖσιν πλείστοισιν ἐν ἀρτίῃσι. περὶ δὲ τοὺς παροξυσμοὺς λήθη καὶ ἄφεσις καὶ ἀφωνίη. ἄκρεά τε τούτοισιν ἀεὶ μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν, πουλὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα. πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο, καὶ πάλιν κατενόουν καὶ διελέγοντο. κατεῖχε δὲ ἢ τὸ κῶμα ξυνεχὲς, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἀγρυ-

fauces tubercula, linguaeque inflammationes et quae secundum dentes abscederent. Multisque vocis vitiatae et praeditae facta est significatio, potissime quidem his qui tabescere coepissent, atque etiam febre ardente detentis et phreniticis.

Coeperunt itaque febres ardentes et phrenitides ante ver, post ea quae praecesserunt frigora, plurimique tunc diu aegrotarunt, gravibusque et lethalibus casibus conflictati sunt. Erat autem febrium ardentium quae obvenerant constitutio hujusmodi. Per initia sopore detinebantur cum stomachi fastidio et horroris sensu, febris acuta, neque magnopere sitiebant aut delirabant. Ex naribus paucus stillavit sanguis. Plurimos accessiones diebus paribus invadebant. Atque sub ipsas accessiones oblivio, membrorum exolutio et vocis defectio contingebant. His quidem pedes summi et manus frigidiores evadebant, multoque maxime circa accessiones, deinde vero lente nec probe recalescebant, rursusque ad intelligentiam redibant et loquebantur. Eos autem aut perpetuus sopor non somnolentus detine-

πνοι. [274] κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσι, πολλοῖσι. οὖρα πολλὰ, λεπτά. κρίσιμον οὐδὲ χρηστὸν οὐδὲν ἔχοντα. οὐδὲ ἄλλο κρίσιμον οὐδὲν τοῖσι οὕτως ἔχουσιν ἐγένετο, οὔτε γὰρ ἡμοῤῥάγει καλῶς οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγίνετο κρίσιμος. ἔθνησκόν τε ἕκαστος, ὡς τύχοι πεπλανημένως τὰ πολλὰ, περὶ τὰς κρίσιας, ἐκ πολλοῦ (725) δέ τινες ἄφωνοι. ἱδρῶντες πολλοί. τοῖσι μὲν ὀλεθρίως ἔχουσι ξυνέπιπτε ταῦτα. παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. ἄδιψοι δὲ πάνυ οὗτοι ἦσαν. οὐδ᾽ ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ᾽ ἄλλοισιν. ἀλλ᾽ ἄλλῃ τινὶ καταφορῇ κακῇ νωθρῇ, βαρέως ἀπώλλοντο. ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ περὶ ὧν γεγράψεται. στόματα πολλοῖσιν ἀφθώδεα, ἑλκώδεα. ῥεύματα περὶ τὰ αἰδοῖα πολλά. ἑλκώματα, φύματα, ἔξωθεν, ἔσωθεν. τὰ περὶ βουβῶνας. [277] ὀφθαλμίαι ὑγραὶ, μακραὶ, χρόνιαι μετὰ πόνων, ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν. πολλῶν φθείροντες

bat, aut vigiliae cum laboribus. Horum plerisque alvus retrimentis crudis, tenuibus, multis turbabatur. Urinae multae, tenues, neque judicatorii neque boni quicquam habebant. Neque aliud quicquam in ita affectis decernebat, neque enim rite ſanguis e naribus profluebat, neque aliud quicquam eorum quae abscedere nata ſunt judicatione tentabatur, moriebaturque unusquisque, uti ſors ferebat, vago et incerto ordine, plerumque circa judicationes, quidam vero longius producti cum vocis defectione, nonnulli etiam cum ſudoribus. Quae quidem his qui perniciose haberent contingebant. Quin et ſimilia phreneticis fiebant. Atque hi omnino ſine ſiti erant. Neque phreniticorum quispiam vehementer inſanivit, ſicut in caeteris uſuvenire ſolet, ſed ex mala alia quadam et languida in ſomnum degravatione graviter peribant. Aliae inſuper etiam febres viguerunt, de quibus mox ſcribetur. Multis os ſerpentibus ulceribus affectum ulceroſumve fuit, fluxiones ad pudenda multae, exulcerationes, tubercula intus et extra circum inguina. Lippitudines humentes, longae, diuturnae, non ſine doloribus, palpebris foris et intus adnaſcebantur

τὰς ὄψιας, ἃ σῦκα ἐπονομάζουσιν. ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλὰ καὶ αἰδοίοισιν. ἄνθρακες πολλοὶ κατὰ θέρος, καὶ ἄλλα ἃ σήψ καλέεται. ἐκθύματα μεγάλα. ἕρπητες πολλοῖσιν μεγάλοι, τὰ δὲ κατὰ κοιλίην || πολλοῖσι πολλὰ καὶ βλαβερὰ συνέβαινε. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως. πλείστοισι δὲ παιδίοισι, καὶ παισὶν ὅσοι πρὸ ἥβης, καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων. λειεντερικοὶ πολλοὶ, δυσεντερικοί. οὐδ᾽ αὗτοι λίην ἐπιπόνως, τὰ δὲ χολώδεα καὶ λιπαρὰ καὶ λεπτὰ καὶ ὑδατώδεα, πολλοῖσι μὲν αὐτὸ τὸ νούσημα ἐς τοῦτο κατέσκειψεν, ἄνευ τε πυρετῶν καὶ ἐν πυρετοῖσι, μετὰ πόνων στρόφοι καὶ ἀνειλήσιες κακοήθεες. τῶν πολλῶν ἐνόντων τε καὶ ἐπισχόντων διέξοδοι. τά τε διεξιόντα, πόνους οὐ λύοντα. [280] τοῖσι δὲ προσφερομένοισι δυσκόλως ὑπακούοντα, καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους (726) προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων πολλοὶ μὲν ὀξέως ἀπώλλοντο. πολλοῖσι δὲ καὶ μακρότερα διῆγεν, ὡς δ᾽ ἐν κεφα-

quaedam quae multorum aciem perderent, ficos nominant. Enafcebantur vero cum aliis in ulceribus multa, tum in pudendis. Carbunculi aeftate multi atque alia quae putredinis nomine donantur. Puftulae item magnae. Serpentia ulcera plerisque magna. Quantum autem ad alvum fpectabat, plerisque circa eam multa et noxia evenere. Primum quidem crebrae et inanes egerendi voluntates multis moleftae, imprimis vero pueris atque iis omnibus qui pubertatem nondum attigerant, eorumque plurimi peribant. Multi inteftinorum laevitate vexabantur, quidam difficultate inteftinorum, neque hi admodum molefte. Alvus autem biliofa et pinguia et tenuia et liquida demittebat, ac multis quidem eo morbus ipfe decubuit, tum circa febres tum in febribus. Tormina cum doloribus aderant, itemque convolutiones malignae. Multis in corpore exiftentibus ac fuppreffis exitus. At neque exeuntia dolores tollebant, multaeque corporis partes affectae erant. Atque ad ea quae adhibebantur non facile habebant. Purgationes nempe plurimos magis offendebant. Eorum vero qui ita habebant plerique quidem fubito moriebantur, multi etiam diutius

Ed. Chart. IX. [280. 282.] Foës. II. 1086. Ed. Lind. I. (726.)

λαίῳ εἰρῆσθαι, πάντες καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ οἱ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην ἀπέθνησκον μάλιστα. πάντας γὰρ κοιλίη συναπήνεγκεν. ἀπόσιτοι δὲ πάντες μὲν ἐγένοντο καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, οἷς ἐγὼ οὐδέπω ποτὲ ἐνέτυχον. πολλοὶ δὲ μάλιστα αὐτοὶ καὶ οἱ ἐκ τοιούτων, καὶ ἐκ τῶν ἄλλων δὲ οἱ καὶ ὀλεθρίως ἔχοιεν, διψώδεες, οἱ μὲν, οἱ δὲ οὔ· τῶν ἐν πυρετοῖσι καὶ τοῖσι ἄλλοισιν οὐδεὶς ἀκαίρως, ἀλλ' ἦν κατὰ ποτὸν διαιτᾷν ὡς ἤθελες. [282] οὖρα δὲ πολλὰ μὲν τὰ διεξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολλὸν ὑπερβάλλοντα. πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. οὔτε γὰρ πάχος οὔτε πεπασμοὺς οὔτε καθάρσιας χρηστὰς εἶχεν. ἐπὶ πολλοῖσι γὰρ αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γενόμεναι ἀγαθόν. ἐσήμαινον δὲ τοῖσι πλείστοισι σύντηξιν καὶ ταραχὴν καὶ πόνους καὶ ἀκρισίας. κωματώδεες δὲ μάλιστα οἱ φρενιτικοὶ καὶ οἱ καυσώδεες ἦσαν. ἀτὰρ καὶ ἐπὶ τοῖσι ἄλλοισι νουσήμασι πᾶσι

perdurabant. Atque ut ſemel abſolvam, tum qui diuturnis tum qui acutis tentabantur morbis, ex ventris vitio omnes fere periere. Omnes namque venter pariter ſuſtulit. Omnes autem in quos ſane incidi, praeter praeſcriptos omnes morbos quibus vexabantur, cibos equidem averſabantur. Plerique vero praecipueque hi ipſi et qui eodem modo affecti erant, ſed et ex aliis qui etiam peniciose haberent. Siticuloſi partim quidem erant, partim vero ſiti vacui. Ex his quos febres aliaque vexabant, nullus intempeſtive potum ſumpſit, ſed quoad potionem licebat eam inſtituere vivendi rationem quam velles. Urinae autem copioſae prodibant, neque potioni ingeſtae reſpondebant, verum plurimum ſuperabant, multumque etiam vitioſae erant urinae redditae. Nam neque craſſitudinem, neque concoctionem habebant, neque probe expurgabantur. In multis namque probae per veſicam expurgationes bono ſunt. Plurimis vero colliquationem perturbationemque, et dolores et moram et judicationis ceſſationem portendebant. Sopore autem detinebantur, imprimis quidem phrenitici et qui febre ardente laborabant, quin etiam caeteris in omnibus

τοῖσι μεγίστοισιν, ὅτι μετὰ πυρετοῦ γίνοιτο. διὰ παντὸς δὲ τοῖσι πλείστοισιν ἢ βάρυ κῶμα παρείπετο ἢ μικροὺς καὶ λεπτοὺς ὕπνους κοιμᾶσθαι.

[283] || Πολλὰ δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησαν εἴδεα· τριταίων, τεταρταίων, νυκτερινῶν, ξυνεχέων, μακρῶν, πεπλανημένων, ἀσωδέων, ἀκα(727)ταστάτων. ἅπαντες δὲ οὗτοι μετὰ πολλῆς ἐγίνοντο ταραχῆς. κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες, φρικώδεες. ἱδρῶτες οὐ κρίσιμοι, καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. μακρὰ δὲ τοῖσι πλείστοισι τουτέων, οὐδὲ γὰρ αἱ γινόμεναι τουτέοισιν ἀποστάσιες, ἔκρινον ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι. δύσκριτα μὲν πᾶσι πάντα ἐγίνετο, καὶ ἀκρισίαι καὶ χρόνια. πολὺ δὲ μάλιστα τούτοισι. ἔκρινε δὲ τουτέων ὀλίγοισι περὶ ὀγδοήκοντα. τοῖσι δὲ πλείστοισι ὡς ἔτυχεν ἐξέλιπεν. ἔθνησκον δὲ τουτέων ὀλίγοι ὑπὸ ὕδρωπος ὀρθοστάδην. πολλοῖσι δὲ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νουσήμασι οἰδήματα παρώχλει, πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσι. [284] μέγιστον δὲ καὶ χαλεπώτατον καὶ πλείστους

maximis morbis, quod cum febre contingerent. Omnino vero plerosque aut gravis sopor comitabatur, aut tenues et parvi somni.

Multa alia praeterea passim vulgata sunt febrium genera, tertianae, quaternae, nocturnae, assiduae, diuturnae, incertae et vagae, implacidae, inconstantes. Atque hae omnes non sine multa perturbatione contingebant. Plerisque etenim alvus cum horroris sensu turbabatur, sudores nihil decernebant, urinaeque quales supra descripsimus. Eorum vero plerisque haec erant diuturna. Neque enim decernebant quae iis ipsis abscedebant, quod caeteris usu venire solet. Omnino quidem omnibus difficiles erant judicationes, aut nullae aut diuturnae, his vero quam maxime. Atque horum pauci circa octogesimum diem judicatione absolvebantur, magna autem ex parte iis temere defecerunt. Horum etiam pauci ex aqua inter cutem moriebantur erecti et stantes. Plerosque vero etiam praeter alios morbos tumores exagitabant, ac prae caeteris tabidos. Maxime autem et gravissime afflixit tabes plurimosque in-

ἔκτεινε τὸ φθινῶδες. πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα, πολλοὶ μὲν κατεκλίθησαν, οἱ δὲ αὐτέων ὀρθοστάδην ὑπέφερον. τὸ πρωῒ δὲ τοῦ ἦρος ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλιθέντων. τῶν δὲ ἄλλων ἐξέλιπον μὲν αἱ βῆχες οὐδενὶ, ὑφίεσαν δὲ κατὰ θέρος. ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίθησαν πάντες καὶ πολλοὶ ἔθνησκον. μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. ἤρξατο μὲν οὖν τοῖσι πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων κακοῦσθαι. φρικώδεες πυκνά. πολλάκις πυρετοὶ ξυνεχέες, ὀξέες, ἱδρῶτές τε ἄκαιροι. πολλοὶ ψυχροὶ διὰ τέλεος. πολλὴ ψύξις, καὶ μόλις πάλιν ἀναθερμαινόμενοι. κοιλίαι ποικίλως ἐφιστάμεναι καὶ πάλιν ταχὺ καθυγραινόμεναι καὶ τῶν περὶ πλεύμονα πάντων διάδοσις κάτω. πλῆθος οὔρων οὐ χρηστῶν. ξυντήξιες κακαί. αἱ (728) δὲ βῆχες ἐνῆσαν μὲν διὰ τέλεος πολλαὶ καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρὰ, μετὰ πόνων δὲ οὐ λίην. ἀλλ' εἰ καὶ ὑπεπόνεον, πάνυ πρηέως πᾶσιν ἡ κάθαρσις ἡ ἀπὸ πλεύμονος ἐγίνετο. φάρυγγες οὐ λίην δακνώδεες. οὐδὲ ἁλμυρίδες οὐδὲν ἠνώχλεον.

teremit. Nempe cum multis ad hiemem coepiſſet, hi magna ex parte decubuerunt, partim vero erecti et ſtantes pertulerunt. Ineunte autem vere eorum qui decubuerant plerique perierunt, reliquorum vero nullum tuſſes reliquerunt, verum aeſtate remiſerunt. At ſub autumnum omnes decubuerunt, multique interierunt, eorum vero plerique diu traxerunt. Horum itaque plurimi, ex his derepente peſſime affligi coeperunt, crebri erant horrores, plerumque febres aſſiduae, acutae, ſudores etiam intempeſtivi, multi, continenter frigidi, refrigeratio multa, vixque recaleſcebant. Alvi variis modis ſubſiſtentes, rurſusque illico lubricae, atque eorum quae pulmones offendebant per inferna transmiſſio. Urinarum illaudatarum abundantia, corporis extenuationes malae. Tuſſes autem omnino quidem multae aderant, multaque cocta et liquida educebant, neque vero admodum laborioſe. Quod ſi etiam quadantenus laborarent, rurſus tamen valde placide et molliter omnes ex pulmone purgatio procedebat, fauces non admodum mor-

Ed. Chart. IX. [284. 285. 288.] Foëſ. II. 1089. 1090. Ed. Lind. I. (728.)
τὰ μέντοι γλίσχρα καὶ λευκὰ καὶ ὑγρὰ καὶ ἀφρώδεα πολλὰ ἀπὸ κεφαλῆς κατήει. πολὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσι ἄλλοισι τὰ περὶ τὴν ἀποσιτίην, καθάπερ ὑπογέγραπται. οὐδὲ γὰρ πότων μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως [285] βάρος σώματος. κωματώδεες, τοῖσι πλείστοισιν αὐτέων οἴδημα καὶ ἐς ὕδρωπα περιίσταντο. φρικώδεες, παράληροι περὶ θάνατον.

|| Εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φακῶδες τὸ ὑπέρυθρον, τὸ χαροπόν. λευκοφλεγματίαι, πτερυγώδεες, καὶ γυναῖκες οὕτω. τὸ μελαγχολικόν τε καὶ ὕφαιμον. οἱ καῦσοι καὶ τὰ φρενιτικὰ καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο, τεινεσμοὶ νέοισι. φλεγματώδεσιν αἱ μακραὶ διάῤῥοιαι καὶ τὰ δριμέα διαχωρήματα καὶ λιπαρὰ πικροχόλοισιν. [288] ἦν δὲ πᾶσι τοῖσιν ὑπογεγραμμένοισι χαλεπώτατον μὲν τὸ ἔαρ καὶ πλείστους ἀπέκτεινε. τὸ δὲ θέρος

debantur neque ſalſugines quicquam infeſtabant. Viſcida nihilominus et alba, liquidaque et ſpumoſa multa ex capite deſcendebant. Longe vero maximum malum tum hos tum etiam caeteros comitabatur, ciborum faſtidium, uti paulo ante ſcriptum eſt. Nam neque ad potionem neque ad cibum alacriter habebant, ſed valde ſiti vacui degebant. Corporis gravitas inerat et ſopore detinebantur. Ac fere omnes tumoribus corripiebantur et in aquam inter cutem evadebant. Horrore concutiebantur et ſub mortem delirabant.

Erat autem tabidorum ſpecies ex iis qui glabri erant, ſubalbidi, lentis colorem referentes, ſubrubri, caeſiis oculis, pituita alba redundantes, et quibus ſcoptula operta alarum inſtar a tergo extabant atque prominebant, mulieresque eodem modo ſe habebant. Itidem et qui ad atram bilem generandam eſſent idonei et ſubſanguinei. Atque hos febres ardentes et phrenitides, et inteſtinorum diſſicultates tentabant. Juvenes crebrae et inanes egerendi cupiditates, pituitoſos, longa alvi profluvia, acria et pinguia ventris recrementa bilioſos vexabant. Omnibus autem, quos paulo ſupra deſcripſimus, ver quidem erat moleſtiſſimum plurimosque ſuſtulit. Aeſtas vero placidiſſima, minimeque

Ed. Chart. IX. [288.] Foës. II. 1090. 1091. Ed. Lind. I. (728. 729.)

ῥήϊστον καὶ ἐλάχιστοι ἀπώλλοντο. τοῦ δὲ φθινοπώρου καὶ ὑπὸ πληϊάδα πάλιν ἔθνησκον οἱ πολλοὶ τεταρταῖοι. δοκέοι δέ μοι προσωφε||λῆσαι κατὰ λόγον τὸ γενόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν ἐπιγενόμενος λύει καὶ τὰς χειμερινὰς θέρος ἐπιγενόμενον μεθίστησι. (729) καίτοι αὐτό γε ἐπὶ ἑωυτοῦ τὸ γενόμενον θέρος οὐκ εὐσταθὲς ἐγένετο, ἀλλ' ἐξαίφνης θερμὸν καὶ νότιον καὶ ἄπνοον. ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν ὠφέλησεν. μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι τὸ δύνασθαι σκοπεῖν καὶ περὶ τῶν γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς καὶ χρεόμενος τούτοις, οὐκ ἄν μοι δοκέῃ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. δεῖ δὲ καταμανθάνειν ἀκριβῶς τὴν κατάστασιν, τῶν ὡρέων ἑκάστην, καὶ τὸ νόσημα ἀγαθὸν, ὅ τι κοινὸν ἐν τῇ καταστάσει ἢ ἐν τῇ νούσῳ, μακρὸν ὅ τι νόσημα καὶ θανάσιμον. μακρὸν ὅ τι καὶ περιεστηκὰς, ὀξὺ ὅ τι θανάσιμον, ὀξὺ ὅ τι περιεστηκός. τάξιν τῶν κρισίμων ἐκ τούτων σκοπεῖσθαι καὶ προλέ-

multi perierunt. Per autumnum rursus et sub vergilias, multi interierunt quartana febre detenti. Mihi porro videtur aestas illa merito multum profuisse. Aestivos namque morbos succedens bruma solvit, et brumales adveniens aestas dimovet. Quamquam quae tunc fuit aestas ex sese non satis suae naturae constabat, verum derepente calida, austrina, et a ventis silens fuit, nihilominus tamen ad aliam temporis conditionem mutata profuit. Per vero magni in arte aestimo, posse de iis quae scripsimus cogitationem recte suscipere. Eorum namque usum qui calluerit, is mihi non magnopere videtur in arte aberrare posse. Exacte autem tenere oportet propriam cujusque temporum anni conditionem et statum, morbumque ipsum et quidnam boni commune sit constitutioni cum morbo, quidnam et mali constitutio, aut morbus inter se commune habeant. Et quisnam morbus diuturnus sit et exitium afferat, aut quisnam diuturnus et ex quo aegri evadant. Et quisnam praeceps et exitialis, aut quisnam praeceps et salutaris. Atque ex his ipsis tum judicatoriorum dierum series observanda est, tum etiam praedicendi facultas suppetit. Ac

Ed. Chart. IX. [288. 291.] Foës. II. 1091. 1093. Ed. Lind. I. (729. 730.)

γειν, ἐκ τούτων εὐπορεῖται. εἰδότι περὶ τούτων ἔστιν εἰδέναι οὓς καὶ ὅτε καὶ ὡς δεῖ διαιτᾷν.

[291] || [Ἑκκαίδεκα ἄῤῥωστοι. Πρῶτος.] Ἐν Θάσῳ τὸν τοῦ Παρίωνος, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξύς. κατ᾽ ἀρχὰς δὲ ξυνεχὴς, καυσώδης, διψώδης. ἀρχόμενος κωματώδης, καὶ αὖθις ἄγρυπνος. κοιλίη ταραχώδης ἐν ἀρχῇσιν, οὖρα λευκά. ς̅τ̅ οὔρησεν ἐλαιῶδες, παρέκρουσεν. ζ̅ παρωξύνθη πάντα, οὐδὲν ἐκοιμήθη, ἀλλ᾽ οὖρά τε ὅμοια καὶ τὰ τῆς γνώμης ταραχώδεα. ἀπὸ δὲ κοιλίης χολώδεα λιπαρὰ διῆλθε. εἶτα τῇ (730) η̅ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν. ἤμεσεν ἰώδεα ὀλίγα, σμικρὰ ἐκοιμήθη. θ̅ διὰ τῶν αὐτῶν. ι̅ πάντα ξυνέδωκεν. ι̅α̅ ἵδρωσεν οὐ δι᾽ ὅλου. περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. ι̅β̅ πυρετὸς ὀξὺς, διαχωρήματα χολώδεα, λεπτὰ, πολλὰ, οὔροισιν ἐναιώρημα, παρέκρουσεν. ι̅ζ̅ ἐπιπόνως, οὔτε γὰρ ὕπνοι οὔτε πυρετὸς ἐπέτεινεν. κ̅ ἵδρωσε δι᾽ ὅλου· ἄγρυπνος, διαχωρήματα χολώδεα,

in his exercitato proclive eſt inſtituendae victus rationis tempus et modum cognoſcere, et quibusnam ea praeſcribenda ſit.

[*Aegroti ſexdecim. Primus.*] Parius quidam in Thaſo, qui ſupra Dianae fanum decumbebat, febre acuta correptus eſt ſtatim quidem aſſidua, ardente, ſiticuloſa. Per exordia ſopore detinebatur, rurſusque vigiliis vexabatur. Alvus inter initia turbulenta, urinae albae. Die ſexto oleoſam urinam reddidit, deliravit. Septimo exacerbata ſunt omnia, non dormivit. Quin et urinae ſimiles et mens perturbata. Ex alvo vero bilioſa et pinguia prodiere. Octavo deinceps parum ex naribus ſtillavit, vomitione refuſa ſunt virulenta, pauca, aliquantulum quievit. Nono eadem perſeveravere. Decimo cuncta remiſerunt. Undecimo ſudor, ſed non toto corpore dimanavit. Corporis quidem ſumma perſrixerunt, ſed mox recaluit. Duodecimo graviter febricitavit, alvi recrementa bilioſa, tenuia, copioſa. In urinis ſuſpenſum quid in medio innatans inerat, deliravit. Decimoſeptimo permoleſte habuit. Nam neque ſomni aderant, neque tamen febris intendebatur. Vigeſimo ſudor undique profluxit,

ἀπόσιτος, κωματώδης. κδ ὑπέστρεψε. λδ ἄπυρος, κοιλίη οὐ συνίστατο, καὶ πάλιν ἀνεθερμάνθη. μ ἄπυρος, κοιλίη ξυνέστη χρόνον οὐ συχνόν. ἀπόσιτος, σμικρὰ πάλιν ἐπύρεξε, καὶ διὰ παντὸς πεπλανημένως. ἄπυρος, τὰ μὲν, τὰ δ' οὔ· εἰ γάρ τοι διαλείποι καὶ διακουφίσαιεν, πάλιν ὑπέστρεφε. σιταρίοισί τε πολλοῖσι καὶ φώλῃσι προσεχρῆτο. ὕπνοι κακοὶ περὶ τὰς ὑποστροφάς. παρέκρουσεν, οὖρα πάχος μὲν ἔχοντα οὔρει τηνικαῦτα. ταραχώδεα δὲ καὶ πονηρὰ καὶ κατὰ κοιλίην συνιστάμενα, καὶ πάλιν διαλυόμενα, πυρέτια ξυνεχέα. διαχωρήματα πουλλὰ, λεπτὰ, ἐν δὲ τῇ ρκ ἡμέρῃ ἀπέθανε. τούτῳ κοιλίη ξυνεχέως ἀπὸ τῆς πρώτης ὑγρὴ χολώδεσιν, ὑγροῖσι πολλοῖσιν ἦν. ἡ ξυνισταμένη ἐν ζέουσι καὶ ἀπέπτοισιν. οὖρα διὰ τέλεος κακὰ, κωματώδεα τὰ πλεῖστα μετὰ πόνων, ἄγρυπνος, ἀπόσιτος, συνεχέως καῦσος.

[294] || [Ἄῤῥωστος δεύτερος.] Ἐν Θά(731)σῳ τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν ἐκ τοῦ τόκου θυγατέρα τεκοῦ-

pervigil fuit, dejectiones biliosae, cibum aversabatur, sopore detentus est. Vigesimo quarto recidiva contigit. Trigesimo quarto a febre immunis fuit, alvus non substitit, moxque recaluit. Quadragesimo sine febre, alvus non diu substitit, cibum aversabatur, rursus aliquantulum febricitavit, idque perpetuo inordinate, partim quidem a febre liber, partim vero non. Nam si quando intermitteret, allevaretque, statim repetebat. Cibariis etiam multis vilibus et vitiosis utebatur. Circa recidivas somni mali, deliravit. Urinas tunc reddebat crassas quidem, verum turbulentas et pravas. Ex alvo coacta moxque diffluentia demittebantur. Febriculae assiduae aderant, dejectiones multae tenues. Centesimo et vigesimo die desunctus est. Huic alvus ab initio continenter biliosis, liquidis multis diffluebat, aut si consisteret, fervida et cruda dejiciebat. Urinae per totum morbum malae. Sopore vero detinebatur, nec sine doloribus, eratque insomnis, cibos aversabatur, assidueque febris ardens vexabat.

[*Aeger secundus.*] Quae in Thaso ad frigidam decumbebat, ubi filiam enixa est, nec purgationes irent, eam

σαν καὶ καθάρσιος μὴ γινομένης, πυρετὸς ὀξὺς φρικώδης τριταίην ἔλαβεν. ἐκ χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν κατακλινὴς ἀπόσιτος. μετὰ δὲ τὸ γενόμενον ῥῖγος ξυνεχέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. η πολλὰ παρέκρουσε καὶ τὰς ἐχομένας, καὶ ταχὺ πάλιν κατενόει. κοιλίη ταραχώδης, πουλλοῖσι, λεπτοῖσιν, ὑδατοχόλοις, ἄδιψος. ια κατενόει, κωματώδης δὲ ἦν, οὖρα πολλὰ, λεπτὰ καὶ μέλανα, ἄγρυπνος. κ σμικρὰ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. σμικρὰ παρέλεγεν, ἄγρυπνος, τὰ κάτω κοιλίης, ἐπὶ τῶν αὐτῶν. οὖρα ὑδατώδεα πουλλά. κζ ἄπυρος, κοιλίη ξυνέστη, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ χρόνον πουλύν. πυρετοὶ πάλιν παρείποντο, καὶ οὖρα ὑδατώδεα. μ τὰ μὲν περὶ τὸ ἰσχίον ἐπεκούφισε, βῆχες δὲ ξυνεχέες ὑγραὶ πολλαὶ, κοιλίη ξυνέστη, ἀπόσιτος, οὖρα ἐπὶ τῶν αὐτῶν. οἱ δὲ πυρετοὶ τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, πεπλανημένως δὲ παροξυνόμενοι, τὰ μὲν, τὰ δ᾽ οὔ. ξ αἱ μὲν βῆχες ἀσήμως

tertio die febris acuta cum horroris fenfu corripuit. Ex longo tamen ante partum intervallo ex febre decumbebat, cibumque faftidiebat. Poft rigorem autem febres fuerunt affiduae, acutae, cum horrore. Octavo proximisque diebus multum deliravit, ftatimque ad intelligentiam rediit. Alvus perturbata, multa, tenuia, aquofa, bile permixta demifit, absque fiti erat. Undecimo mente conftabat, fopore tamen detinebatur, urinas multas, tenues et nigras reddidit, pervigil erat. Vigefimo corporis fumma paulum perfrixerunt, moxque calor rediit, nonnihil mente mota eft, pervigilavit. Alvi dejectiones eaedem perfeverarunt, urinae dilutae, multae. Vigefimofeptimo a febre immunis fuit, alvus fubftitit. Non longe vero poft ad coxendicem dextram vehemens enatus dolor diu tenuit, febres rurfus fubfecutae et urinae aquofae. Quadragefimo circa coxendicem dolores allevarunt, fed tuffes affiduae humidae, multae tenuerunt, alvus fuppreffa eft, cibum faftidiebat, urinae eaedem. Febres vero in totum quidem non definebant, fed errabundas et incertas habebant acceffiones et partim quidem fic, partim vero non prehendebant. Sexagefimo tuffes abs-

ἐξέλιπον· οὔτε γάρ τις πτυάλων πεπασμὸς ἐγίνετο, οὔτε ἄλλη τῶν εἰθισμένων ἀπόστασις. σιαγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιὰ κατεσπάσθη. κωματώδης, παρέλεγε πάλιν καὶ ταχὺ κατενόει. πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν, ἡ σιαγὼν μὲν ἐπανῆκεν, ἡ κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν. ἐπύρεσσεν ὀξυτέρως, (732) φρικώδης, καὶ τὰς ἐχομένας ἄφωνος, καὶ πάλιν κατενόει καὶ διελέγετο, καὶ ὀγδοηκοστῇ ἀπέθανε. ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα καὶ λεπτὰ καὶ ὑδατώδεα, καὶ κῶμα παρείπετο. ἄσιτος, ἄθυμος, ἄγρυπνος, ὀργαί. δυσφορίαι, τὰ περὶ τὴν γνώμην μελαγχολικά.

[296] || [Ἄῤῥωστος τρίτος.] Ἐν Θάσῳ Πυθίωνα, ὃς κατέκειτο ὑπεράνω τοῦ Ἡρακλείου, ἐκ πόνων καὶ κόπων καὶ διαίτης γενομένης ἀμελοῦς ῥῖγος μέγα καὶ πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα ἐπίξηρος, διψώδης, χολώδης, οὐχ ὕπνωσεν, οὖρα ὑπομέλανα. ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο. β περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ περὶ χεῖρας καὶ κεφαλὴν

que ulla judicationis significatione defecerant. Neque enim ulla sputorum concoctio extitit, neque aliud quicqam eorum quae abscedere solent. Maxilla dextra convulsa est, sopore detinebatur, rursus deliravit, statimque ad mentem rediit. Caeterum a cibis averso erat animo, maxilla quidem loco restituta est, alvus autem biliosa pauca transmisit, febris intensior fuit, nec sine horrore, proximisque diebus voce defecta est, rursusque ad intelligentiam rediit et sermocinata est, octogesimoque expiravit. Urinae huic perpetuo nigrae, tenues et dilutae fuerunt, soporque comitabatur, cibos non sumebat, animum despondebat, pervigil, iracunda, implacida, mens atra bile tentabatur.

[*Aeger tertius.*] Pythionem in Thaso, qui supra Herculis fanum decumbebat, ex laboribus et lassitudinibus negligenterque subducta victus ratione, rigor vehemens et febris acuta prehendit. Lingua resiccata erat, siticulosus, bile abundans, somnum non cepit. Urinae nigricantes, sublime quid in medio suspensum habebant, neque subsidebant. Altero sub meridiem die corporis extremorum frigus cepit, praecipueque circa manus et caput, sermone

μᾶλλον, ἄναυδος, ἄφωνος, βραχύπνοος. ἐπὶ χρόνον πουλὺν ἀνεθερμάνθη, δίψα, νύκτα δι᾽ ἡσυχίης, ἵδρωσε περὶ κεφαλὴν σμικρά. γ ἡμέρη δι᾽ ἡσυχίης, ὀψὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη σμικρά, ταραχὴ νυκτὸς ἐπιπόνως, οὐδὲν ὕπνωσεν, ἀπὸ δὲ κοιλίης μικρὰ ξυνεστηκότα κόπρανα διῆλθε. δ πρωῒ δι᾽ ἡσυχίης, περὶ δὲ μέσον ἡμέρης πάντα παρωξύνθη, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον, ἀνεθερμάνθη. μετὰ χρόνον οὔρησε μέλανα ἐναιώρημα ἔχοντα, νύκτα δι᾽ ἡσυχίης ἐκοιμήθη. πέμπτῃ ἔδοξε κουφισθῆναι, κατὰ δὲ κοιλίην βάρος μετὰ πόνου, διψώδης, νύκτα ἐπιπόνως. ἕκτῃ πρωῒ μὲν δι᾽ ἡσυχίης, δείλης δὲ οἱ πόνοι μείζους, παρωξύνθη, ἀπὸ δὲ κοιλίης ὀψὲ κλυσματίῳ καλῶς διῆλθε, νυκτὸς ἐκοιμήθη. ζ ἡμέρῃ ἀσώδης, ὑπε(733)δυσφόρει, οὔρησεν ἐλαιῶδες, νυκτὸς ταραχὴ πολλὴ, παρέλεγεν, οὐδὲν ἐκοιμᾶτο. ὀγδόῃ πρωῒ μὲν ἐκοιμήθη σμικρά, ταχὺ δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα

et voce defectus est, longo intervallo brevem spiritum traxit, revocatus est calor, sitiit, noctem quietam duxit, sudor circa caput parum motus est. Tertio die quiete habuit, ad vesperam vero sub solis occasum aliquantulum perfrixit, perturbatio cum nocte laboriosa, nihil dormivit. Ex alvo vero pauca stercora coacta transmissa sunt. Quarto mane quievit, sub meridiem autem exasperata sunt omnia, perfrixit, sermone et voce destitutus est, deterius habuit, tandem recaluit. Urinas reddidit nigras suspensum quiddam in medio innatans habentes, noctu placide habuit et somnum cepit. Quinto allevari visus est, caeterum in ventre gravitas cum dolore tenuit, sitibundus fuit, nox molesta. Sexto mane quidem placide se gessit, sub occasum vero dolores intenderunt, gravius habuit. Vesperi autem ex parvo per alvum infuso venter probe reddidit, noctu somnum cepit. Septimo die magna corporis aestuatione et stomachi fastidio conflictabatur et quadam corporis implaciditate tentabatur, oleosam urinam reddidit, noctu turbatio multa, delirabat, somnum nullum capiebat. Octavo mane quidem aliquantulum dormivit, confestimque perfri-

Ed. Chart. IX. [296. 298.] Foëf. II. 1098 1100. Ed. Lind. I. (733.)
καὶ μινυθῶδες, ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν· ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη, διαχωρήματα ἄκρητα σμικρὰ χολώδεα. ἐνάτῃ κωματώδης, ἀσώδης, ὅτε διεγείροιτο· οὐ λίην διψώδης, περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγε, νύκτα κακήν. ι πρωῒ ἄφωνος, πολλὴ ψύξις, πυρετὸς ὀξὺς, πολὺς ἱδρὼς, ἔθανεν, ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

[298] || [Ἄῤῥωστος τέταρτος.] Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς ἤμεσεν ἰώδεα, πολλὰ, λεπτὰ, πυρετὸς φρικώδης. πολὺς ἱδρὼς, ξυνεχής. δι᾽ ὅλου κεφαλῆς καὶ τραχήλου βάρος μετ᾽ ὀδύνης, οὖρα λεπτὰ, ἐναιωρήματα σμικρὰ, διεσπασμένα, οὐχ ἵδρωσεν. ἀπὸ δὲ κοιλίης ἐξεκόπρισεν ἀθρόα, πολλὰ παρέκρουσεν, οὐδὲν ὕπνωσε. β πρωῒ ἄφωνος, πυρετὸς ὀξὺς, ἵδρωσεν, οὐ διέλιπεν, παλμοὶ δι᾽ ὅλου τοῦ σώματος, νυκτὸς σπασμοί. γ παρωξύνθη πάντα. δ ἀπέθανεν.

ctio cepit et vocis defectio, fpiratio exilis et imminuta, ad vefperam autem calor rurfus rediit, deliravit. Jam vero appetente die paulo levius habuit, alvi recrementa fincera, pauca, biliofa. Nono fopore detinebatur, aeftuatione et ftomachi faftidio tentabatur cum excitaretur, neque valde fitibundus erat. Sub folis autem occafum magna corporis inquiete tenebatur, deliravit, nox prava. Decimo mane vox defecit, frigus multum, febris acuta, magna fudoris copia, defunctus eft. Hic diebus paribus gravius habebat.

[*Aeger quartus.*] Qui ex phrenitide laborans primo die decubuit, aeruginofa et virulenta, multa, tenuia vomitione refudit, febris horroris fenfu infignis prehendit, fudor copiofus, affiduus, toto corpore dimanavit, capitis et cervicis gravitas non fine dolore. Urinae tenues, in quibus fublimia quaedam in medio fufpenfa, parva, difperfa inerant, neque fubfiftebant. Ex alvo ftercora affatim prodierunt, multum deliravit, nihil dormivit. Poftridie mane vox defecit, febris acuta invafit, fudavit, non intermifit. Totum corpus palpitationes occuparunt, nocte convulfiones. Tertio die graviora evaferunt omnia. Quarto mortuus eft.

[299] || [Ἄῤῥωστος πέμπτος.] Ἐν Λαρίσσῃ φαλακρὸς, μηρὸν δεξιὸν ἐπόνησεν ἐξαίφνης. τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει, τῇ πρώτῃ πυρετὸς ὀξὺς, καυσώδης, ἀτρεμέως εἶχεν, οἱ δὲ πόνοι παρείποντο. β τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι, ὁ δὲ πυρετὸς ἐπέτεινεν, ὑπεδυσφόρει, οὐκ ἐκοιμᾶτο, ἄκρεα ψυχρὰ, οὔ(734)ρων πλῆθος διήει οὐ χρηστῶν. γ τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο, παρακοπὴ δὲ τῆς γνώμης καὶ ταραχὴ καὶ πολὺς βληστρισμός. δ περὶ μέσον ἡμέρης ἔθανεν ὀξυτάτως.

[301] || [Ἄῤῥωστος ἕκτος.] Ἐν Ἀβδήροισι Περικλέα νοῦσος ἔλαβεν ὀξὺς, ξυνεχὴς μετὰ πόνου, δίψα πολλὴ, ἄση, ποτὸν κατέχειν οὐκ ἠδύνατο. ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. τῇ πρώτῃ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ. πουλὺς μέντοι ὁ πυρετὸς ἐπέτεινεν, οὔρησε πολὺ θολερὸν λευκὸν, κείμενον οὐ καθίστατο. β πάντα παρωξύνθη, τὰ μέντοι οὖρα παχέα μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον. καὶ τὰ περὶ τὴν ἄσην

[*Aeger quintus.*] Calvum in Lariſſa ex femore dextro dolor derepente occupavit, nihilque adhibitis remediis eſt profectum. Primo die febris acuta, ardens, ſenſim prehendit, comitabanturque dolores. Poſtridie femoris quidem dolores remiſerunt, febris autem intenſa eſt, implaciditate quadam corporis tenebatur, ſomnum non capiebat, corporis ſumma frigebant, urinarum copia profluxit, ſed nec eae laudabiles erant. Tertio die femoris quidem dolor ceſſavit, verum mentis alienatio perturbatioque adfuit, et multa corporis incontinentia jactatioque. Quarto ſub meridiem celerrime periit.

[*Aeger ſextus.*] Abderae Periclem febris acuta, continua, cum dolore prehendit, ſitis multa, aeſtuatio et ſtomachi faſtidium aderat, potum continere non valebat. Aliquantulum autem tum ex liene tum ex capitis gravitate laborabat. Primo die ſanguis multus ex nare ſiniſtra profluxit. Febris tamen intenſior erat, urinas reddidit multas, turbulentas, albas, quae nec depoſitae ſubſidebant. Poſtridie graviora evaſerunt omnia. Ac certe urinae quidem craſſae erant, verum quae magis ſubſiderent, ſtomachi faſtidium

ἐκούφισεν, ἐκοιμήθη. γ πυρετὸς ἐμαλάχθη, οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα, νύκτα δι' ἡσυχίης. περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ τετάρτῃ δι' ὅλου, ἄπυρος ἐκρίθη, οὐχ ὑπέστρεψεν, ὀξύ.

|| [Ἄῤῥωστος ἕβδομος.] Ἐν Ἀβδήροισι τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ τῆς ἱερῆς ὁδοῦ, πυρετὸς καυσώδης ἔλαβε. ἦν δὲ διψώδης καὶ ἄγρυπνος, κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. στ ἄση πολλὴ, ἔρευθος, φρικώδης, ἀλύουσα. ζ διὰ τῶν αὐτῶν, οὖρα λεπτὰ μὲν, εὔχροα δὲ, τὰ περὶ τὴν κοιλίην οὐκ ἠνώχλει. η κώφωσις, πυρετὸς ὀξὺς, ἄγρυπνος, ἀσώδης, φρικώδης, κατενόει, οὖρα ὅμοια. ἐνάτῃ διὰ τῶν αὐτῶν καὶ τὰς ἑπομένας, οὕτω ἡ κώφωσις παρέμενε. ιδ τὰ τῆς γνώ(735)μης ταραχώδεα, ὁ πυρετὸς ξυνέδωκε. ιζ διὰ τῶν ῥινῶν ἐῤῥύη πουλὺ, ἡ κώφωσις σμικρὰ ξυνέδωκε, καὶ τὰς ἑπομένας ἄση, κωφότης ἐνῆν, καὶ παράληρος. κ ποδῶν ὀδύνη,

et aeſtuatio allevata eſt, dormivit. Tertio die febris remiſſa eſt, urinae copioſae, concoctae, in quibus multum ſubſidebat, profluxerunt, noctem quietam habuit. Quarto ſub meridiem ſudor multus, calidus toto corpore dimanavit, a febre judicatione eſt abſolutus, nec recidivam paſſus eſt. Morbus erat acutus.

[*Aeger ſeptimus.*] Abderae virginem, quae ad viam ſacram decumbebat, febris ardens prehendit. Sitibunda autem erat et pervigil, eique tum primum muliebria profluxerunt. Sexto die vehemens ſtomachi faſtidium adſuit, rubor, horror, cum moleſta corporis jactatione. Septimo eadem perſeveraverunt. Urinae tenues quidem, verum probati coloris erant, alvus commode habebat. Octavo ſurditas, febris acuta cepit, inſomnis, aeſtuabunda, cum horroris ſenſu, mentis erat compos, urinae eaedem. Nono ac proximis diebus eadem perſeverarunt, atque adeo permanſit ſurditas. Decimoquarto mentis perturbatio, febris remiſſio. Decimoſeptimo multum ex naribus profluxit, ſurditas nonnihil eſt levata, proximisque diebus ſtomachi faſtidium et ſurditas aderat, et delira erat. Vigeſimo pedum

κωφότης παρά[302]ληρος, ἀπέλιπεν, ἡμοῤῥάγησεν μικρὰ διὰ ῥινῶν, ἵδρωσεν ἄπυρος. κδ ὁ πυρετὸς ὑπέστρεψεν, κώφωσις πάλιν, ποδῶν ὀδύνη, παρέμεινε παρακοπή. κζ ἵδρωσε πολλὰ, ἄπυρος, ἡ κώφωσις ἐξέλιπεν, ἡ τῶν ποδῶν ὑπέμενεν ὀδύνη, τὰ δ᾽ ἄλλα τελέως ἐκρίθη.

[302] || [Ἄῤῥωστος ὄγδοος.] Ἐν Ἀβδήροισιν Ἀναξίωνα, ὃς κατέκειτο παρὰ τὰς Θρηϊκίας πύλας, πυρετὸς ὀξὺς ἔλαβεν, πλευροῦ ὀδύνη δεξιοῦ συνεχής. ἔβησσε ξηρὰ, οὐδ᾽ ἔπτυε τὰς πρώτας. διψώδης, ἄγρυπνος, οὖρα εὔχροα πολλὰ λεπτά. στ παράληρος. πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. ζ ἐπιπόνως, ὁ γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλουν, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔτεμον, ἐῤῥύει πολλὸν οἷον δεῖ, ξυνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες ξηραὶ παρείποντο. ια ξυνέδωκαν οἱ πυρετοὶ, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. ἔτι βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρότερα. ιζ ἤρξατο σμικρὰ πέπονα πτύειν, ἐκουφίσθη, διψώ-

dolor cepit, surditas et delirium intermisit, paucus ex naribus sanguis prorupit, sudoribus a febre liberata est. Quarto et vigesimo febris repetiit, rursusque surditas, pedum dolor perseveravit, mens emota est. Septimo et vigesimo copiosis obortis sudoribus a febre immunis fuit, surditas reliquit, pedum dolor aliquantulum tenuit. In reliquo vero perfecta judicatione absoluta est.

[*Aeger octavus.*] Abderae Anaxionem ad Threicias portas decumbentem febris acuta prehendit, lateris dextri dolor continens tenebat, tussis erat sicca, neque quicquam primis diebus expuebat. Siti cruciabatur atque insomnia, urinae probe coloratae erant, copiosae et tenues. Sexto die deliravit. Fotus vero nihil profecerunt. Septimo moleste habuit. Nam et febris intendebatur, neque dolores remiserant et tusses infestabant, et difficilis spiratio inerat. Octavo secta in cubito vena, multus sanguis prout debuit effluxit, dolores certe remiserunt, verum tusses siccae perseverarunt. Undecimo leniores fuerunt febres, paucus sudor circa caput prodiit, etiamnum tusses tenebant, et quae ex pulmone prodibant liquidiora erant. Decimo septimo

δης δὲ ἦν, καὶ τῶν ἀπὸ πλεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. κ ἵδρωσεν ἄπυρος, μετὰ δὲ κρίσιν ἐκουφίσθη. κζ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβησσεν, ἀνῆγε πέπονα πολλὰ, οὔροισιν ὑπό-(736)στασις πολλὴ λευκὴ, ἄδιψος ἐγένετο, ὕπνοι. λδ ἵδρωσε δι' ὅλου, ἄπυρος ἐκρίθη πάντα.

[303] || [Ἄῤῥωστος ἔνατος.] Ἐν Ἀβδήροις Ἡρόπυθος κεφαλὴν ὀρθοστάδην ἐπιπόνως εἶχεν, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη. ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς, πυρετὸς ἔλαβε καυσώδης ὀξύς. ἔμετοι τὸ κατ' ἀρχὰς πολλῶν χολώδεων, διψώδης, πολλὴ δυσφορίη. οὖρα λεπτὰ μέλανα, ἐναιώρημα μετέωρον ὁτὲ μὲν, ὁτὲ δ' οὔ· νύκτα ἐπιπόνως, πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως, περὶ δὲ ιδ κώφωσις, οἱ πυρετοὶ ἐξέτεινον, οὖρα διὰ τῶν αὐτῶν. κ πολλὰ παρέκρουσε καὶ τὰς ἑπομένας. μ διὰ ῥινῶν ἡμοῤῥάγησε πουλὺ, καὶ κατενόει μᾶλλον, ἡ κώφωσις ἐνῆν

coepit pauca et concocta expuere, allevatus est. Vigesimo sudore oborto febre liber fuit, a judicatione vero melius habuit. Sitis autem vexabat, nec probae pulmonis expurgationes erant. Septimo et vigesimo rediit febris, tussivit, concocta plurima eduxit, in urinis alba multa subsidebant, sitis desiit, somnum cepit. Trigesimo quarto sudore per totum corpus diffuso, febre liberatus et prorsus est judicatione absolutus.

[*Aeger nonus.*] Abderae Heropythus rectus et obambulans ex capite doluit, neque vero multo post decubuit. Is habitabat ad superiorem tractum, febris erat ardens, acuta. Statim initio plurima biliosa vomitione refusa sunt, sitis aderat et magna corporis jactatio et incontinentia. Urinae tenues, nigrae, in quibus interdum quidem suspensum quiddam in medio innatans sublime erat, interdum vero non. Nox laboriosa, febrium accessiones subinde variae ac plerumque inordinatae. Sub decimum vero quartum diem obsurduit, febres intendebantur, urinae eaedem. Vigesimo itemque proximis diebus permultum deliravit. Quadragesimo multus e naribus sanguis erupit, magisque ad sese rediit,

μὲν, ἧσσον δὲ, οἱ πυρετοὶ ξυνέδωκαν. || ἡμοῤῥάγει τὰς ἑπομένας, πυκνὰ καὶ κατ᾽ ὀλίγον. περὶ δὲ τὴν ξ αἱ μὲν αἱμοῤῥαγίαι ἀπεπαύσαντο. ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ καὶ οἱ πυρετοὶ ἐπέτεινον. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον πόνοι τῶν κάτω πάντων, ξυνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς εἶναι μείζους καὶ τὴν κώφωσιν πολλὴν, ἢ ταῦτα μὲν ὑφιέναι καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία μείζους εἶναι τοὺς πόνους. ἤδη δὲ περὶ τὴν ὀγδοηκοστὴν ξυνέδωκε μὲν πάντα, ξυνέλιπε δὲ οὐδέν. οὖρά τε γὰρ εὔχροα καὶ πλείους ὑποστάσιας ἔχοντα κατέβαινεν, οἱ παράληροί τε μείους ἦσαν. περὶ δὲ ἑκατοστὴν κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη, (737) καὶ ἤει χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα, καὶ πάλιν δυσεντεριώδεα μετὰ πόνου, τῶν δὲ ἄλλων ῥαστώνη. τὸ δὲ σύνολον οἵ τε πυρετοὶ ἐξέλιπον καὶ ἡ κώφωσις ἐπαύσατο. ἐν ἑκατοστῇ τέλεως ἐκρίθη. καῦσος.

[304] || [Ἄῤῥωστος δέκατος.] Ἐν Ἀβδήροις Νικόδημον

ſurditas inerat quidem, verum minus vexabat, remiſerunt febres. Conſequentibus diebus crebro et paulatim ſanguis e naribus profluxit. Ad ſexageſimum vero diem deſierunt quidem ſanguinis e naribus eruptiones, verum coxendicis dextrae vehemens dolor tenuit, ac febres intendebantur. Neque vero multo poſt inferiorum omnium partium dolores exorti ſunt. Contigit autem ut aut febres majores eſſent, ſurditasque juncta, aut iſta quidem remitterent et allevarent, verum inferiorum ad coxendices partium graviores fierent dolores. Jam vero ad octogeſimum remiſerunt quidem omnia, verum nihil dereliquit. Nam et urinae probati coloris, in quibus plura ſubſidebant, prodierunt et deliria ſunt imminuta. Circiter centeſimum alvus bilioſis multis perturbata eſt, nec pauco tempore talia multa procedebant, tandemque inteſtinorum difficultas cum dolore vexavit, caetera commode habebant. In totum autem, tum febres reliquerunt, tum ſurditas deſiit. Centeſimo prorſus eſt judicatione abſolutus. Febris erat ardens.

[*Aeger decimus.*] Abderae Nicodemus ex venere et

ἐξ ἀφροδισίων καὶ ποτῶν πῦρ ἔλαβεν. ἀρχόμενος δὲ ἦν ἀσώδης, καὶ καρδιαλγικὸς, διψώδης, γλῶσσα ἐπεκαύθη, οὖρα λεπτὰ μέλανα. β ὁ πυρετὸς παρωξύνθη, σφικώδης, ἀσώδης, οὐδὲν ἐκοιμήθη, ἤμεσε χολώδεα ξανθὰ, οὖρα ὅμοια, νύκτα δι' ἡσυχίης, ὕπνωσε. γ ὑφῆκε πάντα, ῥαστώνη δὲ ἦν, περὶ ἡλίου δυσμὰς πάλιν ὑπεδυσφόρει, νύκτα ἐπιπόνως. τετάρτη ῥῖγος, πυρετὸς πουλὺς, πόνοι πάντων, οὖρα λεπτὰ, ἐναιώρημα, παρέκρουσε πολλά. ζ ῥαστώνη. η τὰ ἄλλα ξυνέδωκε πάντα. ι καὶ τὰς ἑπομένας ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες, οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τουτέῳ διὰ τέλεως ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. εἰκοστῇ οὔρησε λευκὸν, πάχος εἶχε, κείμενον οὐ καθίστατο. ἵδρωσε πολλὰ, ἔδοξεν ἄπυρος γενέσθαι. δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ πόνοι, φρίκη, δίψα, σμικρὰ παρέκρουσε. κδ οὔρησε πολὺ λευ-

potu febre correptus est. Per initia autem stomachi fastidio et oris ventriculi dolore cum siti conflictabatur. Lingua exusta est, urinae tenues ac nigrae. Postridie febris invasit cum horroris sensu et stomachi fastidio, nihil dormivit, biliosa, flava, vomitione sunt refusa, urinae eaedem perseverabant, noctem quietam transegit, somnum cepit. Tertio die imminuta sunt omnia et tranquillitas adsuit. Sub solis occasum rursus corporis implaciditate aliquantulum tentatus est, noctem permoleste tulit. Quarto rigor cepit, febris magna, omnium dolores aderant, urinae tenues erant, ac suspensum quiddam in medio innatans habebant, multum deliravit. Septimo allevatio fuit. Octavo caetera remiserunt omnia. Decimo sequentibusque diebus dolores quidem tenuerunt, verum leviores erant. Accessiones vero et dolores hunc perpetuo diebus fere paribus invaserunt. Vigesimo urinam reddidit albam, cui crassitudo inerat, nec deposita subsidebat, copioso sudore prosuso visus a febre liber esse. Sub vesperam autem rursus incaluit, iidemque dolores vexarunt, horror adsuit, sitis, nonnihil deliravit. Quarto et vigesimo copiosam urinam albam reddidit, in qua multa

κὸν, πολλὴν ὑπόστασιν ἔχον· ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη.

[305] (738) [Ἄῤῥωστος ἑνδέκατος.] Ἐν Θάσῳ γυνὴ δυσάνιος, ἐκ λύπης μετὰ προφάσιος ὀρθοστάδην ἐγένετο ἄγρυπνός τε καὶ ἄσιτος, καὶ διψώδης || ἦν καὶ ἀσώδης· ᾤκει δὲ πλησίον τοῦ Πυλάδου ἐπὶ τοῦ λείου· τῇ πρώτῃ ἀρχομένης νυκτὸς φόβοι, λόγοι πολλοὶ, δυσθυμίη, πυρέτιον λεπτόν· πρωῒ σπασμοὶ πολλοὶ, ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν, ἠσχρομύθει, πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες· δευτέρῃ διὰ τῶν αὐτῶν, οὐδὲν ἐκοιμᾶτο, πυρετὸς ὀξύτερος· τρίτῃ οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ καὶ καταφορὴ καὶ πάλιν ἔγερσις· ἀνήϊσσε, κατέχειν οὐκ ἠδύνατο, παρέλεγε πολλά· πυρετὸς ὀξὺς, ἐς νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· ἄπυρος, ὕπνωσε, πάντα κατενόει, ἐκρίθη· περὶ δὲ τὴν τρίτην ἡμέρην οὖρα μέλανα λεπτά.

ſubſidebant. Sudore calido copioſo per totum corpus diffuſo, a febre judicatione eſt abſolutus.

[*Aeger undecimus.*] Mulier quaedam in Thaſo auſtera et aſpera, ex moerore manifeſto recta adhuc et obambulans, inſomnia et ciborum faſtidio tentata eſt, ſiti et magna corporis aeſtuatione premebatur. Habitabat autem ad Pyladis aedes in Plano. Primo die appetente nocte, metus, ſermones multi, animi aegritudo, febricula levis cepit, mane convulſiones multae vexarunt. Ac ſicubi convulſiones illae multae intermitterent, delirabat, obſcena loquebatur, dolores multi, vehementes et continentes aderant. Poſtridie eadem perſeverarunt, ſomnum non cepit, febris ingraveſcebat. Tertio convulſiones certe ceſſarunt, ſopor vero atque in ſomnum degravatio tenuit, rurſumque expergefacta eſt, exiliit, neque ſeſe continere poterat, multum delirabat, febris erat acuta. Eadem autem nocte ſudor copioſus, calidus, toto corpore dimanavit, a febre immunis fuit, ſomnum cepit, omnino ad ſeſe rediit, judicatione eſt abſoluta. Ad tertium vero diem urinae nigrae, tenues erant, habebantque in medio ſuſpenſum quiddam innatans, rotundum admodum,

ἐναιώρημα δὲ ἐπὶ πολὺ στρογγύλον, οὐχ ἵδρυτο, περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

[306] || [Ἄῤῥωστος δωδέκατος.] Ἐν Λαρίσσῃ παρθένον πυρετὸς ἔλαβεν, καυσώδης, ὀξὺς, ἄγρυπνος, διψώδης, γλῶσσα λιγνυώδης, ξηρή. οὖρα εὔχροα μὲν, λεπτὰ δέ. δευτέρῃ ἐπιπόνως, οὐχ ὕπνωσε. τρίτῃ πολλὰ διῆλθεν ἀπὸ κοιλίης, ὑδατόχροα, καὶ τὰς ἑπομένας διήει τοιαῦτα εὐφόρως. τετάρτῃ οὔρησε λεπτὸν ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο, παρέκρουσεν (739) ἐς νύκτα. στ διὰ ῥινῶν λαῦρον ἐῤῥύη πουλὺ, φρίξασα, ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη, ἐν δὲ τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη τότε πρῶτον, παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης, ἔρευθος προσώπου, ὀμμάτων ὀδύνη, καρηβαρική. ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη. οἱ πόνοι ἐν ἀρτίῃσι.

neque ſubſidebat. Sub judicium autem muliebria copioſa profluxerunt.

[*Aeger duodecimus.*] Lariſſae virginem quandam febris ardens et acuta prehendit, pervigil erat, ſitibunda, lingua ſuliginoſa, arida. Urinas probati quidem coloris reddidit, tenues tamen. Poſtridie moleſte habuit, non dormivit. Tertio die alvus aquoſa multa transmiſit, proximisque diebus talia commode prodierunt. Quarto urinam tenuem, paucam reddidit, quae ſuſpenſum quid in medio innatans ſublime habebat, neque ſubſidebat, ſub noctem deliravit. Sexto ex naribus ſanguis abunde multus effluxit, atque ubi inhorruiſſet, ſudore copioſo calido per totum corpus diſſluente, ex febre immunis judicatione liberata eſt. In febribus autem, jamque peracta judicatione, tum primum muliebria deſcenderunt, quod illibatae virginitatis eſſet. Prorſus vero ſtomachi faſtidio laborabat, horrebat, faciei rubor aderat, oculorum dolor et capitis gravitas. Huic morbus non repetiit, ſed judicatione eſt abſoluta. Dolores diebus paribus invadebant.

[307] || [Ἄῤῥωστος τρισκαιδέκατος.] Ἀπολλώνιος ἐν Ἀβδήροισιν ὀρθοστάδην ὑπεφέρετο χρόνον πουλύν. ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη χρόνον πουλὺν παρείπετο, καὶ δὴ τότε καὶ ἰκτερώδης ἐγένετο. φυσώδης χροιῆς τῆς ὑπολεύκου. φαγὼν δὲ καὶ πιὼν ἀκαιρότερον βόειον, ἐθερμάνθη σμικρὰ τὸ πρῶτον, κατεκλίθη. γάλαξι δὲ χρησάμενος ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι. οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν. κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου. οὖρά τε λεπτὰ καὶ ὀλίγα διήει, ὕπνοι οὐκ ἐνῆσαν. ἐμφύσημα κακὸν, || πουλὺ δίψος, κωματώδης, ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ, ἄκρεα πάντοθεν ὑπόψυχρα, σμικρὰ παρέλεγε, λήθη πάντων ὅτι λέγοι, παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ᾽ ἧς ῥιγώσας ἀπεθερμάνθη κατεκλίθη, καὶ ἐξεμάνη, βοὴ, ταραχὴ, λόγοι πολλοὶ, καὶ πάλιν ἵδρυσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθε. μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης, πολλοῖσι, χολώδε-

[*Aeger decimus tertius.*] Abderae Apollonius diu rectus et obambulans morbum ſuſtinuit. In tumorem autem ei elata erant viſcera, et conſuetus hepatis dolor longo tempore perſeveravit, ac tunc ſane etiam auriginoſus factus eſt, flatibus abundabat et colore erat ſubalbido. Ex intempeſtiviore vero potu et bubulae eſu, aliquantulum primum incaluit, decubuit. Deinde cum lacte uſus eſſet copioſo crudo et cocto, caprillo et ovillo, vitioſaque victus ratione, inſignes omnium offenſiones factae ſunt. Nam et febres exaſperatae ſunt, neque memorabile aliquid ex ingeſtis alvus reddidit, urinae tenues et paucae, neque ſomnum capiebat, mala inflammatio aderat, ſitis multa, ſopore detinebatur, praecordia dextra cum dolore intumuerant, extrema undiquaque frigeſcebant, aliquantulum delirabat, omnium quae dixiſſet capiebat oblivio, mente emovebatur. Ad decimum quartum diem, ex quo ſuborto rigore incaluit, decubuit, vehementer inſanivit, clamor, perturbatio, ſermo multus, mox contra repreſſus eſt, atque tum ſopor invaſit. Deinde vero alvus perturbata, copioſa, bilioſa, ſincera et cruda

σιν, ἀκρήτοισι, ὤμοῖσιν, οὖρα μέλανα, σμι(740)κρὰ, λεπτά. πολλὴ δυσφορίη, τὰ τῶν διαχωρημάτων ποικίλως, ἢ γὰρ μέλανα καὶ σμικρὰ καὶ ἰώδεα, ἢ λιπαρὰ καὶ ὠμὰ καὶ δακνώδεα. κατὰ δὲ χρόνους ἐδόκεε καὶ γαλακτώδεα διδόναι. περὶ δὲ εἰκοστὴν τετάρτην διὰ παρηγορίης, τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν. ἐξ οὗ δὲ κατεκλίθη οὐδενὸς ἐμνήσθη. πάλιν δὲ ταχὺ παρενόει, ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριηκοστὴν πυρετὸς ὀξύς. διαχωρήματα πολλὰ λεπτὰ, παράληρος, ἄκρεα ψυχρὰ, ἄφωνος. τριηκοστῇ τετάρτῃ ἀπέθανε, τουτέῳ διὰ τέλεος ἐξ οὗ καὶ ἐγὼ οἶδα κοιλίη ταραχώδης, οὖρα λεπτὰ μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, παράληρος διὰ τέλεος, φρενιτικός.

[308] || [*Ἄῤῥωστος τεσσαρεσκαιδέκατος.*] Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας τεκούσῃ διδύμους καὶ δυστοκησάσῃ καὶ οὐ πάνυ καθαρθείσῃ, τὸ μὲν πρῶτον ἐπῆλθε πυρετὸς φρικώδης ὀξὺς, κεφαλῆς καὶ τραχήλου βάρος μετ᾽ ὀδύνης. ἄγρυ-

demisit, urinae nigrae, paucae, tenues erant, magna corporis implaciditas, alvi recrementa varia. Nempe vel nigra, pauca et virulenta, vel pinguia, cruda et mordacia dejecit, ac tandem etiam lacti similia reddere visa est. Sub vigesimum quartum diem allevatio fuit, in reliquo quidem eadem perseveravere, verum aliquantulum ad intelligentiam rediit, ex quo namque decubuerat, nihil meminit, statimque rursus desipiebat, atque in deterius omnia tendebant. Circa trigesimum vero diem febris acuta invasit, alvi recrementa copiosa et tenuia, delirus fuit, extrema perfrixerunt, vox defecit. Quarto et trigesimo vita defunctus est. Ex quo eum vidi, huic perpetuo alvus turbulenta fuit, urinae tenues, nigrae, sopore detentus et insomnis, extremitates frigidae, per totum morbum deliravit. Phrenitide periit.

[*Aeger decimus quartus.*] Mulierem in Cyzico gemellas laboriose enixam, cum non admodum partus purgamenta processissent, primum quidem febris corripuit horroris sensu insignis et acuta, capitis et cervicis gravitas non sine dolore tenuit. Inter exordia insomnia vexata est, taciturna autem

Ed.Chart.IX.[308. 309.] Foës. II. 1114. 1115. Ed. Lind. I. (740. 741.)

πρὸς ἐξ ἀρχῆς, σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη· οὖρα λεπτὰ καὶ ἄχροα, διψώδης, ἀσώδης τὸ πουλὺ, κοιλίη πεπλανημένως ταραχώδης, καὶ πάλιν ξυνισταμένη. ἕκτη ἐς νύκτα πολλὰ παρέλεγε, οὐδὲν ἐκοιμήθη. περὶ δὲ ἑνδεκάτην ἐοῦσα ἐξεμάνη καὶ πάλιν κατενόει. οὖρα μέλανα, λεπτὰ καὶ πάλιν διαλείποντα, ἐλαιώδεα, καὶ κοιλίη πολλοῖσι, λεπτοῖσι, ταραχώδεσι. ιδ σπασμοὶ πολλοὶ, ἄκρεα ψυχρὰ, οὐδὲν ἔτι κατενόει, οὖρα ἀπέστη. ιστ ἄφωνος. ιζ ἀπέθανε. φρενῖτις.

[309] (741) [Ἄῤῥωστος πεντεκαιδέκατος.] Ἐν Θάσῳ Δεάλκους γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης, ὀξὺς, ἐκ λύπης ἔλαβεν. ἐξ ἀρχῆς δὲ || περιεστέλλετο, καὶ διὰ τέλεος ἀεὶ σιγῶσα ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει, δάκρυα, καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο. ἀπὸ κοιλίης ἐρεθισμοὶ, οὐδὲν διῄει, μικρὰ ὑπομιμνησκόντων ἔπινεν. οὖρα λεπτὰ σμικρὰ, πυρετοὶ πρὸς χεῖρα λεπτοὶ, ἀκρέων

erat, tetrico et superciliofo vultu, et quae nullis perfuafionibus flecti poterat. Urinas tenues et decolores reddidit, fiti premebatur, ac ut plurimum ftomachi faftidio laborabat, alvus inordinate quidem et inconftanter perturbabatur, rurfusque confiftebat. Sexto die fub noctem multum deliravit, fomnum non cepit, circaque undecimum vehementer infaniit, ac rurfus ad intelligentiam rediit. Urinas nigras, tenues, moxque ubi aliquantulum intermififfent, oleofas reddidit et ab alvo multa, tenuia et turbulenta prodiere. Decimoquarto convulfionibus multis appetita eft, extrema erant frigida, neque amplius ad mentem rediit. Urinae reftiterunt. Decimo fexto voce defecta eft. Decimo feptimo pleuritide periit.

[*Aeger decimus quintus.*] Dealcis uxorem in Thafo, quae in Plano decumbebat, febris horroris fenfu infignis et acuta ex moerore prehendit. Ab initio autem pannis contegebatur, et ad finem usque femper taciturna fuit, manibus palpabat, evellebat, fcalpebat, floccos legebat, lacrimas fundebat, moxque ridebat, fomnum non capiebat, alvus irritata nihil demittebat, parum nec nifi commonefacta bibebat. Urinae tenues et paucae erant, febres ad manus con-

ψύξις. ἐνάτῃ πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη σιγῶσα. τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιὸν μέγα διὰ χρόνου καὶ πάλιν βραχύπνοος. ἑπτακαιδεκάτῃ ἀπὸ κοιλίης ἐρεθισμὸς ταραχώδης. ἔπειτα αὐτὰ τὰ ποτὰ διήει, οὐδὲν συνίστατο. ἀναισθήτως εἶχε πάντων, δέρματος περίτασις καρφαλέου. εἰκοστῇ λόγοι πολλοὶ, καὶ πάλιν ἱδρύνθη ἄφωνος, βραχύπνοος. καὶ ἀπέθανεν, ἦν ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν μέγα. ἀναισθήτως πάντων εἶχεν, ἀεὶ περιεστέλλετο, ἢ λόγοι πολλοὶ ἢ σιγῶσα διὰ τέλεος. φρενῖτις.

[310] || [Ἄῤῥωστος ἑξκαιδέκατος.] Ἐν Μελιβοίῃ νεηνίσκος ἐκ ποτῶν καὶ ἀφροδισίων πολλῶν πουλὺν χρόνον θερμανθεὶς κατεκλίθη. φρικώδης δὲ καὶ ἀσώδης ἦν, ἄγρυπνος, καὶ ἄδιψος. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε σὺν περιῤῥόῳ πολλῷ, καὶ τὰς ἐπομένας ὑδατόχλοα πολλὰ διήει. οὖρα λεπτὰ, ὀλίγα, ἄχροα, πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου. ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παραμή-(742)

tactum leves apparebant, ſumma corporis frigeſcebant. Nono die multum deliravit, ac mox compoſita fuit et taciturna. Decimo quarto ſpiratio rara, magna, longo tempore tenuit, rurſusque brevis. Decimo ſeptimo irritatione turbulenta commota eſt alvus, deinde potus ipſi pertransibant, neque conſiſtebant, omnium ſenſum perdiderat, cutis erat diſtenta et arida. Vigeſimo multum obloquebatur, ac mox compoſita fuit, vox defecit et brevem ſpiritum trahebat. Primo et vigeſimo defuncta eſt. Huic perpetuo ad finem usque ſpiratio rara et magna aderat, nihil omnino ſentiebat, ſemper pannis contegebatur, aut ſermones multos fundebat aut fere usque taciturna erat. Phrenitide laboravit.

[*Aeger decimus ſextus.*] Meliboeae adoleſcens quidam ex comeſſationibus, liberaliore potu ac venere longo tempore incaluit et decubuit. Horrorem autem ſentiebat et aeſtuabundus erat, pervigil, neque ſiti premebatur. Alvus primo die ſtercora multa demiſit cum magno humorum affluxu, proximisque diebus aquae ſimilia plurima prodiere. Urinas reddidit tenues, paucas, decolores. Spiratio erat rara, magna, ex longis intervallis. Praecordiorum con-

κης ἐξ ἀμφοτέρων. καρδίης παλμὸς, διὰ τέλεος ξυνεχής. οὔρησεν ἐλαιῶδες, παρέκρουσεν ἀτρεμέως, κόσμιός τε καὶ ἥσυχος, δέρμα καρφαλέον καὶ περιτεταμένον. διαχωρήματα πολλὰ καὶ λεπτὰ ἢ χολώδεα, λιπαρά. ιδ πάντα παρωξύνθη, παρεκρούσθη, πολλὰ παρέλεγεν. κ ἐξεμάνη βληστρισμὸς, οὐδὲν οὔρει, μικρὰ ποτὰ κατείχετο. τῇ κδ ἀπέθανε, φρενῖτις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ.

[312] || Μετ᾽ ἰσημερίην καὶ μετὰ πληϊάδα, οἷα τὰ ἀνεσθιόμενα καὶ βλεννώδεα, ἃ τὴν κεφαλὴν ὦξε, ἀπῆλθεν ὑπὲρ τοῦ ὠτός. τῷ παρὰ Λεωκύδεος ἐν ποδὶ, Φανοδίκῳ οἱ δάκτυλοι οἱ ἐν τῷ ποδὶ, ἐπὶ τοῦ στήθεος. ὁ τμηθεὶς τὴν κνήμην ταύτῃ μὲν καὶ ἐμελάνθη. ἧ τὸ μέγα ἕλκος, ἐν τῷ ἔξω τῆς κνήμης καὶ ἐκ τοὔπισθεν ᾔει. ἐπεὶ καθαρὸν ἐγίνετο,

tenſio ſubmollis aderat, utrimque promiſſa, perpetua et continens cordis palpitatio, urinam minxit oleoſam, paulatim mente motus eſt, compoſitusque erat et taciturnus, cutis reſiccata et diſtenta, alvi recrementa vel multa et tenuia, vel bilioſa et pinguia. Decimo quarto exaſperata ſunt omnia, mente motus eſt, valde deliravit. Vigeſimo vehementer inſanivit, corporis incontinentia et jactatio aderat, nihil minxit, potionem vix continebat. Quarto et vigeſimo ex phrenitide periit.

HIPPOCRATIS DE MORBIS VULGARIBVS LIBER QVARTVS.

Poſt aequinoctium et vergilias, velut excedentia et mucoſa quaedam, quae caput perruperunt, ſupra autem ſeceſſerunt et ei qui apud Leocydem erat, in pedem decubuerunt, Phanodico in pedum digitos, ad imam pedis plantam, quod Graecis στῆθος dicitur. Qua parte cuidam in tibia ſectio fuit, ea quidem illi denigrata eſt. Ulcus erat magnum et externam tibiae partem ac poſteriorem perva-

πλευροῦ ὀδύνη καὶ στήθεος κατ' ἴξιν ἀριστεροῦ, καὶ πυρετοί. ἀπέθανεν ἀπὸ τοῦ πυρετοῦ. [313] τὸ χολῶδες τῷ σχοινοπλόκῳ κατακορὲς, καὶ τὰ καυστικὰ καταφερομένῳ περὶ ἰσημερίην, κάτω αἷμα πολὺ διῆλθε. γέροντι πάνυ σφόδρα ἀπεγένετο, οὐ πρόσω τεσσαρεσκαίδεκα ἡμερέων. τῷ δὲ στιγματίῃ παρ' Ἀντιφίλου καυστικῷ κριθέντων ἑβ(743)δόμῃ χολώδεϊ τυφώδεϊ. τρίτῃ μετὰ κρίσιν ἢ οὕτως αἷμα ἔπτυσε, περιεγένετο, καὶ ὑποστροφὴ ὕστερον ἐγένετο. ἐκρίθη, ὡς εἰκὸς, περὶ πληϊάδων δύσιν τὸ πρῶτον· μετὰ δὲ πληϊάδων δύσιν, χολώδης εἰς μανίην. κρίσις περιεγένετο περὶ ἐνάτην ἄνευ ἱδρῶτος. περὶ ἰσημερίην ὁ Χαλκιδόνιος, ὁπὸ πυλέων μετακομισθεὶς παρ' ἀγορήν. ῥήγματος περὶ μαζὸν δεξιὸν ὀδυνώμενος, ἔπτυεν ἄλλοτε καὶ ἄλλοτε ὑπόχλωρον, γαστὴρ. ἱδρὼς ἀρξάμενος ἑβδόμῃ εἶχε τὰ πολλὰ ἄχρις ὀγδόης, ἐκρίθη τεσσαρεσκαιδεκάτῃ. περὶ δὲ τεσσαρακοστὴν ἤρθη περὶ τὰ ὦτα οἱ ἀμφότερα. οὐκ ἀπεοικὸς ἐδόκει ἔμπυος ἔσεσθαι, οὐκ ἐγέ-

debat, quod ubi perpurgabatur, pectoris et lateris finiftri e directo dolor et febres corripiebant, unde interiit. Spartario exquifite biliofum decubuit, eique cauftica admoventi circa aequinoctium fanguis deorfum affatim prodiit. Seni mirum in modum deceffit, non ultra quatuordecim dies. Notis ab Antiphilo compuncto, inufto, die feptimo judicatio contigit, biliofo moto. Tertio poft judicationem die aut non longe poftea, fanguinem fputo rejecit, fuperftes extitit, tandemque in morbum recidit. Ad vergiliarum occafum primum judicatione, ut par erat, abfolutus eft. Ab occafu autem vergiliarum biliofus et ad infaniam adactus, judicatione circa nonum diem absque fudoribus facta, fuperftes evafit. Sub aequinoctium Chalcidonius, qui a portis in forum delatus, ex ruptione ad mammam dextram dolebat, fubinde aliquantulum ex virore pallefcens fpuebat, alvus bene habuit. Sudor cum feptimo die coepiffet, fere ad octavum usque tenuit, decimoquarto judicatione abfolutus eft. Sub quadragefimum vero ei tubercula ad utramque aurem fublata funt. Non abs re credebatur purulentus fore,

Ed.Chart.IX.[313.314.] Foëf. II. 1120. 1121. Ed. Lind. I. (743. 744.)

νειο. στῆθος Ἀριστοδήμῳ ἐκαύθη. τῷ Φιλίδος οἷ ὡς ἀπέβη ἐκ πτώματος καὶ τούτῳ. προϋπῆρχε δὲ ὀδύνη τις ἀνωτέρω. μετ' ἰσημερίους φθινοπωρινὰς ὑποστροφαὶ, καὶ ἄλλως μέχρι τροπέων χειμερινῶν. μεθ' ἡλίου τοῦ θερινοῦ ἡ Ἀχελώου ἑκταίη ἀπέφθειρεν αἱματώδης ἐοῦσα καὶ φρικώδης, καὶ ἱδρῶτες. κρίσις τεσσαρεσκαιδεκάτη. ὁποσάμηνον οὐκ οἶδα. ἄρσεν δὲ καὶ ἄλλο πρὸς τὰς εἴκοσιν ἔφη, εἰ ἀληθέα, οὐκ οἶδα.

|| Περὶ ἡλίου τροπὰς χειμερινὰς βόρεια ἦν. ἰκτεριώδεες ἐγένοντο κατακορέως, καὶ οἱ μὲν φρικώδεες, οἱ δὲ οὔ· γλῶσσαι ξυγκεκαυμέναι τρίτη, καὶ ὄχλοι περὶ (744) ἕκτην καὶ ἑβδόμην, καὶ οὗτοι μακρὰν ἀποτείνοντες. ιδ γαστέρες ἀντεχόμεναι, καὶ ἐν τῇσι φαρμακείῃσιν οὐχ ὑπακοῦσαι. κατὰ λόγον [314] τῶν πυρετῶν καὶ ἀνιδρῶτες. σπλῆνες ἔστιν οἷσι σμικροὶ, πρὸς ὑποχόνδρια δεξιὰ ἐκτεταμένοι, καὶ πρὸς χεῖρα ὑποβορβορύζοντες. αἱμόῤῥοοι, καὶ οὔροισιν ἡ κάθαρσις καὶ ἡ κρίσις. πολλῷ δὲ μᾶλλον εἴχοντο κάτω· καὶ γὰρ τοῦτο

quod non extitit. Ariſtodemo uſtio in pectore facta eſt. Philidis filio, cui quod aliquid ex caſu abſceſſit, etiam ei pectus inuſtum eſt, ſupra dolor aliquis prius extiterat, poſt aequinoctium autumnale morbi reverſiones factae ſunt, et alias ad brumam usque perſeverarunt. Poſt ſolſtitium Acheloi uxor ſexto die abortionem fecit, cum ſanguine abundaret, horrores ſentiret ac ſudores tenerent. Decimo quarto die judicatio contingit. Quot menſium foetus fuerit neſcio. Ea alium maſculum foetum vigeſimo poſt die abortu reddidiſſe dixit. Atque haud ſcio an vera dixerit.

Sub brumam aquilonii flatus erant, aurigine abunde foedati quidam, atque hi quidem cum horroris ſenſu; alii vero minime. Tertio die linguae aduſtae. Circa ſextum et ſeptimum perturbationes, quae etiam diu perſeverarunt. Decimo quarto alvi renitentes nec medicamentis cedentes, nec pro ratione febrium ulli ſudores. Quibusdam lienes parvi, ad praecordia dextra extenſi et ad manus tactum murmur aliquod edentes. Sanguinis profluvia, ac per urinas purgatio et judicatio. Multo vero magis deorſum ten-

ἐπελαμβάνετο ὑπὸ τὸν χρόνον τοῦτον. οἷσι μὴ οὕτως ἦν σπλῆνες δὲ ἐπηρμένοι. αἱμοῤῥαγίη ἐξ ἀριστεροῦ, ἥλιος ἐτράπετο, τὰ χειμερινὰ χειμερίως ἐν βορείοισι. μετὰ δὲ ὀλίγον νότια ἦν, ἐφ᾽ ἡμέρας πεντεκαίδεκα. μετὰ δὲ ταῦτα νιφετὸς ιδ ἡμέρῃσιν. ἀμφὶ ταῦτα τοῦ ἔτεος ἰκτεριώδεες κατακορέες οὐ κρινόμενοι εἰλικρινέως, φιλυποστροφώδεα. μετὰ δὲ χιόνας νότια ὑπεγένετο καὶ ὑέτια. κόρυζαι κατεῤῥάγησαν καὶ ξὺν πυρετοῖσι καὶ ἄνευ πυρετῶν. ἑνὶ δέ τινι καὶ ἐς ὀδόντας ἐν τοῦ ἀπὸ μέσου προηλγηκότι ἐπὶ δεξιὰ καὶ ὀφρῦν καὶ ὄμμα ἦσαν δὲ καὶ βραγχώδεες, καὶ φάρυγγες φλεγμαίνουσαι, καὶ οἱ σπόγγοι καλεόμενοι ἀνεῖχον, καὶ τὰ παρὰ τὰ ὦτα καὶ γνάθον ἐπάρματα μαλθακὰ καὶ ξὺν πυρετῷ καθίστατο ἀρχομένοισι πυρεταίνειν ἐγίνετο ἐπάνω καὶ ἐπὶ θάτερα τὸ πολλὰ τουτέων, καὶ οἱ σπόγγοι εἰσὶν οἷσιν ὑπὸ τὸ μετόπωρον καὶ χειμῶνα, ἀτὰρ καὶ τὰ πιτυρώδεα, καὶ ἀπέφθειραν πολλαὶ παντοίως καὶ ἐδυστόκεον, ἕκτῃ τῇ παρθένῳ κριθέντα

debant. Nam et hoc tunc contigit. Atqui non isto modo se haberent, lienes vero etiam intumescebant, ii sanguinem ex nare sinistra profundebant. Exacto solstitio bruma cum hibernis algoribus et flatibus aquilonis, paulo vero postea australis tempestas ad quindecim dies erat. Post haec vero nives confertae diebus quatuordecim. Sub hoc anni tempus aurigine abunde colorati quidam, neque sincere judicati, in morbum reciderunt. Post nives austrini imbres successerunt, gravedines cum febribus et sine his eruperunt. Cuidam vero in dentes decubuit, cum antea media corporis parte dolor esset, in dextra, superciliumque et oculum occupavit. Erant autem raucedines et faucium inflammationes, earumque adenes, spongiae dictae, sustollebantur et ad aures ac malas tumores molles, qui etiam cum febre sedabantur. Febricitare incipientibus horum pleraque superne et ad utramque partem enascebantur, et quibusdam tonsillarum tumores sub autumnum et hiemem; quin etiam et porrigines aderant. Multaeque cujusque modi abortu et partus difficultate periclitabantur. Virgini sexto die cum judicatio obvenisset, sex-

ἕκτῃ ὑπετροπίασεν, ἐκρίθη δὲ δι᾽ ἕκτης. (745) πάντα ἐν τούτοισι τοῖσι χρόνοισιν ἑκταῖα, ὀγδοαῖα ἐκρίνετο. περὶ πληϊάδων δύσιας ἡ Μεανδρίου τοῦ τυφλοῦ αὐτίκα χλωρὸν καὶ αὐτίκα πτυῶδες ἔπτυσε περὶ ἕκτην, καὶ ἥπατος ζύμωσις, καὶ κάτω ὑποχώρησις ὀλίγη. σαρκοπυώδεα ἄνω, ὀλίγα, λευκὰ, πλατέα ἀνέπτυσεν, ἀπόσιτος, ἀπέθανεν ἐγγὺς εἰκοσταίη. ἐκ τῶν γειτόνων Θέστορος οἰκέτις, ἐκ καυστικῶν ὑποχωρήσιος χολώδεος, συχνῆς, ὑποχονδρίου ἐντεταμένου. τῇ ἕκτῃ ἐξ ἐπισχέσιός οἱ κοιλίῃ λεπτὰ συχνὰ ἐς ἅπαξ διῆλθε, καὶ εὐθέως ἵδρωσε, καὶ ἐκρίθη, καὶ ἡ κοιλίη ἔστη. ἐς δὲ τὴν αὐτὴν ὥρην ῥιγώσασα ἐπυρέταινε, καὶ ἐς τὴν αὐτὴν πάλιν ὥρην. ἡ Θερσάνδρου, λευκοφλεγματώδης οὐ πάνυ ἐοῦσα θηλάζουσα, ἐπυρέταινεν ὀξύ. ταύτῃ ἡ γλῶσσα ξυνεκαύθη τῶν ἄλλων ξυγκαιομένων. ὑπὸ τὸν χρόνον τοῦτον γλῶσσά τε ἐτρηχύνετο ὥσπερ χαλαζώδει πυκνῷ [315] καὶ ἑλμίνθια κατὰ στόμα. περὶ δὲ τὴν κ̄ οὐ τελέως ἐκρίθη.

to in morbum recidit. Judicata vero eft per fextum diem. Hifce temporibus omnia fexto et octavo die judicabantur. Sub vergiliarum occafum Meandri caeci uxor, ftatim ex virore pallefcens, ftatimque purulentum circa fextum diem expuit, jecur in tumorem fublatum eft, deorfum pauca demifit, carnium purulentarum inftar fputa pauca, alba, lata ore rejecit, cibos averfata eft, mortem obiit circa vigefimum. Ex vicinia Theftoris famulae ex uftione alvi dejectio biliofa, copiofa et praecordiorum diftenfio adfuit. Ipfi fexto die poft fuppreffionem ex alvo tenuia, copiofa femel prodiere, ftatimque fudoribus judicata eft, alvus reftitit. Sub eandem autem horam rigore correpta febricitavit, et rurfus fub idem tempus fudoribus judicata. Therfandri uxor aquae intercutis fpecie quae pituita alba dicitur, non admodum laborans, cum lactaret graviter febricitavit. Huic ex reliquorum incendio lingua fuccenfa eft. Sub hoc tempus lingua etiam vel denfa grandine exafperabatur, et lumbrici ore rejecti. Ad vigefimum vero diem non eft abfolute judicata.

|| Περὶ δὲ πληϊάδων δύσιας ὁ Μητροφάντου τὴν κεφαλὴν πληγεὶς ὑπὸ ἑτέρου παιδὸς ὀστράκῳ καὶ ἀπογενόμενος δωδεκαταῖος, ἐπύρεσε. προφάσιος δὲ ὅτι σμήχων ἔτριψε τὰ περὶ τὸ ἕλκος καὶ μετεψύχθη, καὶ ἐξήρθη τὰ χείλεα αὐτίκα, διελεπτύνθη τὸ δέρμα πολλαχῇ ἀπὸ τοῦ ἕλκεος πρόσω. πρισθέντι δὲ οὐ βραδέως οὔτε πῦον ἐῤῥύη οὔτε ἐκουφίσθη. παρὰ δὲ τὸ οὖς ἐδόκει παραπυΐσκειν, ἐπὶ τῇ γένυϊ ἐπὶ τὰ ἀριστερά. ταύτῃ γὰρ καὶ τὸ ἕλκος. ἔπειτα τοῦτό (746) τε οὐκ ἀπεπύει, καὶ ὁ ὦμος ὁ δεξιὸς ἐνέπυσε ταχέως. ἀπέθανε περὶ κδ. μετὰ πληϊάδων δύσιας ὁ τὸ οὖς ἀλγήσας περὶ εἴκοσιν ὕστερον ἄφωνος, τὰ ἐπὶ δεξιά τε ἀκρατής. ἀπύρετος ἵδρωσε. δεξιὸν οὖς, δεξιὸς ὀφθαλμὸς ἑστήκει οὐ κάρτα, καὶ ἐφείλκετό τι ἐκ τοῦ κάτω μέρεος. ἀριστερὰ δὲ ἴλλαινεν αἰνῶς ὁ ὀφθαλμὸς ὀδυνώμενος. τράχηλος σκληρὸς ἀπεγένετο. τρίτην ὥρην ἴσως ὠδυνήθη ὕστερον. μετὰ πληϊάδων δύσιν ὁ θεράπων ὁ τοῦ Ἀττικοῦ, ὑπὸ τεταρταίου ἁλι-

Sub vergiliarum occaſum Metrophanti puer ab altero teſta in caput ictus, cum ad duodecimum diem deveniſſet, febricitavit. In cauſa autem fuit quod cum ulcus abſtergeret, partes ambientes perfricuit et perfrigeratus eſt, ſtatimque ulceris labra intumuerunt, ultra ulcus undique cutis eſt extenuata. Cum vero non cunctanter ſectus fuiſſet, neque pus effluxit, neque levamentum adfuit: ſed ſecundum aurem ad maxillam ſiniſtram videbatur pus colligi, hac enim parte ulcus extitit. Tandem neque hoc etiam ſuppuravit, et in humerum dextrum pus ſubito collectum eſt. Extinctus eſt circiter vigeſimum quartum. Poſt vergiliarum occaſum cui auris dolebat, is circiter vigeſimum ac poſtea voce deſtitutus eſt, et dextra corporis parte ad motionem impotens, absque febre ſudoribus correptus eſt. Auris dextra dexterque oculus non valde conſtiterunt, et quiddam ex inferiore parte attrahere videbatur. Ex ſiniſtra autem parte oculus cum gravi dolore diſtortus eſt. Cervix ad duritiem devenit, et tertia poſtea hora aequaliter doluit. Poſt vergiliarum occaſum Attici famulus quartana correptus ſtupidus permanſit.

σκόμενος τυφώδης ἱδρύθη. ἕτερος τὴν αὐτὴν ὥρην ἀληθεῖ τυφωμανίη. ἐς ἰσχία καὶ σκέλεα ἦλθεν ὀδύνη, ἐπαύετο· ποσταῖος, οὐ γινώσκω. ταύτην τὴν ὥρην φρικώδεες, ἐμετώδεες, καὶ μετὰ κρίσιν ἀπόσιτοι, καὶ χολώδεες, καὶ σπλῆνες μεγάλοι, σκληροὶ, ὀδυνώδεες καὶ αἱμοῤῥαγικοί. || τοῖσι δὲ τὴν αὐτὴν ὥρην μετὰ πληϊάδων δύσιας ἐκ ῥινῶν αἷμα χλοῶδες ἐπὶ σπλήνοισιν. [316] ἐν Κρανῶνι τῇ Νικοστράτου ληφθείσῃ, τεσσαρεσκαιδεκάτῃ ἔφθασεν αὐτίκα ἀκράτεια τραχήλου καὶ τῶν ἄλλων καὶ σῖτος ἐγκατεκλείσθη μέχρι δεκάτης. πνεῦμα πυκνὸν, σμικρὸν, ἀκρασίη, ψηλαφῶσα δακτύλους, παραλέγουσα, ἱδρῶτες. εἰλκύσθη ἐπὶ τὰ δεξιὰ τράχηλος, στόμα, ὄμμα, ῥίς. οὔρων ὑπόστασις λευκὴ, ὀροβώδης, ἑτέρη λευκὴ, ξυσματώδης ἄλλη, ὑπόχλωρος, λεκιθώδης. ταύτῃ ἔστιν ὅτε ὡς πιμελῶδες (747) ἐφίστατο τοῦτο ἀθρόον, οὐκ ἐπιπολὺ διεσκεδασμένον, οἷον τὸ ἐναιώρημα διεστηκός. οἷον ἔξω ἐξ

Sub idem tempus alter vera typhomania, qui affectus ex phrenitide et lethargo mixtus est, correptus, ubi ad coxendicem et crura dolor venit, quievit. Quo vero id die factum sit nescio. Eodem tempore horrore tentati quidam et vomitionibus, post judicationem cibos aversabantur, bile, lienis tumore, duritie, dolore et sanguinis fluore vexabantur. Quibusdam etiam sub idem tempus post vergiliarum occasum ob lienem affectum sanguis ex virore pallidus e naribus profluxit. Cranone Nicostrati uxorem accessione correptam, ad decimum quartum diem mox colli reliquarumque partium imbecillitas occupavit, et cibus intro conclusus fuit ad decimum usque diem. Spiratio crebra, parva et incontinentia, digitis palpabat, delirabat, sudores aderant. In dextram partem cervix, os, oculos, naris, contracta sunt. In urinis quod subsidebat album erat, ervi simile, aliud album, aliud ramenta referens, aliquantulum ex virore pallescens, lentium farinae simile. Huic interdum velut adipale quiddam in summo extabat, idque confertum neque admodum dispersum, velut quod in medio urinae suspensum innatat disparatum, ovillo velleri non dissimile. Postea autem urina, in qua nihil subsidebat, reddebatur, et interdum quidem talis

οἷος, οὗ τὸ ὑφιστάμενον ἔπειτα οὐρεῖται, καὶ τὸ μέν τι τοιοῦτον, τὸ δὲ ἱδρυμένον. ἄλλο τοιοῦτον ὀλίγον, ἐπὶ πλατὺ διεσκεδασμένον, ἄλλο τεταραγμένον. ἕτερον τοιοῦτον, ἐναιώρημα νεφελίου ὑπομέλανος δοκέοντος πάχος ἔχειν. χαῦνον δὲ ἄλλο λεπτὸν, ἄλλο ἐναιώρημα λεπτὸν τοιοῦτον, ἄλλο οἷον ἵππου, ἄλλο οἷον τὰ ζοφώδεα. ὁ πρῶτος παρενεχθεὶς, μειράκιον, τούτῳ οὖρον καθαρὸν λεπτὸν, πάντων διαχώρησις λεπτὴ, πολλὴ, ἄχολος, γλῶσσα τρηχείη πάνυ, πυρετὸς περικαὴς, ἄγρυπνος, κοιλίη κυρτή. οὗτος παρέκρουσεν, οἶμαι, ὀγδόῃ, τρόπον τὸν ἀκόλαστον, ἀνίστασθαι, μάχεσθαι, αἰσχρομυθέειν ἰσχυρῶς, οὐ τοιοῦτος ἐών. τούτῳ ἀθρόων οὔρων πολλῶν ἐλθόντων λεπτῶν ἐξ ἐπισχέσιος, ὕπνος ἐγένετο ξυνεχὴς καὶ ἱδρὼς, κρίσιμος δοκέων ἐξ οὗ τοιοῦτος, ἴσως περὶ δεκάτην. ἔπειτα ἐξεμάνη τε αὖθις καὶ ἀπέθανε ταχέως ἑνδεκαταῖος, προφάσιος, οἶμαι, τοῦ πιεῖν ἄκρητον συχνὸν πρὶν ἐκμανῆναι. ὀλίγα ἔτεα αὐτῷ, εἴκοσι ἐγγύς.

erat, [interdum] vero in ea aliquid ſubſiſtebat. Quaedam etiam in qua paucum hujusmodi in latitudinem diſperſum, quaedam returbata. Alia ejusmodi erat, ut quod in medio ſuſpenſum innatat, nubeculae aliquantulum nigrae ſimile, et craſſitudinem quandam habere videretur. Quaedam vero mollis et tenuis, quaedam tale ſublimamentum tenue habens, quaedam qualis veterini generis, quaedam velut tenebricoſa continens. Qui primus mente captus eſt adoleſcens, urinam reddidit puram, tenuem, omnium dejectio tenuis, multa, ſine bile fuit, lingua admodum aſpera, febris perurens, pervigil, alvus intumeſcebat. Hic deſipuit octavo, ni fallor, die laſcive admodum, exurgebat, pugnabat, valde obſcoena loquebatur, cum ab iis natura abhorreret. Hunc poſt redditas effuſas ac multas tenues urinas ex ſuppreſſione, ſomnus continuus cepit et ſudor, iccirco quod talis eſſet judicatorius exiſtimatus, fere circa decimum diem. Poſtea et rurſus vehementer inſaniit, et celeriter mortuus eſt undecimo die, ea de cauſa, ut arbitror, quod merum multum antequam vehementer deſiperet potaſſet. Ei pauci erant anni, prope viginti.

Ed. Chart. IX. [316. 317.] Foes. II. 1125. Ed. Lind. I. (747. 748.)

|| Τοῦ φθινοπώρου ἤμεσε χολὴν μέλαιναν ἡ Εὐμενέος, καὶ αἱ ὀδμαὶ δὲ πρόδηλοι, καὶ οἱ φρικώδεες πυρετοὶ, καὶ αἱ καρδιαλγίαι. χολώδεα βραχέα ἀνεμοῦσα καὶ τὸ ἑλμίνθιον. διαχωρήματα λεπτὰ πάντα τὸν χρόνον πρὸ (748) πληϊάδων δύσιος. ἔληγον περὶ αὐτάς αἵ τε αἱμοῤῥαγίαι καὶ βραχύτεροι οἱ πυρετοὶ καὶ ὑποστροφώδεες αὐτίκα, βραχέησιν ὑποστροφῇσι, καὶ ἀπόσιτοι, καὶ ἑφθοὶ, καὶ ἀσώδεες, καὶ καρ[317]διαλγέες, καὶ θηριώδεες ἐν τῇσι κρίσεσι, καὶ ῥιγώδεες καὶ χολώδεες. μειράκιον ξένον τρίτῃ αἷμα ἐκ ῥινῶν πολὺ, καὶ τετάρτῃ καὶ πέμπτῃ. ἕκτῃ ἵστατο κοσμίως, παρέκρουσεν. ἑβδομαῖος γαστὴρ ἑστήκει, κωματώδης ἦν. ὑποστροφὴ τριταίῳ, ἐξέλιπε γαστὴρ ἀντεχομένη. οὖρον οὐκ οἶδα, περὶ κρίσιν οἷον ἔδει, περὶ δὲ πληϊάδων δύσιας νότια καὶ ὑέτια ἦν. κατὰ τότε μειράκιον μυξώδεα, ὑπόχολα, πέπονα ὑπεχώρει γλίσχρα, συχνὰ διαχωρήματα. πῦρ συνεχὲς, γλῶσσα ξηρὴ, ἐκρίθη ἑκταῖος. ἑβδομαῖον αὖθις ἔλαβεν, ἀφῆκεν αὐθήμερον

Eumenis conjux autumno bilem atram vomitione rejecit. Quin et odores id declarabant, et febres horroris sensu insignes vexabant, et oris ventriculi dolores. Biliosa pauca vomuit et lumbricum. Dejectiones tenues erant per totum tempus ante vergiliarum occasum et circum eas cessabant, sanguinisque profluvia et breves febres brevibusque reversionibus statim revertentes aderant. In quibus aegri cibum aversabantur ac velut excocti erant, corporis incontinentia et oris ventriculi dolore vexabantur. Lumbricis conflictabantur circa judicationes, rigoreque erant affecti ac biliosi. Peregrino adolescenti tertio die et quarto et quinto multus e naribus sanguis profluxit, sexto modeste se gessit, desipuit. Septimo die alvus restitit, sopore detinebatur, tertio die morbi reversio facta est, alvus reniti desiit. Urinam non vidi. Sub judicationem prout debebat se gessit. Sub vergiliarum autem occasum austrini flatus et pluviae aderant, tuncque adolescens mucosa, aliquantum biliosa, cocta, glutinosa et crebra alvi recrementa demisit, febris assidua aderat, lingua arida. Sexto die judicatione est absolutus. Septimo rursus prehendit eodemque die dimisit cum tre-

τρόμῳ, ὠτὸς ῥεῦμα κατ᾽ ἀριστερόν. γλίσχρον, παχὺ ἕκτῃ, τῷ παιδίῳ τῷ φαγεδαινωθέντι ὀδόντες οἱ ὑποκάτω, καὶ τῶν ἄνω καὶ τῶν κάτω οἱ ἐμπρόσθιοι ἀνέπλεον. ἔγκοιλον εἶχον, ὀστέον ὧν μὲν ἐκ τῆς ὑπερῴης ἀπέρχεται, μέση ἵζει ἡ ῥίς· ὧν δέ οἱ ἄνω ὀδόντες οἱ ἔμπροσθεν, πλατεῖα ἄκρη. ἀριθμούμενος ὁ πεμπταῖος ἀπὸ τῶν ἔμπροσθεν, τέσσαρας ῥίζας κατὰ δύο συνεζευγμένας, ὡς πρὸς ἑκάτερον τῶν γειτόνων ὀδόντων, ἄκρας ἀποκεκαμμένας εἰς τὸ εἴσω μέρος πάσας. παρὰ τὸν τρίτον ὀδόντα ἀποπυήματα πλείω ἢ παρὰ τοὺς ἄλλους πάντας, καὶ τὰ ἐκ ῥινῶν παχέα ῥεύματα, καὶ ἀπὸ (749) κροτάφων ὀδύναι ἐκ τούτου μάλιστα γίνονται. ἐσθίεται οὗτος, μάλιστα ὁ πέμπτος. ἐκ μέσου μὲν κόνδυλον εἶχεν. δύο δὲ ἔμπροσθεν ὁ μικρὸς, πρῶτος, ἔνδοθεν κατὰ τοὺς δύο ἐβέβρωτο. ῥίζαν μίαν παχέην ὀξέην εἶχεν ὁ ἕβδομος.

|| Τῷ Ἀθηναίῳ δὲ παιδίῳ ἄρσενι ὀδὼν ἐπ᾽ ἀριστερὰ κάτω, ἄνω ὁ ἐπὶ δεξιά. τούτου οὖς δεξιὸν ἐπεπύησεν, οὐκ

more. Sexto in aurem sinistram fluxio glutinosa, crassa decubuit. Puero ulcere exedente, phagedaenas vocant, affecto, inferiores dentes et ex superioribus ac inferioribus primores exundarunt et cavitatem reliquerunt. Quibus quidem os a palato discedit, iis medius desidet nasus. At quibus superiores primores dentes, iis summus nasus latus est. Qui quintus ab anterioribus numerabatur, quatuor habuit radices, quarum duae fere ad vicinum utrumque dentem connexae erant, suis extremis omnes ad interiora inflexas. Ad tertium dentem plures suppurationes quam ad caeteros omnes, et ex naribus crassae fluxiones, et ex temporibus dolores inde maxime contingunt. Exeditur iste praecipue quintus, et ex medio quidem tuberculum habebat. Ex duobus autem primoribus minor primus interna parte juxta duos erodebatur. Septimus radicem unam, crassam, acutam habebat.

Athenaeo autem puero masculo sinistra parte dens inferior, dextra superior doluit. Hujus auris dextra pus col-

Ed.Chart.IX.[517.518.] Foës.II.1126.1127. Ed.Lind.I.(749.750.)

ἔτι ἀλγέοντος. μετὰ δὲ πληϊάδα εὐδίαι ἐπινέφελοι καὶ ὀμίχλαι. κρίσιες πεμπταῖαι καὶ ἑκταῖαι καὶ ἑβδομαῖαι, ἔτι δὲ μακρότεραι. ὑποστροφώδεες οἱ πυρετοὶ, καὶ ἐς τὸ πλανώδεες, καὶ ἀπόσιτοι, καὶ χολώδεες, καὶ δυσεντερίαι ἀπόσιτοι, πυρώδεες. [318] περὶ πληϊάδων δύσιας || νότια ἰσχυρῶς ἦν. αἱμοῤῥαγίαι, καὶ τριταιοφυέες, καὶ ἠπιαλώδεες. ὁ ἐν τῷ σκυτείῳ ἡμοῤῥάγησε κατακορὴς, διαχώρησις ὀλίγη. ἐκρίθη ἑβδομαῖος ῥίγει. ὁ παῖς ὁ παρὰ τὸ ἔσχατον καπηλεῖον ἡμοῤῥάγησε τεταρταῖος. πολλὸν αὐτίκα ἐφλυήρει. γαστὴρ ἀντίσχετο, ὑποχόνδριον ὀδυνῶδες σκληρόν. πρὸς βάλανον ἑκταίῳ ὑπῆλθεν κακὰ χλωρά. ἑβδόμῃ πρωῒ, ῥιπτασμός. πολλὴ βοὴ, φλεβῶν σφυγμοὶ παρ᾽ ὀμφαλόν. ἐν τοῖσιν ὀξυτάτοισι τῶν πυρετῶν οἱ σφυγμοὶ πυκνότατοι καὶ μέγιστοι, οἷον τὸ ἐς δείλην παροξύνεσθαι, τοιοῦτον ἐν πάσῃ τῇ νούσῳ. πρὸς τὰς ἀρχὰς δὲ καὶ οἱ παροξυσμοὶ καὶ τὸ πρωῒ (750) τε-

legit, cum non amplius doleret. Post vergilias tempus placidum, nubilosum et caliginosum fuit. Judicationes quinto et sexto et septimo die fiebant, itemque longius procedebant. Febrium reversiones aderant, quae ad inerrantes vergebant et cibum aversabantur, ac biliosae erant, et intestinorum difficultates cum ciborum fastidio et febre urgebant. Sub vergiliarum occasum austrini flatus vehementer spirabant, sanguinis profluvia, febres ad tertianarum naturam propius accedentes et cum rigore algidae grassabantur. Qui in sutrina erat et bile plurimum abundabat, sanguinem naribus profudit, alvi dejectio pauca aderat, septimo die cum rigore judicatione est absolutus. Puer ad extremam cauponam, quarto die sanguinem ex naribus effudit, illico multum nugabatur, alvus restitabat, cum praecordiis duris et dolentibus. Sexto die glande supposita, mala ex pallido virentia demissa sunt. Septimo sub matutinum tempus corporis jactatio, multus clamor, venarum ad umbilicum pulsationes, ac velut in gravissimis febribus, pulsus creberrimi et maximi erant et per omnem morbum veluti ac vesperam accessiones movebantur. Ad dignoscenda autem principia et accessiones in considerationem adhibendae sunt, et ipsa

ρον σκεπτέον, καὶ τὸ συνεχέον, καὶ τὸ τοῦ ἐνιαυτοῦ. μετὰ πληϊάδων δύσιας νότια, πέμπτῃ κρινόμενα διαλιπόντα μίαν λαμβάνει. τὰ δὲ φολλικώδεα ἐπιφλυκταινούμενα, οἷα τῷ Ἀκανθίῳ Λαπύτῳ. περὶ δὲ πληϊάδων δύσιας ὑποψωρώδεα καὶ τρηχέα τὰ κνησμώδεα οὐκ ἐπιδακρύοντα, μᾶλλον μὲν ταύτην τὴν ὥρην, ἀτὰρ καὶ τὰ λειχηνώδεα ἐξαιρόμενα, ταῦτα ἦν οἵ, τῇ Πυθοδώρου καὶ τῷ Καπηλίῳ ξὺν πυρετῷ ἅμα ἀρχομένῳ, σχεδὸν τῇ Πυθοδώρου ἰσχία ἀκρατέα. μετὰ πληϊάδων δύσιας, φρικώδεες. αἱμοῤῥαγικοὶ ἐκ ῥινῶν. ὁ μέντοι σκυτεὺς ἐκρίθη ἑβδομαῖος. μίην διαλιπὼν, μίην ἐλάμβανεν. αὖθις τετάρτῃ ἐκρίθη. ἄλλος τῶν παρὰ Λεωκύδεος ἐκρίθη ἑβδόμῃ, ἄλλος τετάρτῃ. Μόσχος ἐνάτῃ λαῦρον ἐξ ἀριστεροῦ. βραχὺ δὲ ἐκ δεξιοῦ μυκτῆρος. πρός τὰς ιδ ἐς κρίσιν. ᾗ ἔδει ἀρξάμενα παρωξύνετο ἁμαρτάδες βρωμάτων ιζ ἐγένοντο. παρὰ τὸ οὖς ἐπὶ δεξιὰ σμικρὸν ἔσωθεν σκληρόν. ἔξωθεν σμικρὸν

temporis tempestivitas et continuitas et anni tempus. A vergiliarum occasu austrini flatus spirabant, quae quinto die judicabantur, uno intermisso prehendebant. Quae vero pustulae erumpebant adinstar foliorum molles et laxae erant, quale quid Acanthio Lapyto contigit. At circa vergiliarum occasum cutim scabies et asperitates pruriginosae quadantenus infestabant, absque humoris lacrimatione, et praecipue quidem hac anni tempestate. Quin etiam impetigines in tumorem sublatae aderant. Hujusmodi erant quae Pythodori conjugi et Capelio una cum febre contigerant. Sub cujus initia fere Pythodori uxori coxendicum impotentia aderat. Post vergiliarum occasum horrores aegros tenuerunt, et sanguinis e naribus profluvia. Sutor certe quidam septimo die judicatione est absolutus. Ubi unum diem intermisisset, altero prehendisset, rursus quarto judicatus est. Quidam ex his, qui apud Leocydem erant, septimo judicatus est, quarto alius. Moscho nono die largus ex nare sinistra, paucus autem e dextra sanguis effluxit. In decimum quartum diem, prout debebat, judicatio ab initio commovebatur. Decimo septimo errata in ciborum ratione contingebant.

Ed.Chart.IX.[318.319.] Foës. II. 1127.1128. Ed. Lind. I.(750.751.)

ιαῦνον. ὀδυνῶδες οὐδὲν ἐπεδίδου, ιθ ἐπεγένετο νυκτός. τοῖσι πάνυ χολώδεσιν, ἐκπύοις μάλιστα ὀλῷ ἰκέλῃ ἡ κάθαρσις. οἷον ὁ τὴν σικύην προσβαλλόμενος, ἐπεὶ ἐς τὸ ἰσχίον ὀδύνη τούτῳ ἐς σκέλος κάτω ἦλθε, καὶ ἐρῄϊσεν.

[319] || Ὁ ἀπὸ τοῦ κεραμέου ἰπνοῦ καταπεσὼν, ᾧ οὐ προσεβλήθη αὐτίκα σικύη. ἐκαύθη ἔσω, καὶ κ ἐπαλιγκό- (751)τησεν. αἱμοῤῥαγικὰ καὶ τρυγώδεα καὶ ἐσθιόμενα. ἡ Τενεδίη τεταρταίη ἀπέφθειρεν, ὡς ἔφη τριηκοσταῖον ἄῤῥεν, γαστὴρ ὑγρὰ λεπτὰ, ξυνεκαύθη γλῶσσα, κρίσις τεταρταίη. μετὰ πληϊάδων δύσιας σπληνώδεα, καὶ μέχρι πέμπτης ἔῤῥει. ἐκρίθη, ἑβδομαίῳ δὲ ἐόντι οὖρον, οἷον ὀρόβων πλύμα, ὅμοιον αὐτὸ ἑωυτῷ, ἔπειτα καθαρὸν, ὑποστροφή. διέλιπέ τε καὶ τῷ Μεγάρεος, πλὴν αἷμα οὐκ ἐῤῥύη. οὖρον οἷον τὸ Ἀρτιγένεος, λευκὸν, παχὺ, ὅμοιον. ἡλίου χειμερινέων τροπέων, ἄστρον οὐ σμικρὸν, πέμπτῃ δ᾽ ὕστερον ἑκαστῶν σεισμός. ἡ τ᾽ ἐν Περίνθῳ ἔμεινε ἀσθματώδης ἡ Ἀντιγένεος,

Decimo nono noctu enatum eſt ad aurem dextram tuberculum parvum, intus durum, foris paulum molle dolorem inferens, nec remittens. Purgatione rejecta ſunt admodum biliofa, purulenta, ſaepiae atramento maxime ſimilia. Neque ſecus ac is cui admota cucurbitula, cum dolor ad coxendicem eſſet, in crus deſcendit, allevatus eſt.

Qui de fornace figuli decidit, cui nec illico admota eſt cucurbitula, intus uſtus eſt, ac vigeſimo malum recruduit, cum ſanguinis profluvio foeculenta et erodentia prodierunt. Mulier Tenedia quarto die maſculum triginta dierum, ut aiebat, abortione rejecit, alvus liquida, tenuia demiſit, lingua exuſta eſt, quarto die judicatio contigit. Poſt vergiliarum occaſum lienis affectus aderant, et ad quintum usque diem ſanguinis e naribus profluvium, judicatio obtigit. Cuidam ſeptimo die urina ervi loturae ſimilis prodiit, ſibi ipſi perſimilis, deinde pura, recidiva facta eſt. Intermiſit quoque et Megarenſis filio, praeterquam quod ſanguis non profluxit. Urina qualis Artigeni, alba, craſſa, ſimilis. Sub brumam ſidus inſigne viſum eſt, quinto autem poſt ſextoque die terrae motus extitit. Antigenis uxor quae in Perintho

Ed. Chart. IX. [319. 320.] Foes. II. 1128. 1129. Ed. Lind. I. (751. 752

ἡ οὐκ εἰδυῖα εἰ ἔχει, ἐρυθρὰ ἐπιφαινόμενα, ἄλλοτε καὶ ἄλλοτε γαστὴρ σμικρὴ, ἄλλοτε μεγάλη. βήσσουσα γὰρ, οἴομαι ἐτύγχανεν, ὁδοιπορῆσαι θᾶσσον. μὴν ἦν ὄγδοος, ἱδρύθ προπυρεταίνουσα. ἡ δὲ τοῦ Ἀπημάντου ἀδελφεοῦ γυν ἀπέφθειρεν ἑξήκονθ' ἡμερῶν, ὡς ἔφη, ἑβδομαίη θῆλυ, περ δὲ ἐνάτην ἐθορυβήθη. μετὰ δὲ κρίσιν τὰ δεξιὰ ἤλγει, ὡς ἂ ὑπὸ ἀποστροφῆς. αὐτὴ εἶχε ταχέως καὶ ἀπέφθειρεν. ἑτέρ λευκοῖς θυγατέρα ἔτεκεν, ἑτέρη || ἐρυθροῖς ὡς ἔδει, [320] φρικώδεες, ἀσώδεες, ἀπόσιτοι, ὑποστροφώδεες, χολώδεες αἱμοῤῥαγικοὶ, ὑπόσπληνοι, ὀδυνώδεα τρόπον ἐκ τῶν ἀριστερῶν οἱ πλεῖστοι. τῇ Ἀπημάντου, ἣ ἔστραπτο, ταύτῃ τὸν ὀφθαλμὸν τὸν δεξιὸν, τὸν δὲ κενεῶνα ἐπὶ τὰ ἕτερα. (752) ἡ Ἀριστοφῶντος θυγάτηρ τῇ τρίτῃ καὶ τῇ ε ἐπυρέτηνε ξηρὴ διετέλει τὰ πλεῖστα. γαστὴρ μέντοι ταραχώδης ταύτῃ δύσκριτα, ὑπὲρ τριήκοντα ἐπαύσατο. φλύκταιναι μὲν ἐκ κό

erat, suspiriosa perseveravit, cui nescienti an uterum ferret, rubra comparuerunt, venterque interdum parvus, interdum magnus videbatur. Semper tussiebat ac si celeriter viam conficere contingeret. Mensis agebatur octavus cum constitit, febre prius tentata. Conjux fratris Apemanti septimo die, ut dixit, foemellam sexaginta dierum abortione rejecit, ad nonum vero diem perturbata est. Post judicationem dextra parte dolor erat, ac si ex conversione accidisset. Haec celeriter foetum concipiebat et perdebat. Quaedam cum albo fluore filiam peperit, quaedam cum rubro, ut conveniebat. Horrore vexabantur aegri corporis incontinentia jactabantur, cibos aversabantur, morborum reversionibus tentabantur, biliosi sanguinis eruptionibus obnoxii, lienis affectibus aliquantulum vexati, sinistra parte plurimi dolorem sentientes. Apemanti uxori cum in hanc partem convertebatur, dexter oculus doluit; si in alteram, lateris inanitas. Aristophontis filiam febris tertio et quinto die prehendit, sicca plurimum permansit, alvus tamen huic conturbata est, difficilis judicatio fuit, supra triginta dies cessavit. Pustulae quidem ex laboribus non vehementibus ad

των οὐ κάρτα ἰσχυρῶν. ἀφικνεῦνται ἐς ἑβδόμην, ὑποπέλιοι. ῥῖγος τῇ ὄπισθεν τοῦ Ἡρωΐου παιδίσκῃ ἐγένετο. αἱ δὲ λευκαὶ μεγάλαι, οὐδ᾽ αὗται πάνυ χρησταί. τῶν κατοχέων καὶ ὑπνωδέων καὶ μὴ ξυμπιπτόντων καὶ χολῆς ἀντεχομένης, καὶ ἢν ὑγρὴ ᾖ ἢ σκληρὴ, οὐ ξυμπίπτοντες. Ζωΐλου τοῦ τέκτονος τρομώδεες σφυγμοὶ, νωθροὶ, οὔρησις καὶ κοιλία μετρίως ἀχρόως. ἤτρου ἔντασις ἑκατέρωθεν ἐς ἰθὺ, μέχρις ὀμφαλοῦ ξὺν ὀξεῖ, ἀπόσιτος, διψώδης. ἡ παρὰ Τηκομαίῳ Ἀγορινόμου θυγάτηρ, ἐν γαστρὶ ἀσήμως ἀρξαμένη διμήνου ἔμετος φλεγματώδης, ὁτὲ δὲ χολώδης ἔῤῥηξε. χαλεπῶς ἔτεκε, τελέως ἐκαθάρθη. ἔμετος ὁμοῖος μέχρι τριηκοστῆς. ἔπειτα γαστὴρ ἐταράχθη, καὶ ὁ ἔμετος ἐπαύσατο, λειεντερίη, γυναικεῖα οὐκ ἐγένετο, δύο ἐτέων χειμῶνος ἔσχεν αἱμοῤῥοΐδας. οἱ δύο ἀδελφεοὶ, οἱ τοῦ Κέκροπος οἰκεῖοι. οἷσι τὰ μέλανα κατ᾽ ἀρχὰς διῄει. ὑπότρυ[321]γα καρυκοειδέα, ἐκ κατακορέων ἀφρω-

diem feptimum perveniunt, aliquantulum lividae. Rigor ancillam, quae poft Heroum habitabat, corripuit. At albae et magnae fere improbantur in alto ftupore, quem catochon dicunt, correptis, fomniculofis et quibus corporis moles non concidit et bilis reftitat, atque etiam ubi non confidunt, five alvus lubrica fit five dura. Zoilo fabro pulfus tremuli, tardi. Lotium et alvi recrementum modice decoloratum fuit, imi ventris contenfio utrimque in directum ad umbilicum pertingens cum gravi febre, cibos averfabatur, fiticulofus. Apud Tecomaeum praefecti annonae filiae, cum incertum effet, an uterum geftare inciperet, duorum menfium fpatio vomitus pituitofus, interdum etiam biliofus erupit, difficulter peperit, integre purgata eft. Ad trigefimum diem fimilis vomitus perfeveravit, deinde alvo conturbata vomitus ceffavit. Laevitas inteftinorum adfuit, neque menfes prodierunt, duorum annorum fpatio per hiemem profluvium per ora venarum fanguinem fundere folita, paffa eft. Duo fratres Cecropis propinqui, quibus circa initia nigra demittebantur, aliquantulum foeculenta et condimentis ex fanguine paratis affinia, quae ex bile faturatis et fpumantibus

Ed. Chart. IX. [321.] Foës. II. 1129—1131. Ed. Lind. I. (752. 753.)
δέων χολώδεα ἦσαν. ὃς τὸν ὄνον ἐκ συνθήκης ἦρεν, ἐπυρέταινεν αὐτίκα, τριταίῳ ἡμοῤῥάγησεν. δ̄ καὶ ε̄ ζ̄ καὶ η̄ ἐκρίθη κοιλίη ὑγρή. (753) ὁ ἐκ μετάλλων, ὑποχόνδριον δεξιὸν ἐκτεταμένον, σπλὴν μέγας, καὶ κοιλίη ἐντεταμένη. ὑπόσκληρα πνευματώδης, ἄχροος τούτῳ ἐς γόνυ ἀριστερὸν, ὑποστροφὴ δι' ὅλου ἐκρίθη. ὁ Τημένεω εἶχέ τι πνεύματος ὡς χλοώδης εἰς νῶτα, ἐς χεῖρας χλοώδης.

|| Ὁ τῆς λεχοῦς ἀνὴρ ὁ παρὰ τὰ Σιτοδόκου, ὁ ἰκτεριώδης πρὸς ὃν ἑβδομαῖον ἐσῆλθον, ὀγδόῃ ἀπώλετο, οὔτε οὐρῶν οὔτε διαχωρέων. ὑποχόνδρια μεγάλα καὶ σκληρὰ, καὶ πνεῦμα πυκνόν. οὗτος ἀπολλύμενος, οὐδ' ὑπὸ πόνου ἐνότισε τὸ μέτωπον. ἡ τούτου γυνὴ || ἐξέβαλε θῆλυ ἑβδόμη ἑβδόμῳ μηνὶ, ἐφάνη δὲ τετάρτη. ταύτην μὲν ἐν ἀρχῇ ποδῶν ὀδύνη εἶχε. λήγοντος δὲ τοῦ πυρετοῦ πνεῦμα οὐκ ἐλύθη, ἀλλ' ἐγκαταλείφθη ἐς χεῖρας ὀδύνη καὶ βραχίονα. ὑποστροφὴ διὰ

cum virore pallescebant. Qui ex pacto asinum sustulit illico febricitavit, tertio die sanguinem e naribus profudit, et quarto et quinto et septimo et octavo, judicatione est absolutus cum alvo lubrica. Qui circa fodinas versabatur praecordia dextra contenta habebat, lien magnus erat et alvus distenta, aliquantulum indurata, inflatus fuit, decolor. Huic in genu sinistrum decubuit, morbi reversio facta est, in totum judicatione est absolutus. Temenei filius quandam habuit spirandi difficultatem, adeo ut ex viridi pallesceret, qui color ad dorsum et manus transiit.

Puerperae maritus prope Sitodocum, aurigine conflictatus, ad quem die septimo profectus sum, mortuus est octavo, neque urinam reddens, neque alvi excrementa dejiciens. Praecordia magna et dura erant et spiratio crebra. Hic moriens ne prae dolore quidem frontem sudore madefecit. Hujus uxor foemellam septimestrem septimo die ejecit, quarto autem die comparuit. Eam certe circa initia pedum dolor tenuit. Desinente autem febre, spirandi difficultas soluta non est, sed intus relicta. Manus et brachium dolor tentavit. Morbi reversio quam diutissime tenuit, quibus ante

μηκίστου ἔλαβεν οἷος ἐπέσχητο οὖρα πρὸ κρίσιος. ἡ παρὰ Τιμένεω ἀδελφεὴ ξὺν ῥίγει ἐκρίθη. τοῦ χλοώδεος δὲ λήγοντος ταχέως, χεῖρες καὶ ὦμοι· τούτων δὲ ληγόντων, κεφαλῆς. ὀφθαλμῶν τὰ ἄνω βλέφαρα ἐπήρθη καὶ ἐδακρυῤῥόει, οὐκ οἶδα τὰ λοιπά. ἐκρίθη περὶ ζ τοῦ πρώτου. ὁ δὲ Μενάνδρου ἀμπελουργὸς ὡσαύτως· πλὴν γαστὴρ καταρχὰς λεπτὰ ἐδίδου, ἔπειτα ἔστη, καὶ τὸ οὖρον ἐκρίθη, οὐκ ἐῤῥίγωσεν ἑβδόμῃ ἡμέρῃ, ὅτι ἡ γαστὴρ προεταράχθη. ὁ Ποταμῶνος, τούτῳ (754) κοιλίη οὐ διήει ἑβδομαίῳ. πρὸ κρίσιος δύο ἡμέρας οὐκ ἐῤῥίγωσε, διὰ τοῦτο οὐδὲ τὸ οὖρον ἔσχετο. ὁ ἰδοὺς τοῦ Ἡγησιστρατίου, ὅτῳ ἀποπύημα παρ᾽ ὀφθαλμὸν καὶ ἀπεπύησε παρὰ τὸ ἔσχατον, καὶ αὖθις ἐξιήθη ὁ ὀφθαλμὸς, καὶ κατὰ ῥῖνας πῦον ἧκε παχύ. παρὰ τὸ οὖλον σαρκία σμικρὰ στρογγύλα ἀπῆλθε. τούτῳ παρὰ τὸν τρίτον ἐδόκει ἀποπυήσειν. ἔπειτα ἀπετρέπετο. ἐξαίφνης δὲ ᾤδησεν ἡ γνάθος καὶ ὀφθαλμοί. οἷσιν ἐς τοὺς ὀφθαλμοὺς ἀποστάσιες ἐν καύσοις. ἐξέρυ-

εἰ μὴ διακλύζοιτο, διαλέγεσθαι οὐχ οἷός τε ἦν, καὶ πικρὴ λίην ἦν τὰ πολλά. ἔστι δ᾽ ὅτε καὶ πρὸς καρδίην ὀδύνη, ἣν φλεβοτομίη ἔλυσε. ταύτῃ ὑδρωποσίη ἢ μελίκρητον συνήνεγκεν. ἐλλέβορον ἔπιε μέλανα, οὐδὲ τὸ χολῶδες διήει, ἀλλ᾽ ὀλίγον, τέλος δὲ χειμῶνος κατακλιθεὶς ἔξω ἐγένετο, καὶ τὰ τῆς γλώττης παθήματα ὅμοια, θέρμη λεπτὴ, ἄπονος. γλῶσσα ἄχροος, φωνὴ περιπλευμονικὴ, ἀπὸ στήθεος εἷμα ἀπεδύετο, καὶ ἐξάγειν ἐκέλευεν, οὐδὲν δὲ ἠδύνατο σάφα εἰπεῖν, ἐς νύκτα ἐτελεύτα. τὸ Νικάνορος πάθος, ὁπότε ἐς ποτὸν ὥρμητο, φόβος τῆς αὐλήτριδος, ὁκότε φωνῆς αὐλοῦ ἀρχομένης ἀκούσειεν, αὐλεῖν ἐν συμποσίῳ ὑπὸ δειμάτων ὄχλοι. μόλις ὑπομένειν ἔφη ὅτε εἴη νύξ. ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο· τοιαῦτα παρείπετό οἱ συχνὸν χρόνον. || Δημοκλῆς ὁ μετ᾽ ἐκείνου ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκεε, καὶ οὐκ ἂν παρῆλθε παρὰ κρημνὸν, οὐδ᾽ ἐπὶ γεφύρης. οὐδὲ τοὐλάχιστον βάθος τάφρου διαπορεύεσθαι, (792) ἀλλὰ δι᾽ αὐτῆς τῆς

arida perseverabat, neque loqui poterat nisi collueretur, magnaque ex parte admodum amara erat. Interdum quoque cordis dolor affligebat, quem venae sectio solvit. Huic aqua aut mulsa in potu exhibita contulit. Veratrum nigrum ebibit, neque biliosum nisi paucum prodiit. Demum per hiemem decumbens mente abalienata erat, et lingua similiter vitiis afficiebatur, calor tenuis erat sine dolore, lingua decolor, vox qualis pulmonia laborantibus, e pectore vestem exuebat, seque educi jubebat, nihil vero aperte proloqui poterat, sub noctem mortuus est. Nicanor cum ad convivium prodiret tibicinae metu afficiebatur, adeo ut cum tibias inflaret eamque in convivio tibia canentem audiret, prae timore turbaretur, neque sustinere posse diceret, si nox esset, de die vero nihil commoveretur. Quae quidem eum diu comitabantur. Democles, qui cum illo erat, caligine tentari et exoluto esse corpore sibi videbatur, neque per praeruptum locum iter facere, neque pontem, ac ne minime quidem profundam scrobem transmittere, verum per ipsam scrobem adire poterat. Quod

τάφρου [350] οἷον ἦν, χρόνον τινὰ ξυνέβη αὐτῷ. τὸ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ τοιοῦτόν τι ἦν. τὰ πολλὰ ὥσπερ ἀστραπὴν ἐδόκεε λάμπειν. οὐ πολὺ δὲ ἐπισχόντι ὀδύνη ἐς τὸν κρόταφον τὸν δεξιὸν ἐνεστήκει ἢ ὄπισθεν τῶν σπονδύλων καὶ ξύντασις, καὶ σκληρότης ἀμφὶ τοὺς ὀδόντας, καὶ διάγειν ἐπειρᾶτο ξυντεινόμενος. ἔμετοι ὁπότε γενοίατο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας καὶ ἠπιωτέρας ἐποίεον. ἀλλὰ μὴν καὶ φλεβοτομίη ὠφέλεε, καὶ ἐλλεβοροποσίη ἀνῆγε παντοδαπὰ, οὐχ ἥκιστα δὲ πρασοειδέα. Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι, καὶ ἀπαλλαγῆς βίου ἐπιθυμίη, ὁτὲ δὲ πάλιν εὐθυμίη. ἡ δὲ Κόνωνος θεράπαινα ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένης ἔκτοσθεν ἐγένετο, βοὴ, κλαυθμοὶ πολλοὶ, ὀλιγάκις ἡσυχίη. περὶ δὲ τὰς τεσσαράκοντα ἐτελεύτησε. τὰς ὅτε δὲ ἔθνησκε δέκα ἡμέρας ἄφωνος καὶ σπασμώδης ἐγένετο. νεανίσκος δέ τις πολὺν ἄκρητον πεπωκὼς ὕπτιος ἐκάθευδεν ἔν τινι σκηνῇ. τούτῳ ὄφις ἐς τὸ στόμα παρεισεδύετο ἀργὴς, καὶ δὴ ὅτε ᾔσθετο οὐ δυνάμενος φράσασθαι, ἔβρυξε τοὺς ὀδόντας καὶ παρέτρωγε τοῦ ὄφιος, καὶ ἀλγηδόνι μεγάλη

eum aliquamdiu tenuit. Phoenicis hic erat affectus. Ex oculo dextro plerumque velut fulgur coruſcare videbatur, parvoque poſtea temporis intervallo dolor in tempore dextro inſiſtebat, et poſteriorum colli vertebrarum contentio aderat, ac circum dentes durities, quos diſtentus diducere conabatur. Vomitiones ubi conſecutae erant commemoratos dolores ſubmovebant et lenibant. Quin etiam ſanguinis miſſio auxilio erat, et veratri potio cujusquemodi humores eduxit, porraceos vero maxime. Parmeniſco etiam antea animi deſperatio accidebat, et vita defungi cupiebat, interdum vero rurſus ſecuro erat animo. Cononis famula ex praegreſſo capitis dolore mente erat abalienata, clamor aderat, ejulatio multa, parum quieſcebat. Sub quadrageſimum diem mortua eſt. Decem ſub mortem diebus voce defecta fuit et convulſione tentata. Adoleſcens poſt multum meri potum quodam in tentorio ſupinus dormiebat, cujus in os ſerpens arges dictus ſubiit. Quod ſane cum ſenſiſſet, neque loqui poſſet, ſtridere dentibus coepit et

εἴχετο, καὶ τὰς χεῖρας προσέφερεν ὡς ἀγχόμενος, καὶ ἐῤῥίπτει ἑωυτὸν, καὶ σπασθεὶς ἔθανεν. καὶ ὁ τοῦ Τιμοχάριος θεράπων ἐκ μελαγχολικῶν δοκέων εἶναι καὶ τοιούτων καὶ τοσούτων ἔθανεν ὁμοίως περὶ τὰς αὐτὰς ἡμέρας.

|| Τῷ Νικολάου παιδὶ περὶ ἡλίου τροπὰς ἐκ ποτῶν ἔφριξεν ἐς νύκτα. πυρετοὶ τῇ ὑστεραίῃ, ἔμετος χολώδης ἄκρητος, ὀλίγος. τῇ τρίτῃ ἀγορῆς ἔτι πλήρεος ἐούσης ἱδρὼς ὅλου τοῦ σώματος ἔληξεν. τῇ Διοπείθεος ἀδελφέῃ ἐν ἡμιτριταίῳ, καὶ ἡ καρδίη περὶ τὴν λῆψιν δεινὴ, καὶ ξυμπαρείπετο ὅλῃ τῇ ἡμέρῃ. καὶ ἡ τοιαύτη καρδιαλγίη καὶ τῇσιν ἄλλῃσι παραπλησίως, πλὴν ἀλλ' ὑπὸ Πληϊάδος δύσιν ἀνδράσι σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. τῇ Ἐπιχάρμου πρὸ τοῦ τεκεῖν δυσεντερίη ἦν ὁ πόνος σφοδρός. ὑποχωρήματα ὕφαιμα, μυξώδεα, τεκοῦσα παραχρῆμα ἰάθη. τῇ Πολεμάρχου ἐν ἀρθρετικοῖς ἰσχίου ἄλγημά τι δεινὸν, ἐξ αἰτίης γυναικείων μὴ γινομένων. ἡ φωνὴ [351] ἴσχετο νύκτα ὅλην μέχρις μέ-

ſerpentem devoravit, ſummoque dolore detentus, velut ſtrangulatus, manus praetendebat, ſeſeque jactabat et convulſione mortuus eſt. Eodem quoque modo circa eosdem dies mortuus eſt Timocharis famulus, melancholicis affectibus iisdem ac tantis, ut videbatur, tentatus.

Nicolai filio circa brumam ex compotationibus horror obortus eſt, ſub noctem febris, poſtero die vomitus bilioſus, ſincerus, paucus. Tertio die frequenti adhuc concione ſudore per totum corpus oborto, deſiit. Diopithis ſorori ſemitertiana affectae, ſub acceſſionis tempus vehemens oris ventriculi dolor contigit, totoque etiam die perſeverabat. Ejusmodique oris ventriculi dolor reliquis mulieribus ſimiliter contingebat. Attamen ſub vergiliarum occaſum talia viris rarius contingebant. Uxor Epicharmi ante partum inteſtinorum difficultate laborabat, dolor vehemens aderat, alvi recrementa aliquantulum cruenta, mucoſa. Ubi peperiſſet, confeſtim ſanitati eſt reſtituta. Polemarchi uxori articularibus doloribus vexatae vehemens quidam coxendicis dolor contigit, cujus cauſa fuere minime profluentes menſes. Per noctem totam ad meridiem usque vox inter-

Ed. Chart. IX. [351.] Foëſ. II. 1161. 1162. Ed. Lind. I. (793. 794.)
σον ἡμέρης· ἤκουε δὲ καὶ ἐφρόνεε καὶ ἐσήμαινε τῇ χειρὶ, ὅτι περὶ τὸ ἰσχίον εἴη τὸ ἄλγημα. Ἐπιχάρμῳ περὶ Πληϊάδος δύσιν ὁμοῦ ὀδύνη καὶ βάρος ἐς βραχίονα, νάρκη, ἔμετοι συχνοὶ, ὑδροποσίη. τῷ Εὐφράνορος παιδὶ τὰ ἐξανθήματα οἷα τὰ τῶν κωνώπων δήγματα, ὀλίγον δὲ χρόνον, τῇ ὑστεραίῃ ἐπυρέτηνεν. αὐχμοὶ πολλοὶ μετὰ ζέφυρον ἐγένοντο, μέχρις ἰσημερίης φθινοπωρινῆς. ὑπὸ κύνα πνίγεα μεγάλα θερμὰ, πυρετοὶ ἱδρώδεες, φύματα παρ᾽ οὖς συχνοῖς ἐγένοντο. Τύχων ἐν τῇ πολιορ(794)κίῃ περὶ Δάτον ἐπλήγη ὑπὸ καταπέλτου ἐς τὸ στῆθος, καὶ μετ᾽ ὀλίγον γέλως ἦν περὶ αὐτὸν θορυβώδης. ἐδόκεε δέ μοι ὁ ἰητρὸς ἐξαιρέων τὸ ξύλον ἐγκαταλιπεῖν τι τοῦ δόρατος κατὰ τὸ διάφραγμα. δοκέοντος δὲ αὐτοῦ πρὸς τὴν ἑσπέρην ἔκκλυσέ τε καὶ ἐφαρμάκευσε κάτω. νύκτα διήγαγε τὴν πρώτην δυσφόρως. ἅμ᾽ ἡμέρῃ δὲ ἐδόκεε καὶ τῷ ἰητρῷ καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν. πρόῤῥησις ὅτι σπασμοῦ || γενομένου ταχέως ἀπολεῖται. τῇ γοῦν ἐπιούσῃ νυκτὶ

cepta fuit, audiebat tamen et mentis compos erat, manuque indicabat ad coxendicem dolorem adeſſe. Epicharmo ſub vergiliarum occaſum humeri dolor et ad brachium gravitas contigit, ſtupor aderat, crebrae vomitiones et aquae potio. Euphranoris filio puſtulae culicum morſibus non abſimiles eruperunt, verum pauco tempore duraverunt, poſtridie febris invaſit. Poſt favonium ad autumnale aequinoctium ſqualllores multi contingebant. Sub canem aeſtus magni, venti calidi, febres in quibus aegri ſudoribus diffluebant, aurium tubercula multis aderant. In oppugnatione circa Datum Tychon catapultae in pectus vulnus accepit, parvoque poſt intervallo riſus ei aderat cum perturbatione. Videbatur autem medicus cum lignum eximeret, circa ſeptum transverſum haſtilis partem aliquam reliquiſſe. Cumque ſub veſperam ei dolor commotus eſſet, infuſum per clyſterem et medicamentum alvum dejiciens exhibuit. Primam noctem implacide transegit. Sub diluculum vero et medico et reliquis melius habere viſus eſt. Praedictum eſt convulſione accedente celeriter periturum.

Ed. Chart. IX. [351. 352.] Foës. II. 1162. Ed. Lind. I. (794. 795.)

δύσφορος, ἄγρυπνος, ἐπὶ γαστέρα τὰ πουλλὰ κλινόμενος. τῇ τρίτῃ ἅμ' ἡμέρῃ ἐσπᾶτο, καὶ τηνικαῦτα ἐτελεύτησεν. τῷ Βίλλῳ πληγέντι ἐς τὸν νῶτον τὸ πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρεεν. ἡμοῤῥάγει, τῷ δὲ ἐναίμῳ καταδεθεὶς ἰάθη. τῷ τῆς Φίλης παιδὶ, ψιλώματος ἐν μετώπῳ γενομένου, ἐναταίῳ πυρετὸς ἔσχεν. ἐπελιάνθη τὸ ὀστέον, ἐτελεύτησεν. καὶ τῷ Φανίου καὶ τῷ Εὐεργέτου, πελιαινομένων τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίσταται τὸ δέρμα ἀπὸ τοῦ ὀστέου καὶ πῦον οὐ φαίνεται. Ἀρίστιππος ἐς τὴν κοιλίην ἐτοξεύθη ἄνω βίῃ χαλεπῶς. ἄλγος κοιλίης δεινὸν, καὶ ἐπίμπρατο ταχέως, κάτω δὲ οὐ διεχώρεεν. ἀσώδης ἦν, χολώδεα κατακορέα, καὶ ὅτε ἐπήμεσεν, ἐδόκει ῥήϊον εἶναι. μετ' ὀλίγον δὲ πάλιν τὰ ἀλγήματα δεινὰ, καὶ ἡ κοιλίη ὡς ἐν εἰλεοῖσι. [352] θέρ(795)μαι, δίψαι, καὶ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἐτελεύτησεν. ὁ δὲ Νεάπολις πληγεὶς ὁμοίως ταῦτ' ἔπασχεν. κλυσθέντι δ' ἐν δριμεῖ κοιλίη κατεῤῥάγη. χρῶμα κατεχύθη

Postera ergo nocte implacidus, insomnis, in ventrem plerumque recumbens, sub tertii diei exortum convulsione tentatus, tum temporis mortuus est. Billo in dorsum vulnerato spiritus multus cum strepitu ex vulnere prodiit, et sanguis multus prorupit. Deligato vero medicamento quod cruentis vulneribus adhibetur, sanatus est. Philes puerum ex osse denudato in fronte nono die febris detinuit, os livorem contraxit, mortuus est. Et Phaniae et Euergetae liberis, livore contractis ossibus febreque detentis, cutis ab osse discessit, neque pus comparuit. Aristippo sagitta in ventriculum magna vi et graviter impacta, vehemens ventris dolor celeriterque ardor aderat, nihil deorsum demittebat, incontinenter corpus jactabat, biliosa abunde colorata vomitione rejiciebat, posteaque melius habere videbatur, rursusque parvo interjecto tempore dolores vehementer corripuerunt, venterque velut in intestini tenuioris morbis affectus erat, calor, sitis aderat et intra septem dies vitam cum morte commutavit. Neapolis vero ex simili vulnere eodem modo affectus fuit. Ex acri autem per clysterem infuso alvus affatim prorupit, colore tenui, pal-

λεπτὸν ὠχρὸν, μέλαν ἐὸν, ὄμματα αὐχμηρὰ, καθαρώδεα, ἐνδεδινημένα, ἀτενίζοντα. τῷ Μητροδώρου παιδὶ ἐξ ὀδόντος ὀδύνης σφακελισμὸς τῆς γνάθου, καὶ οὔλων ὑπερσάρκωσις, μετρίως ἐξεπύησεν. ἐξέπεσον οἱ γόμφοι καὶ ἡ σιαγών. γυναικὶ ἐν Ἀβδήροισι καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος, καὶ διὰ τῆς θηλῆς ἔῤῥεεν ἰχὼρ ὕφαιμος. ἐπιλειφθείσης δὲ τῆς ῥύσεως ἔθανεν. ἐκ καταῤῥόου κατὰ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπόνεον καὶ κατὰ ῥῖνας ὑγροῦ χωρέοντος, ἐπυρέταινον ἐπιεικέως. ἐν τῇσι πέντε ἡμέρῃσι περιεψύχοντο. τῇ ἐν τόκῳ σεισθείσῃ ἄλγημα περὶ στῆθος ἐγένετο καὶ πλευρόν. ἀποχρέμψιες πυώδεες, φθίσις κατέστη, ἓξ ἡμέρας οἱ πυρετοὶ, πάλιν διάῤῥοια, παῦσις, πυρετοὶ, κοιλίη ἔστη, καὶ περὶ ἡμέρας ἑπτὰ ἔθανεν. ἡ κυναγχικὴ χεῖρα δεξιὴν καὶ σκέλος ἤλγησε. πυρετὸς ἐπεῖχε βληχρὸς, ὁ δὲ πνιγμὸς τριταίῃ ἐχάλασεν. τετάρτῃ σπασμώδης, ἄφωνος, ῥέγχος, ὀδόντων σύντριψις, γνάθων ἔρευθος, ἔθανε πεμπταίῃ ἢ ἑκταίῃ, σημεῖον περὶ χεῖρα ὑποπέλιον. καὶ ἑτέρη ἐπὶ τοῦ ὑπερῴου ῥεγχώδης, γλῶσσα ξηρὴ, περιπλευμονίη,

lido, nigricante ſuffuſus eſt, oculis erat ſqualidis, ſplendidis, intus revolutis et defixis. Metrodori puero ex dentis dolore maxillae ſideratio, et ſupercreſcens in gingivis caro ac moderata ſuppuratio contigit, tum molares tum maxilla ipſa deciderunt. Abderae mulieri cuidam carcinoma in pectore extitit, et ex papilla ſanies ſubcruenta effluebat, intercepta autem fluxione mortua eſt. Ex fluxione quae ex dimidia capitis parte contingit, quidam dolebant et per nares humore ſecedente, moderate febri citabant, tandemque quinta die perſrigerabantur. In partu concuſſae circa pectus et latera dolor obortus erat, excreatio purulenta, tabes ſubſtitit, ſex dies febris detinuit, dehinc rurſus alvi profluvia, ceſſatio, febres, alvi conſtipatio accidit, tandemque ſeptima die mortua eſt. Anginoſae manus dextra et crus doluit, levis febris detinebat, ſuffocatio tertio die remiſit, quarto convulſione tentata et voce capta fuit, ſtertebat, dentes conterebat, malarum rubor aderat, quinto aut ſexto die mortua eſt. Signum ad manum ſublividum apparuit. Et alia quaedam ex palato ſtertorem emittebat,

Ed. Chart. IX. [352 553. 364.] Foës. II. 1162. 1164. Ed. Lind. I. (795. 796.)

ἔμφρων ἔθανεν. (796) καὶ ἐν Ὀλύνθῳ ὑδρωπικὸς ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέρην, ἔθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΕΚΤΟΝ.

[353] || [ΤΜΗΜΑ ΠΡΩΤΟΝ.] Ὁκόσῃσιν ἐξ ἀποφθορῆς περὶ ὑστέρην καὶ οἰδημάτων ἐς καρηβαρίην τρέπεται, κατὰ τὸ βρέγμα ὀδύναι μάλιστα, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ.

Οἱ φοξοὶ οἱ μὲν καρτεραύχενες, ἰσχυροὶ καὶ τἄλλα καὶ ὀστέοισιν, οἱ δὲ κεφαλαλγέες καὶ ὠτόῤῥυποι, τούτοις ὑπερῷαι κοῖλαι καὶ ὀδόντες παρηλλαγμένοι.

[364] Ὅσοις ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τουτέοισι μέση ἵζει ἡ ῥίς. οἷσιν δὲ ὅθεν οἱ ὀδόντες, ἄκρη σιμοῦται.

lingua resiccabatur, pulmonis inflammatio aderat, mente constans mortua est. Olynthi quoque quidam aqua inter cutem laborans repente voce captus est, per diem ac noctem mente captus mortuus est.

HIPPOCRATIS DE MORBIS VULGARIBVS LIBER SEXTVS.

[SECTIO PRIMA.] Qui ex foetus corruptione et uteri tumoribus ad capitis gravitatem deveniunt, iis ad sinciput dolores maxime fiunt et in reliquis uteri doloribus, iis octo aut decem mensibus in coxendicem morbus desinit.

Eorum qui acuminato sunt capite, partim quidem valida sunt cervice, qui cum caeterorum membrorum, tum etiam ossium robore praestant, partim vero capitis doloribus et aurium fluxionibus tentantur, quibus oris palatum cavum est et dentes permutatim variant.

Quibus ex palato os discessit, iis medius desidit nasus. Quibusdam vero, qua ex parte dentes procedunt, summus nasus simus efficitur.

Ed. Chart. IX. [364. 372.] Foes. II. 1164. Ed. Lind. I. (796. 797.)

Αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ ἔστιν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας.

Ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σίτου, ἐμέουσί γε φλέγμα, ὅταν δὲ πλεονάζουσιν αἱ ὀδύναι, ἰώδεα, καὶ ῥᾴους μὲν γίνονται, λύονται δὲ ὅταν σίτου κενωθῶσι. ψαμμία τε πυῤῥὰ ὑφίστανται, αἱμωτῶδές τε ῥέουσι, νάρκη μηροῦ τοῦ κατ ἴξιν. ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάσια μὴ ἐμ-(797)πίπλασθαι, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτῦναι καὶ ἁπαλῦναι.

Γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπιπολὺ παραμένει. ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐποιδέει.

Ἐν Κρανῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραὶ, αἱ δὲ νεαραὶ θερμαὶ, αἱματίαι αἱ πλεῖσται, καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά.

[372] Τὰ ἐς ῥίγεα ἰσχυρὰ ἐόντα οὐ πάνυ τι πρηΰνεται, ἀλλ' ἐγγὺς τῆς ἀκμῆς.

Puerorum fulgores cum pubertate in quibusdam mutationes habent, atque etiam alias.

Ad renem doloris gravitas urget cum cibo implentur, pituitamque vomitione rejiciunt, ubi vero dolores plurimum exercuerint, aeruginofa, et levius quidem habent, liberantur autem doloribus ubi cibi vacuati fuerint, arenulaeque fulvae fubfident et cruentam urinam reddunt, femoris quod e directo refpondet, ftupor fentitur. Quietem agere non conducit, fed exercitationes, non repleri. Juvenibus veratrum exhibere oportet, poplitem caedere, urinam cientibus vacuare, attenuare ac emollire.

Menftruae purgationes aquofis mulieribus longo tempore perfeverant. Quod fi non celeriter prodeunt, tumoribus conflictantur.

Cranone dolores inveterati frigidi, recentes vero calidi, eorumque plerique a fanguine fiebant. Qui etiam ex coxendice frigidi.

Affectus qui ad vehementes rigores tendunt, fere non nifi prope vigorem mitefcunt.

Πρὸ ῥίγεος αἱ ἐπισχέσιες τῶν οὔρων, ἢν ἐκ χρηστῶν ἴωσιν καὶ κοιλίην ἢν ὑποδιέλθῃ καὶ ὕπνοι ἐνέωσιν. ἴσως δὲ καὶ ὁ τρόπος τοῦ πυρετοῦ, ἴσως δὲ καὶ τὰ ἐκ κόπων.

|| Ἀποστάσιες οὐ μάλα οἷσι ῥίγεα.

Αἱ τῶν σκελέων ἐκθηλύνσιες, οἷον ἢ πρὸ νόσου ὁδοιπορήσαντι ἢ ἐκ νόσου αὐτίκα διότι ἴσως τὸ ἐκ κόπων, εἰς ἄρθρα ἀπέστη, διὸ καὶ τῶν σκελέων ἐκθηλύνσιες.

Φύματα ἔξω ἐξοιδέοντα καὶ τὰ ἀποξέα καὶ κορυφώδεα καὶ τὰ ὁμαλῶς ξυμπεπαινόμενα καὶ μὴ περίσκληρα καὶ κατάῤῥοπα καὶ μὴ δίκραια ἀμείνω. τὰ δὲ ἐναντία κακὰ, καὶ ὅσα πλεῖστα ἐναντία κάκιστα.

Τὸ θηριῶδες φθινοπώρου καὶ αἱ καρδιαλγίαι καὶ τὸ φρικῶδες καὶ μελαγχολικόν.

Πρὸς τὰς ἀρχὰς τοὺς παροξυσμοὺς σκέπτεσθαι καὶ ἐν

Rigorem urinarum ſuppreſſiones praecedere ſolent, ſi cum bonis ſignis proceſſerint et alvus permeet, ſomnique aſſuerint. Quin etiam febris genus, ac forſitan etiam quae ex laſſitudinibus contingunt in conſiderationem adhibenda ſunt.

Quibus rigores fiunt, nil fere abscedere ſolet.

Crurum effoeminationes, veluti ante morbum aut ſtatim ex morbo iter facienti fiunt, atque ideo fortaſſis quod ex laſſitudinibus aliquid in articulos absceſſit, ex quo etiam crurum effoeminationes.

Tubercula meliora aeſtimanda ſunt, quae foras protuberant et in acutum ſublata ſunt ac faſtigiata aequabiliterque matureſcentia, neque in ambitu dura et deorſum tendentia neque bifida: contraria vero mala, quaeque plurimum diſtant, ea peſſima.

Autumnus ſua feritate et malignitate interraneorum animalia gignit et oris ventriculi dolorem ac febres horroris ſenſu inſignes atramque bilem.

Ad dignoſcenda principia acceſſionns in conſiderationem adhibere oportet, ac in omni morbo quale eſt ſub

ἁπάσῃ τῇ νούσῳ, οἷον τὸ ἐς δείλην παροξύνεσθαι, καὶ ἐνιαυτὸς ἐς δείλην καὶ αἱ ἀσκαρίδες.

Νηπίοισι βηχίον ξὺν γαστρὸς ταραχῇ καὶ πυρετῷ ξυνεχεῖ, σημαίνει μετὰ κρίσιν διμηναίῳ τὸ ξύμπαν εἰκοσταίῳ καὶ οἰδήματα ἐς ἄρθρα, καὶ ἢν μὲν κάτω τοῦ ὀμφαλοῦ καταστῇ τὰ ἄνω ἐν τοῖσι κάτω ἄρθροισιν ἀγαθόν. ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον, ἢν μὴ ἐκ(798)πυήσῃ. τὰ δὲ ἐς ὤμοισιν ἐκπυεῦντα τοῖσι τηλικούτοισι γαλιάγκωνας ποιέει λύσειε δ' ἂν καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ. τὰ δὲ τοιαῦτα ὀλέθρια καὶ ἄλλως παιδίοισι καὶ αἷμα λύσειεν ἂν ῥαγὲν, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται.

[380] Δάκρυον ἐν τοῖσιν ὀξέσι τῶν φλαύρως ἐχόντων ἑκόντων μὲν χρηστὸν, ἀκόντων δὲ παραῤῥέον κακὸν, καὶ οἷσι περιτείνεται βλέφαρα, κακόν. κακὸν δὲ καὶ τὸ ἐπιξηραινό-

vesperam accessiones moveri, et num annus in vesperam vergat, ac lumbrici tenues, ascarides dicti, tum moveantur.

Tussicula infantes si prehenderit cum ventris perturbatione et febre assidua, indicat post judicationem bimestri, in totum vigesimo die, ad articulos etiam tumores fore. Qui quidem si e superioribus partibus infra umbilicum in inferioribus articulis constiterint, probari debent. Si vero in superioribus partibus, non aeque morbum tollunt, nisi pus collegerint. Quod si in humeris suppurationes faciant, tum tantula aetate justo breviora et tenuiora brachia efficiunt, Graeci galianconas quasi mustelae cubito praeditos vocant. A morbo quoque liberabit ulcusculorum in inferiores partes eruptio, dum rotunda non sint, neque alte insederint. Hujusmodi namque tum maxime pueris perniciosa sunt. Solvet etiam morbum et sanguinis profluvium, quod potius in natu grandioribus apparet.

In morbis praecipitibus, ubi male habent aegri, ultro quidem profluens lacrima bono est, invitis vero malum denunciat. Quibus etiam palpebrae circumtenduntur, malum significatur. Malum quoque quod in oculis inarescit, tenuissimae lanugini aut aquarum aspergini simile, quae

μενον οἷον ἄχνη, καὶ τὸ ἀμαυρὸν καὶ αὐχμηρὸν κακὸν, καὶ οἱ ῥυτιδούμενοι ἔνδοθεν, καὶ οἱ πεπηγότες, καὶ οἱ μόλις στρεφόμενοι, καὶ οἱ ἐνδεδινημένοι καὶ τἄλλα ὅσα παρεῖται.

Πυρετοὶ οἱ μὲν δακνώδεες τῇ χειρὶ, οἱ δὲ πρηέες, οἱ δ' οὐ δακνώδεες μὲν, ἐπαναδιδόντες δέ. οἱ δ' ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρὸς, οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροὶ, ξηροὶ, οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοὶ, οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες, οἱ δὲ ἐξέρυθροι, οἱ πελιοὶ, οἱ δὲ ἔξωχροι, καὶ τἄλλα τοιουτότροπα.

Αἱ ξυντάσιες τοῦ σώματος καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων κακὸν, καὶ αὐτὸς διαλελυμένος κακὸς, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων κακαί.

Ὄμματος θράσος παρακρουστικὸν, καὶ ἔῤῥιψις καὶ κατάκλασις κακόν.

ἄχνη dicitur. Oculorum denique hebetatio ac retuſio et ſquallor malum denunciat, quique intro corrugantur, qui concreti ſunt ac aegre vertuntur et intro ſunt convoluti, quaeque alia praetermittuntur.

Febrium partim quaedam manui mordaces apparent, quaedam vero mites. Partim vero quaedam minime mordaces apparent, increſcentes tamen. Aliae autem acutae quidem, at quae tamen manui cedant. Partim vero confeſtim exardeſcunt, aliae autem in totum debiles apparent et aridae. Quaedam etiam ſalſae, nonnullae vero flatulentae, aſpectu horrendo, aliae tactui madentes. Aliae quoque praerubrae, quaedam etiam lividae, quaedam praepallidae, aliaque id genus.

Corporis diſtentio et articulorum duritas malo eſt, ipſeque aeger exolutus et artuum perfrictiones malum portendunt.

Oculus ferox et truculentus delirium portendit, crebra quoque ejusdem ac inordinata projectio ac perfractio mala eſt.

[391] || [Τμῆμα δεύτερον.] Εὐρῦναι, στενυγρῶσαι, τὰ μὲν ναὶ, τὰ δὲ μή.

Χυμοὺς, τοὺς μὲν ἐξῶσαι, τοὺς δὲ ξηρᾶναι, (799) τοὺς δὲ ἐνθεῖναι, καὶ τῇ μὲν, τῇ δὲ μή.

Λεπτῦναι, παχῦναι, τεῦχος, δέρμα, σάρκας, καὶ τἄλλα, καὶ τὰ μὲν, τὰ δὲ μή.

Λειῆναι, τρηχῦναι, σκληρῦναι, μαλθάξαι, τὰ μὲν, τὰ δὲ μή. ἐπεγεῖραι ναρκῶσαι, καὶ τἄλλα ὅσα τοιαῦτα.

Παροχετεύειν, ὑπείξαντα ἀντισπᾶν αὐτίκα, ἀντιτείνοντα ὑπεῖξαι.

Ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν, τὸν δὲ ἐόντα συνεκχυμοῦν, ἐργάσασθαι τὸ ὅμοιον, οἷον ὀδύνη ὀδύνην παύει, τὰ ἀνόμοια, ἢν ῥέπει ἄνωθεν ἀρθέντα, κάτωθεν λύειν, καὶ τὰ ἐναντία ταῦτα. οἷον κεφαλῆς κάθαρσις, φλεβοτομίη, ὅτε οὐχ ἥκει, ἀφαιρέεται.

Αἱ ἀποστάσιες οἷον βουβῶνες, σημεῖον μὲν τῶν τὰ

[*Sectio secunda.*] Dilatare, coarctare, hoc quidem certe, illa vero minime.

Succi hi quidem expellendi, illi vero exiccandi, alii autem inferendi, idque interdum quidem, interdum vero minime.

Corpus, cutem, carnes extenuare, incrassare oportet, atque alia, ac partim quidem, partim vero minime.

Lenire, exasperare, indurare, emollire et haec quidem, illa vero minime. Excitare, torporem inducere, aliaque quaecunque id genus.

Derivatione uti oportet, ubi revulsioni confestim aliquid concesseris, et renitentia emollire.

Humorem alium nec prodeuntem educere oportet, eum vero qui prodit una ex vasis effundere, simile quoddam opus facere, velut si dolor dolore sedatur. Dissimilia si sursum sublata tendant, per inferiora solvere convenit, atque his contraria facere, velut capitis purgatio, venae sectio, si quando non inconsulto detrahitur.

Abscessus, veluti glandularum tumores, eorum quidem

Ed. Chart. IX. [391. 401.] Foes. II. 1168. 1169. Ed. Lind. I. (799. 800.)

βλαστήματα ἐχόντων, ἀτὰρ καὶ ἄλλων, μάλιστα δὲ περὶ τὰ σπλάγχνα κακοήθεες δὲ οὗτοι.

|| Πνεύματα σμικρὰ πυκνὰ, μεγάλα, ἀραιὰ, σμικρὰ ἀραιὰ, πυκνὰ, μεγάλα, εἴσω μεγάλα, εἴσω σμικρὰ, εἴσω μεγάλα, ἔξω σμικρὰ, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ εἴσω ἐπανάκλισις οἷον ἐπιπνέουσι, θερμὸν, ψυχρόν.

Ἰητήριον ξυνεχέων χασμέων μακρόπνους, ἐν τοῖσιν ἀπότοισι καὶ μόγις βραχύπνους.

[401] Κατ᾽ ἴξιν καὶ πλευρέων ὀδύνην, καὶ ξυντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες, καὶ ὦτα κατ᾽ ἴξιν. τούτων τὰ πλεῖστα ταῦτα καὶ ἐν ὀφθαλμοῖσι. πότερον ἦρα πάντα, ἢ τὰ μὲν κάτωθεν ἄνω κατ᾽ ἴξιν, οἷα τὰ παρὰ γνάθους, ἢ παρ᾽ ὀφθαλμὸν καὶ οὖς, τὰ δὲ ἄνωθεν κάτω οὐ κατ᾽ ἴξιν. καί(800)τοι καὶ τὰ συναγχικὰ ἐρυθήματα καὶ πλευρῶν ἀλγήματα κατ᾽ ἴξιν, ἢ καὶ τὰ κατὰ

locorum unde propagines ducunt, atque etiam aliorum, ſpecimen exhibent, ac praecipue viſcerum, ac tum certe ii maligni ſunt.

Spiratio parva frequens, magna rara, parva rara, frequens magna, foras magna procedens, intro parva, intro magna, foras parva. Haec quidem protenſa, illa vero urgens. Duplicata intro revocatio qualis ſuperſpirantibus. Calida item et frigida.

Aſſiduarum oſcitationum longa ſpiratio medela eſt. At eorum qui non bibunt, aut vix quidem, brevis ſpiratio.

In directum laterum dolor, praecordiorum diſtentiones, lienis tumores et ex naribus eruptiones fieri debent. In auribus item directio, et magna ex parte talia in oculis ſpectanda ſunt. Videndum ſane utrum omnia, an ea quidem ab infernis ſurſum in rectum ferantur, qualia quae juxta maxillas, aut oculum aut aurem fiunt, an vero quae a ſuperioribus deorſum non in directum tendant? Quamvis anginae tumores rubicundi, et laterum dolores ſecundum directionem fiunt. An quae ex ſuperioribus partibus infra jecur diſtribuuntur, qualia quae in teſtes et varices

ἥπατος ἄνωθεν διαδιδόντα, οἷον τὰ ἐς ὄρχιας καὶ κιρσοὺς σκεπτέα ταῦτα, ὅπη καὶ ὅθεν καὶ διότι.

Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρόν. ἢν πνεῦμα ἐγκαταλείπηται, ἢ βὴξ ξηρὴ μὴ θηριώδης ἐς ἄρθρα στήριξιν προσδέχεσθαι δεῖ κατ᾽ ἴξιν, τῶν ἐντασίων τῶν κατὰ κοιλίην ὡς ἐπιτοπουλύ. ἔχουσι δὲ οὗτοι οἱ πλεῖστοι καὶ ἐξέρυθρα, καὶ τῇ φύσει τοῦ λευκοχρωτέρου τρόπου, καὶ οὐχ αἱμοῤῥαγέουσι ῥῖνες ἢ σμικρὰ αἱμοῤῥαγέουσι καὶ ἢν μὲν ῥυέντων ἐγκαταλίπηται, ἕτοιμον. [408] δίψα ἐγκαταληφθεῖσα καὶ στόματος ἐπιξηρασίη καὶ ἀηδίη καὶ ἀποσιτίη τοῦτον τὸν τρόπον. πυρετοὶ δὲ οὐκ ὀξέες οἱ τοιοίδε, ὑποστροφώδεες δέ.

Τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν ὑποστροφώδεα. τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ ἢ αἱμοῤῥαγίη γένηται ἢ δεξιοῦ ὑποχονδρίου ἔντασις. ἢν μὴ ἐξοδεύῃ οὖρα, αὐτὴ γὰρ ἡ ἐγκατάληψις ἀμφοτέρων αἱ ὑποστροφαὶ τουτέων εἰκότως. ἀπόστασιν οὖν ποιέεσθαι αὐτῶν

decumbunt. Haec in confiderationem adhibenda funt, quemnam ad locum ferantur et ex quo et quamobrem.

Temporum venae non confiftentes, neque fplendidus color, fi fpiratio intus deficit, aut tuffis ficca, non maligna adfuerit, in articulos decubitum fore denunciant, idque ut plurimum fecundum diftentionum rectitudinem quae in ventre fiunt. Horum vero plerisque qui natura candidioris funt habitus, etiam facies impenfe rubet, neque fanguis ex naribus aut paucus profluit. Et quidem fi quid ex his quae effluunt intus relinquitur, ad abfceffum morbus eft accommodatus. Eodem modo fi fitis remanet, orisque ficcitas et infuavitas ac cibi faftidium. Tales funt autem febres non acutae, fed quae reverfiones faciunt.

Quae poft judicationem relinquuntur, recidivas facere folent. Primum igitur lienis tumor accidit, nifi in articulos definant, vel fanguis ex naribus profluat, aut praecordiorum dextrorum contentio, nifi urinae exeant et viam quodammodo fibi faciant. Ipfa enim utrorumque inter-

Ed. Chart. IX. [408. 411.] Foës. II. 1169. Ed. Lind. I. (800. 801.)

μὴ γινομένας, τὰς δὲ ἐκκλίνειν γινομένας, τὰς δὲ ἀποδέχεσθαι ἢν ἴωσιν, οἷαι δεῖ καὶ ᾗ δεῖ. ὁκόσαι δὲ μὴ σφόδρα, ξυνδρᾶν, τὰς δὲ ἀποτρέπειν, ἢν πάντῃ ἀξύμφοροι ὦσι, μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ, ἀρχομένας ἄρτι.

Αἱ τεταρταῖαι αἱμοῤῥαγίαι δύσ(801)κριτοι.

Αἱ διαλιπόντες μίην, τῇ ἑτέρῃ ἐπιῤῥιγέουσιν ἅμα κρίσει ἐκ τῶν πέντε εἰς τὰ ἑπτά.

Ὅσοι τριταιοφυέες, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπιτοπουλύ.

[411] Βῆχες ξηραὶ βραχὺ ἐρεθίζουσαι ἀπὸ πυρετοῦ περικαέος, οὐ κατὰ λόγον διψώδεες, οὐδὲ γλῶσσαι καταπεφρυγμέναι. οὐ τῷ θηριώδει, ἀλλὰ τῷ πνεύματι, δῆλον δέ. ὅταν γὰρ διαλέγωνται ἢ χασμῶσι, τότε βήσσουσιν, ὅταν δὲ μὴ, οὔ. τοῦτο ἐν τοῖσι κοπιώδεσι μάλιστα πυρετοῖσι γίνεται.

ceptio, horum jure quodam recidivas faciet. In his igitur abscessus procurare convenit, si non fiant, qui vero jam fiunt declinare, eos autem, qui quales et qua oportet prodierunt, recipere. Qui vero non admodum prodeunt, coadjuvandi sunt, quidam etiam, qui prorsus sunt incommodi, avertendi, maxime si futuri sunt, alioqui cum recens coeperint.

Sanguinis e naribus eruptiones, quae quarto die fiunt, difficilem faciunt judicationem.

Febres quae die uno intermittunt et subinde rigore corripiuntur, judicationem a quinto ad septimum circuitum deducunt.

In his quae ad tertianarum naturam propius accedunt, nox accessionem praecedens molesta est, quae vero subsequitur plerumque levior existit.

Tusses siccae parum irritantes per febrem ardentem, pro ratione siticulosae non sunt, neque linguas exiccant, si quidem non a malignitate, sed a vento accidant, quod et inde manifestum fit. Cum enim loquuntur, vel ore sunt adaperto, tum tussiunt, alioqui vero minime. Hoc autem in febribus ex labore obortis maxime fieri adsolet.

Μηδὲν εἰκῇ, μηδὲν ὑπερορᾷν.

Ἐκ προσαγωγῆς τἀναντία, ἃ προσάγειν καὶ διανα-παύειν.

Τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθ-φλὲψ τμηθεῖσα ὠφέλησεν.

|| *Αἱ διαδέξιες τῶν ὑποχονδρίων, ἐξ οἵων οἷα ἄλλοι-καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν, οἷα δύναται, εἴτ' ἐ-ἥπατος σπληνὶ καὶ τἀναντία καὶ ὅσα τοιαῦτα.*

Ἀντισπᾷν ἢν μὴ ᾗ δεῖ ῥέπει, ἢν δὲ ὅπη δεῖ, τουτέοισ-δεῖ στομοῦν οἵως ἕκαστα ῥέπει.

Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα, οἷ-Σίμων εἶχε χειμῶνος. ὃς ὅτε πρὸς πῦρ ἀλείψαιτο ἢ θερμ-λούσαιτο, ὠνίνατο. ἔμετοι οὐκ ὠφέλεον, οἴομαι, εἴ τις ἐξεπυ-ρία, ἀνιέναι ἄν.

[416] *Ὅσα πεπαίνεσθαι δεῖ κατακεκλεῖσθαι δεῖ, τἀναν-τία δὲ ξηραίνειν καὶ ἀνεῷχθαι.*

Οἷον ὀμμάτων ῥοωδέων, ἢν ἄλλως φαίνηται ξυμφέρειν

Nil temere assentiendum, neque quicquam negligen-dum.

Contraria paulatim inducere oportet et interquiescere

Capitis posteriore parte dolenti secta in fronte vena recta profuit.

Praecordiorum successiones ex quibus et quales fian-spectandae sunt, atque etiam aliae et in viscerum inflammationibus quantum valeant, sive ex jecore in lienem sive contra ferantur et quaecunque sunt ejusmodi.

Revellenda ea sunt quae quo non oportet vergunt sin autem quonam convenit, iis tum viam struere decet quamnam in partem singula tendunt.

Ad pustulas latas, quae fere non pruriunt, quales Simon per hiemem habuit, qui ubi ad ignem inungeretur aut calida lavaretur, juvabatur, vomitus non conducebant. At certe fomentis calidis adhibitis juvari potuisse existimo.

Quae maturationem desiderant, ea occludi convenit, contraria vero exiccare et aperta esse.

In oculis fluxione tentatis revulsionem ad fauces

ἀντισπᾶν ἐς φάρυγγα καὶ ὅπη ἔρευξις (802) λυσιτελέει καὶ ἄλλα τοιαῦτα.

Τὰς ἐφόδους ἀνεστομῶσθαι, οἷον ῥῖνας καὶ τὰς ἄλλας, ὧν δεῖ καὶ ὡς δεῖ, καὶ οἷα καὶ ὅπη καὶ ὅτε καὶ ὅσον δεῖ, οἷον ἱδρῶτας καὶ τἄλλα δὴ πάντα.

Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι πρόσωπον ἢν ᾖ χρηστὸν, σημεῖον χρηστόν. ἐπὶ δὲ τοῖσι σμικροῖσι τἀναντία σημαῖνον ἢ εὖ, σημεῖον κακόν.

Παρὰ τὸ μέγα οὗ ἡ γυνὴ ὄπισθεν τοῦ ἡρωΐου ἰκτερώδεος ἐπιγενομένου, παρέμενον αὐτέῃ. [422] ὁ παρὰ Τιμένεω ἀδελφιδῇ, οὗτος μελάγχρους.

Ἐν Περίνθῳ τὸ γονοειδὲς τὸ τοιοῦτον ὅτι κρίσιμον, καὶ τῶν ἤτρων τὰ τοιαῦτα, ὅτε αἱ οὐρήσιες ῥύονται, ὅτι οὔτε φύσης πολλῆς οὔτε κόπρου πολλῆς, γλίσχρης δὲ διελθούσης ἐλαπάσσετο, οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνους ἐὼν ἐπὶ τὸ ἦτρον ἐλαπάσσετο, εὐθύπνους ἐγένετο, ἡ κοιλίη αὐτῷ ἐξετίναξεν.

facere convenit, si modo conferre videatur. Atque ubi eructatio conducit, et alia quaecunque id genus.

Meatus recludendi sunt, ut nares, atque alii quibus opus est et ut convenit, et qualia et quanam via et quando et quantum oportet, velut sudores aliaque sane omnia.

Magnis in malis facies bona si fuerit, bono est. In parvis vero bonae significationi contraria denuncians malum significat.

Mulieri, quae apud magnum theatrum post heroum habitabat, morbus arquatus supervenit. Qui apud Timenae neptim decumbebat, colore atro suffusus est.

In Perintho urina genitali semini similis est reddita, eaque eorum quae circa abdomen erant affectuum judicationem attulit. Taliaque urinae liberabant, cum neque flatu copioso, neque glutinoso stercore multo egresso emollirentur. Neque enim sane magna erant praecordia. Qui septimo die brassicam comedit, cum adhuc difficulter spiraret, circa abdomen emolliebatur, recte spirans effectus est, eique alvus est exagitata.

Περὶ δὲ τοῦ αἵματος τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσ πτυώδεσι τὸ τοιοῦτον καὶ τοῖσιν ἠγρυπνηκόσι καὶ εἴτε φλαῦ ρον εἴτε χρηστόν.

Οἷσιν ὁ σπλὴν ἐστι κατάῤῥοπος, πόδες καὶ γούνατα κα χεῖρες θερμὰ, ῥὶς καὶ ὦτα ἀεὶ ψυχρά. ἦρα διὰ τοῦτο λε πτὸν τὸ αἷμα, ἦρα καὶ φύσει τοιοῦτον οὗτοι ἔχουσιν.

[426] Ἐν τοῖσιν ἐμπυήμασιν ὀμφαλὸς ὅρος, οἷσι μέλ λουσιν ἐμπυεῖν, αἱ κοιλίαι ἐκταράσσονται.

Σπλὴν σκληρὸς οὐ τὰ ἄνω, κάτω στρογγύλος, πλατὺ παχὺς, λεπτὸς; μακρός. ἧσσον τοῖς ἀπὸ κεφαλῆς κορυζώ δεσιν.

Ἡ περὶ τὸν νοσέοντα οἰκονομίη, καὶ ἐς τὴν νοῦσο ἐρώτησις, ἃ διηγεῖται, οἷα ὡς ἀποδεκτέον οἱ λό(803)γοι, τ πρὸς τὸν νοσέοντα, τὰ πρὸς τοὺς παρεόντας, καὶ τὰ ἔξωθε

Ὅτι ἐν θερμοτέρῳ τὸ ἐν τοῖσι δεξιοῖσι, καὶ μέλανες δι τοῦτο καὶ ἔξω αἱ φλέβες, καὶ χολωδέστεροι μᾶλλον.

De ſanguinis humore aquoſo ita eſt exiſtimandum quod pavidos et pervigiles facit, ſive malus ſive bonu fuerit.

Quibus lien deorſum propendet, iis pedes, genua et ma nus calent, nares et aures ſemper frigent. Videndum igitu num iccirco tenuis illis ſanguis ineſt, num vero et natu talem habent.

Suppurationibus umbilicus terminus, quae ſi in pr verti debeant, his alvi perturbantur.

Lien non ſuperiore, verum inferiore parte durus, ro tundus, latus, craſſus, longus, tenuis. Minus autem h qui gravedine ex capite laborant.

Ad diligentem aegrorum procurationem medico viden dum eſt, quaenam de morbo interrogationes fieri debean quae narrat aeger qualia haberi debeant, ut accipienc ſermones, quae ad aegrum, quae ad aſſidentes et quae a ea quae extra ſpectantur attinent.

Quoniam in calidiore ſolidioreque, dextra ſcilice uteri parte, mares concipiuntur, ideoque nigri ſunt et ve nae extra prominent longeque bilioſiores exiſtunt.

Ξυνεκρίθη, συνέστη, ὀξύτερον κινηθὲν ἐμωλύνθη, καὶ βραδύτερον αὔξεται καὶ ἐπὶ πλείω χρόνον.

Ὅτι ἐστερεώθη, καὶ χολωδέστερόν τε καὶ ἐναιμότερον ᾖ, τοῦτο θερμότερόν ἐστι τὸ χωρίον τῶν ζώων.

[433] || [Τμῆμα τρίτον.] Ἡ δέρματος ἀραιότης, ἡ κοιλίης πυκνότης, ἡ δέρματος ξύνδεσις, ἡ σαρκῶν αὔξησις, ἡ κοιλίης νάρκωσις, ἡ τῶν ἄλλων ξύγχυσις, ἡ τῶν ἀγγείων ἀκαθαρσίη, ἡ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης, ἡ τῶν ὀργάνων κατάτριψις.

Ἡ καθαίρεσις, δρόμοισιν, ἡσυχίῃσιν, πάλῃσι, πολλοῖσι περιπάτοισι, τάχεσιν. οἷσιν ἑφθὴ μᾶζα τὸ πλεῖστον, ἄρτος ὀλίγος.

Καθαιρέσιος σημεῖον τὴν αὐτὴν ὥρην τῆς ἡμέρης φυλάσσειν. ἐξαπίνης γὰρ εἰρύεται. ἢ ὑφιέναι τῶν πόνων ἢ ῥύεται. ὁμοίως γὰρ ὅλον ξυμπίπτει. ὅταν δὲ δὴ ξυμπέσωσιν, προσάγειν ὕεια ὀπτά. ὅταν δὲ πληρῶνται, σημεῖον αὖθις, τὸ σῶμα ἀνθηρὸν γίνεται.

Mas concrevit coaluitque citius, ubi motus eſt conquieſcit et tardius augeſcit longioreque tempore.

Quod ſolidior et bilioſior evadit et ſanguine copioſiore ſit praeditus, in cauſa eſt locus hic animalis calidior.

[*Sectio tertia.*] Cutis raritas alvi denſitatem efficit, cutis coarctatio carnium auctionem, ventris torpor omnium conturbationem et vaſorum impuritatem, cerebri conſumptio, unde et calvitium, inſtrumentorum attritionem.

Corporis evacuatio curſu fit, quiete, palaeſtra, multis obambulationibus velocibus. Quibus maza cocta ut plurimum, panis autem modicus convenit.

Extenuationis ſignum eadem diei hora obſervare oportet. Statim namque corporis moles contrahitur et concidit. De laboribus aliquid remittendum, alioqui deſluet. Uno enim et eodem modo totum corpus concidit. Tunc autem cum jam collapſi fuerint, ſuillas aſſas offerre convenit. Cum vero reficiantur, id indicat, quod rurſus floridum corpus efficitur.

[439] Ἐν γυμνασίοισι σημεῖον ὁ ἱδρὼς ὁ ῥέων στάγδην, ὃς ἔξεισιν ὥσπερ ἐξ ὀχετῶν, ἢ σύμπτωσις ἐξ ἐπάρσιος.

Ἡ γυνὴ, ἣν πρῶτον ἐθεράπευσα ἐν Κρανῶνι, σπλὴν || οἱ φύσει μέγας, πυρετὸς, καυσώδης, ἐξέρυθρος, πνεῦμα δεκάτη, ἱδρὼς τὰ πολλὰ ἄνω, ἀτάρτι καὶ κάτω τεσσαρεσκαιδεκάτη.

Ἧσσον τοῖσιν ἀπὸ κεφαλῆς κορυζώδεσιν ἐπιπυρετήνασιν; ὡς οἶμαι, (804) ὑποστροφαί.

Πᾶν τὸ ἐκπυέον ἀνυπόστροφον. οὗτος γὰρ πεπασμὸς καὶ κρίσις ἅμα καὶ ἀπόστασίς ἐστιν.

Οἷσιν, ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ, ὡς Δαμναγόρᾳ. οἷσι δ' ἐν τούτῳ ψόφος, ὡς Ἀρκεσιλάῳ.

Τὸ φυσιῶδες ξυναίτιον τοῖσι πτερυγώδεσι, καὶ γάρ εἰσι φυσώδεες.

Τὸ ψυχρὸν πάνυ φλεβῶν ῥηκτικὸν καὶ βηχῶδες, οἷον

Exercitationis modum indicat fudor guttatim effluens qui velut ex aquae ductibus emanat, aut ex tumore compreffio.

Mulierem, quam primum Cranone curavi, cui lien natura magnus erat, febris ardens prehendit, praerubra era cum difficultate fpirandi. Decimo die fudor ut plurimum ex fuperioribus partibus profluxit, quin etiam et ex inferioribus decimo quarto die.

Ex capitis gravedine et raucedine laborantibus, ub febre corripiuntur, iis fere morborum reverfiones non fiun

Quod in pus vertitur, id morbi reverfionem non faci Ipfa namque maturatio fimul et judicationis et excretioni rationem habet.

Quibusdam, cum venerem exercent, venter inflatu quod Damnagorae accidit. Quibusdam vero tum crepitus fi ut Arcefilao.

In his qui alarum inftar prominentes habent fcapula flatus fimul caufa eft. Sunt enim flatulenti.

Valde frigidum, velut nix et glacies, venas rumpere tuffes excitare folet. Humorum vero collectiones faci quales funt oblongae circa aures eminentiae, a Satyroru

χιὼν, κρύσταλλος, συστρεπτικὸν δὲ, οἷον τὰ φηρεῖα καὶ αἱ γογγρῶναι. συναίτιον καὶ αἱ σκληρότητες.

[446] Τὸ μετ' οὔρησιν σύναγμα παιδίοισι μᾶλλον. ἦρ' ὅτι θερμότερα;

Τὰ σχήματα τὰ ῥηΐζοντα μᾶλλον, οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων ἢ στρέφων, ὑπὲρ ὀδυνέων κατακείμενος, λαβόμενος πασσάλου ἄκρου ὑπερπεπηγότος εἴχετο, καὶ ἐῤῥήϊσεν.

Ὃν ἐξ ὀρειτυπίης παρὰ τὴν γέφυραν εἶδον ἐγὼ, ῥιπτεῦντα σκέλεα, κνήμην ἑτέρην ἥκιστα ἐλεπτύνετο, μηροὺς δὲ κάρτα. οὖρα καὶ γονὴ οὐκ ἔχετο.

Ὅσαι πτερυγώδεες φύσιες πλευρέων δι' ἀδυναμίην τῆς ἀφορμῆς, ἐπὶ τοῖσι κατάῤῥοισι τοῖσι κακοήθεσιν ἢν ἔκκρισις εἴη, κἢν μὴ εἴη, κακόν.

[452] Ῥίγεα ἄρχεται γυναιξὶν μὲν μᾶλλον ἀπ' ὀσφύος καὶ διὰ νώτου, καὶ τότε ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν

similitudine Pherea dictae aut rotundae, arborum quarundam tuberculis similes, quae gongronae vocantur. Quin etiam et corporis durities simul causa existit.

Post mictionem coitio, num ideo pueris potius contingit quod sint calidiores?

Figuras quasdam corporum magis allevare, ex eo perspicuum, qui cum sarmenta manu flecteret aut intorqueret ac prae doloribus decumberet, arrepta summa defixi paxilli parte inhaesit et allevamentum sensit.

Quem ex montano labore juxta pontem vidi crura hinc inde jactantem, huic altera tibia minimum extenuabatur, femora autem plurimum. Urina vero et genitale semen non retinebantur.

Quicunque alata latera natura habere dicuntur, quod a tergo scoptula operta alarum instar emineant, idque ex causae imbecillitate accidit, ii in malignis destillationibus, sive excretio fiat sive non fiat, male habent.

Rigores quidem mulieribus a lumbis inchoant magis, et per dorsum deinceps ad caput feruntur. Quin et viris

ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν. φρίσσομεν γὰρ τὰ ἔξωθεν μᾶλλον ἢ τὰ ἔνδοθεν τοῦ σώματος, οἷον πήχεων, (805) μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιότερον. δηλοῖ δὲ ἡ θρίξ. ἀφ' ὧν δὲ ἄλλων ῥιγέουσιν ἴσως ἑλκέων, ἄρχεται ἀπὸ τῶν ἀγγείων.

Κεφάλαιον ἐκ τῆς γενέσεως καὶ ἀφορμῆς καὶ πλείστων λόγων καὶ κατὰ σμικρὰ γινωσκομένων. συνάγοντα καὶ καταμανθάνοντα εἰ ὅμοιά ἐστιν ἀλλήλοισι, καὶ εἰ μὴ ὅμοια ἀλλήλοις εἰσὶν, ὡς ἐκ τῶν ἀνομοιοτήτων ὁμοιότης γένηται μία. οὕτως ἂν ἡ ὁδὸς, οὕτω καὶ τῶν ὀρθῶς ἐχόντων δοκιμασίη καὶ τῶν μὴ ἔλεγχος.

[254] Αἱμοῤῥαγίαι ἐκ ῥινῶν ἢ τοῖσιν ὑποχλωρομέλασιν ἢ τοῖσιν ἐρυθροχόλοισιν ἢ τοῖσιν ὑποχλώροισι, βραχέα ὑφέντα παχῦναι ξηρῶς. τοῖσι δὲ ἑτέροισι παχυσμοῖς ἧσσον. ξηρῷ δὲ δεῖ λευκῷ, οἷον κηκὶς, στυπτηρία.

Ἐπὴν ἀφροδισιάζειν ἄρξωνται ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν.

posteriore magis quam anteriore corporis parte. Horremus si quidem exterioribus magis quam interioribus corporis partibus, veluti cubitis, femoribus. Sed et cutis raritas id indicat, cujus indicium est pilus. Si vero aliunde rigent, forteque ex ulceribus, ex vasis rigor inchoat.

Curationis summa ex primo ortu, causa, plurimis aegri sermonibus, iisque quae sensim in cognitionem veniunt, colligenda est, ac perdiscendum num inter se sint similia, an dissimilia, ut ex dissimilitudinibus una similitudo fiat. Haec utique via est, hacque ratione quae recte se habent explorantur, quae vero secus, deprehenduntur.

Sanguinis e naribus profluvium accidit aut his, qui aliquantulum pallescentes nigricant, aut ex rubro pallescunt, aut aliquantulum pallent. In quibus ubi paulum concesseris, sicco aliquo medicamento incrassare oportet. In aliis vero minus incrassandum. Sicco autem albo medicamento ad ea uti oportet, quale est galla aut alumen.

Ubi venerem exercere aut hircire incipiunt, tum sanguinis profluvio tentantur.

Ed.Chart.IX.[454.459.] Foës.II. 1175. 1176. Ed. Lind. I. (805.806.)

Ἐν τοῖσι δὲ προσόδοισιν ἔστιν οἳ ἀποψοφέουσιν, οἷον Ἀρκεσίλαος, οἱ δὲ μέλλοντες ῥιγώσειν ῥικνώδεες, οἱ δ' ἐπὴν προσέλθωσι, φυσῶνται κοιλίην, οἷον Δαμναγόρης.

Αἱ μεταβολαὶ φυλακτέαι, ὀλιγοσιτίη, ἄκοπον, ἄδιψον πίνοντι.

[459] || Πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα. ἔπειτα περιτείνεται, ἀνάθρεψις τἀναντία χρωτὸς ῥίκνωσις ξυμπίπτοντος. ἔκτασις ἀνατρεφομένου, τὸ ῥικνῶδες τὸ λεῖον ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. οὕτω τὸ κατασπᾶσθαι μαζοὺς, ἰσχνοὺς δὲ ἀνεσπάσθαι καὶ περιτετάσθαι, καίτοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γενέσθαι.

Κλεῖς περιφανέες, φλέβες διαφανέες.

Πρόδικος τοὺς πυρεταίνοντας ἔκτεινεν, περιόδοισι, πάλῃσι πολλοῖσι, πυ(806)ρίῃ, κακὸν, τὸ πυρετῶδες πολέμιον πάλῃσι, περιόδοισι, δρόμοισιν, ἀνατρίψει, αὐτοῖσι. πόνῳ πύ-

In mulierum congreſſibus quidam crepitum edunt, ut Arceſilaus. Sunt qui, ubi congreſſuri ſunt, corpore horrent ac corrugantur. Quibusdam vero, ubi congreſſi fuerint, venter inflatur, ut Damnagorae.

Mutationes cavere oportet, in eoque obſervanda eſt cibi parcitas et quod laſſitudinem adimit, et quod bibenti ſitim arcet.

Quaevis extenuatio cutem laxat, deinde diſtenditur, refectio contra. Cutis collabentis corrugatio, renutritae extenſio, horridum, laeve, alterum alterius ſignum exiſtit, itemque ſubbilioſum et ſubrubrum. Eadem ratione mammae demittuntur, graciles vero revelluntur et diſtenduntur: etſi id non eam ob cauſam fieri quis exiſtimaverit, ſed quia corpus carne repleatur.

Jugula conſpicua in quibusdam videntur et venae apparentes.

Herodicus febricitantes tum multis obambulationibus, tum multa lucta et fomentis conficiebat, idque male. Febris enim fami, luctae, obambulationibus, curſibus, frictioni, iis utique omnibus eſt inimica. Laborem igitur labore curabat.

νον. φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης, πλευρέων ὀδύνα λαπαραί.

Ἄδιψον συνέχειν στόμα, σιγᾷν, ἄνεμον ξὺν τῷ ποτ ψυχρὸν εἰσάγειν.

[468] *Τὰς ἀφορμὰς ὁκόθεν ἤρξαντο κάμνειν εἴτε κε φαλῆς ὀδύνη εἴτε ὠτὸς εἴτε πλευροῦ, σημεῖον οἱ ὀδόντες καὶ ἐν οἷσι βουβῶνες.*

Τὰ γινόμενα ἕλκεα καὶ φύματα κρίνοντα πυρετοὺς, οἷσ ταῦτα μὴ παραγίνηται, ἀκρασίη. οἷσιν ἐγκαταλείπηται, βεβαι ὅταται καὶ τάχισται ὑποστροφαί.

Τὰ στρογγυλόμενα πτύαλα παρακρουστικὰ, οἷα ἐ Πληνῷ.

Οἱ αἱμοῤῥοΐδας ἔχοντες οὔτε πλευρίτιδι οὔτε περιπλευ μονίῃ οὔτε φαγεδαίνῃ οὔτε δοθιῆσιν οὔτε τερμίνθοισι ἁλι σκονται, ἴσως δὲ οὐδὲ λέπραις, ἴσως δὲ οὐδὲ ἄλλῃσιν. ἰη τρευθέντες γε μὴν ἀκαίρως συχνοὶ, τοῖσι τοιούτοισιν ο

Inde venarum rubor, livor, pallor aut laterum dolore molles contingebant.

Sitim prohibet os claudere, tacere, auram cum po frigidam intro ducere.

Videndae sunt causae ex quibus morbi coeperint, siv capitis dolor sive auris sive lateris prehenderit. Cujus r dentes et in quibusdam glandularum tumores significatione afferunt.

Quae suboriuntur ulcera et tubercula, ac febres dece nere nata sunt, si non affuerint, judicationem ipsam to lunt. Quibus vero aliquid intus relinquitur, iis certissima et celerrimae morborum reversiones fiunt.

Rotunda sputa, qualia in Pleno visa sunt, delirium po tendunt.

Qui sanguinem per ora venarum quae in ano sunt pro fundere solent, neque morbo laterali neque pulmonis in flammatione neque ulcere exedente, phagedaenam dicun neque furunculis corripiuntur, neque tuberculis, quae a c cerum similitudine terminthi dicuntur, ac fortassis ne lep quidem, forteque neque aliis id genus. Intempestive tame

βραδέως ἑάλωσαν, καὶ ὀλέθρια οὕτω καὶ ὅσαι ἄλλαι ὑποστάσιες, οἷον σύριγγες ἢ ἕτεραι ἀποσκήψιες. ἐφ᾽ οἷσι γινόμενα ῥύεται, τούτων προγενόμενα κωλύει.

Ἀλλ᾽ οὐδὲ τόποι οὗτοι οἱ δεξάμενοι ἢ πόνῳ ἢ βάρει ἢ ἄλλῳ τινὶ ῥύονται, ἀλλ᾽ οἷσιν αἱ κοινωνίαι.

[471] Διὰ τὴν ῥοπὴν οὐκ ἔτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν ξυγγένειαν τοιαῦτ᾽ ἀποπτύουσιν.

Ἔστιν οἷσιν αἷμα ἀφίεσθαι ἐν καιρῷ ἐπὶ τούτοισιν. ἐπ᾽ ἄλλοισι (807) δὲ ὥσπερ ἐπὶ τούτοισι, τοῦτο οὐκ εἰκός.

Κώλυσις ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή.

[474] || [Τμῆμα τέταρτον.] Τὰ παρ᾽ οὖς οἷσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων λαπασσομένων ὑποστροφὴ γίνεται. κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς γενομένης, αὖθις αἴρεται καὶ παραμένει, ὥσπερ αἱ τῶν

curati multi, brevi hujusmodi morbis correpti ſunt, eamque ob cauſam perniciofe habuerunt. Quod et in reliquis absceſſibus, velut fiſtulis, contingit, qui aliorum medela ſunt. Et in his quidem videndum eſt, quibus in morbis quae facta ſunt liberant, eosdem ſi ante fiant prohibere.

Loci alterius noxios humores loca quaedam excipiunt, aut ob dolorem aut gravitatem aut aliud quippiam, aut quod cum aliis communitatem habeant, liberant.

Quod alio ſanguis inclinet, ideo non amplius exit, ſed juxta humoris cognationem ejusmodi ſputa excreantur. Atque interdum horum quibusdam opportune ſanguinem detrahere convenit, in aliis vero perinde atque his, id non aeque conſentaneum.

In cruenta ſpuentibus ſanguinis detractionem prohibet anni tempus, lateris dolor, bilis.

[*Sectio quarta.*] Quibus judicationis tempore exorta ad aures tubercula non ſuppuraverint, iis evaneſcentibus morbi reverſio contingit, factaque pro recidivarum ratione morbi reverſione, rurſus attolluntur et permanent, non

πυρετῶν ὑποστροφαὶ, ἐν ὁμοίῃ περιόδῳ. ἐπὶ τούτοισιν ἐλπὶς εἰς ἄρθρα ἀφίστασθαι.

Οὖρον παχὺ, λευκὸν, οἷον τὸ τοῦ Ἀμφιγένεος ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ πρὸς τοῦτο αἱμοῤῥαγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς, καὶ πάνυ.

Ὧι τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθριτικὸς ἐγένετο, ἦν ἡσυχώτερος. ἐπεὶ δὲ τούτῳ ἰητρεύθη, ἐπιπονώτερος

[476] Ἡ Ἀγάσιος κόρη μὲν ἐοῦσα πυκνοπνεύματος ἦν. γυνὴ δὲ γινομένη ἐκ τόκου οὐ πάλαι ἐπίπονος ἐοῦσα, || ἐπιπολαίως ἦρεν ἄχθος μέγα, αὐτίκα μὲν ψοφῆσαί τι ἐδόκει κατὰ τὸ στῆθος. τῇ ὑστεραίῃ ἆσθμά τε εἶχε καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. ὁπότε τοῦτο πονέοι, ἐπόνει τότε καὶ τὸ ἆσθμα εἶχε. παυσαμένου δὲ ἐπαύσατο, ἔπτυσεν ἀφρώδεα, ἀρχομένη δὲ ἀνθηρά. κατασταθὲν δὲ ἐμέσματι χολώδει ἐῴκει λεπτῷ, οἱ πόνοι μάλιστα μὲν ὁπότε πονοίη τῇ χειρί. ταύτην εἴργε-

ſecus ac febrium reverſiones, eodem circuitu. In his ad articulos aliquid abscedere poſſe ſperandum eſt.

Urina craſſa, alba, qualis Archigenis puero aderat, interdum in febribus, quae ſunt cum laſſitudinis ſenſu, quarto die prodit et ab absceſſu vindicat. Quod ſi praeter haec ſanguis e naribus abunde profluat, etiam prorſus liberat.

Qui articulari morbo detentus, inteſtini dolore dextra parte vexabatur, levius habebat. Ubi vero hic curatus fuit, magis dolebat.

Agaſii filia adhuc puella, crebra ſpiratione vexabatur, mulier vero effecta, non ita pridem a partu, levi dolore correpta eſt. Cumque grave pondus ſuſtuliſſet, protinus quidem in pectore aliquid concrepuiſſe viſum eſt. Poſtridie tum creber anhelitus, aſthma vocant, tenuit, tum coxendix dextra indoluit. Quumque haec doleret, tum etiam creber anhelitus fatigabat, qui dolore deſinente ceſſabat. Sputum ſpumoſum rejecit, per initia vero floridum, quod ubi conſtiterat, vomitionem bilioſam et tenuem referebat. Dolores autem potiſſimum aderant cum manu laboraret.

σθαι σκορόδου, χοιρείου, ὀΐος, βοός. ἐν δὲ τοῖσι πνευμένοισι βοῆς, ὀξυθυμίης.

Ὧι ἐν (808) τῇ κεφαλῇ ἐνέμετο ἔπαρμα, πρῶτον ἡ στυπτηρίη ἡ κεκαυμένη ἐνήρμοσεν. εἶχεν ἄλλην ἀπόστασιν, ἴσως ὅτι ὀστέον ἔμελλεν ἀποστήσεσθαι, ἀπέστη ἑξηκοσταῖον, ὑπὲρ τοῦ ὠτὸς ἄνω πρὸς κορυφὴν τὸ τρῶμα ἦν.

Τὰ κῶλα ἔχει οἷα κυνὸς, μείζω δέ. ἤρτηται ἐκ τῶν μεσοκόλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα.

[479] Αἱ τοῖσι κάμνουσι χάριτες, οἷον τὸ καθαρίως δρᾷν ἢ ποτὰ ἢ βρωτὰ ἢ ἃ ἂν ὁρᾷ μαλακῶς ὅσα ψαύῃ. ἄλλαι, ἃ μὴ μεγάλα βλάπτει ἢ μὴ εὐανάληπτα, οἷον ψυχρὸν ὅκου τοῦτο. δεῖ ἄλλαι, εἴσοδοι, λόγοι, σχῆμα, ἐσθής. τῷ νοσέοντι, κουρὴ, ὄνυχες, ὀδμαί.

Huic allio, ſuilla, ovilla et bubula interdicere viſum fuit. Difficultate autem ſpirandi laborantibus clamore atque praecipiti iracundia abſtinendum.

Cui in capite tumor ad aures depaſcendo proſerpebat, ei primum alumen uſtum admotum profuit. Is alium abſceſſum habuit ea ratione fortaſſis quod os abscedere oportebat, quod ſexageſimo die ſupra aurem diſceſſionem fecit, cum in ſummo vertice vulnus eſſet.

Homo craſſiora inteſtina ad inſtar canis habet, majora tamen. Appendent autem ex medianis membranis, quae meſocola dicuntur. Hae vero ex nervis a ſpina ſub ventre procedentibus.

In quibusdam aegrotis eſt gratificandum, velut eſt, ut munde tum potus tum cibus parentur, tum etiam quaecunque videt et attingit mollia ſint. In aliis quoque gratificari oportet quae non magnam noxam afferunt, aut quae facile ſarciri queat, velut frigida, ubi ea opus eſt. In his etiam medicum aegroto ſe gratum praebere convenit, qualia ſunt ingreſſus, ſermones, corporis habitus, veſtitus, tonſura, ungues et odores.

Ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχηται τὸν ἠέρα, τὸ δ
μὴ ἔμπλεον εἶναι καὶ ἐπίθημα ἔχειν.

Ὅτι ἐξ αἱμοῤῥαγιῶν ἐξυδεροῦνται.

Ἢν οἷα δεῖ καθαίρωνται καὶ εὐφόρως φέρουσιν.

Ἐν Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως θήλεα, ἄῤῥενα σκελέων ἀκρατέες ἐγένοντο καὶ διετέλεον. ἀτὰρ καὶ ὀροβοφαγέοντες γονυαλγέες.

Ἐμφανέως ἐγρηγορὼς θερμότερος τὰ ἔξω, τὰ ἔσω δ ψυχρότερος. καθεύδων τἀναντία.

[491] Ἐν θέρμῳ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλινύειν.

Ὕπνος ἐν ψύχει ἐπιβεβλημένῳ.

Ὕπνος ἑδραῖος ὀρθῷ νυσταγμός.

Αἱ ἀσθενέες δίαιται ψυχραὶ, αἱ δὲ ἰσχυραὶ θερμαί.

Aquam ubi decoxeris, partim quidem ut aërem recipiat efficies, partim vero ut vas plenum non sit, et operculum habeat.

Quod multi ex immodico sanguinis profluvio aqua inter cutem corripiuntur animadvertendum est.

Si qualia opus est purgentur, tum facile tolerant.

In Aeno qui continenter leguminibus vescebantur, tum mares tum feminae, crurum impotentia conflictabantur, in eaque perseverabant. Et vero qui ervo in cibum utebantur, ex genuum dolore laborabant.

Vigilantem externis partibus calidiorem esse, internis autem frigidiorem, apparet. Dormienti vero vice versa contingere.

Calidae naturae refrigeratio, aquae potio et quietem agere convenit.

Somnus in loco frigido, stragulis corporis injectis, capiendus est.

Quae stanti adest somnolentorum nictatio, somnum profundum facit.

Imbecilla victus ratio frigida, valida vero calida.

Ὑδάτων ἀτεχνέων τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀποκριθὲν, βροντιαῖον, (809) ὡραῖον, τὸ δὲ λαιλαπῶδες κακόν.

Ὕδωρ βορὸν, καὶ ἀγρυπνίη βορόν.

Ἐν θερμῷ φύσει καὶ θερμῇ ὥρῃ κοίτη ἐν ψύχει παχύνει, ἐν δὲ θερμῷ λεπτύνει.

Ἄσκησις ὑγιὴς, ἀκορίη τροφῆς, ἀοκνίη πόνων.

Ἐν τῷ ἐγρηγορέναι δίψης ἐπιπολαίου ὕπνος ἄκος, τῆς δὲ ἐξ ὕπνου διέγερσις.

[501] Οἷσι πλεῖστον τὸ θερμὸν, μεγαλοφωνότατοι, καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος· δύο δὲ μεγάλων μεγάλα καὶ τὰ ἔκγονα γίνεται.

Οἱ θερμοκοίλιοι ψυχρόσαρκοι καὶ λεπτοί. οὗτοι ἐπίφλεβοι καὶ ὀξυθυμότεροι.

Αὐχμοῦ ἐπὶ γῆς οἰωνῶν γένος εὐθυνεῖ.

Τράγος ὁκότερος ἂν φανῇ ἔξω, ὄρχις δεξιὸς, ἄρσεν· εἰ δὲ εὐώνυμος, θῆλυ.

Aquarum quae arte carent, partim quidem ab aethere excreta, cum tonitru aut media aeſtate demittitur, partim vero nimboſa et mala eſt.

Tum aqua tum vigilia voraces homines efficiunt.

Percalidam naturam calido anni tempore cubile in aëre frigido craſſam efficit, in calido vero extenuat.

Valetudinem excolunt citra ſatietatem cibis veſci, et impigrum eſſe ad laborem.

Levem inter vigilandum ſitim ſomnus ſedat, eam vero quae ex ſomno orta eſt, vigilia interdum.

Qui plurimo calore abundant, ii magna ſunt voce praediti. Plurimus etenim aër frigidus inſpiratur. Duorum vero magnorum magna quoque ſoboles exiſtit.

Qui calido ſunt ventriculo, frigidas habent carnes et graciles exiſtunt. In iis venae prominentes apparent, et ad iram ſunt proniores.

Per exuperantes terrae ſiccitates volucrum genus probe valet.

Videndum uter teſtis extra promineat, quod τράγος Graecis dicitur. Quod ſi dexter, mas, ſi vero ſiniſter, femina portenditur.

Ed. Chart. IX. [505. 509.] Foes. II. 1181. 1184. Ed. Lind. I. (809. 810.)

[505] || Ὀφθαλμοὶ ὡς ἂν ἰσχύωσιν, οὕτω καὶ γυῖον, καὶ χροιὴ ἐπὶ τὸ κάκιον ἢ ἄμεινον ἐπιδιδοῖ. δίκαιον δὲ ὡς ἂν ἔχῃ ἡ τροφὴ, οὕτω καὶ τὸ ἔξω ἕπεσθαι.

Σημεῖα θανατώδη, ἀνὰ δέρμα, ῥῖνα θερμὸς ἀτμὸς, πρότερον δὲ ῥὶς ψυχρὸν πνεῦμα ἀφίησιν. τὰ ζωτικὰ ἐναντία.

Πόνοι σιτίων ἡγείσθωσαν.

[509] || [Τμῆμα πέμπτον.] Νούσων φύσιες ἰητροί.

Ἀνευρίσκει ἡ φύσις αὐτῇ ἑωυτῇ τὰς ἐφόδους οὐκ ἐκ διανοίης, τὰ μὲν οἷον τὸ σκαρδαμύσσειν, τὰ δὲ καὶ ἡ γλῶσσα ὑπουργέει, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀπαίδευτος ἡ φύσις ἐοῦσα καὶ μαθοῦσα τὰ δέοντα ποιέειν.

Δάκρυα, ῥινῶν ὑγρότης, πταρμοὶ, ὠτὸς ῥύπος, στόματος, σιάλου ἀναγωγὴ, πνεύματος εἴσοδος, ἔξοδος, (810) χάσμη, βὴξ, λὺγξ, οὐ τοῦ αὐτέου παντάπασι τρόπου.

Οὔρου ἄφοδος καὶ φύσης καὶ ταύτης τῆς ἑτέρης τροφῆς καὶ πνοιῆς, καὶ τοῖσι θήλεσιν ἃ τούτοισι καὶ κατὰ

Oculi ut valuerint, ita et totum corpus. Color quoque ad deterius aut melius confert. Aequum eſt autem, prout ſe habuerit alimentum, ita etiam externas corporis partes affectas eſſe.

Inter lethalia ſigna numeratur calidus vapor per cutem emanans, ſi prius nares ſpiritum frigidum emiſerint. Vitalia vero contra ſe habent.

Cibos labores praecedere oportet.

[*Sectio quinta.*] Morbis naturae medentur.

Natura ipſa ſibi per ſe, non ex conſilio motiones ad actiones obeundas invenit, partim quidem, ut nictare, partim vero etiam quibus lingua ſubſervit, et quaecunque alia id genus. A nullo quidem edocta natura, citraque diſciplinam ea quae conveniunt efficit.

Lacrimae, narium humor, ſternutationes, aurium ſordes, oris ſalivatio, ſputi eductio, ſpiritus ingreſſus, exitus, oſcitatio, tuſſis, ſingultus non eodem prorſus modo fiunt.

Conſideranda quoque ſunt urinae ſeceſſus et flatus, hujusque alterius excretio, alimenti et tranſpirationis actio:

τὸ ἄλλο σῶμα, ἱδρῶτες, κνησμοὶ, σκορδινιασμοὶ, καὶ ὅσα τοιαῦτα.

Ἀνθρώπου ψυχὴ ἀεὶ φύεται μέχρι θανάτου. ἢν δὲ ἐκπυρωθῇ ἅμα τῇ νούσῳ καὶ ἡ ψυχὴ, τὸ σῶμα φέρβεται.

[519] Νοῦσοι ξύντροφοι ἐν γήραϊ, καὶ διὰ πεπασμὸν λείπουσι, καὶ διὰ λύσιν, καὶ δι᾽ ἀραίωσιν.

Ἴησις ἀντίνοον μὴ ὁμονοεῖν τῷ πάθει, τὸ ψυχρὸν καὶ ἐπικουρέει καὶ κτείνει ὁκόσα ἐκ θερμοῦ.

Ὀξυθυμίη ἀνασπᾷ καρδίην καὶ πνεύμονα εἰς ἑωυτὰ, καὶ ἐς κεφαλὴν τὰ θερμὰ καὶ τὸ ὑγρόν. ἡ δ᾽ εὐθυμίη ἀφίει καρδίην.

Πόνος τοῖσιν ἄρθροισι καὶ σαρκὶ, σῖτος, ὕπνος σπλάγχνοισι.

Ψυχῆς περίπατος φροντὶς ἀνθρώποισιν.

Ἐν τοῖσι τρώμασι τὸ αἷμα ξυντρέχει, βοηθητέον ὡς τὸ κενὸν πληρωθῆναι.

et mulieribus, quae iis insunt, quaeque in toto corpore accidunt, sudores, pruritus, pandiculationes et quaecunque id genus.

Humanus animus ad mortem usque perpetuo producitur. Quod si una cum morbo incensus fuerit, tum etiam ipse corpus depascitur.

Morbi una nobiscum educati in senectute et maturatione et solutione et rarefactione desinunt.

Medicatio est obluctantem esse neque consentientem affectui. Sic frigidum et auxilio est, et quae a calido sunt, tollit.

Praeceps atque acerba iracundia cor et pulmonem in sese et ad caput calorem et humorem attrahit. Animi autem tranquillitas cor relaxat.

Labor articulis et carnibus confert, visceribus vero cibus et somnus.

Cura ac meditatio hominibus pro animi exercitatione est.

Ad vulnera sanguinis concurrit, succurrendum igitur ut vacuum expleatur.

[524] Ἢν οὖς ἀλγέει, εἰρίον περὶ τὸν δάκτυλον ἑλίξας ἐγχεῖν ἄλειφα θερμὸν, ἔπειτα ἐπιθεὶς εἴσω ἐν τῷ θέναρι τὸ εἰρίον τὸ οὖς ὑπερθεῖναι ὡς δοκέῃ τί οἱ ἐξιέναι. ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν ἀπάτῃ.

|| Γλῶσσα οὖρον σημαίνει, χλωραὶ γλῶσσαι χολώδεες, τὸ δὲ χολῶδες ἀπὸ πίονος. ἐρυθραὶ δὲ ἀφ᾽ αἵματος, μέλαιναι δὲ ἀπὸ μελαίνης χολῆς, αὖαι δὲ ἀπὸ ἐκκαύσιος λιγνυώδεος καὶ μητρῴου μορίου, λευκαὶ δὲ ἀπὸ φλέγματος.

Οὖρον ὁμόχροον βρώματι καὶ πόματι καὶ ὡς ἔσωθεν ἐὸν, ὑπὸ τοῦ ὑγροῦ ξύντηξις.

Γλῶσσα (811) ὁμόχρους τῇσι προστάσεσι, διὸ ταύτῃ γινώσκομεν τοὺς χυμούς.

Ἢν ἁλμυραὶ σάρκες γευομένῳ, περισσώσιος σημεῖον.

Ἢν τῶν μαζῶν αἱ θηλαὶ καὶ τὸ ἐρυθρὸν χλωρὸν ᾖ, νοσῶδες τὸ ἄγγος.

Ἀνθρώποις ὁ ἐν τοῖσιν ὠσὶ ῥύπος ὁ μὲν γλυκὺς θανάσιμος, ὁ δὲ πικρὸς οὔ.

In auris dolore, lana digito circumvoluta, unguen calidum instilla, deinde interiori manus volae lana imposita, auri supponito, ut aliquid ipsi exire videatur, deinceps in ignem immittito. In quo tibi aeger ipse fallendus est.

Lingua humorum serum quale sit indicat. Pallidae quidem linguae ex bilis redundantia fiunt, biliosum autem a pingui. Rubicundae vero a sanguine, nigrae ab atra bile, valde resiccatae ex succensa fuligine et utero, albae autem ex pituita.

Urina cibi et potus colorem refert, estque veluti humoris in corpore colliquatio.

Lingua humorum praestantiam colore refert, ideoque per hanc ad humorum dignotionem pervenimus.

Carnes gustanti salsae supervacaneam quandam copiam indicant.

Si mammarum papillae et rubra circa eas circumferentia pallida fuerit, morbosum esse uteri conceptaculum significatur.

Aurium sordes hominibus dulcis quidem letalis, amara vero minime.

Γῆν μεταμείβειν σύμφορον ἐπὶ τοῖσι μακροῖσι νουσήμασιν.

Τὰ ἀσθενέστερα σιτία ὀλιγοχρονίαν βιοτὴν ἔχει.

[530] Κεδμάτων τὰς ἐν τοῖσιν ὠσὶν. ὄπισθεν φλέβας σχάζειν.

Λαγνείη τῶν ἀπὸ φλέγματος νούσων ὠφέλιμον.

Θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ ἢ βρωτὰ, ταρακτικά.

Μελαίνης χολῆς, ὡς ὅμοιον αἱμοῤῥοΐδι.

Τὰς ἐπαυξέας νόσους, μίξις.

Ψύξις τὰ κατὰ κοιλίην σκληρύνει, μίξις τὰ κατὰ τὴν γαστέρα σκληρύνει.

Ἐλλέβορον πιόντα θᾶσσον καθαίρειν ἢν θέλῃς, λούειν ἢ φαγεῖν.

Τὸ αἷμα ἐν ὕπνῳ εἴσω μᾶλλον φεύγει.

Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης, πῦρ δὲ ἀπὸ τῆς κάτω μᾶλλον.

In longis morbis ſolum vertere conducit.

Imbecilles cibi brevem vitam praeſtant.

In diuturnis circa articulos praecipueque coxendicem defluxionibus, quae κέδματα Graecis dicuntur, venas in auribus poſteriores pertundere oportet.

Veneris uſus morbis a pituita confert.

Valentes cibi aut potus eos qui calido ſunt ventriculo perturbant.

In profluvio quod fit per ora venarum in ano ſanguinem fundere ſolita, Graeci haemorrhoida dicunt, velut quidam atrae bili affine effluit.

Morbos qui temporis ſucceſſu augentur et deteriores fiunt, coitus laedit.

Refrigeratio quae in ventre continentur indurat. Coitus quae ventre continentur indurat.

Veratrum epotum ſi celerius purgare voles, lavare aut cibum ſumere oportet.

Per ſomnum ſanguis ad interiora magis ſe recipit.

Ex ſuperioribus ventris partibus rigor, febris vero ex inferioribus fere ortum ducit.

Ἐπισπασμὸς ἢν πνεύμων ξηρὸς ἢ ὑγρὸν καῦμα, ὑπέρ- νον ξηραίνει καὶ ὕπνος πουλύς.

Ψυχρότατον βρῶμα φακοὶ, κέγχροι, κολοκύνται.

[537] Ἕλκεα ἐκφύουσιν ἢν ἀκάθαρτος ἐὼν πονήσῃ.

Γυνὴ, αἴξ, ἐλατήριον ἢ σίκυον ἄγριον βεβρωκυῖαι κ- παιδίοισι κάθαρσις.

Ἐνθέρμῳ βρωθὲν ἔσωθεν ψύξις, ἔξωθεν πόνος, ἡλί- πυρὶ, ἐσθῆτι ἐν ὥρῃ θερινῇ. τῷ δὲ ἐναντίῳ ὡς ἐναντίως.

Βρώματα τὰ μὲν ταχέως κρατεῖται, τὰ δ᾽ ἐναντίως.

[540] || [Τμῆμα ἕκτον.] Σάρκες ὁλκὴ καὶ ἐκ κοιλί- καὶ (812) ἔξωθεν δῆλον ἡ αἴσθησις ὡς ἔκπνοον καὶ εἴσπνο- ὅλον τὸ σῶμα.

Ἐνθερμότερον φλέβιον αἵματος πλήθει ἀνίσχει τὸ καυ- σῶδες, καὶ εὐθὺς ἀποκρίνει.

Aëris per inſpirationem attractio fit ubi pulmo ſicc- fuerit aut aeſtum conceperit. Immodice evacuatum etia- ſomnus multus exiccat.

In frigidis cibis annumerantur lentes, milium, cucur- bitae.

Ulcera erumpunt ubi quis non purgatus exercitation- utatur.

Si mulier aut capra cucumeris agreſtis ſuccum, elate- rium dicunt, aut cucumim ſilveſtrem devorarint, etia- pueri purgantur.

Impenſe calido corpori cibo interna reſrigeratio com- paratur, ſole, igne, veſtitu, aeſtivo tempore, externa noxa. Contrario vero ſic contraria conveniunt.

Ex cibis hi quidem celeriter ſuperantur, illi vero con- tra.

[*Sectio ſexta.*] Carnes et ex ventre et extrinſecus at- trahunt. Indicat autem ſenſus ipſe corpus totum tam fora- quam intro ſpirabile eſſe.

Venula ſanguinis multitudine calidior effecta aeſtuo- ſum quiddam producit, confeſtimque excernit.

Καὶ οἷσι τὸ μὲν πῖον, χολὴ ξανθὴ, τὸ δ' αἷμα μέλαινα.

Γνώμης, μνήμης, ὀδμῆς, τῶν ἄλλων καὶ πείνης, ὀργάνων ἄσκησις.

Πόνοι, σιτία, ποτὰ, ὕπνος, ἀφροδίσια μέτρια.

Ὁ ἐνψυχρότερος ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ ἐνθερμότερος ἔσται.

Ὀδυνέων τὴν ἐγγύτατα κοιλίην καθαίρειν, αἵματος δὲ κοιλίην διαιρεῖν. καῦσις, τομὴ, θάλψις, ψύξις, πταρμοὶ, φυτῶν χυμοὶ ἐφ' ὧν τὴν δύναμιν ἔχουσι καὶ κυκεών. κακούργων, γάλα, σκόροδον, οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες.

[549] Ἄνθρωπος ἐκ κόπων, ἐξ ὁδοῦ, ἀδυναμίη, βάρος, ἀνέπτυεν, ἔβησσε γὰρ ἐκ κορυφῆς. πυρετὸς ὀξὺς ὑποδάκνων πρὸς χεῖρα, δευτεραίῳ δὲ καρηβαρίη, γλῶσσα ἐπεκαύθη, ῥὶς ὀνυχογραφηθεῖσα. οὐχ ἡμοῤῥάγησεν. ἀριστερὸς σπλὴν μέγας καὶ σκληρὸς ἀδύνατο.

Et quibus quidem pingue abundat, bilis flava gignitur, quibus vero ſanguis, atra.

Mentis, memoriae, odoris, aliorumque et famis ac inſtrumentorum medico cura eſſe debet.

In labore, cibo, potu, ſomno, rebus venereis, modus adhibendus eſt.

Qui frigidior eſt, frigido anni tempore ac regione calidior erit.

In doloribus leniendis proximum ventrem purgare, ſanguinis vero ventrem ſecare oportet. Allevamentum quoque afferunt uſtio, ſectio, calefactio, perfrigeratio, ſternutamenta, plantarum ſucci, prout ipſorum facultas convenit et varia cyceonis mixtura, cinnum latini vocant. Malignorum remedia ſunt, lac, allium, vinum fervefactum, ſal, acetum.

Quidam ex via delaſſatus imbecillitate et gravitate correptus expuit. Tuſſis enim ex capitis vertice aderat, febris acuta ad manum aliquantulum mordens erat. Secundo vero die capitis gravitas erat, lingua exuſta eſt, nares unguibus ſculptae ſanguinem non profuderunt. Lien parte laeva tum magnus tum durus dolore tentabatur.

Οἱ ὑπὸ τεταρταίῳ ἁλισκόμενοι ὑπό τινος μεγάλης νούσου οὐχ ἁλίσκονται. ἢν δ᾽ ἁλίσκωνται πρότερον, ἐπιγένηται δὲ τεταρταῖος, παύονται.

Ἀνθ᾽ οἵων αἱ νοῦσοι.

Ἡ χολὴ, οἷον εἶπον περὶ τῶν ὀρνίθων ὅτι χολώδεες, ἡ θερμότης δριμύτητος σημεῖον.

Οἱ ὄχλοι, αἱ δίοδοι, ὅτι τοῖσι παρακρούουσι λήγουσιν ὀδύναι πλευρέων, ἔστι δ᾽ οἷσι πυρετοὶ, ἔστι δ᾽ οἷσιν οὔ· ἀλλὰ ξὺν ἱδρῶσιν, ἔστι δ᾽ οἷσι σὺν ὄχλῳ. ἔστι δ᾽ οἷσι καρφαλέον καὶ περιτεταμένον τὸ δέρμα καὶ ἁλμυρῶδες.

Αἱ ναρκώσιες οἷαι (813) ἐξ οἵων, καὶ οἷαι ᾧ τὸ ἰσχίον.

Αἱ οὐάτων, ἐξ οὐάτων τὰ πολλὰ θνήσκει τριταῖα.

Οἷσι μὲν δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ ἄνευ ἱδρῶτος, οἷσι δὲ καὶ χαλαρὰ ξὺν ἱδρῶτι θνήσκουσιν.

Ἐν τοῖσι παλιμβόλοισιν αἱ μεταβολαὶ ὠφελέουσι.

Qui quartana vexantur non ullo magno aliquo morbo corripiuntur. Quod ſi antea corripiantur, quartana ſuccedente liberantur.

Pro quibus, quinam morbi ſuccedant, conſiderandum.

Bilis fit, velut de avibus dixi, quae et bilioſae ſunt. Calor acrimoniam indicat.

Perturbationes ac morborum transitus videndi ſunt, nempe cum delirantibus laterum dolores ceſſent, quibusdam etiam febres, quibusdam vero minime, ſed una cum ſudoribus, nonnullis quoque cum perturbatione. Eſt ubi quibusdam cutis reficcata circumtenſa et fuliginoſa evadit.

Torpores quinam et ex quibusnam fiant videndum et quales ſint ei cui coxa doluit.

Inflammationes quae circa aures fiunt, et ipſarum quoque aurium inflammationes plerumque tertio die occidunt.

Quibus cutis arida et dura obtenditur, ii ſine ſudore, quibus vero etiam laxa, ii cum ſudore moriuntur.

In morbis vagis et facile mutabilibus, mutationes ju-

Ed. Chart. IX. [549.] Foeſ. II. 1190. Ed. Lind. I. (813.)
τούτοισι μεταβάλλειν πρὶν κακοῦσθαι ἐς τὰ πρέποντα, οἷον Χερίωνι.

Τὰ ἐρεθιζόμενα ἐξ οἵων τὰ κερχνώδεα ὅριον.

Οἷσι μὲν ὑγιὲς καταλείπεται, κάτω ὑφιεμένης τῆς προφάσιος ἢ καθαίρων ἢ ἀποδέων ἢ ἐκβάλλων ἢ ἀποτάμνων ἢ ἀποκαίων ἔσω. οἷσι δὲ μὴ, οὔ.

Οἷσιν αἷμα ῥεῖ πολὺ ἐκ ῥινῶν, οἷσι μὲν ἄχροαι ἄκρητοι, τούτοισιν ὀλίγα ἀρήγουσιν· οἷσι δὲ ἐξέρυθροι χρῶτες, οὐχ ὁμοίως, καὶ οἷσι κεφαλαὶ εὔφοροι, ἀρήγει. οἷσι δὲ μὴ, οὔ.

Οἷσι ῥῖνες ὑγρόταται φύσει καὶ ἡ γονὴ ὑγροτέρη καὶ πλείων, ὑγιαίνουσιν οὗτοι νοσηλότερον. τοῖσι πλείστοισι δὲ οἷσιν ὑπὸ νόσου τἀναντία.

Τὰ στρογγυλώμενα πτύαλα παρακρουστικὰ, οἷον τῷ ἐν Πλινθίῳ, τούτῳ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ καὶ ἐλύθη πεμπταίῳ.

vant. Sed mutationes ad loca convenientia fieri oportet prius quam vitium aliquod contrahatur, quale quid Cherioni accidit.

Conſiderandae veniunt irritantes fluxiones, ex quibus in vocem ſtridulam ex faucium aſperitate deſinant.

Quibus quidem quod ſanum eſt relinquitur, cauſa per inferiora ſubducta aut purgare aut deligare aut ejicere aut ſecare aut urere oportet. Quibus vero nihil tale fit, nil moliri opus eſt.

Quibus ſanguis multus ex naribus profluit, ſi quidem immoderatae decolorationes adſunt, iis parum conferunt. Qui vero praerubro ſunt colore non eodem modo afficiuntur. Et quibus caput facile tolerat, prodeſt, quibus vero ſecus, minime.

Quibus nares natura humidiores, et ſemen genitale humidius ac copioſius, ii minus ſalubriter degunt. Plurimi autem, quibus ex morbo iſtud accidit, contra ſe habent.

Sputa rotunda delirium portendunt, qualia viſa ſunt ei qui in Plinthio decumbebat, cui poſtquam ſanguis e nare ſiniſtra profluxit, die quinto abſolutus eſt.

|| Οὖρον πολὺν ὑπόστασιν ἔχον ῥύεται τὰς παρακρούσιας, οἷον καὶ τὸ τοῦ Δεξίππου μετὰ μάδησιν.

Οὐ πρόσω ἐνιαυτοῦ τεταρταῖος.

Ὦτα τοῦ θέρεος ῥήξιες πεμπταίοισιν. ἔστι δ᾽ ὅτε καὶ μακρότερα τὰ παρὰ τὰ οὖλα καὶ αἱ κατὰ ῥῖνας ἐμπυήσιες.

Οἷσιν ἐπὶ ὀδόντων ὀδύνης ἀπὸ ὀφρύος λεπτὰ ἔρχεται, τούτοισιν ἀπὸ πεπέρεως εὖ ἐνεργασθέντος πα(814)χύτερα τῇ ὑστεραίῃ ἔρχεται, ἢν καὶ τὰ ἄλλα μὴ κρατήσῃ. Ἡγησίππῳ γὰρ τὸ ὑπνικὸν ἐντεῦθεν οὐκ ἐκράτησεν, ἀλλὰ μᾶλλον καὶ προσεκαλέσθη βιαιότερον.

Τὴν ἀπὸ κεφαλῆς ὀστέων φύσιν, ἔπειτα νεύρων καὶ φλεβῶν καὶ σαρκῶν καὶ τῶν ἄλλων χυμῶν καὶ τῶν ἄνω καὶ τῶν κάτω κοιλιῶν καὶ γνώμης καὶ τρόπων καὶ τῶν κατ᾽ ἐνιαυτὸν γινομένων. ὥρῃ τινὶ τότ᾽ ἐπὶ πρωϊΐτερον τοῦ ἔτεος, οἷον ἐξανθήματα καὶ τὰ τοιαῦτα ὅμοιον τοῖσι καθ᾽ ἡμέρην πρωϊΐτερον λαμβανομένοισιν ἢ ὀψίτερον.

Urina multum habens sedimentum deliria tollit, qualis etiam Dexippi fuit post capillorum defluvium.

Non ante annum quartana desinit.

Aestate in aurium inflammationibus quinto die eruptiones fiunt, est ubi etiam longius perdurant. Sic et quae circa gingivas et nares suppurationes contingunt.

Quibus ex dentium dolore tenuia a superciliorum parte procedunt, iis a pipere probe infixo crassiora postridie prodeunt, si praesertim alia non evicerint. Hinc namque medicamentum soporiferum Hegesippo non obtinuit, quin potius etiam vehementius accersivit.

Ex capite ossium natura aestimanda est, tum etiam nervorum, venarum, carnium, reliquorumque humorum, ac superiorum et inferiorum ventriculorum, mentisque et morum. Ex his etiam quae per annum fiunt, videndum quod quadam anni parte tum etiam maturius contingunt, veluti pustulae et quae sunt ejusmodi, haud aliter quam in iis quae quotidie citius aut tardius corripiuntur.

Ed. Chart. IX. [549.] Foëf. II. 1191. 1193. Ed. Lind. I. (814.)

Ὡσαύτως τὸ ἐπίχολον καὶ ἔναιμον σῶμα μελαγχολικὸν, μὴ ἔχον ἐξεῤῥώσιας.

Λυκίνῳ τὰ ὕστατα σπλὴν μέλας ὀδυνώδης, ἐν τῇ τετάρτῃ ἢ τῇ πέμπτῃ.

|| [*Τμῆμα ἕβδομον.*] *Βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς τὰς χειμερινὰς ἢ πέμπτῃ καὶ δεκάτῃ ἢ εἰκοστῇ ἡμέρῃ ἐκ μεταβολῆς πυκνῆς νοτίων καὶ βορείων καὶ χιονωδέων. ἐκ τούτων τὰ μὲν βραχύτερα, τὰ δὲ μακρότερα ἐγίνετο, καὶ περιπλευμονικὰ συχνὰ μετὰ ταῦτα. πρὸ ἰσημερίης αὖθις ὑπέστρεφε τοὺς πλείους ὡς ἐπιτοπολὺ τεσσαρακοσταίους ἀπὸ τῆς ἀρχῆς, καὶ τοῖσι μὲν βραχέα πάνυ καὶ εὔκρητα ἐγίνετο, τοῖσι δὲ φάρυγγες ἐφλέγμηναν, τοῖσι δὲ κυνάγχαι, τοῖσι δὲ παραπληγικὰ, τοῖσι δὲ νυκτάλωπες, μᾶλλον δὲ παιδίοισι. περιπλευμονικὰ δὲ πάνυ βραχέα ἐγένετο. φάρυγγες δὲ βήξασι τὸ ὕστερον, ἢ πάνυ βραχὺ ἀντὶ τῆς βηχὸς ἐγίνοντο. φαρυγ-*

Itidem confiderandum corpus biliofum et fanguine praeditum atram bilem plurimam gignere, nifi effluvia habeat.

Lycino tandem lien intumuit cum dolore die quarto aut quinto.

[*Sectio feptima.*] Circa brumam decimo quinto aut vigefimo die ex crebra auftralium ac borealium ventorum nivoforumque temporum mutatione tuffes ceperunt, quae quidem partim breviores, partim vero longiores extiterunt. Poftea quoque crebrae pulmonum inflammationes contigerunt. Rurfus ante aequinoctium plerisque reverfiones fiebant, quadragefimo ut plurimum ab initio die. Et nonnullis quidem breves admodum ac indicatu faciles extiterunt, quibusdam vero faucium inflammationes aderant, aliis anginae, quibusdam etiam partium fiderationes, aliis quoque, praecipue vero pueris, nocturnae coecitudines, quas nyctalopas vocant, eveniebant. Pulmonis autem inflammationes breves admodum fuerunt. Faucium quoque inflammationes tandem tuffientibus, aut omnino parum pro tuffi fiebant, eaeque breves erant, praecipue vero noctur-

γες δὲ βραχέαι, μᾶλλον δὲ νυκτάλωπες. κυνάγχαι δὲ καὶ παραπληγικὰ ἢ σκληρὰ καὶ (815) ξηρὰ ἢ σμικρὰ καὶ ὀλιγάκις ἀνάγουσαι πέπονα. ἔστι δ᾽ οἷσι καὶ κάρτα. οἱ μὲν οὖν ἢ φωνῇσι πλέον ταλαιπωρήσαντες ἢ ῥιγώσαντες εἰς κυνάγχας μᾶλλον ἐτελεύτων. οἱ δὲ τῇ χειρὶ πονήσαντες ἐς χεῖρας μόνον παραπληγικοὶ, οἱ δ᾽ ἱππεύσαντες ἢ πλείω ὁδοιπορήσαντες ἢ ἄλλο τι τοῖσι σκέλεσι ταλαιπωρήσαντες, τουτέοισι δὲ ἐς ὀσφῦν ἢ σκέλεα ἀκρασίαι παραπληγικαὶ, καὶ ἐς μηροὺς καὶ κνήμας κόπος καὶ πόνος. σκληρόταται δὲ καὶ βιαιόταται αἱ ἐς τὰ παραπληγικὰ ἄγουσαι. πάντα δὲ ταῦτα ἐπὶ τῇσιν ὑποστροφῇσιν ἐγένετο, ἐν ἀρχῇσι δὲ οὐ μάλα. πολλοῖσι δὲ τούτων ἀνῆκαν μὲν αἱ βῆχες ἐν τῷ μέσῳ, ἐξέλιπον δὲ τελέως οὔ. ἀλλὰ συνῆσαν τῇ ὑποστροφῇ, οἷσι φωναὶ ἀπεῤῥήγνυντο ἐς τὸ βηχῶδες τούτων οἱ πλεῖστοι οὐδὲ ἐπυρέταινον, οἱ δέ τινες βραχέα. ἀτὰρ οὐδὲ περιπλευμονικὰ ἐγίνετο || τούτων οὐδενὶ οὐδὲ παραπληγικὰ οὐδὲ ἄλλο οὐδὲν ἐσημάνθη, ἀλλ᾽ ἐν τῇ φωνῇ μόνῃ ἐκρίνετο. τὰ δὲ νυκταλω-

nae coecitudines. Anginae autem et partium fiderationes aut durae et ficcae erant aut parvae et raro matura educentes. Nonnullis vero multum etiam educebatur. Qui igitur plus voce laborabant aut rigore corripiebantur, iis tuſſes in anginas potiſſimum definebant. Qui vero manu laborabant, manuum tantum reſolutiones habuerunt. Qui autem equitarunt aut plurimum viae confecerunt aut alioqui cruribus laborarunt, iis lumborum aut crurum impotentiae ex reſolutione obortae ſunt, et femorum ac tibiarum laſſitudo et dolor. Duriſſimae autem et vehementiſſimae tuſſes erant, quae ad partium ſiderationes deducebant. Iſta quidem omnia in reverſionibus fiebant, per initia vero non admodum. Atque horum plerisque tuſſes in medio remiſerunt, penitus autem non reliquerunt, ſed cum reverſione adfuerunt. Quibus vox tuſſi abrumpebatur, eorum plurimi non febricitarunt, quidam vero brevi intervallo. Sed neque pulmonis inflammationes neque partium ſiderationes horum cuiquam contingebant, neque aliud quicquam de ſe ſignificationem edidit, verum in voce ſola judicio decerne-

πικὰ ἱδρύετο, ὥς καὶ τὰ ἐξ ἄλλων προφασίων γινόμενα. ἐγίνετο δὲ νυκταλωπικὰ τοῖσι παιδίοισι μάλιστα. ὀμμάτων δὲ τὰ μέλανα ὑποποίκιλα ὅσα τὰς μὲν κόρας σμικρὰς ἔχει, τὸ δὲ ξύμπαν μέλαν ὡς ἐπιτοπολύ. μεγαλόφθαλμοι δὲ μᾶλλον, καὶ οὐ σμικρόφθαλμοι, καὶ ἰθύτριχες οἱ πλεῖστοι καὶ μελανότριχες.

Γυναῖκες δὲ οὐχ ὁμοίως ἐπόνησαν ὑπὸ τῆς βηχὸς, ἀλλ' ὀλίγαι τε ἐπυρέτηναν, καὶ τούτων πάνυ ὀλίγαι ἐς τὸ περιπλευμονικὸν ἦλθον καὶ (816) αὗται πρεσβύτεραι, καὶ πᾶσαι περιεγένοντο. ᾐτιώμην καὶ τοῦτο καὶ τὸ μὴ ἐξιέναι ὁμοίως ἀνδράσι καὶ ὅτι οὐδαμῶς ὁμοίως ἀνδράσιν ἁλίσκονται. κυνάγχαι δὲ ἐγίνοντο μὲν καὶ ἐλευθέρῃσι δισσῇσι, καὶ αὗται τοῦ εὐηθεστάτου τρόπου. περισσοτέρως δὲ δούλῃσι, ὅσῃσί τε ἐγίνοντο βιαιόταται, καὶ ταχύταται ἀπώλλυντο. ἀνδράσι δὲ πολλοῖσιν ἐγίνοντο, καὶ οἱ μὲν διέφυγον, οἱ δὲ ἀπώλλυντο. τὸ δὲ ξύμπαν οἱ μὲν δυνάμενοι καταπίνειν μοῦνον πάνυ

batur. Nocturnae autem coecitudines ac nyctalopicae affectiones firmae et ſtabiles erant, velut quae aliis ex cauſis ortum habebant eaeque pueris maxime fiebant. Oculorum vero nigra aliquantulum varia erant, eorum quidem qui pupillas parvas habebant. Atque in totum niger ut plurimum oculus erat. Magnos vero potius quam parvos oculos habebant, et plurimi capillis paſſis et nigris erant.

Caeterum mulieres non aeque ac viri tuſſi conflictabantur, ſed paucae etiam febricitarunt, earumque valde paucae ad pulmonis inflammationem devenerunt, eaeque grandes natu et omnes evadebant. Cujus rei cauſam eſſe exiſtimabam, quod non perinde atque viri in publicum prodirent, et quod nequaquam pariter ac viri morbis tentantur. Anginae autem liberis quidem duabus obortae ſunt, eaeque mitiſſimae, ſervis vero exuberabant, et quibus vehementiſſimae contingebant, eae etiam celerrime peribant. Viris quoque pluribus obtigerunt, atque hi partim quidem evaſerunt, partim vero perierunt. In ſumma iis quidem, qui deglutire ſolum non poterant, mites admodum ac toleratu faciles erant. Qui vero praeter haec etiam obſcurius lo-

εὐήθη καὶ εὔφορα, οἵ δὲ καὶ διαλεγόμενοι πρὸς τούτοισιν ἀσαφέως καὶ ὀχλωδέστερα καὶ χρονιώτερα. οἷσι δὲ καὶ φλέβες αἵ περὶ κρόταφον καὶ αὐχένα ἐπαίροντο ὑποπόνηρα, οἷσι δὲ καὶ πνεῦμα ξυνεμετεωρίζετο κάκιστον, οὗτοι γὰρ καὶ ἐπεχλιαίνοντο. ὡς γὰρ γέγραπται, οὕτως αἱ ξυγκληρίαι τῶν παθημάτων ἦσαν. τὰ μὲν πρῶτα γεγραμμένα καὶ ἄνευ τῶν ὑστέρων γεγραμμένων ἐγίνετο, τὰ δ᾽ ὕστερον οὐκ ἄνευ τῶν προτέρων. τάχιστα ἔθνησκον, ὅτ᾽ ἐπεῤῥιγώσειαν πυρετώδει ῥίγει. τούτους οὐδὲ ἀναστάσει πιεζομένους οὐδὲν ἄξιον λόγου ὠφέλει, οὔτε γαστρὸς ταραχὴ οὔτε φλεβοτομίη, ὅσα ἐπειράθην. ἔταμον δὲ καὶ ὑπὸ γλῶσσαν, οὓς δὲ καὶ ἄνω ἐφαρμάκευσα. ταῦτα μὲν οὖν καὶ διὰ παντὸς ἐν τῷ θέρει, ὡς δὲ καὶ τὰ ἐπιῤῥηγνύμενα πάμπολλα. πρῶτον μὲν ἐν τοῖσιν αὐχμοῖσιν ὀφθαλμίαι ἐπεδήμησαν ὀδυνώδεες.

Αἵματος φλεβῶν στάσιες, λειποθυμίη, σχῆμα, ἄλλη ἀπόλη(817)ψις, μοτώματος ξυστροφὴ, πρόσθεσις, ἐπίδεσις.

quebantur, iis tum molestiores, tum diuturniores fuerunt. Aliquantum etiam malae erant, quibus venae circa tempora et cervicem in tumorem attollebantur. Pessimae vero quibus etiam una spiratio sublimis erat, hi namque etiam incalescebant. Ac veluti scriptum est, ita affectuum commercia se habebant. Qui quidem primum descripti sunt, etiam sine posterioribus contingebant: qui vero posterius, non sine prioribus. Celerrime interibant ubi cum febre subinde rigore correpti essent. His neque per medicamenta quae humores suis sedibus submovent, compressis, ullum effatu dignum auxilium allatum est, neque alvi perturbatio neque venae sectio juvit, quae ipse tentavi. Incidi etiam venam sub lingua, et quosdam ex superioribus partibus purgavi. Atque haec quidem etiam omnino aestate contigerunt, veluti quoque quae proruperunt plurima. Ac primum quidem per squalores, lippitudines cum dolore populariter grassatae sunt.

Sanguinem e venis profluentem sistunt, animi deliquium, figura aliorsum tendens, venae interceptio, linamentum contortum, appositio, deligatio.

Ἐβουβωνοῦντο τὰ πλεῖστα, διότι ἡπατῖτις. ἣν δὲ καὶ ἀπὸ ἀρτηρίης κακωθείσης κακὸν σημεῖον, οἵως Ποσειδωνίῃ.

Οἱ αἱμοῤῥαγοῦντες τελευτῶντες οὐκ ἐφίδρωσαν μέτωπον, ἀλλ' οἷα ξυμπεπτωκότες, καὶ οἱ πνευματίαι, καὶ οἱ ὑπὸ ἱδρώτων ὀλλύμενοι πονηρόν.

Τῶν γαστέρων αἱ εὐφορίαι ταραχὴν φέρουσιν οἷον Ποσειδωνίῃ, καὶ τὰ θηρία οἷα ἐνεποίει. ἐν τῷ λεπτυσμῷ ἡ περίτασις πρὸ τῆς τελευτῆς, καὶ ὁ ὀμφαλὸς πρόσμακρος εἱλκύσθη αὐτῇ, καὶ οὔλων ἐφελκώσιες τῶν ἐπιόντων ἐπὶ ὀδόντα.

Ὅτι πολλὰ περὶ ἑκάστου ἔστιν ὀρθῶς ἐντείλασθαι, τὰ μὲν ταῦτα δυνάμενα, τὰ δὲ οὔ· οἷον ἐστὶ τὰ τοιάδε, διαχυθῆναι, ἐπιλυθῆναι καὶ ἐξαχθῆναι καὶ σκληρυνθῆναι καὶ πεπανθῆναι, καὶ ὅπου κλίνειν διώσασθαι. τοὺς ἀτολμέοντας δέον μεταβολῇ ἀνεγείρειν καταναρκωμένους, ἃ ὑστεραίουσιν.

Glandularum tumores maxima ex parte ſuboriebantur, quod jecoraria vena affecta eſſet. Quod ſi ab arteria male affecta fierent, malum ſignum erat, quale quid Poſidoniae contigit.

Qui ſanguinis profluvio vitam cum morte commutabant, tenuem circa frontem ſudorem non habuerunt, ſed ſimilia iis, quibus moles corporis concidit, paſſi ſunt. Quin et anhelatores et qui cum ſudoribus peribant, male habuerunt.

Conſiderandum eſt ventres quosdam perturbationem facile ferre, quale quid in Poſidonia viſum eſt. Quin etiam videnda fuerunt quaenam interaneorum animalia inducerent. In extenuatione circumtenſio ante obitum facta eſt, et umbilicus prominens ipſi eſt exulceratus, et gingivarum dentibus inſtantium exulcerationes affuerunt.

Videndum quoque eſt multa de unoquoque recte praecipi poſſe, partim quidem eadem facultate, partim vero minime, qualia ſunt ejusmodi, diffundi, diſſolvi, educi et indurari ac maturari. Conſiderandum etiam ubi opus eſt timidos a lecto protrudere et mutatione excitare, torpentes, ad ea quae cunctanter agunt.

|| Ὑδατώδεας θᾶσσον τάμνειν, φθίνοντας καίειν αὐτίκα πρίειν κεφαλὴν, τὰ τοιαῦτα τῶν ὑδατουμένων μὴ ψαύειν ἤτρου μηδὲ τῶν ἔσω, ὅμοιον γὰρ τοῖσι πολλοῖσι γούνασι.

Τὰ παρὰ καρδίην Ξενάρχῳ, καὶ θερμὸν ἅλες εὐπνεῖν καὶ τὸ ἕλκος ἀντὶ τῆς κενώσιος θάλπειν ἀρχῆθεν.

Φωνὴ οἵη γίνεται ὀργιζομένοισιν ἢν τοιαύτη ᾖ μὴ ὀργιζομένῳ φύσει ᾖ, καὶ ὄμματα οἷα ἂν ᾖ φύσει ταραχώδεα οἷα ὅταν ὀργίζονται οἱ μὴ τοιοῦτοι, καὶ τἄλλα κατὰ λόγον τῶν νούσων, οἷον τὸ φθινῶδες ποιέει τὸ εἶδος, ἢν (818) τοιοῦτος φύσει ὑπάρξῃ, ἐς τοιοῦτον νόσημα παρέσται, καὶ τἄλλα οὕτως.

Αἱ βῆχες κοπιώδεες καὶ ἅπτονται τῶν σιναρῶν, ἀτὰρ καὶ μάλιστα ἄρθρων. ἀτὰρ καὶ ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι βῆχες ξηραὶ γίνονται, αἱ ξηραὶ βῆχες ἄρθρα στηρίζουσι ξὺν πυρετῷ, ἢν ἐγκαταλίπωνται.

Τὰ πνεύματα τοῖσι φθινώδεσι τὰ ἄσημα κακὸν, καὶ

Aqua inter cutem laborantes cito incidere oportet, tabescentes confestim urere, caput secare. At ista in aqua intercute suffusis animadvertenda sunt, ne cujus venter aut interiora ferro contingantur. Perinde enim ac in multis genibus accidit.

In affectibus circa os ventriculi, perinde ac Xenarcho contigit, sufficienter calidum inspirare convenit, et evacuationis loco ulcus ab initio calidis fovere.

Considerandum qualis vox est iratis, num talis non irato a natura fuerit. Atque oculi quales a natura fuerint, num turbulenti, quales habent cum irascuntur, qui tales non sunt, caeteraque id genus pro morborum ratione, velut si quis tabificam formam inducit, num talis a natura aeger fuerit, ut in hunc morbum incurrat, caeteraque hujusmodi.

Tusses quae lassitudinis sensum inducunt, etiam partes laesas, sed et praecipue articulos contingunt. Quin etiam in febribus cum lassitudinis sensu tusses siccae fiunt, quae si intus relinquantur, una cum febre in articulos firmantur.

Tabescentibus ac non parientibus spiratio obscura mala

τῇσι ἀτόκοισι, καὶ ὅσα ἄλλα τοιαῦτα ἀπὸ τῆς αὐτῆς καταστάσιος.

Τοῖσι φθίνουσι τὸ φθινόπωρον κακὸν, κακὸν δὲ καὶ τὸ ἔαρ, ὅταν τὰ τῆς συκῆς φύλλα κορώνης ποσὶν ἴκελα ᾖ.

Ἐν Περίνθῳ ἦρος οἱ πλεῖστοι, ξυναίτιον βὴξ χειμερινὴ ἐπιδημήσασα καὶ τοῖσιν ἄλλοισιν ὅσα χρόνια. καὶ γὰρ τοῖσιν ἐνδοιαστοῖσιν ἐβεβαίωσαν. ἔστι δ᾽ οἷσι τῶν χρονίων οὐκ ἐγένοντο, οἷον τοῖσι τὰς νεφριτικὰς ὀδύνας ἔχουσιν. ἀτὰρ καὶ τοῖσιν ἄλλοισιν, οἷον ὁ ἄνθρωπος ἐκεῖνος πρὸς ὃν ὁ κυνίσκος ἤγαγέ με.

Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι καὶ στήθει, καὶ τοῖσιν ἄλλοισι τὰς ὥρας εἰ μέγα διαφέρουσι καταμαθητέον, ὅτι ὅταν βέλτιον ἴσχωσιν, αὖθις κάκιον ἴσχουσιν οὐχ ἁμαρτάνοντες.

|| [Τμῆμα ὄγδοον.] Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι κακὸν, ἄλλως τε καὶ ἢν ἐπιπυρετήνωσιν.

et quaecunque alia ejus est generis ex eadem constitutione proveniens.

Autumnus tabidis malus. Ver quoque etiam malum, cum ficus folia cornicis pedibus similia fuerint.

In Perintho vere plurimi tabe laborarunt. Cujus rei simul in causa fuit tussis per hiemem populariter grassata, ac in quibusdam morbi qui diutius traxerunt. In his enim qui ambigue se habebant, tabem confirmarunt. Interdum quoque in quibusdam diuturnis morbis tabes non fiebant, velut in his qui renum doloribus conflictabantur. Quin et quibusdam aliis idem contigit. In quorum numero ille extitit, ad quem me Cyniscus deduxit.

In doloribus laterum, pectoris, aliarumque partium, tempora num multum inter se differant, animadvertendum, quando nimirum melius aut rursus peius habeant, nihil in hoc delinquentes.

[*Sectio octavo.*] In diuturnis intestinorum difficultatibus ciborum fastidia mala, idque maxime si febris accesserit.

Τὰ περιμάδαρα ἕλκεα κακοήθεα.

Ὀσφῦν ἀλγέοντι ἀναδρομὴ ἐς τὸ πλευρὸν, καὶ ἐκφύματα ἃ σὴψ καλεῖται.

Τὰ νεφριτικὰ οὐκ εἶδον ὑγιασθέντα ὑπὲρ πεντήκοντα ἔτεα.

Τὰ ἐν τοῖσιν ὕπνοισι παροξυνόμενα, καὶ ὅσοις ἄκρεα περιψύχεται, καὶ ἡ γνώμη ταράσσεται, καὶ τἄλλα ὅσα περὶ ὕπνον τοιαῦτα καὶ οἷσι (819) τἀναντία.

Ὅσῃσι μὲν οὐδὲν εἴσω τοῦ τεταγμένου χρόνου ἑκάστῃσι, τὰ τικτόμενα ἀπόγονα γίνεται.

Τὰ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται.

Ὑπόνοιαι ἐν περιόδοισιν ὅ τι ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελειοῦται, καὶ ὅ τι ἐν ἐννέα κινεῖται, ἐν τριπλασίῃ τελειοῦται.

Καὶ ὅτι μετὰ γυναικεῖα τὰ δεξιὰ, τὰ δ' ἀριστερὰ χάσκων, ὑγρότης διὰ τῶν ἀπιόντων διαίτης ξηρῆς.

Ulcera undiquaque glabra, maligna.

Lumborum doloris ad latus recurſatio, et tubercula putrida, quae σὴψ dicuntur, malo ſunt.

Renum vitia ſupra quinquageſimum annum ſanata non vidi.

Animadvertenda ſunt quae per ſomnos ingraveſcunt, et quibus extrema perfrigeſcunt, mensque perturbatur, caeteraque id genus quae per ſomnos eveniunt, et quibus contra accidit.

Quibus certe nihil intra ſtatutum pariendi tempus accidit, iis ſingulis vitales partus exiſtunt.

Quae geſtationis tempore apparent in quos menſes incidant videndum.

Labores certis temporum circuitibus fiunt, et quicquid ſeptuaginta diebus movetur, ter iisdem in ſeſe ductis perficitur, et quicquid nonaginta diebus movetur, ter iisdem in ſeſe ductis perficitur.

Animadvertendum etiam quod poſt menſtruas purgationes uteri tum dextra tum ſiniſtra dehiſcunt, quodque humiditas, quae per ea quae prodeunt ſatis indicatur, ſicciſſimam victus rationem deſiderat.

Ὅτι δὲ τὸ θᾶσσον διακριθὲν κινηθὲν αὖθις αὔξεται βραδύτερον.

Ἐπὶ πλείονα δὲ χρόνον οἱ πόνοι τρίτῳ, πέμπτῳ, ἑβδόμῳ, ἐνάτῳ μηνὶ, δευτέρῳ, τετάρτῳ, ἕκτῳ.

Τὰ ἐκ σμικροῦ πινακιδίου σκεπτέα.

Δίαιτα γίνεται πλησμονῇ, κενώσει, βρωμάτων, πομάτων, μεταβολαὶ τούτων οἷα ἐξ οἵων ὡς ἔχει.

Ὀδμαὶ τέρπουσαι, λυποῦσαι, πιμπλῶσαι, πειθόμεναι, μεταβολαὶ ἐξ οἵων οἵως ἔχουσι.

Τὰ ἐσπίπτοντα, εἰσιόντα ἢ ἐξιόντα πνεύματα ἢ καὶ σώματα.

Ἀκοαὶ κρείσσονες, αἱ δὲ λυποῦσαι.

Καὶ γλώσσης ἐξ οἵων οἷα προσκαλέεται.

Πνεῦμα τοσαύτη θερμότης, ψυχρότης, παχύτης, λεπτότης, ξηρότης, ὑγρότης, πεπληρωμένον, μεῖόν τε

Quodque qui celerius efformatur foetus ac movetur, rursus tardius incrementum accipit.

Labores ut plurimum uterum gerentibus tertio, quinto, septimo et nono mense contingunt. Item secundo, quarto et sexto.

Quae ex parva tabella desumpta consideranda sunt.

Victus ratio ciborum ac potuum repletione ac vacuatione constat, eorumque mutationes, dum ex aliis in alia fiunt, prout se habeant, considerandae.

Odores partim oblectantes, partim offendentes, quidam etiam implentes et obsequentes, eorumque mutationes ex quibus contingant et qualiter se habeant animadvertendum.

Eos qui irruunt, intrant aut egrediuntur spiritus, aut etiam corpora contemplari oportet.

Eorum quae sub auditionem cadunt quaedam meliora esse, quaedam vero offendere, videndum.

In lingua quoque ex quibus quaenam alliciantur videnda sunt.

In aëre considerandum quanta insit caliditas, frigiditas, crassitudo, tenuitas, siccitas, humiditas, an plenior, an vero minor et copiosior. In quibus quaenam mutationes et

Ed. Chart. IX. [549.] Foës. II. 1199. 1200. Ed. Lind. I. (819. 820.
καὶ τὸ πλεῖον, ἀφ' ὧν αἱ μεταβολαὶ οἷαι ἐξ οἵων ὡς ἔχουσι.

Τὰ ἴσχοντα ἢ ὁρμῶντα ἢ ἐνισχόμενα σώματα.

Λόγοις, σιγῇ, εἰπεῖν ἃ βούλεται, λόγοις οἷσι λέγει ἢ μέγα ἢ πολλοὶ ἀτρεκέες ἢ πλαστοί.

|| Τὰ ἀπιόντα εἰδέναι ὅθεν ἤρξατο ἢ ὅπῃ ἐπαύσατο ἢ ὅσον διεσπᾶτο. χρώματά τε οἷσιν ἢ θερμότητα ἢ ἁλμυρότητα ἢ γλυκύτητα ἢ λεπτότητα ἢ παχύτητα, ὁμαλῶς ἢ ἀνωμάλως, τὸ (820) σῶμα, τὸν χρόνον, αἱ μεταβολαὶ οἷαι ἐξ οἵων ἔχουσιν.

Ἤρξατο ἔρυξιν, οὐκ ἐκράτησε.

Δάκρυα ἑκόντι, ἀέκοντι, πολλὰ, ὀλίγα, θερμὰ, ψυχρὰ πάχος, γεῦσις.

Πτύαλον αὐτόθι ἀναχρεμπτόμενον ἢ ἀναβήσσοντα ἔμετος.

ex quibus fiunt, quomodoque se habeant animadvertere oportet.

Quae continent corpora, aut intus continentur, aut in nobis cum impetu moventur, contemplanda sunt.

Sermonis quoque et silentii habenda est ratio, et dicere oportet quae velit aeger, videndumque quibus utitur sermonibus, sintne magni, an multi, an veri aut ficti.

Quae e corpore prodeunt nosse oportet unde initium ceperunt, aut ubi cessarunt, quamque sunt divulsa. Colores quoque ex quibus aut caliditatem aut salsuginem aut dulcedinem vel tenuitatem vel crassitudinem inspicere convenit, num vero aequaliter aut inaequaliter in corpore, quove tempore eveniant. In quibus omnibus quales mutationes et ex qualibus existunt, considerandum.

Contemplandum num eructationem inchoaverit natura, nec obtinuerit.

Lacrimae considerandae num volenti aut invito vel multae vel paucae aut calidae aut frigidae emanent. In quibus etiam crassitudinem et gustum inspicere oportet.

Sputum videndum num ex ore aeger exscreet, num vero tussi aut vomitione rejiciat.

Ἡλίου θάλπος, ψῦχος, τέγξις, ξηρότης, μεταβολὴ διὰ ..ῖα, ἐξ οἵων, ἐς οἷα ἔχει.

Πόνοι, ἀργίαι, ὕπνοι, ἀγρυπνίαι.

Τὰ ἐν ὕπνῳ ἐνύπνια, κοῖται, καὶ ἐφ' οἷσι καὶ ὑφ' οἵων.

Καὶ τῆς γνώμης ξύννοια αὐτὴ καθ' ἑαυτὴν, χωρὶς τῶν ..ργάνων καὶ τῶν πρηγμάτων, ἄχθεται καὶ ἥδεται καὶ φο..εῖται καὶ θαρσέει καὶ ἐλπίζει καὶ ἀδοξέει. οἷον ἡ Ἱππο..όου ἡ κοῦρος, τῆς γνώμης αὐτῆς καθ' ἑωυτὴν, ἐπίστημος ..οῦσα τῶν ἐν τῇ νούσῳ ἐπιγενομένων.

Ἡλικίην μὲν ἡλικίης, καὶ ἢ πρότερον ἢ ὕστερον τοῦ ..έοντος. οἷον εἰ παρελύθη ἐν χειμῶνι καὶ γέροντι τὴν ἡλικίην .. νηπίῳ, καὶ θερίης ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος ..δόντων ἐκβολαί. τριχῶν φύσιες, γόνος τὸ μᾶλλον καὶ ἧσσον, ..ριχῶν αὔξησις, παχυσμὸς, κρατυσμὸς, μινύθησις.

Solis aestus, frigus, humectatio, siccitas consideranda ..nt. Mutatio quoque per quae, ex quibus et ad quaenam .. habeat.

Labores etiam, otia, somnos, vigilias in consideratio..em adhibere oportet.

Quin etiam quae in somno fiunt et in somnia videnda ..nt, deinde cubilia quoque, in quibus decumbunt et ex ..uibus transferuntur.

Mentis quoque intelligentia videnda est, ut per se ipsa ..nstat, citra instrumenta et res externas, an tristitia aut ..udio, an metu aut confidentia, an spe aut animi abje..ione tentetur. Velut Hippothoi puella, quae mente per .. constabat et eorum quae in morbo contingebant optime ..ara erat.

Aetatem quidem ab aetate distinguere oportet et num ..rius aut posterius quam convenit quid contingat. Velut .. quid hieme resolutione tentatum sit et aetate senili aut ..erili et aestate aut prius aut posterius quam conveniat. ..entium eruptiones, capillorum exortus, seminis ejectio ..ajor aut minor, pilorum incrementum, crassitudo, robur, ..minutio.

Τὸ ξυγγενὲς, καὶ τὸ καθ' ἑαυτὸ, ὅσῳ μᾶλλον καὶ ἧσσον.

Τοῦ ἔτεος ἡ ὥρη ἐν ᾗ τε καὶ πρωΐτερον ἢ ὀψίτερον, ἡ ὥρη ἐν ᾗ ἐγεγόνει ἔπομβρος ἢ αὐχμηρὴ, ψυχρὴ ἢ θερμὴ, νήνεμος ἢ ἐπάνεμος, καὶ οἵων ἀνέμων. τῆς ὥρης ἐν ἀρχῇ ἢ μέσῃ ἢ ἐσχάτῃ, ἢ διὰ παντὸς, παροιχομένης ἢ παρεούσης.

Ὥρη τῆς νόσου, ὁ χρόνος, τὰ ἐπιγινόμενα, αἱ περίοδοι καὶ τῶν περιόδων αἱ μείζονες, καὶ αἱ διὰ πλείονος, αἱ ἐπιδόσιες, καὶ ἡ τῆς ἄλλης νόσου ἐπίδοσις. ἡ (821) χάλασις, ἡ ἀκμὴ, καὶ τὸ μᾶλλον καὶ τὸ ἧσσον ἀποτελέουσα, καὶ ὅτε, καὶ ὁποίως καὶ ἐν οἵῃ ὥρῃ καὶ ἡλικίῃ.

Τῶν ἐπιδημιουσέων νόσων οἱ τρόποι καὶ εἴ τις τῶν ἀρχομένων ἄρξαιτο ἀνήμετος, οἷον ἢ πιόντες τι κατισχόντες ἢ βραχὺ καθαιρόμενοι.

Quod cognatum eſt et quod per ſeſe conſtat, et quo major aut minor ineſt cognatio, contemplari oportet.

Anni quoque tempeſtas conſideranda eſt, quae maturior aut ſerior contingit, et quae aſſiduis imbribus madens aut impenſe ſicca extitit, frigida aut calida, ventis carens aut quibus ventis perflata. Videndum quoque, num iſta temporis initio aut medio aut fine aut aſſidue aut jam praeterito aut adhuc praeſente contingant.

Morbi etiam horam et tempus contemplari oportet et quae in morbis accidunt, circuitus, ex hisque quinam majores et quinam longiores et incrementa. Totius quoque morbi incrementum aut remiſſio aut vigor et quod magis quodque minus confecerit, et quando et quanam ratione et quanam hora et aetate in conſiderationem adhiben a ſunt.

Populariter graſſantium morborum inſpicienda natura eſt, ac ſi quis eorum ſine vomitu initium ſumpſerit, veluti an poſt epotum medicamentum alvus quibusdam ſiſtatur, an parum purgetur.

Πυρετώδεες ἴσως οἱ ἔκλευκοι, ὧν καὶ χείλεα, οἷος ὁ τρόπος, οἱ χρόνοι.

Τὸ σῶμα, ἔργον, ἐς τὴν σκέψιν ἄγειν, ὄψις, ἀκοὴ, ῥὶς, ἁφὴ, γλῶσσα, λογισμός.

Καταμανθάνειν τὰ ἐν τοῖσι βλεφάροισι τοῖς ἄνω καταλειπόμενα οἰδήματα, τῶν ἄλλων περισχναινομένων ὑποστροφαί. ἐν δ' ἄκρῳ ὑπέρυθρα σκληρὰ, καὶ πάνυ τούτοισι γλίσχρα, καὶ ἀνιστάμενα, καὶ ἐνεχόμενα ἐν τούτοισιν, οἷον Φαρσάλῳ Πολυμήδα.

Τὰ καταῤῥηγνύμενα οἰδήματα ἢ πελιώματα ἢ ἐπ' ὀφθαλμίαις ἢ ἕλκεσιν. ἀλλὰ γὰρ τὰ ἐκ τῶν φυμάτων καὶ ἐμπυημάτων καταφερόμενα.

|| *Ὅτι σημεῖον ἀμφίδμητον στρόφοι περὶ τὸν ὀμφαλὸν, καὶ ὀδύναι ἔστιν ὅτ' ἀπὸ πράσων, ἀτὰρ καὶ ἀπὸ σκορόδων τούτοισιν ὕστερον.*

Ἐρυσίπελάς τ' ἔστιν οἷσιν ἀπὸ τραχήλου, καὶ περὶ

Forte etiam confiderandi funt exacte albefcentes fi febricitent, quorum etiam labra infpicere oportet, quale quoque febris genus et tempora.

Corpus quoque et actio in confiderationem adhibeatur, tum vifio, auditio, tactio, nafus, lingua et ratiocinatio

Tumores in fuperioribus palpebris relictos confiderare oportet. Aliis namque circum gracilefcentibus morborum reverfiones denunciantur. Videndae quoque funt palpebrae, quae in extremitate aliquantulum rubefcunt et indurantur, atque inter eas maxime glutinofae, extumefcentes, quaeque in his continentur, quale quid Pharfalo Polymedae contigit.

Tumores prorumpentes aut livores, in lippitudinibus aut ulceribus confiderandi funt. Quin etiam quae ex tuberculis aut fuppurationibus deferuntur infpicere oportet.

Uteros affectos indicabunt tormina circa umbilicum et dolores, qui interdum a porro, quin etiam et ab allio his poftea contingebant.

Nonnullis etiam eryfipelas a cervice ortum duxit, eo-

Ed. Chart. IX. [549.] Foes. II. 1201. Ed. Lind. I. (821. 822.)
ταῦτα ἐν προσώπῳ ἐκρίνετο, τὰ μέλανα καὶ οἷσι τράχηλοι κακὰ, καὶ εἰ φλύκταιναι κακὰ, καὶ οἷσι ταρακτικά.

Ὁ μελαγχολικὸς ὁ ἀδάμαντος ἀπὸ πεπλίων πλειόνων ἤμεσέ ποτε μέλανα, ἄλλοτε ἀπὸ κρομμύων.

Οἱ πυρετοὶ, ἐν οἷσιν ἐφελκοῦται χείλεα ἴσως διαλιπόντες, καὶ τριταίοισι ψύξιες, οἱ δὲ περικαέες αὐτίκα πρὸς τὴν χεῖρα λυόμενοι ἀεί.

Οἷον ἔνεστιν ἐν τοῖσιν ἄρθροισι σκεπτέον, ἦρα οὐκ ἐμπυοῦνται.

Ἔθος δὲ ἐξ οἵων ὑγιαίνομεν, διαίτῃσι, σκέπῃσι, πό-(822)νοισιν, ὕπνοισι, ἀφροδισίοισι, γνώμῃ.

Ὅπως τὰς νόσους, ἀπό τινων τινὰ σχήματα, ἐφ' οὓς τόπους ἐτράποντο, ἤρχοντο, παρῆσαν, ἐπαύσαντο.

Ἐν οἷσιν ἀκρατὴς φοβερός.

Τὰ ἐναντία ἐν τῇ νούσῳ διαιτήματα.

demque fere tempore in facie judicabatur. Nigra quoque quibus in collo erant, mala, tum etiam si pustulae erumpebant, aut quibus alvus perturbabatur.

Atra bile vexatus Adamantus, multo sumpto peplio interdum nigra vomitione rejecit, quod aliquando etiam a cepis contigit.

Febres in quibus labra exulcerantur fere intermittunt et tertianis perfrigerationes adsunt. Deurentes vero statim ad manus contactum semper solutae apparent.

In articulis quale quid insit considerandum, num etiam suppurationem faciant.

In valetudinis autem ratione consuetudo spectanda est, in victu, tegumentis, laboribus, somnis, rebus venereis et animi affectibus.

Considerare morbos oportet, qualiter, ex quibus, quasnam formas habeant, ad quos locos conversi sunt, quo tempore coeperunt, affuerunt, cessarunt.

Videndum in quibusnam in continenti metum injicere oporteat.

In morbo contraria victus ratio adhibenda.

Ed. Chart. IX. [549.] Foës. II. 1201. Ed. Lind. I. (822.)

Τὸ εὔφορον, τὸ δύσφορον.

Αἱ δίαιται ὅσον γνῶναι, μὴ ἐξειδῆσαι, συμφοραὶ γὰρ πολλαί.

Ἀγαθοῖσι δὲ ἰητροῖσιν αἱ ὁμοιότητες πλάνας καὶ ἀπορίας. ἀλλὰ τἀναντία ἡ πρόφασις οἵη, ὅτι χαλεπόν ἐστιν ἐκλογίσασθαι εἰδότα τὰς ὁδούς, οἷον εἰ φοξὸς, εἰ σιμὸς, εἰ ὑπόξηρος, εἰ χολώδης, δυσήμετος, χολώδης μέλας, νέος, εἰκῇ βεβιωκὼς, ἅμα ταῦτα πρὸς ἄλληλα ξυνομολογήσασθαι χαλεπόν.

Ὧι τὸ συρίγγιον ἐπανεῤῥήγνυτο, βηχία ἐκώλυε διαμένειν.

Ὧι ὁ λοβὸς τοῦ ἥπατος ἐπεπτύχθη διέσεισα, ἐξαίφνης ὁ πόνος ἐπαύσατο.

Σάτυρος ἐν Θάσῳ παρωνόμιον ἐκαλεῖτο γρυπαλώπηξ, περὶ ἔτεα ἐὼν πέντε καὶ εἴκοσιν ἐξωνείρωσσε πλεονάκις. προΐει δ᾽ αὐτῷ καὶ δι᾽ ἡμέρης πλεονάκις. γενόμενος δὲ περὶ ἔτεα τριάκοντα φθινώδης ἐγένετο καὶ ἀπέθανεν.

Videndum etiam quod facile et quod aegre aut cum moleſtia fertur.

Victus ratio, quoad ejus fieri poteſt, dignoſcenda eſt. Hanc enim non penitus perſpectam habere calamitatis plena res eſt.

Optimis vero medicis ſimilitudines imponunt et difficultates pariunt. Contraria vero cauſa efficit, quae qualis ſit conſideranda venit. Et ſane difficile eſt curandi viam ratiocinatione aſſequi, veluti num acuminato ſit capite, ſi reſinis naribus, ſi aduncis ſi bilioſus et aegre vomat, ſi bile atra praeditus, ſi juvenis, ſi negligenter et temere vixerit, de iisque ſimul inter ſe convenire eſt difficile.

Quendam, cui parva fiſtula rurſus rumpebatur, tuſſiculae quieſcere non ſinebant.

Quendam, cui jecoris fibra in ſinus contracta fuit, concuſſi, et continuo dolor ceſſavit.

Satyrus in Thaſo cognomento Grypalopex, cum viginti quinque annorum eſſet, ſaepius inter dormiendum ſeminis profluvium expertus eſt, eique ſemen interdiu frequenter promanabat. Cum autem trigeſimum annum fere attigiſſet, tabe correptus mortuus eſt.

Ἐν δὲ Ἀβδήροις ὁ παλαιστροφύλαξ ὁ καὶ Σθενεὸς λεγόμενος, παλαίσας πλείω πρὸς ἰσχυρότερον, καὶ πεσὼν ἐπὶ κεφαλὴν, ἀπελθὼν ἔπιε ψυχρὸν ὕδωρ πουλὺ, μετὰ δὲ ταῦτα ἐκείνης τῆς νυκτὸς ἀγρυπνίη, δυσφορίη, ἄκρεα ψυχρά. τῇ δὲ ὑστεραίῃ εἰσῆλθεν εἰς οἶκον, καὶ τῇ (823) κοιλίῃ βαλάνου προστεθείσης οὐχ ὑπῆλθεν. οὔρησε δὲ σμικρὸν, πρότερον οὐδὲν οὐρήκει. ἐς νύκτα ἐλούσατο, οὐδὲν ἧσσον ἀγρυπνίη καὶ δυσφορίη, παρέκρουσεν. ἐόντι δὲ τριταίῳ κατάψυξις ἀκρέων, ἐκθερμανθεὶς ἵδρωσε, πιὼν δὲ μελίκρητον ἀπέθανε τριταῖος.

Οἱ μελαγχολικοὶ καὶ ἐπιληπτικοὶ εἰώθασι γίνεσθαι ὡς ἐπιτοπολὺ, καὶ οἱ ἐπίληπτοι μελαγχολικοί. τούτων δὲ ἑκάτερον μᾶλλον γίνεται ἐφ᾽ ὁπότερα ἂν ῥεύσῃ τοῦτο τὸ ἀῤῥώστημα· ἢν μὲν ἐς τὸ σῶμα, ἐπίληπτοι, εἰ δὲ ἐπὶ τὴν διάνοιαν, μελαγχολικοί.

Ἐν Ἀβδήροις Φαέθουσα ἡ Πυθέου γυνὴ ἡ κοῦρος ἐπίτοκος ἐοῦσα τοῦ ἔμπροσθεν χρόνου, τοῦ δὲ ἀνδρὸς αὐτῆς

Abderis palaeſtrae cuſtos quidam Stheneus nomine, cum valentiore multum luctatus et in caput lapſus, digreſſus, frigidam copioſe hauſit. Poſt haec vero nocte illa inſomnia, corporis incontinentia et jactatio, ac extremorum frigiditas contigit. Poſtridie domum ingreſſus, glande alvo appoſita, nihil demiſit, paucam autem urinam reddidit, cum antea nullam reddidiſſet. Sub noctem lotus, nihilominus inſania et corporis incontinentia vexatus, deliravit. Tertio vero die extremorum perfrictio adfuit, excalfactus ſudavit. Epota autem mulſa tertio die mortuus eſt.

Atra bile vexati morbo quoque comitiali corripi magna ex parte conſuevere, et morbo comitiali laborantes atra bile divexari. At horum utrumque magis accidit prout ad alterutram partem morbus inclinarit. Etenim ſi in corpus, morbo comitiali laborant, ſi vero in mentem atra bile vexantur.

Abderis Phaëtuſa Pythei conjunx antea per juventam foecunda erat, viro autem ejus exulante diu menſes defe-

Ed.Chart.IX.[549.552.]Foëſ.II.1201.1202.1206.Ed.Lind.I.(823.824.)
φυγαδεύοντος τὰ γυναικεῖα ἀπελήφθη χρόνον πουλὺν, μετὰ δὲ ἐς ἄρθρα πόνοι καὶ ἐρυθήματα. τούτων δὲ ξυμβάντων, τό τε σῶμα || ἠνδρώθη καὶ ἐδασύνθη πάντα, καὶ πώγωνα ἔφυσε, καὶ φωνὴ τρηχείη ἐγενήθη, καὶ πάντα πραγματευσαμένων ἡμῶν ὅσα ἦν πρὸς τὸ τὰ γυναικεῖα κατασπάσαι οὐκ ἦλθεν, ἀλλ᾽ ἀπέθανεν οὐ πολὺν μετέπειτα χρόνον βιώσασα.

Ξυνέβη δὲ καὶ Ναμυσίῃ τῇ Γοργίππου γυναικὶ ἐν Θάσῳ τὸ αὐτό. ἐδόκει δὲ πᾶσι τοῖσιν ἰητροῖσιν, οἷσι κἀγὼ ἐνέτυχον, μία ἐλπὶς εἶναι, ὡς γυναικωθῆναι, εἰ τὰ κατὰ φύσιν ἔλθοι. ἀλλὰ καὶ ταύτῃ οὐκ ἠδυνήθη πάντα ποιούντων ἐπελθεῖν, ἀλλ᾽ ἐτελεύτησεν οὐ βραδέως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΕΒΔΟΜΟΝ.

[552] || (824) Μετὰ κύνα οἱ πυρετοὶ ἐγένοντο ἱδρώδεες, καὶ οὐ περιεψύχοντο παντάπασι μετὰ τὸν ἱδρῶτα, πάλιν δὲ ἐπεθερμαίνοντο, καὶ μακροὶ ἐπιεικῶς, καὶ δύσκριτοι, καὶ οὐ

cerunt, ex quo poſtea dolores et rubores ad articulos exorti ſunt. Quae ubi contigerunt, tum corpus virile tum univerſum hirſutum eſt redditum, barbaque eſt enata et vox aſpera reddita. Sed cum omnia quae ad menſes deducendos facerent tentaſſemus, non profluxerunt, verum haud ita multo poſt vita functa eſt.

Idem quoque in Thaſo Namyſiae Gorgippi conjugi contigit. Omnibus autem medicis, cum quibus etiam collocutus ſum, unica ſpes adeſſe viſa eſt, ad muliebrem naturam reduci poſſe, ſi menſes ſecundum naturam procederent. Verum etſi omnia moliremur, huic prodire nequiverunt, ſed paulo poſt mortua eſt.

HIPPOCRATIS DE MORBIS VULGARIBVS LIBER SEPTIMVS.

Poſt caniculam febres vigebant, in quibus aegri ſudoribus diffluebant, nec penitus a ſudore perfrigeſcebant, ſed rurſus incaleſcebant, fereque longae erant et difficilem

πάνυ διψώδεες. ὀλίγοισιν ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο, ἄλλοις ια καὶ ιβ καὶ ιδ καὶ ιζ. Πολυκράτει πυρετὸς καὶ τὸ τοῦ ἱδρῶτος οἷα γέγραπται. ἀπὸ φαρμάκου κάθαρσις κάτω σφόδρα καὶ ἐγένετο κατὰ τοῦ πυρετοῦ οὕτως ἠπία, ὡς ἄδηλα καταστῆσαι πλὴν ἐν κροτάφοισι, καὶ τὰ ἱδρώτια πρὸς δείλην, περὶ κεφαλὴν, τράχηλον, στήθεα. εἶτ' αὖθις καὶ ἐς ὅλην κοιλίην, καὶ πάλιν ἐπεθερμαίνετο. περὶ δὲ τὰς ιβ καὶ τὰς ιδ ἐπέτεινεν ὁ πυρετὸς, καὶ ὑποχωρήσιες βραχέαι, ῥυφήμασι δὲ μετὰ τὴν κάθαρσιν ἐχρήσατο. περὶ δὲ τὰς ιε ἀλγήματα γαστρὸς κατὰ σπλῆνα καὶ κενεῶνα ἀριστερόν. θερμῶν πρόσθεσις ἧσσον ἢ ψυχρῶν ξυνέφερον κλύσματι μαλθακῷ χρησαμένῳ, ἔληξεν ἡ ὀδύνη. [553] τὸ αὐτὸ δὲ καὶ Κλεοκύδει ξυνήνεγκε πρὸς ὀδύνην ὁμοίως ἔχουσαν καὶ πυρετόν. || περὶ δὲ ιστ ἠπιώτεραι αἱ θέρμαι ἐδόκεον εἶναι, καὶ ὑποχωρήσιες ἀκρήτου χολῆς, καὶ ἡ διάνοια θρασυτέρη. πνεῦμα δὲ μέτριον, ἔστι δ' ὅτε καὶ ἅλες ἑλκύσας πάλιν ἀθρόον

habebant judicationem, neque admodum sitim adferebant. Paucis vero septimo et nono die desinebant, quibusdam etiam undecimo, decimoquarto et decimoseptimo. Polycratem febris et sudor qualis descriptus est invasit. Ex medicamento purgatio per alvum multa et febris adeo levis erat, ut obscure praeterquam in temporibus consisteret. Sub vesperam parvi sudores circa caput, cervicem, pectus, deinde statim etiam per totum ventrem exorti sunt, rursusque incaluit. Ad duodecimum vero et decimum quartum diem febris intendebatur, et paucae erant alvi ejectiones. Post purgationem sorbitionibus usus, sub decimum quintum diem ventris dolores ad lienem et lateris sinistri inanitatem prehenderunt, qui postquam calida admota minus quam frigida conferrent, molli per clysterem infuso cessaverunt. Idem vero etiam Cleocydi ex doloribus et febre eodem modo laboranti contulit. Circa autem decimumsextum calores remissiores visi sunt, et alvi dejectiones sinceram bilem demittere, mensque ferocior. Spiratio autem moderata, interdum vero ubi abunde attraxis-

Ed. Chart. IX. [553.] Foës. II. 1207. Ed. Lind. I. (824. 825.)
ἐξέπνει, ὥσπερ ὑπ' ἀψυχίης ἢ ὡς ἂν διὰ (825) πνίγους πορευθεὶς ἐν σκιῇ καθεζόμενος ὅστις ἀναπνεύσειε. τῇ δὲ οὖν ιζ ἑσπέρης καθεζόμενος ἐς δίφρον ἠψύχησε, καὶ ὕφωνος πουλὺν χρόνον, καὶ ἀναίσθητος ἔκειτο. μελικρήτου μόγις κατεδέξατο. ξυντείνων τὰς ἐν τῷ τραχήλῳ ἶνας, ὡς κατεξηραμένης τῆς φάρυγγος καὶ τῆς πάσης ἀδυναμίης παρεούσης. μόγις γοῦν ἐντὸς ἑωυτοῦ ἐγένετο καὶ θέρμαι ἠπιώτεραι. μετὰ ταῦτα ἐπαύσατο δευτέρῃ καὶ εἰκοστῇ. Πυθοδώρῳ περὶ τὸν αὐτὸν χρόνον πυρετὸς ξυνεχής. ὀγδοαίῳ ἱδρὼς ἐγένετο, καὶ πάλιν ἐπεθέρμηνε. ι πάλιν ἱδρώς. ιβ ἐρύφησε χυλὸν καὶ μέχρι ιδ ἄδηλος ἦν. ἐν κροτάφοισι δὲ ἦν, ἄδιψος δὲ, καὶ αὐτὸς ἑωυτῷ ὑγιὴς ἐδόκεεν εἶναι, ἱδρῶτες ἐγίνοντο ἑκάστης ἡμέρης. ἐν δὲ τῇ ιε ζωμίον νεοσσοῦ ῥυφῶν ἤμεσε χολὴν, καὶ κοιλίη κάτω ἐξεταράχθη, καὶ ὁ πυρετὸς παρωξύνθη. πάλιν ἔληξε, καὶ ἱδρῶτες ἐγίνοντο πολλοὶ, καὶ τὸ σῶμα πᾶν περιεψυγμένον πλὴν κροτάφων, σφυγμὸς οὐκ ἔλιπεν. ἐδόκει δὲ

ſet, rurſum confertum expirabat, tanquam animo deficiens aut velut qui per aeſtum iter confecit in umbra deſidens reſpirare ſolet. Sub decimumſeptimum igitur diem ad veſperam in ſella reſidens in animi deliquium incidit, diuque ſine voce ac ſenſu jacuit, et paucam aquam mulſam vix ſumpſit velut reſiccatis faucibus colli fibras diſtendens, et prorſus viribus exolutis, vix tandem ad ſe rediit et calores remiſſiores erant. Demum ſecundo et vigeſimo die morbus deſiit. Circa idem fere tempus Pythodorum febris aſſidua prehendit, octavo ſudor exortus, rurſusque incaluit. Decimo iterum ſudor, duodecimo ſorbitiunculam ex hordeo ſumpſit. Ad decimumquartum usque diem febris obſcura fuit, in temporibus tamen aderat, ſine ſiti erat et ſanus ſibi eſſe videbatur. Quotidie ſudores effluebant. Decimoquinto vero die poſt ſorbitionem ex pulli jure, bilem vomitione rejecit et alvus deorſum eſt commota, febris exaſperata, rurſus deſiit, ſudores multi diffluebant, totumque corpus praeter tempora perſrigeratum ſentiebatur, pulſus non deficiebat. Videbatur autem modico tem-

κοπάσαι ὀλίγον χρόνον, ὡς δόξαι ἐπιθερμαίνειν. κδ' ἤδη ἀπο γευομένῳ σιτίων συχνὰς ἡμέρας καὶ ἀριστήσαντι πολὺς ἦ ὁ πυρετὸς, καὶ πρὸς τὴν ἑσπέρην παραλήρησις προσιόντι ἅμα καὶ ὕπνῳ. εἶχε γοῦν ἤδη ξυνεχὴς καὶ ἰσχυρὸς, ὁτὲ μὲ μίαν, ὁτὲ δὲ δύο νύκτας ἄγρυπνος, τὸν δὲ λοιπὸν ἅπαντ χρόνον κατακορὴς ὕπνος ἐγείρειν ἔργον, καὶ παραλήρησις ἐ τῷ ὕπνῳ, καὶ εἴποτε ἐξ ὕπνου ἐγερθείη, μόγις αὐ(826)τὸ ἑωυτοῦ. ἄδιψος, καὶ τὸ πνεῦμα μέτριον. τοιοῦτον δὲ ἐνίοτ οἷον Πολυκράτει. γλῶσσα οὐκ ἄχρως, μετὰ δὲ ἑβδόμην τῆ ὑποστροφῆς χυλοὶ προσεφέροντο. μετὰ δὲ ιδ' σιτίον περὶ τὰ πρώτας ζ' ἐρύγμει καὶ ἀπήμει. ἔστιν ὅτε μετὰ ποτοῦ ὑπόχο λον ἄνευ ἄσης ἕως κάτω ἐλύθη ἡ κοιλίη. ἱδρῶτες ἐξ οἱ ὑπέστρεψεν ἐξέλιπον, εἰ μή τις ὅσον ὡς ση[554]μεῖον περ μέτωπον. γλῶσσα ἐκ τοῦ ὕπνου, εἰ μὴ διακλύσαιτο, ὑπότραυλος ὑπὸ ξηρότητος καὶ ῥήγματα περὶ αὐτὴν ἑλκέων καὶ ἐν χείλει τῷ κάτω καὶ παρ' ὀδόντας μικραὶ ὑποχωρήσιες. περ

pore quievisse, ita ut sibi incalescere videretur. Vigesimo quarto die, ubi jam per multos dies cibos gustasset et pransus esset, febris erat multa et sub vesperum una cum somno delirium. Jam igitur febris detinebat assidua et vehemens, interdum quidem unam, interdum vero duas noctes pervigil erat. Omni vero deinceps tempore tam abunde somnus suppetebat, ut aegre excitaretur, in somno delirium aderat et si quando ex somno excitaretur, vix sibi constabat, non sitiebat, spiratio moderata, atque interdum qualis Polycrati, lingua colore tincta erat. Post septimum vero recidivae diem ptisanae succus exhibebatur, post decimumquartum cibus, primis septem diebus eructabat ac revomebat interdum cum potu biliosum quiddam citra nauseam, donec alvus deorsum soluta est. Ex quo recidivam passus est, sudores defecerunt, nisi si quis adeo paucus circa frontem erupit, vix ut ullam de se significationem ederet. Lingua ex somno nisi collueretur, prae siccitate aliquantulum balbutiebat, in eaque ulcera rumpebantur, et in labro inferiore ac gingivis dejectiones pau-

ιε ὡς ὑπέστρεψε πυκνότεραι καὶ γλυώδεες, τὸ ἀπὸ τῶν σιδίων ἔπαυσεν αὐτὰς, οὖρα οἷα τὰ πολυχρόνια, ὑπὸ δὲ τὸν τελευταῖον χρόνον ἄλγημα στήθεος καταπίνοντι τὸ ποτὸν, καὶ ἡ χεὶρ ἐπὶ τῷ στήθει, κύμινον καὶ ὠὸν ῥυφαίνοντι κατέστη, ἡ γλῶσσα δὲ τὸ μανῶδες ξυνήνεγκε. ν ἀπὸ τῆς α περὶ ἀρκτοῦρον ἱδρώτια κατ' ὀσφῦν καὶ στήθεα βραχέα, καὶ τὸ σῶμα περιεψύχετο πλὴν κροτάφων ὀλίγον χρόνον πάνυ. πρώτῃ καὶ ν ἐχάλασε, καὶ β οὐκ ἔλαβεν. ὁ Ἐρατολάου περὶ φθινοπωρίνην ἰσημερίην δυσεντερικὸς ἐγένετο, καὶ πυρετὸς εἶχε. τὰ ὑποχωρήματα ἦν χολώδεα, λεπτὰ, πολλὰ καὶ ὕφαιμα μετρίως. ἡ δὲ ὀδύνη τῆς γαστρὸς σφοδρὴ, ὀῤῥοποτήσαντι δὲ καὶ γαλακτοποτήσαντι ἐν γάλακτι πεπυρωμένῳ μετριώτερα ἐγένετο τὰ ἀλγήματα καὶ ὕφαιμα. τὰ δὲ χολώδεα παρηκολούθει, καὶ ἀναστάσιες πυκναὶ καὶ ἀπο(827)νώτεραι, τὸ δὲ πυρέτιον ἐδόκει ἀῤῥωστέοντι καὶ τοῖσι πολλοῖσιν || ὅλως μὴ ἔχειν διὰ παντὸς τοῦ χρόνου μετὰ τὰς πρώτας ἓξ ἡμέρας.

cae erant, ad decimumquintum a recidiva diem crebriores et glutinosae, quae ex malicorii decocto sedatae sunt, urinae quales quae morbi diuturnitatem prae se ferunt. Ad extremum dum potum deglutiret, pectoris dolor aderat, id quod manus pectori admota indicabat, qui cuminum ex ovo sorbenti sedatus est, lingua vero laxitatem pertulit. Quinquagesimo die a primo, circa arcturum, sudores pauci circa lumbos et pectus exorti sunt et corpus totum praeter tempora, exiguo admodum tempore perfrigescebat. Primo et quinquagesimo remisit, neque de integro prehendit. Ad aequinoctium autumnale Eratolai puer intestinorum difficultate cum febre correptus est. Alvi recrementa biliosa erant, tenuia, multa et aliquantulum ac modice cruenta, ventris vero dolor vehemens. Epoto autem sero et lacte candentibus calculis immissis incenso, dolores moderatiores evadebant et dejectiones subcruentae, verum biliosae comitabantur, crebrae erant ad desidendum exurrectiones, minore tamen cum dolore. Post primos autem sex dies febricula neque aegroto neque multis toto morbi tempore prorsus adesse videbatur, adeo obscura erat. In

Ed. Chart. IX. [554.] Foëſ. II. 1208. Ed. Lind. I. (827.)

οὕτως ἄδηλος ἦν. κατὰ κροτάφους δὲ σφυγμὸς ἦν, καὶ γλῶσσα ὑπὸ ξηρότητος ὑπότραυλος καὶ διψώδης μετρίως καὶ ἄγρυπνος, ῥυφήμασι δὲ ἤδη ἐχρῆτο καὶ οἴνοισι. περὶ ιδ ἐόντος ἡμέρας ἤδη ἐγένετο τὰ παρ᾽ οὖς ἐν μέρει καὶ παρ᾽ ἑκάτερον σκληρὰ καὶ ἄπεπτα. πάντα ἐμολύνθη, ὀδυνώδεα δὲ μετρίως, οὐκ ἀποληγόντων δὲ τῶν ὑποχωρημάτων καταχόλων τε διὰ παντὸς ἐόντων, τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥυφέοντι, μετριώτερα τὰ χολώδεα καὶ τὰ ἀλγήματα ἐγένοντο, μέχρι τινὸς χρόνου. ὑγρὰ δὲ πολλὰ πολλάκις, καὶ ἀπόσιτος σφόδρα, καὶ μετὰ πάσης ἀνάγκης προσδεχόμενος. τὰ δὲ τῆς θέρμης καὶ γλώσσης καὶ δίψης τοιαῦτα παρηκολούθει οἷα εἴρηται, καὶ ἱδρῶτες οὐδέν. λήθη δέ τις τοιαύτη. ἐρωτήσας ὅτι πύθοιτο σμικρὸν, καὶ διαλιπὼν πάλιν ἠρώτα, καὶ ἔλεγεν αὖθις, ὡς οὐκ εἴη εἰρηκώς. καθεζόμενός τε ἐπελανθάνετο, εἰ μή τις ὑπομιμνήσκοι αὐτὸν, καὶ αὐτὸς ἑωυτῷ ξυνῄδει τὸ πάθος, οὐδ᾽ ἠγνόει. πνεῦμα ὁποῖον ὑγιαίνοντι. ὑπὲρ δὲ τὰς

temporibus tamen pulſatio aderat et lingua prae ſiccitate aliquantulum balbutiebat, ſitisque moderata erat et inſomnia. Sorbitiones vero jam ſumebat et vinum. Cum jam fere decimumquartum diem attigiſſet, tumores ad aurem utramque ſigillatim oborti, duri et crudi omnes ſenſim evanuerunt, moderatos vero dolores afferebant. Non deſinentibus autem dejectionibus, ſed bilioſis usque perſeverantibus, herbam pollinis in modum ſorbenti mitiores ad aliquod tempus bilioſae dejectiones et dolores evaſerunt, ſed liquida multa crebro demittebat, cibos admodum averſabatur, neque niſi modis omnibus coactus aſſumebat. Quod ad calorem, linguam et ſitim attinet, qualia dicta ſunt perſeverabant, neque ſudores ulli apparebant. Ea autem erat oblivio, ut ubi de eo quod paulo ante intellexiſſet, interrogaſſet, aliquo poſt intervallo iterum interrogaret, ac velut non prius dictum repeteret. Neque ſi deſideret recordabatur, niſi a quoquam admonitus, ejusque affectionis ſibi ipſe conſcius erat, neque ignorabat. Spiratio qualis per ſanitatem. Supra trigeſimum vero ad qua-

μέχρι τῶν μ ἥ τε ὀδύνη πουλὺ ἐπεδίδου τῆς γαστρὸς, ττιός τε κατέκειτο, καὶ ἐπιστρέφεσθαι οὐδ᾽ ἐπὶ ποσὸν ἠδύ- ιτο. τὸ δὲ εἶναι τὸ ἄλγημα δεινὸν, ψωμίζειν ἄλλων δεῖ. δὲ ὑποχώρησις πουλ(828)λὴ καὶ διακεκριμένη λεπτὴ, καὶ ρώματα οἰνωπὰ ὅσαπερ προσδέ[555]χοιτο, καὶ ὕφαιμα ἔστιν τε, καὶ ὁ τόνος τοῦ σώματος ἔκτηξις ἐσχάτη καὶ ἀδυνα- ίη, οὐδ᾽ ἀνίστασθαι ἄλλου ἐπαίροντος ἔτι δυνατὸς ἦν. έσον δὲ ὀμφαλοῦ καὶ χόνδρου κατὰ ταύτην τὴν καταγωγὴν πτομένῳ τῇ χειρὶ τοιοῦτος παλμὸς ἦν, οἷος οὐδὲ ὑπὸ δρό- ου οὔτε ὑπὸ δείματος περὶ καρδίην γενηθείη. πίνοντι ἄπε- θον, ὡς ἐννέα Ἀττικὰς κοτύλας, ὄνειον ἐπὶ δύο ἡμέρας, χο- ώδης ἐγένετο σφοδρὴ ἡ κάθαρσις καὶ ἔληξαν αἱ ὀδύναι, αὶ σιτίων ἐπιθυμίη ἐγένετο. μετὰ δὲ ταῦτα βοείου γάλακτος ὸς τέσσαρας κοτύλας Ἀττικὰς ὁμοῦ ἔπινεν, κατὰ δύο κυά- θους δι᾽ ἡμέρης. πρῶτον ὕδατος τὸ ἕκτον μίσγων καὶ μέλα- νος οἴνου, καὶ αὐστηροῦ μικρὸν, ἐμονοσίτει δέ. ἑσπέρην ἄρ- τος ὡς ἡμιχοίνικος ἐγκρυφίης καὶ ἰχθύδιον πετραῖον ἁπλοῦν,

dragesimum diem usque et ventris dolor multum increscebat et supinus decumbebat, neque se tantillum convertere poterat. Quod autem dolor gravis esset, aliis qui cibum in os inderent, egebat. Alvi recrementum multum erat, disparatum et tenue, coloris vinosi erant quaecunque assumebat, interdumque aliquantulum cruenta, corporis vigor ad extremam colliquationem et imbecillitatem conversus est neque alio sublevante surgere amplius poterat. Quod si quis medium umbilicum attigisset, et manum ad cartilaginem illam in pectoris cavo, sub qua os ventriculi delitescit, deduxisset, tanta illic palpitatio inerat, quanta neque ex cursu neque ex timore circa cor suscitari queat. Epoto per duos dies lacte asinino cocto ad novem heminas Atticas, biliosa purgatio vehemens extitit, doloresque cessarunt et ciborum appetentia oborta est. Postea autem lactis bubuli quatuor circiter heminas Atticas simul ebibit, in dies singulos duos cyathos, primum aquae sextam partem, vinique nigri et austeri modicum immiscens, semel vero cibum sumebat, sub vesperam panis subcineritii choenicis

ἢ κρεάδιον αἰγὸς ἢ προβάτου, ἡ δὲ πόσις τοῦ γάλακτος ἐπὶ τεσσαράκοντα ἡμέρας ἄνευ ὕδατος, μετὰ τὰς πρώτας δέκα ἡμέρας, οἴνου δὲ ὡς μικρὸν μέλανος μέρος. ἱδρώτιον δὲ ἐγένετο μετὰ τὰς ἑβδομήκοντα ἤδη ἀπὸ τῆς πρώτης μετὰ λουτρὸν ἐς νύκτα. ὀλιγοποσίῃ δὲ ἐχρῆτο, καὶ μετὰ τὸ σιτίον τῷ ποτῷ ἢ αὐστηροτέρῳ τῆς ἀλωσίμου.

|| Κτησικράτει δὲ τῷ ἐν τῷ ἀλεύρῳ μᾶλλον τοῦ αἰγείου ὀῤῥοῦ ξυνήνεγκεν, ὀδύνης ἐούσης περὶ ὅλην τὴν κοιλίην, καὶ πόνων, καὶ ἀναστάσιος πολλῆς καὶ ὑφαίμου, καὶ ἐπάρματος περὶ τοὺς πόδας σχεδὸν ἤδη περὶ πέντε καὶ εἴκοσιν ἡμέρας· ἐόντα καὶ Ἀδριανῷ ταῦτα. τῷ δὲ Καινείου τὸ ὄνειον ἑφθόν. (829) [556] τῷ Κύδιος περὶ χειμερινὰς ἡλίου τροπὰς ῥῖγος καὶ πυρετὸς καὶ ὠτὸς δεξιοῦ ἄλγημα καὶ κεφαλῆς ὀδύνη. τὸ δὲ τοιοῦτον ἄλγημα εὐθὺς ἐκ μικροῦ παιδίου παρηκολούθει ῥευματῶδες, καὶ συριγγῶδες, καὶ ἔνοδμον. ἔχον δὲ οὕτω τὰ πολλὰ ἀνώδυνον ἦν, τότε δὲ ἡ ὀδύνη ἦν δεινὴ, καὶ ἡ κεφαλαλγίη δευτεραίῳ ἢ τριταίῳ ἐόντι, χολῆς ἔμετος, ἀνακαθιζομένῳ ἐγένετο ὑπόχολον γλίσχρον, ὡς ἐξ ὠοῦ ὕπωχρον.

dimidium et pisciculum saxatilem tenuem, aut capri carnis et ovillae frustulum. Lactis potus erat ad quadraginta dies, post primos decem dies absque aqua, ex vini vero nigri modica portione. Post septuagesimum jam a primo diem, a balneo sub noctem sudor parvus obortus est. Modico potu utebatur, eoque post cibum aut austeriore.

Ctesicrati dolore cum laboribus totum ventrem occupanti, crebraque exurrectione et dejectione aliquantulum cruenta, cum pedum tumore, farina lacte subacta magis quam serum caprinum contulit. Eadem quoque Adriano fere jam per viginti quinque dies contulerunt. At Caenaeae filio lac asininum coctum. Circa brumam Cydis filium rigor prehendit et febris, aurisque dextrae et capitis dolor. Hic autem auris dolor statim a puero comitabatur cum destillatione, fistulà et gravi odore. Cumque ita se haberet, fere doloris expers erat, sed tunc dolor gravis aderat et capitis dolor urgebat. Secundo aut tertio die bilis vomitione rejecta est, desidenti subbiliosa dejectio extitit,

Ed. Chart. IX. [556.] Foës. II. 1210. Ed. Lind. I. (829.)

τετάρτη καὶ πέμπτη ἐς νύκτα ὑποπαρελήρει, καὶ ἡ ὀδύνη τῆς κεφαλῆς καὶ τοῦ ὠτὸς δεινὴ, καὶ ὁ πυρετός. ἕκτη ὑποχώρησις ἀπὸ λινοζώστιος, καὶ ἡ θέρμη λῆξαι ἐδόκει καὶ ἡ ὀδύνη. τῇ ἑβδόμῃ ὡς ὑγιὴς, κροτάφῳ δὲ σφυγμὸς οὐκ ἔλιπεν, ἱδρῶτος οὐδὲν ἐγένετο. ὀγδόῃ χυλοῦ ἐξύφησεν. ἐς δὲ τὴν ἑσπέρην σεύτλου, καὶ τὴν νύκτα ὕπνος, καὶ σφόδρα ἀνώδυνος, καὶ τὴν ἐνάτην ἥσθετο πρὸς ἡλίου δυσμάς. ἐς δὲ νύκτα τῆς κεφαλῆς δεινὴ ὀδύνη καὶ τοῦ ὠτός. ξυνέβαινε δὲ καὶ πυοῤῥοεῖν τὸ οὖς περὶ τοῦτον τὸν καιρὸν, ὁπότε μάλιστα πονοίη εὐθὺς ἀπ᾽ ἀρχῆς. ὅλην δὲ τὴν νύκτα τὴν ἐνάτην καὶ τὴν ἐπιοῦσαν ἡμέρην καὶ τῆς νυκτὸς τὸ πλεῖον οὐκ ἐπεγίνωσκεν οὐδένα, στένων δὲ διετέλει, ἡμέρην δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο, καὶ αἱ ὀδύναι ἔληξαν καὶ τὰ τῆς θέρμης μετριώτερα, ῥυφήσαντι δὲ λινοζῶστιν, τῇ ἑνδεκάτῃ ὑπεχώρησε φλεγματώδεα, μυξώδεα, κάκοδμα, δυοκαιδεκάτῃ καὶ τρισκαιδεκάτῃ μετρίως. τεσσαρεσκαιδεκάτῃ ἀρξάμενος ἀφ᾽ ἑωθινοῦ μέχρι ἐς μέσον ἡμέρης, ἵδρου ὅλον τὸ σῶμα. μετὰ ὕπνου καὶ κώματος.

glutinosa velut ovi subpallidum. Quarto et quinto sub noctem aliquantulum delirabat, et auris capitisque dolor vehemens erat et febris. Sexto ex mercuriali alvus dejecit, et calor et dolor cessasse visus est. Septimo velut sanus, verum circa tempora pulsatio non deseruit, neque ullus sudor erupit. Octavo sorbitiunculam ex hordeo sumpsit, sub vesperum vero betae succum et noctu somnum cepit ac magnopere doloris expers fuit. Nono sub solis occasum laeto erat animo, ac sub noctem capitis et auris dolor graviter urgebat. Per hoc tempus autem cum valde laboraret, statim ab initio aurum pure manare contigit. Nocte vero tota noni diei, posteraque die ac noctis magnam partem, meminem agnoscebat, perpetuoque ingemiscebat. Die autem ad sese redierat, et dolores cessarant, calorque levior erat. Ubi vero sorbitionem ex mercuriali sumpsisset, undecimo die alvo rejecta sunt pituitosa, mucosa, graveolentia. Duodecimo et decimo tertio moderate habuit. Decimoquarto die ducto initio a matutino tempore ad meridiem usque, toto corpore sudor effluxit, ac somno

Ed. Chart. IX. [556.] Foës. II. 1210. 1211. Ed. Lind. I. (830.)
πολλοῦ, ἐγεῖραι (830) ἔργον ἦν. πρὸς ἑσπέρην δὲ διηγέρθη, καὶ τὸ μὲν σῶμα μετρίως κατεψύχθη, ἐν κροτάφοισι δὲ σφυγμὸς διετέλει. πεντεκαιδεκάτη καὶ ἑκκαιδεκάτη χυλοῖσιν ἐχρήσατο. ἐν δὲ τῇ ἑπτακαιδεκάτη ἧκε πάλιν ἐς νύκτα ὀδύνη τῶν αὐτῶν, καὶ παραλήρησις, καὶ ἐπυοῤῥόει. ιη καὶ ιθ καὶ εἰκοστῇ μανικῶς. ἦν δὲ κεκραγὼς ἐπαίρειν ἑωυτὸν πειρώμενος, οὐ δυνάμενος δὲ κρατεῖν τῆς κεφαλῆς τῇσι χερσὶν ἐπορεγόμενος, καὶ ἀεί τι διακενῆς θηρεύων. πρώτῃ καὶ εἰκοστῇ καὶ ἱδρώτιον περὶ πλευρὸν δεξιὸν καὶ στήθεα καὶ κεφαλήν. κβ ἱδρώτιον περὶ τὸ πρόσωπον πλεῖστον ἦν. τῇ δὲ φωνῇ κατὰ τὸν χρόνον τοῦτον, εἰ μὲν σφόδρα ἀπεβιάσατο, εἶπεν ἃ ἐβούλετο τελέως. εἰ δ᾽ οὖν προχείρως ἡμιτελέα, καὶ τὸ στόμα λελυμένον, καὶ αἱ γένυες καὶ χείλεα ἀεὶ ἐν κινήσει ὥστε θέλοντος λέγειν, καὶ τῶν ὀφθαλμῶν πυκνὴ κίνησις καὶ ἔμβλεψις, καὶ χρῶμα ἐπ᾽ ὀφθαλμοῦ δεξιοῦ, οἷον εἴρηται, τὸ ὕφαιμον, καὶ βλέφαρον τὸ ἐπάνω ἐπῴδησε, καὶ κατὰ γνάθον ἔρευθος ἐπὶ τελευτῆς, καὶ φλέβες πᾶσαι αἱ ἐν τῷ

ſoporeque multo gravatus, non niſi aegre excitabatur. Sub veſperum vero experrectus et corpus quidem moderate perſrixit, at in temporibus pulſus perduravit. Decimoquinto et decimoſexto ſorbitionibus ex hordeo uſus eſt. Decimoſeptimo vero ſub noctem rurſus eorundem dolor rediit ac delirium, et pus effluebat. Decimooctavo, decimo nono et vigeſimo furioſe habebat, vociferans ſeſe attollere conabatur, ſed caput continere non poterat, et manibus exporrectis ſemper aliquid fruſtra captabat. Primo et vigeſimo ſudor modicus circa latus dextrum, pectus et caput et vigeſimo ſecundo plurimus circa faciem extitit. Per hoc tempus autem, ſi quidem plurimum voce contenderet, quae volebat perfecte efferebat. Sine conatu vero, ſemiperfecta loquebatur, et os ſolutum, ac maxillae et labra ſemper in motu erant, tanquam qui loqui cuperet, oculorum creber motus et intuitus, oculique dextri color qualis dictus eſt, aliquantulum cruentus palpebra ſuperior intumuerat, et circa genae extremum rubor erat, venae omnes

Ed. Chart. IX. [556. 557.] Foës. II. 1211. Ed. Lind. I. (830. 831.)

προσώπῳ φανεραὶ οὕτω ξυνεσταλμέναι, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἔτι ξυμμύων ἦν, ἀλλ' ἀτελὲς ἐνορῶν καὶ διαίρων τὰ βλέφαρα ἐς τὸ ἄνω μέρος, ὡς ἐπήν τι ἐμπέσῃ ἐς τὸ ὄμμα, καὶ ὁπότε πίει κατιόντος ἐς τὰ στήθεα καὶ τὴν [557] κοιλίην ψόφος οἷος καὶ Χαρτάδει. πνεῦμα δὲ ἐπιεικῶς διὰ παντὸς μέτριον. γλῶσσα οἵη ἐστὶ τοῖσι περιπλευμονικοῖσιν, ὠχρόλευκος ἀπ' ἀρχῆς, καὶ διὰ παντὸς κεφαλαλγίη. τράχηλος διὰ παντὸς ἀκίνητος ξυμπεριά(831)γειν τῇ κεφαλῇ ἐδεῖτο, καὶ τὸ κατὰ ῥάχιν ἐκ τραχήλου ἰθὺ καὶ ἄκαμπτον, καὶ κλίσιες ὁποῖαι εἴρηνται, καὶ οὐκ ἀεὶ ὕπτιος. τὸ δὲ πῦον ἤδη ὀῤῥῶδες λευκόν. πολὺ ἔργον ὑποσπογγίσαι. ὀδμὴ ὑπερβεβλημένη κατὰ τὸν τελευταῖον χρόνον. ποδῶν ἅψιος οὐ πάνυ καταισθανόμενος. τῇ Ἁρπαλίδεω ἀδελφῇ περὶ τέταρτον μῆνα ἢ πέμπτον κυούσῃ οἰδήματα περὶ τοὺς πόδας ὑδατώδεα ἐγένετο, καὶ τὰ κύκλα τῶν ὀφθαλμῶν ἐπῴδει, καὶ ἅπαν τὸ χρῶμα μετέωρον οἷον τῇσι φλεγματίῃσι, βὴξ ξηρή. ὀρθοπνοίη δὲ καὶ ἆσθμα τοιοῦτον, καὶ πνιγμοὶ ἔστιν ὅτε ὑπὸ

faciei adeo contractae erant, ut conſpicuae eſſent, neque amplius oculis nictabat, verum intente intuebatur, palpebrasque ad ſuperiorem partem extollebat, quaſi aliquid in oculum incidiſſet. Cum biberet, in pectus et ventriculum deſcendentis potus ſtrepitus percipiebatur, quale quid Chartadi adfuit. Spiratio fere ſemper moderata fuit, lingua qualis pulmonum inflammatione laborantibus, ab initio ex pallido albicans, et perſeverans capitis dolor. Cervix perpetuo immota, non niſi cum capite circumagebatur, et pars, quae ex cervice ad ſpinam deſcendit, recta et inflexibilis erat, decubitus qualis dictus eſt, neque ſemper ſupinus erat. Pus vero jam ſeroſum, album effluebat, nec niſi magno negotio ſpongia detergebatur, odoreque modum excedebat. Ad extremum pedum contactum non percipiebat. Harpalidae ſorori quatuor aut quinque menſium uterum geſtanti, pedum tumores aquoſi exorti ſunt et oculi in orbem intumeſcebant, totumque corpus veluti pituita alba ſuffuſis in tumorem ſublevabatur. Tuſſis ſicca, erectae cervicis ſpiratio ejusmodique anhelatio, interdumque

τοῦ πνεύματος, ὥστε καθημένη διετέλει κατὰ κλίνην. κατα-κεῖσθαι δὲ οὐχ οἵη τε ἦν, ἀλλ' εἴ τις καὶ ὕπνου δόξα γένοιτο καθημένη ἦν. ἄπυρος δὲ ἐπιεικῶς, καὶ τὸ κύημα ἐπὶ πλεῖ-στον χρόνον ἀκίνητον ἦν ὡς διεφθαρμένον καὶ μετέπιπτε παρηκολούθησε δὲ τὸ ἆσθμα σχεδὸν δύο μῆνας. κυάμοισ δὲ χρωμένη μελιχροῖσι καὶ μετὰ μέλιτος ἐλίξει καὶ τοῦ Αἰ-θιοπικοῦ κυμίνου πιοῦσα ἐν οἴνῳ ἐρᾳΐσε. μετὰ ταῦτα δ ἀνῆγε βήσσουσα πολλὰ, πέπονα, φλεγματώδεα, λευκὰ κα τὸ πνεῦμα ἔληξεν, ἔτεκε δὲ γόνυ θῆλυ. τῇ Πολυκράτεο θέρεος περὶ τὸ ἄστρον πυρετὸς πνεῦμα τὸ ἑωθινὸν ἧσσον ἀπὸ μέσου ἡμέρης μᾶλλον τὸ πνεῦμα, πυκνότερον μικρῷ βὴξ καὶ ἀπόχρεμψις εὐθὺς ἀπ' ἀρχῆς, ὁμοίη πυώδεσιν. ἔσ περὶ ἀρτηρίην καὶ φάρυγγα ὑπεσύριζε κερχναλέον. πρόσωπο εὔχροον, (832) ἐπὶ γνάθοισιν ἐρύθημα οὐ κατακορὲς, ἀλλ ἐπιεικῶς ἀνθηρόν. προϊόντος δὲ τοῦ χρόνου καὶ ἡ φων βραγχώδης, καὶ τοῦ σώματος ξύντηξις, καὶ περὶ ὀσφὺν ἐκ-ρήγματα, καὶ ἡ κοιλίη κατὰ τὸν τελευταῖον χρόνον ὑγροτέρ

a spiritu suffocabatur, adeo ut perpetuo sedere in lect cogeretur, neque decumbere posset, sed si qua somni inci-deret opinio, eum desidendo caperet. Fere sine febr erat, foetusque ex longo intervallo non movebatur a veluti ad corruptionem tendebat. Creber autem anhelitu fere ad duos menses perseveravit. Fabis vero melle con-ditis et mellis linctu usa, Aethiopicoque cumino ex vin epoto, melius habuit. Deinde etiam multa matura, pitui-tosa et alba tussi rejecit, spirandi difficultas desiit et pro-lem edidit foemellam. Polycratis conjugem per aestater circa caniculam febris prehendit, difficultas spirandi man minor aderat, post meridiem vero major et paulo crebrior statim ab initio tussis et exscreatio qualis purulentis. In-tus ad arteriam et fauces stridula quaedam inerat asperita facies bene colorata, malarum rubor non in plenum, se leviter florulentus. Procedente vero tempore vox rauc extitit, et corporis colliquatio et circa lumbos eruptiones ad extremumque alvus liquidior. Septuagesimo die febri

Ed. Chart. IX. [557. 558.] Foës. II. 1211. Ed. Lind. I. (832.)

βδομηκοστῇ ὁ πυρετὸς ἔξωθεν σφόδρα ἔψυχεν, ἐν δὲ τοῖσι κροτάφοισιν ἡσυχίη, τὸ δὲ πνεῦμα πυκνότερον ἐγίνετο. μετὰ δὲ τὴν παῦσιν ταύτην τὸ πνεῦμα πυκνότερον οὕτως, ὥστε καθημένη διετέλεσεν ὥστε ἀπέθανεν, ἐν δὲ τῇ ἀρτηρίῃ [558] ψόφος πουλὺς ἐνῆν, καὶ ἱδρῶτες πονηροὶ, καὶ ἐμβλέψιες ἀφρονώδεες σφόδρα, μέχρι τοῦ ἐσχάτου χρόνου. ἡμέραι δ᾽ ἐπεγίνοντο αὐτῇ κατεψυγμένῃ πλείους ἢ πέντε. μετὰ δὲ τὰς πρώτας διετέλει πυῶδες ἀποχρεμπτομένη. τῇ ἄνω τῶν πυλέων οἰκεούσῃ ἤδη οὔσῃ πρεσβυτέρῃ πυρέτιον ἐγένετο, καὶ ἤδη ἀπολήγοντος τοῦ τραχήλου ἄλγημα μέχρις ἐς ῥάχιν καὶ ὀσφὺν, καὶ οὐ πάνυ ἐγκρατὴς τούτων. γένυες δὲ ξυνηγμέναι καὶ ἑωυτοὺς ὀδόντας πλέον ἢ μήλην παρεῖναι. ἥ τε φωνὴ ψελλὴ καὶ τὸ παραλελυμένον καὶ ἀκίνητον καὶ ἀσθενὲς εἶναι τὸ σῶμα. ἔμφρων δὲ χλιάσμασι καὶ μηλικρήτῳ χλιερῷ. ἐχάλασε τριταίη σχέδον, καὶ μετὰ ταῦτα χυλοῖσι καὶ ζωμοῖσιν ὑγιὴς ἐγένετο. ξυνέβη δὲ τελευτῶντος τοῦ μετοπωρινοῦ καιροῦ. ὁ παρὰ Ἁρπαλίδι ἀλείπτης, ἀκρατέστερος σκελέων καὶ χειρῶν περὶ φθινόπωρον γενόμενος, ἔπιεν ἐκεῖ φάρμακον ἄνω καὶ

prehendit cum vehementi ſrigore externo, ac in temporibus quies erat. Spiratio autem increſcebat. Poſt hanc vero quietam ſpiratio crebrior extitit, adeo ut quoad vixerit ſedens permanſerit. In arteria ſtrepitus multus inerat, sudores maligni, intuitus valde compoſitus ad extremum usque. Ipſa diebus pluribus quam quinque perfrigerata eſt. Poſt primos autem dies foeculentum aſſidue exſcreavit. Mulierem ſupra portas habitantem jam provecta aetate febricula prehendit, qua jam deſinente, cervicis dolor ad ſpinam et lumbos protendebatur, neque admodum his partibus valebat. Maxillae vero et dentes in ſeſe adeo cohaerebant, ſpecillum ut non immitteretur, vox etiam balbutiebat, quod corpus reſolutum, immobile ac imbecillum eſſet, mentis tamen compos erat. Excalefacientium autem et aquae mulſae tepidae uſu tertio fere die remiſit, poſteaque ſorbitionibus et juſculis convaluit. Id quod ſub autumni finem contigit. Unctor apud Harpalidem circa autumnum cruribus et manibus imbecillior factus, medicamentum ſur-

κάτω. ἐκ δὲ τῆς καθάρσιος πυρετὸς, καὶ ἐς τὴν ἀρτηρί κατεῤῥύη τὸ τοιοῦτον. οἷον ἐπισχεῖν διαλεγόμενον, κ ἀσθμαίνειν ἐν τῷ διαλέγεσθαι, ὁμοίως (833) κυναγχι βραγχώδει. πνιγμὸς || καταπίνοντι καὶ ἄλλα κυναγχικά. ο δημα δὲ οὐκ ἦν, ὁ δὲ πυρετὸς ἐπέτεινε καὶ ἡ βὴξ, κ ἀπίχρεμψις ὑγροῦ καὶ πολλοῦ φλέγματος. προϊόντος δὲ κ ὀδύνη κατὰ στῆθος καὶ μαζὸν ἀριστερόν. ὁπότε δὲ ἐξαν σταίη ἢ μετακινηθείη ἆσθμα πολὺ καὶ ἱδρὼς ἀπὸ μετώπ καὶ κεφαλῆς καὶ τὰ περὶ τὴν φάρυγγα κατεῖχε, μαλακώτερ δὲ ἐς τὸ στῆθος τῆς ὀδύνης ἀπελθούσης. ἀπ' ἀρχῆς μ οὖν κυάμοισι μελιχροῖσιν ἐχρῆτο, ἐπεὶ δὲ οἱ πυρετοὶ ἐπεῖχο μᾶλλον ὀξυμέλιτι θερμῷ καὶ μέλιτος ἐλίξει πολλῇ. παρε θουσέων τεσσάρων καὶ δέκα ἡμερέων ἅπαντα ἔληξε, κ τῶν περὶ χεῖρας καὶ σκέλεα οὐ πολὺ ὕστερον ἐγκρατὴς ἐγ νετο. Χαρτάδει πυρετὸς καῦσος, ἔμετος χολῆς πουλὺς, κ κάτω ὑποχώρησις. ἄγρυπνος, καὶ κατὰ σπλῆνα ἔπαρμ στρογγύλον. ἐν αὐτῇ πρωῒ ἐξανέστη ψόφου περὶ τὴν κοιλίη

sum ac deorsum purgans temere ebibit, ex quo febris inval et ad arteriam tale quiddam desluxit, ut loquentem impe diret et inter loquendum crebriorem anhelitum reddere non secus ac angina cum raucedine laboranti. Cum deglu tiret, praesocabatur, caeteraque patiebatur quae qui angin laborant, tumor tamen non aderat. Febris vero increſce bat et tuſſis, multamque ac liquidam pituitam excreaba Progreſſu autem temporis dolor circa pectus et mammar ſiniſtram obortus eſt, cumque exurgeret aut commoveretu crebra anhelatio multum vexabat, ſudor ex fronte et capit manabat et faucium affectio detinebat remiſſius tamen dolor ad pectus ſecedente. Per exordia igitur fabis melle conditi utebatur, ubi vero febres detinebant, potius aceto mulſ calido et mellis delinctu copioſo. Quatuordecim autem die bus elapſis omnia ceſſarunt et manibus ac cruribus no multo poſt valuit. Chartadae febris ardens adſuit, bilis pe vomitionem multa rejectio et per alvum egeſtio, inſomni et ad lienem tumor rotundus. Ipſo die mane ad deſidendun ſurrexit, ſtrepitu circa ventrem absque dolore oborto. Cum

ἄνευ ὀδύνης γενομένου. ὡς ἀφοδεύων δὲ ἦν, ὑπῆλθεν αἵματος πλέον ἢ χοεὺς προσφάτου, καὶ μικρὸν ἐπισχόντι καὶ τρίτον πεπηγότες θρόμ[559]βοι. ἄση δὲ περὶ τὴν καρδίην καὶ ἱδρώτιον σχεδὸν καθ᾽ ὅλον τὸ σῶμα, καὶ τὸ πυρέτιον. κατὰ ψυχὴν ἐδόκει, καὶ ἔμφρων τὸ πρῶτον. προϊούσης δὲ τῆς ἡμέρης ἥ τε ἄση πλείων καὶ ἀλυσμὸς, καὶ πνεῦμα σμικρῷ πυκνότερον, καὶ θρασύτερον καὶ φιλοφρονώτερον τοῦ καιροῦ προσηγόρευε καὶ ἐδεξιοῦτο, καί τινες λειποψυχίαι ἐδόκεον ἐπιγίνεσθαι. προσφερόντων δέ τινων χυλοὺς καὶ τὸ ἀπὸ κριμνῶν ὕδωρ οὐκ ἔληγεν, ἀλλὰ τὸ πνεῦμα πρὸς τὴν ἑσπέρην ὑπέρπολυ ἦν, καὶ ῥιπτα(834)σμὸς πολὺς καὶ ἐπὶ τὰ δεξιὰ καὶ ἐπὶ τὰ ἀριστερὰ, μεταῤῥίπτων ἑωυτὸν οὐδένα χρόνον ἀτρεμίζειν δυνατὸς ἦν. πόδες ψυχροὶ, ἐν κροτάφοισι, καὶ κεφαλῆς θέρμη μᾶλλον ὑπογύου τῆς τελευτῆς, καὶ ἱδρώτια πολλὰ, καὶ πίνοντι τὰ τοῦ ψόφου περί τε στήθεα καὶ κοιλίην κατιόντος τοῦ πόματος, οἷον δὲ κάκιστον. φάμενος δὲ θέλειν τι ἑωυτῷ ὑπελθεῖν καὶ ἀτενίσας τοῖς ὄμμασιν, οὐ

vero ventrem exoneraret, sanguinis recentis plus quam congii mensura per alvum subiit, et pauca interposita mora etiam tertio sanguinis grumi concreti. Oris autem ventriculi anxietas erat, et fere toto corpore parvus sudor et febricula. Primum etiam mentis compos esse videbatur, procedente vero die anxietas et corporis inquies jactatio major et spiratio paulo crebrior erat, confidentius et perhumanius quam occasio ferret homines alloquebatur et excipiebat, et quaedam animi deliquia accedere videbantur. Quibusdam autem sorbitiones ex hordeo et aquam in qua farina crassior macerata erat offerentibus, non desiit, verum difficultas spirandi sub vesperam admodum magna erat et corporis jactatio vehemens ac in dextrum et sinistrum sese disjiciens, nullo tempore quiescebat, pedes frigidi, tempora et caput magis incalescebant instante jam morte multisque sudoribus parvis diffluebant. Cum biberet, circa pectus et ventriculum demissi potus strepitus percipiebatur, quod sane mirum in modum perniciosum erat. Ubi vero sibi aliquid infra demitti velle dixisset, defixis oculis non longa interposita mora vitam

πολὺ ἐπισχὼν ἐτελεύτησεν. τῇ Ἑρμοπτολέμου χειμῶνος ὥρη πυρετὸς, καὶ κεφαλῆς ἀλγήματα, καὶ ὁπότε πίοι, ὡς χαλεπῶς καταπιοῦσα ἐξανέστη, καὶ τὴν καρδίην ὑγιᾶσθαι ἔφη. γλῶσσα πελιδνὴ ἀπ᾿ ἀρχῆς· ἡ δὲ πρόφασις ἐδόκει ἐκ φρίκης μετὰ λουτρὸν γενέσθαι. ἄγρυπνος καὶ νύκτα καὶ ἡμέρην. μετὰ τὰς πρώτας ἡμέρας ἐρωτωμένη οὐκ ἔτι μόνην κεφαλὴν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα πονέειν ἔφη. δίψα, ὁτὲ μὲν κατακορὴς, ὁτὲ δὲ μετρίη. πέμπτη καὶ ἕκτη καὶ μέχρι τῆς ἐνάτης σχεδὸν παραλήρησις καὶ αὖθις πρὸς ἑαυτὴν ἐλάλει μετὰ κώματος ἡμιτελέα, καὶ τῇ χειρὶ ἔστιν ὅτε ἐπωρέγετο πρὸς τὸ κονίημα, καὶ προσκέφαλόν τι ψυχρὸν ἐνεὸν τῇ κεφαλῇ, καὶ τοῖσι στήθεσι προσεῖχε, καὶ τὸ ἱμάτιον ἔστιν ὅτε ἀπεῤῥίπτει, καὶ ἐπ᾿ ὀφθαλμοῦ τοῦ δεξιοῦ τὸ ὕφαιμον ἦν καὶ δάκρυον ἦν. οὖρον δὲ ὃ τοῖσι παισὶ πονηρόν ἐστιν ἀεί. ὑπεχώρει δὲ ἀπ᾿ ἀρχῆς μὲν ὑπόκιῤῥα, ὕστερον δὲ ὑδατώδεα σφόδρα καὶ τοιουτόχροα. ια ἐδόκει μετριώτερον θερμὴ εἶναι καὶ ἄδιψος ἔστιν ὅτε ἐγένετο, οὕτως ὡς εἰ μή τις διδοίη οὐκ ᾔτει.

finivit. Hermoptolemi uxorem hiemis tempore febris et capitis dolores prehenderunt, cumque bibisset, tanquam difficulter deglutiens exurrexit et cor valere dixit, lingua ab initio livida fuit. Morbi autem occasio ex horrore post balneum nata visa est, nocte et die insomnis erat. Post primos dies interrogata se jam non solum capite, sed etiam toto corpore laborare dixit. Sitis interdum quidem summe intensa, interdum etiam moderata erat. Quinto, sexto et ad nonum usque diem vere delirium, rursusque secum semiperfecta loquebatur cum sopore. Interdum etiam manum ad parietis tectorium extendebat, et pulvinum quendam frigidum qui capiti suberat etiam pectori admovebat, interdum etiam vestem stragulam rejiciebat, et in oculo dextro subcruentum quiddam et lacrima inerat. Urina vero erat qui in pueris semper mala censetur. Circa initia quidem per alvum aliquantulum fulva demittebat, postea vero aquosa multum, atque ejusmodi coloris. Undecimo die mediocriter calere videbatur, ac interdum sitis expers in tantum

ὕπνοι μετὰ τὸν πρῶτον χρόνον ἐγένοντο (835) ἐπιεικῶς ἡμέρης. ἐς δὲ νύκτα ἄγρυπνος, καὶ ἐπόνει μᾶλλον ἐς νύκτα. ἐνάτῃ ἡ γαστὴρ ἐξεταράχθη, ὑδατώδεα διαχωρήσασα. ὡσαύτως δὲ καὶ ἑνδεκάτῃ, τὰς δὲ ἐπιούσας ἐπιεικῶς. πολλὴ ἡ διανάστασις καὶ τοιαύτη. ἦσαν δὲ ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἀκρηχολίαι καὶ κλαυθμοὶ οἷον παιδαρίου, καὶ βοὴ καὶ δείματα καὶ περιβλέψιες ὁπότε δὴ ἐκ τοῦ κώματος ἐγείρατο. τῇ δὲ || τεσσαρεσκαιδεκάτῃ ἔργον κατέχειν ἦν, ἀναπηδῶσαν καὶ βοῶσαν ἐξαίφνης καὶ συντόνως, ὥσπερ ἂν ἐκ πληγῆς καὶ δεινῆς ὀδύνης καὶ φόβου, [560] ὡς καταλαβών τις αὐτὴν κατάσχοι χρόνον ὀλίγον. εἶτα πάλιν ἡσυχίην τε εἶχεν, καὶ κωματισμένη ὑπνοῦσα διετέλει οὐχ ὁρῶσα ὅλως, ἔστι δ' ὅτε οὐδὲ ἀκούουσα, μετέβαλλε δὲ ἐς ἀμφότερα, θόρυβόν τε καὶ ἡσυχίην, πυκνά, σχεδὸν ὅλην τὴν ἡμέρην ταύτην. ἐς νύκτα δὲ τὴν ἐπομένην ὑπῆλθέ τι καὶ ὕφαιμον οἷον μυξῶδες, καὶ πάλιν οἷον ἰλυῶδες. μετὰ δὲ πρασοειδέα σφόδρα καὶ μέλανα. τῇ δὲ ιε ὀξεῖς ῥιπτασμοὶ καὶ οἱ φόβοι, καὶ ἡ βοὴ ἐγένετο

erat, ut nisi quis daret non peteret. Post primum tempus de die somnus moderate contingebat, noctu vero pervigil erat et ad noctem magis laborabat. Nono alvus emota est aquosa dejiciens, eodemque etiam modo undecimo. Sequentibus vero diebus fere crebra ad desidendum exurrectio erat, eademque dejectio. Primis autem diebus excandescebat et ejulabat, instar puelli clamabat et terrebatur, et ubi ex sopore excitaretur, circumspiciebat. Decimo quarto autem die eam derepente exilientem acriterque vociferantem, velut plaga aliqua accepta aut ex gravi dolore et metu, continere difficile erat, adeo ut quis eam apprehensam pauco tempore detineret. Deinde rursus quietem agebat et sopore oppressa perpetuo dormiebat, nihil in totum videns, interdum vero neque audiens, per totumque diem istum, tum ad tumultum tum ad perturbationem, crebro commutabatur. Nocte autem sequente subcruentum quiddam per alvum subiit, veluti mucosum, rursusque tanquam limosum, postea vero porracea admodum et nigra. Decimoquinto die vehementes

ἤπιος. παρηκολούθει δὲ τὸ ἀγριοῦσθαι, καὶ τὸ θυμαίνειν, καὶ κλαίειν εἰ μή οἱ ταχέως ὅ τι βούλοιτο ὀρεχθείη, καὶ ἐπεγίνωσκεν μὲν πάντας, καὶ πάντα ἤδη μετὰ πρώτας εὐθὺς ἡμέρας, καὶ τὸ τοῦ ὀφθαλμοῦ κατέστη. ἡ δὲ μανίη παρὰ καιρὸν, καὶ ἡ βοὴ, καὶ ἡ μεταβολὴ ἡ εἰρημένη παρηκολούθει ἐς τὸ κῶμα. ἤκουεν ἀνωμάλως, τὰ μὲν σφόδρα καὶ εἰ σμικρόν τι λέγοι, ἐπ᾽ ἐνίων δὲ μεῖζον ἐδόκει διαλέγεσθαι. πόδες ἀεὶ ὁμαλῶς τῷ ἄλλῳ σώματι θερμοὶ ἔς τε τὰς τε(836)λευταίας ἡμέρας. τῇ δὲ ιστ ἧσσον. ιζ μετριώτερον τῶν ἄλλων ἡμερῶν, ἔχουσα ἐς νύκτα ὡς φρίκης αὐτῇ γενομένης ξυνάγουσα ἐπυρέτηνε μᾶλλον, καὶ ἡ δίψα πολλὴ ἦν, τὰ δ᾽ ἄλλα ὅμοια παρηκολούθει. τρόμοι δὲ περὶ τὰς χεῖρας ἐγένοντο, καὶ κεφαλὴν ὑπέσειεν, καὶ αἱ ἐμβλέψιες τῶν ὀφθαλμῶν πονηραὶ, καὶ ἡ δίψα ἰσχυρή. πιέουσα πάλιν ᾔτει καὶ ἥρπαζε, καὶ λαύρως ἔπιεν. ἀποσπάσαι δὲ οὐκ ἠδύναντο, γλῶσσα ξηρὴ ἐρυθρὴ σφόδρα, καὶ τὸ στόμα ὅλον καὶ χείλεα καθηλκωμένα καὶ ξηρὰ, καὶ τὰς χεῖρας ἀμφοτέρας ἐπὶ τὸ στόμα φέρουσα

corporis jactationes et metus et clamor remiſſus erat. Conſequebatur autem efferatio et excandeſcentia et ejulatus, niſi ipſi cito quod vellet exhibitum eſſet. Statim quidem a primis diebus omnes et omnia cognoſcebat et quod in oculo erat conquievit, furor vero praeter temporis occaſionem et vociferatio, praedictaque mutatio ad ſoporem conſequebatur. Inaequalis erat auditio, partim quidem vehemens, etiam ſi quid ſummiſſe diceretur, in quibusdam vero altius loqui videbatur. Pedes ſemper aequaliter cum reliquo corpore calidi ad extremos usque dies, verum decimoſexto die minus. Decimoſeptimo cum moderatius quam caeteris diebus haberet, ſub noctem velut horrore ſuborto ſe contrahens, magis febricitabat, plurimumque ſitiebat et reliqua ſimilia conſequebantur. Manuum tremores fiebant et caput ſuccutiebat, oculorum intuitus pravus et ſitis vehemens, ubi bibiſſet, rurſus expoſcebat et arripiebat et abunde bibebat, neque avellere poterant. Lingua ſicca valdeque rubra erat, totumque os ac labra exulcerata et ſicca, manum utramque

Ed. Chart. IX. [560.] Foës. II. 1213. 1215. Ed. Lind. I. (836. 837.)

ἐμασᾶτο τρομώδης ἐοῦσα, καὶ εἴ τι προσήνεγκέ τις μασήσασθαι ἢ ῥυφήσασθαι, λαύρως καὶ μανικῶς κατέπινεν καὶ ἐρόφανεν, καὶ τὰ περὶ τὴν ὄψιν πονηρά. ἡμέρῃσι δὲ τρισὶν ἢ τέτταρσι πρὸ τῆς τελευτῆς φρῖκαί τε αὐτῇ ἔστιν ὅτε ἐνέπιπτον, ὥστε ξυνάγειν τὸ σῶμα, καὶ ξυγκαλύπτεσθαί τε καὶ πνευστιᾶν. τέτανοί τε τὰ σκέλεα καὶ ψύξις ποδῶν. ἡ δίψα δὲ ὁμοίη, καὶ τὰ περὶ τὴν διάνοιαν ὅμοια, καὶ ἐξαναστάσιες ἢ διὰ κενῆς ἢ σμικρὰ καὶ λεπτὰ, μετά τινος βραχέος τόνου. τῇ δὲ τελευταίῃ τῇ τρίτῃ καὶ εἰκοστῇ τὸ ὄμμα μέγα τὸ πρωῒ ἦν, καὶ περίβλεψις βραχείη, καὶ ἡσυχίην ἔσχεν, ἔστιν ὅτε καὶ ἄνευ τοῦ ξυγκεκαλύφθαι τε καὶ κωματίσθαι. πρὸς δὲ τὴν ἑσπέρην τοῦ δεξιοῦ ὄμματος κίνησις οἷη ὁρεούσης ἤ τινος βουλήσιος, ἐκ τοῦ ἔξω κανθοῦ πρὸς ῥῖνα· ἐπεγίνωσκέ τε καὶ πρὸς τὸ ἐρωτώμενον ἀπεκρίνετο. φωνὴ μετὰ πολλὰ ὑπότραυλος καὶ ὑπὸ τῆς βοῆς ἀπεῤῥωγυῖα καὶ βραγχώδης.

|| (837) Τῷ Ἀμφιφράδεος θέρεος πλευροῦ ἀριστεροῦ ὀδύνη καὶ βὴξ, καὶ ὑποχωρήματα πολλὰ ὑδατώδεα καὶ ὑπό-

tremulam ori admovebat cum manducaret, et si quid manducandum aut sorbendum porrigeretur, avide ac furiose deglutiebat et sorbebat, oculorum obtutus pravus erat. Ante mortem autem tribus aut quatuor diebus tantus interdum horror incidebat, ut corpus contraheret et contegeret anhelansque respiraret, crurum distentiones et pedum frigus aderat. Sitis vero et mentis affectiones eaedem perseverabant, et ad desidendum exurrectiones aut inanes erant, aut pauca et tenuia cum modico quodam conatu demittebantur. Ad extremum tertio et vigesimo die oculus mane magnus erat, brevisque circumspectio et quietem agebat interdum absque integumentis et sopore, sub vesperum autem oculus dexter, tanquam cerneret aut quid vellet, ab externo angulo ad nasum movebatur, cognoscebatque et ad interrogata respondebat. Vox post multa aliquantulum balbutiens, ac prae clamore fracta et rauca.

Amphiphradis puerum aestate lateris sinistri dolor et tussis prehendit. Multa aquosa et aliquantulum biliosa per

Ed. Chart. IX. [560, 561.] Foës. II. 1215. Ed. Lind. I. (837.)

χολα, καὶ ὁ πυρετὸς ἐδόκει λῆξαι περὶ ἑβδόμην, ἡ βὴξ ἔνι, χρῶμα ὑπόλευκον καὶ ὕπωχρον. περὶ δὲ τὰς ιβ ὑπόχλωρον ἔπτυεν, τὸ πνεῦμα προϊόντος τοῦ νοσήματος αἰεὶ πυκνότερον, καὶ [561] ἆσθμα καὶ ὑποκερχαλέον περὶ στήθεα καὶ ἀρτηρίας, ῥυφήμασιν ἐχρῆτο, ἔμφρων ἅπαντα τὸν χρόνον. περὶ δὲ κη ἐτελεύτησεν, ἱδρῶτες ἔστιν ὅτε ἐγίνοντο ἔξω. κάπηλος ὁ περιπνευμονικὸς, κοιλίη εὐθὺς ὑπῄει. περὶ δ ἱδρὼς πουλὺς, ἐδόκει λῆξαι τὸ πυρέτιον, τὸ βηχίον οὐδὲν ὡς εἰπεῖν. ε καὶ στ καὶ ζ ἐπεῖχεν ὁ πυρετός. ἱδὼς η, θ ἀπεχρέμψατο ὠχρόν. δεκάτῃ ᾔει ἅλες οὐ πολλάκις. περὶ ια ἠπιώτερος. ἐν τῇ ιδ ὑγιής. Ἑρμοπτολέμῳ μετὰ πληϊάδος δύσιν πυρετὸς ἐπῆλθε, βὴξ οὐ πάνυ, γλῶσσα δὲ περιπλευμονική. ἐνάτῃ ἐξίδρωσεν, ὅλος κατεψύχθη ὡς ἐδόκει. προσήνεγκαν αὐτῷ χυλὸν, περὶ μέσον ἡμέρης ἐθερμαίνετο. ια ἱδρὼς καὶ κοιλίη ἐξηραίνετο, κατάχολα ὑποχωρήματα, τὸ βηχίον ἐπεγέ-

alvum dejiciebantur, et circa ſeptimum febris deſiiſſe videbatur. Tuſſis aderat et color ſubalbidus et aliquantulum pallidus. Ad duodecimum aliquantulum ex virore palleſcens expuebat. Procedente morbo ſpiratio denſior ſemper fuit et creber anhelitus, cum ſtridula quadam ad pectus et arteriam aſperitate, ſorbitionibus utebatur, toto tempore mente conſtabat. Ad octavum et vigeſimum diem extinctus eſt, ſudoribus interdum foras erumpentibus. Cauponi peripneumonia laboranti alvus ſtatim ſubiit, ad quartum diem ſudor multus obortus eſt, febricula ceſſaſſe videbatur, tuſſicula prope nulla erat. Quinto, ſexto et ſeptimo die febris detinebat, octavo ſudor, nono pallidum excrevit. Decimo abunde alvus demittebat, non ſaepe, ad undecimum laevius habuit, decimoquarto convaluit. Hermoptolemo poſt vergiliarum occaſum febris acceſſit, tuſſis non admodum infeſtabat, lingua vero qualis pulmonum inflammatione laborantibus, nono die exudavit, totus, uti viſum eſt, perfrixit, oblata ei ſorbitiuncula ex hordeo circa meridiem incaleſcebat, undecimo ſudor et alvus reſiccata ſunt, bilioſa erant alvi excrementa, tuſſicula ſuborta eſt. Decimoquarto palli-

Ed. Chart. IX. [561. 562.] Foës. II. 1215. Ed. Lind. I. (837. 838.)
ιετο. ιδ ἀχρὸν ἀπεχρέμψατο, καὶ ῥεγχῶδες ἦν καὶ τῇ ιε, ἔμφρων δὲ πάντα τὸν χρόνον ἐὼν ἐτελεύτησεν. ἕτερός τις ἐπὶ τοῦ ὑπερῴου ῥεγχώδης, γλῶσσα ξηρὴ περιπλευμονικὴ, ἔμφρων ἐτελεύτησεν. καὶ Ποσειδώνιος ἔτι τοῦ θέ(838)ρεος ἐνισταμένου κατὰ στῆθος καὶ ὑποχόνδρια καὶ πλευρὸν ἐπόνει χρόνον πουλὺν, ἄνευ πυρετῶν. πολλοῖσι δὲ ἔτεσιν ἔμπροσθεν ἔμπυος ἐγένετο. τοῦ δὲ χειμῶνος φρίξαντι ἐπέτεινεν ἡ ὀδύνη, καὶ τὸ πυρέτιον λεπτὸν, καὶ ἀπόχρεμψις πυώδης. βὴξ κερχαλέη περὶ φά[562]ρυγγα, καὶ ῥεγχώδης, ἔμφρων δὲ ἐὼν ἐτελεύτησεν. ὁ δὲ Βάλεως ἐκ τοῦ ὄρεος πάντα ἡμαρτηκώς. ιθ γλῶσσα πονηρὴ, ὑπέρυθρος, καὶ κατὰ φωνὴν ἦν ἐν τῇ ῥεμβίῃ. ὀφθαλμοὶ κεχρωσμένοι, πλέοντες ὥσπερ τῶν νυσταζόντων, χρῶμα καὶ τοῦ ἄλλου σώματος οὐκ ἰκτεριῶδες σφόδρα, ἀλλ' ὕπωχρον πελιδνὸν, φωνὴ πονηρὴ, ἀσαφὴς, γλῶσσα περιπλευμονικὴ, οὐκ ἔμφρων. πνεῦμα πρὸς χεῖρα πονηρὸν, οὐ πυκνὸν οὐδὲ μέγα, πόδες ψυχροὶ, λιθώδεις, περὶ ἐνάτην ἐτελεύτησε. κυναγχικὴ ἡ παρὰ Μέτρωνι, χεῖρα

dum excreavit, stertor aderat. Decimoquinto, cum toto tempore mente constitisset, mortuus est. Alter quidam in palato stertorem sentiens, lingua arida qualis pulmonum inflammatione laborantibus, mentis compos mortuus est. Posidonius etiam cum adhuc aestas impenderet, pectoris, praecordiorum et lateris dolore citra febrem diu conflictatus est. Multis vero annis antea pus thoracis cavo collegerat. At per hiemem cum horrore correptus fuisset, dolor intendebatur et tenuis febricula, excreatio purulenta erat et tussis cum stridula asperitate ad fauces et stertore, mentis autem compos mortuus est. Balis filio, cum mente penitus aberrasset, sexto lingua prava et aliquantulum rubra extitit, et voce vacillabat, oculi colorati, natantes quales nictantium, reliqui etiam corporis color non admodum auriginosus, verum aliquantulum pallidus, lividus, vox depravata, obscura lingua qualis pulmonum inflammatione laborantibus, mens non sibi constans, respiratio quae ad manum est prava, non crebra neque magna, pedes frigidi, lapidei, circa nonum diem mortuus est. Anginosae apud Metronem manus

δεξιὴν σκέλος ἤλγησε, πυρέτιον ἐπεῖχε, βηχίον, πνίγμα, τρίτῃ ἐχόλασεν. ἑβδόμῃ σπαραγμώδης, ἄφωνος, ῥόγχος, ὀδόντων ξυνέρεισις. γνάθων ἔρευθος, οὗτος οὐ πολὺ διαζήσας τῇ πέμπτῃ ἢ ἕκτῃ ἐτελεύτησε. σημεῖον περὶ χεῖρα τὸ ὑποπέλιον. Βίων ἐξ ὑδρωπικοῦ πολυχρονίου ἀπόσιτος ἐγένετο πολλὰς ἡμέρας καὶ στραγγουριώδης. ἐπὶ γούνατος ἀριστεροῦ ἀπόστημα ἐγένετο, ἐξεπύησεν, ἐτελεύτησεν. Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ, καὶ πρότερον ὑδρωπικὸς καὶ σπληνώδης σφόδρα συνεπληρώθη καὶ ὄσχεον, καὶ σκέλεα καὶ (839) περιτόναια ἐπὶ τῇ τελευτῇ βὴξ καὶ πνιγμοὶ ἐγίνοντο ἐς νύκτα, μᾶλλον ἀπὸ τοῦ πλεύμονος ὥσπερ τοῖς πλευμονώδεσι. [563] πρὸ δὲ ἡμέρης τῆς τελευτῆς τρισὶν ἢ τετράσι ῥῖγος, πυρετός. κατὰ μηρὸν δεξιὸν, ἔσω κατὰ φλέβα μέσην τὴν ἀπὸ τοῦ βουβῶνος, ὡς πυρὸς ἀγρίου σύστρεμμα ὑποπέλιον ἔχον ἔρευθος. ἐς νύκτα καρδίης ἄλγος, καὶ οὐ πολὺ ὕστερον ἀφωνίη. πνιγμὸς μετὰ ῥέγχους, καὶ ἐτελεύτησεν. καὶ ἐν Ὀλύνθῳ ||

dextra crusque doluit, febricula detinebat, tussicula, suffocatio, tertio die relaxavit. Quarto convulsione tentata, voce capta est, stertor, dentium connexio, malarum rubor aderat. Haec non longe vitam protrahens, quinto aut sexto mortua est. Signum ad manum sublividum apparuit. Bion cum multo tempore aqua inter cutem laborasset, multis diebus cibum aversabatur, et urinae stillicidio vexabatur. Ad genu sinistrum oborto abscessu, et suppuratione facta mortuus est. Ctesiphon post magnam febrem ardentem aqua inter cutem correptus est, et antea cum hydrope et lienis tumore laborasset, valde oppletum est scrotum, crura et abdomen. Sub finem tussis et suffocationes ad noctem contingebant, ex pulmone magis, velut pulmonis vitio laborantibus. Tribus aut quatuor ante mortem diebus rigor, febris corripuerunt, ad femur dextrum parte interna juxta venam mediam quae ab inguine fertur, collectio velut ex igne agresti aborta est cum rubore aliquantulum livido. Ad noctem oris ventriculi dolor, neque multo post vox defecit, suffocatio cum stertore et mortuus est. In Olyntho quoque qui aqua inter cu-

ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέραν ἐτελεύτησεν. ὁ δὲ Προδρόμου θέρεος ὑπότραυλος, καυσώδης ἡ γλῶσσά οἱ ὑπόξηρος, ἀσαφὴς, κάτω πολλὴ ἄφοδος περιεγένετο. Λεωφορβείδῃ πυρετὸς ὀξὺς μετὰ χειμερινὰς τροπὰς, ὑποχονδρίων καὶ κατὰ κοιλίην ἄλγημα. ὑποχωρήματα ὑγρὰ χολώδεα πολλὰ, καὶ μεθ' ἡμέρην κωματώδης. γλῶσσα περιπλευμονικὴ, βὴξ οὐκ ἐνῆν. ιβ μέλανα σμικρὰ καὶ πρασοειδέα ὑπεχώρησε. ιδ λῆξαι πυρέτιον ἐδόκει, μετὰ δὲ ῥοφήμασιν ἐχρήσατο. ιστ στόμα σφόδρα ἁλμῶδες ξηρὸν ἐγένετο. ἀκρέσπερον δὲ φρίκη, πυρετὸς, μιῇ καὶ εἰκοστῇ περὶ μέσον ἡμέρης ῥῖγος καὶ ἱδρὼς, τὸ πυρέτιον ἔληξε, θέρμη δὲ ὑπῆν λεπτὴ, ἐς νύκτα πάλιν ἱδρὼς, καὶ κβ ἐς νύκτα ἱδρὼς, καὶ ἡ θέρμη ἐχάλασεν, τῇσι δὲ ἔμπροσθεν πάσῃσιν ἀνίδρωτος ἦν, ἡ δὲ κοιλίη ὑγράνθη καὶ ἐν τῇ ὕστερον δοκούσῃ ὑποστροφῇ. ἡ ἄνω οἰκοῦσα ἡ τῷ (840) Θεώκλῃ προσήκουσα ὑπὸ πληϊάδα πυρετὸς ὀξύς. στ ἐδόκει λῆξαι, ἐλούσατο ὡς πεπαυμένη,

tem laborabat, derepente voce defectus, per diem et noctem mente captus mortuus est. Prodromi puer per aestatem aliquantulum balbus, febre ardente correptus est, lingua ipsi subarida, obscura, alvi multa dejectio, superstes fuit. Leophorbidae post brumam febris acuta adfuit, praecordiorum et ventris dolor, dejectiones liquidae, biliosae, multae interdiu sopore detinebatur, lingua qualis pulmonum inflammatione laborantibus, tussis non aderat. Duodecimo nigra, pauca et porracea alvo dejecit. Decimoquarto febricula desiisse videbatur, postea vero sorbitionibus utebatur. Decimosexto os admodum salsum cum siccitate extitit. Ineunte autem vespere horror et febris. Primo et vigesimo die ad meridiem rigor et sudor corripuit, febricula desiit, calor tamen suberat exiguus, et sub noctem iterum sudor, et vigesimo secundo die sudor adfuit calorque remisit. Prioribus autem diebus omnibus sine sudore fuit, et alvus humida extitit etiam in ea quae postea adfuisse visa est morbi reversione. Theoclis affinem, quae superne habitabat, sub vergilias febris acuta prehendit, sexto desiisse visa est, lavit

Ed. Chart. IX. [563. 564.] Foes. II. 1216. Ed. Lind. I. (840.)

ἑβδόμη πρωῒ γνάθος σφόδρα ἐρυθρὴ, ὁποτέρη οὐ μέμνημαι. ἐν τῇ ἑσπέρῃ ὁ πυ[564]ρετὸς ἦλθε πουλὺς, καὶ λιποψυχίη καὶ ἀφωνίη ἦν, οὐ πολὺ δὲ ὕστερον ἱδρὼς, καὶ παῦσις ἑβδομαίῃ. καὶ ἡ Θεοδώρου σφόδρα ἐν πυρετῷ αἱμοῤῥαγίης γενομένης χειμῶνος. λήξαντος δὲ τοῦ πυρετοῦ περὶ θ οὐ πολὺ ὕστερον πλευροῦ δεξιοῦ ὡς ἀπὸ ὑστερέων βάρος, καὶ πρῶτον δὲ ἐγεγόνει καὶ τὰς ἐχομένας ἡ ὀδύνη κατὰ στῆθος δεινὴ, καὶ πλευρὸν δεξιὸν πυριωμένη ἐχάλασεν τεταρταίη τὰ ἀλγήματα. τὸ πνεῦμα πυκνότερον, ἡ ἀρτηρίη μόλις ἀναπνεοίσῃ ὑπεσύριζε, καὶ ὑπτίη ἐπιστρέφεσθαι χαλεπῶς. ἐς νύκτα ὀξύτερος ὁ πυρετὸς καὶ λῆρος βραχὺς ἐγένετο. πέμπτῃ πρωῒ ἐδόκει ἠπιώτερος εἶναι, ἱδρώτιον ἀπὸ μετώπου κατεχύθη ὀλίγον πρῶτον. ἔπειτα πολὺν χρόνον ἐς ὅλον τὸ σῶμα καὶ πόδας. μετὰ δὲ ταῦτα ἐδόκει αὐτῇ κεχαλακέναι τὸ πῦρ. ἦν δὲ πρὸς χεῖρα ψυχρότερον τὸ σῶμα ταῖς ἀρτηρίαις, αἱ δὲ ἐν κροτάφοισι καὶ μᾶλλον ἐπήδων, καὶ πνεῦμα πυκνότερον, καὶ

tanquam desiisset, septimo gena valde rubuit, utra non memini. Sub vesperam febris multa contigit, et animi ac vocis defectio aderat, neque vero multo post sudor ac cessatio a morbo septimo die. Theodori conjugi febricitanti magna sanguinis e naribus profusio hieme contigit. Ubi vero febris ad secundum diem cessasset, non longe postea lateris dextri velut ex locis laborantibus gravitas adfuit, ac tum primum et sequentibus diebus gravis dolor ad pectus subortus est, fomentoque ad latus dextrum adhibito, quarto die dolores remiserunt. Spiratio crebrior adfuit, eique vix respiranti arteria sibilum quendam edebat, et cum supina jaceret, non nisi cum negotio convertebatur. Sub noctem febris vehementior et brevis desipientia extitit. Quinto die matutino tempore mitior esse videbatur, parvus sudor e fronte primum modice diffusus est, deinde longo tempore per totum corpus et pedes. Post haec autem ipsi videbatur febris remisisse. Arteriarum quippe corpus ad manus contactum frigidius sentiebatur, temporum vero arteriae etiam magis saliebant, spiratio crebrior erat, subindeque delirabat et

ἐπελήρει ἄλλοτε καὶ ἄλλοτε, καὶ πάντα ἐπὶ τὸ χεῖρον. γλῶσσα διὰ τέλεος λευκὴ λίην, ἥ τε βὴξ οὐκ ἐνῆν, ὅτι μὴ τριταίῃ καὶ πεμπταίῃ ὀλίγον χρόνον, δίψα οὐκ ἐνῆν, πτυσμὸς δὲ ἦν. ὑποχόνδριον δεξιὸν σφόδρα ἐπῆρτο περὶ τὸν ε, μετὰ δὲ μαλθακώτερον, ὑποχώρησις τριταίῃ ἀπὸ βαλάνου κόπρου ὀλίγης. πέμπτῃ πάλιν ὑγρὸν ὀλίγον, κοιλίη δὲ λαπαρὴ, οὖρα στρυφνὰ, ὀποει(841)δέα, ὄμματα ὡς κοπιώσης, χαλεπῶς ἀνέβλεπε καὶ περιέφερε. πέμπτῃ ἐς νύκτα χαλεπῶς καὶ λῆρος εἵπετο. στ πάλιν τὴν αὐτὴν ὥρην περὶ πλήθουσαν ἀγορὴν ἱδρὼς πουλὺς κατείχετο, ἀπὸ μετώπου ἤρχετο εἰς ὅλον τὸ σῶμα, πουλὺν χρόνον ἐμφρόνως διετίθετο τὰ ἑαυτῆς, πρὸς μέσον δὲ ἡμέρης σφόδρα ἐλήρει, καὶ τὰ τῆς καταψύξιος ὅμοια. βαρύτερα δὲ τὰ κατὰ τὸν χρῶτα πάντα, πρὸς δὲ τὴν ἑσπέρην ἡ κνήμη αὐτῆς ἐκ τῆς κοιλίης κατεῤῥύη, καὶ τῷ παιδὶ παραλόγως ἠπείλησέ τε καὶ πάλιν ἐσιώπησε καὶ ἐς ἡσυχίην μετέβαλε. περὶ δὲ τὸν πρῶτον ὕπνον δίψα πουλλὴ καὶ μανίη, καὶ ἀνεκάθιζε καὶ τοῖσι παροῦσιν ἐλοιδορεῖτο,

cuncta deteriora evadebant. Lingua perpetuo admodum alba, neque tussis aderat, praeterquam tertio et quinto die exiguo tempore, sitis nulla, verum sputatio aderat. Ad quintum diem praecordia dextra plurimum intumescebant, postea vero molliora reddebantur, tertio glande subdita stercus paucum dejecit, quinto rursus liquidum, parum, venter autem mollis fuit, urinae acerbae, succum specie referentes, oculi tanquam delassatae, non nisi cum negotio suspiciebat, et oculos circumferebat. Quinto sub noctem gravius habebat et delirium sequebatur. Sexto rursus, qua hora plenum esse forum solet, sudor multus detinebat, a fronte ortum sumens in totum corpus diffundebatur, multo tempore composite sua negotia tractabat. Circa meridiem vero plurimum delirabat, et perfrictio similis perseverabat, graviora autem circa corpus extiterunt omnia. Sub vesperum tibia ipsius ex cubili delapsa est, et puero tum praeter rationem interminata est, tum rursus siluit et ad quietem se convertit. Circa primum somnum autem sitis multa et insania aderat, residebat et iis qui aderant convitia ingerebat rursusque con-

Ed. Chart. IX. [564. 565.] Foës. II. 1216. 1217. Ed. Lind. I. (841. 842.)
καὶ πάλιν ἀπεσιώπησεν καὶ ἐν ἡσυχίῃ ἦν, καὶ ἐδόκει τὴν ἐπίλοιπον νύκτα κεκωματίσθαι, τοὺς δὲ ὀφθαλμοὺς || οὐ ξυνῆγεν. ἐπὶ δ' ἡμέρην ὑπεκρίνετο τὰ πλεῖστα νεύμασιν ἀτρεμίζουσα τὸ σῶμα, καὶ κατανοοῦσα ἐπιεικῶς. πάλιν δὲ ἱδρὼς τὴν αὐτὴν ὥρην, ὁμοίως οἱ ὀφθαλμοὶ κατηφέες, ἐς τὸ κάτω βλέφαρον μᾶλλον ἐγκείμενοι. ἀτενίζοντες κεκαρωμένῳ, τὰ λευκὰ τῶν ὀφθαλμῶν ὠχρὰ καὶ νεκρώδεα, καὶ τὸ πᾶν χρῶμα ὠχρὸν καὶ μέλαν ἐὸν, τῇ χειρὶ τὰ πουλλὰ πρὸς τοῖχον ἢ πρὸς ἱμάτιον, οἱ ψόφοι δὲ πινούσῃ [565] μεγάλοι ἐγίνοντο. ἀποπύτιζε καὶ ἄνω ἐς τὴν ῥῖνα, ἀφώρει καὶ ἐκροκυδολόγει, καὶ ξυνεκάλυπτε τὸ πρόσωπον. μετὰ δὲ τὸν ἱδρῶτα χεῖρες ὥσπερ κρυστάλλιναι, ὁ ἱδρὼς παρηκολούθει ψυχρὸς, σῶμα πρὸς χεῖρα ψυχρὸν, ἀνεπήδα, ἀνεκεκράγει, ἐμαίνετο. πνεῦμα πουλὺ, τρομώδεες αἱ χεῖρες ἐγένοντο, ὑπὸ δὲ (842) τὸν θάνατον ἐλθούσῃ σπασμώδεες. ἑβδομαίῃ ἐτελεύτησεν, ἐνούρησε τῇ ἕκτῃ ἐν νυκτὶ ὀλίγον, τὸ οὐρούμενον τῷ κάρφει εἵλκετο γλίσχρον γονοειδὲς, ἄγρυπνος ἁπάσας. μετὰ τὴν στ´ οὖρον ὕφαιμον. τῷ Ἀντιφάνους χειμῶνος ἄλγημα

ticuit et quievit, et visa est ad reliquam noctem sopore pressa fuisse, oculos tamen non clausit. Per diem vero plurimum nutibus respondebat, corpore quiescens et moderate intelligens. Eadem rursus hora sudor, similiter oculi demissi, ad inferiorem palpebram magis incumbentes, intenti, rigidi, eorumque alba pallida et mortuis similia et tota cutis pallida et nigra, manum plerumque ad parietem aut vestem stragulam admovebat, cum biberet, sonitus ingentes edebantur, respuebat et sursum in nares regerebat, floccosque vellebat et vultum tegebat. A sudore autem manus velut conglaciatae, sudor frigidus consecutus est, corpus ad manus tactum frigidum, exiliebat, vociferabatur, insaniebat, spiratio multa, manus tremulae existebant, sub mortem autem convulsione tentatae. Septimo die mortua est. Sexto noctu paucam urinam reddidit, glutinosam, semini genitali similem et quae festuca trahebatur, omnibus diebus insomnia vexata fuit. Post sextum diem urina aliquantulum cruenta visa est. Antiphanis filium per hiemem

πλευροῦ δεξιοῦ, βὴξ, πυρετὸς, ἤσθιεν, ἐπορείετο ὑποπυρεταίνων, ἐδόκεε ῥηγματώδης εἶναι. ἐνάτῃ ἀφίητο ὁ πυρετὸς οὐκ ἔλιπεν, ἡ βὴξ πολλὴ καὶ παχεῖα, ἀφρώδεα, τὸ πλευρὸν ἐπόνει. περὶ τὴν ιδ καὶ πάλιν τὴν κ ἐδόκεον ἀπολήγειν οἱ πυρετοὶ, καὶ πάλιν ἐπελάμβανον. ἦν δὲ λεπτὴ καὶ θερμὴ, βραχύ τι ἐξέλιπεν, ἡ δὲ βὴξ ὁτὲ μὲν ἐξέλιπε, ὁτὲ δὲ κατακορὴς ἦν μετὰ πνίγματος πολλοῦ. τότε δὲ ἐχάλα, καὶ ἀπόχρεμψις μετὰ ταύτας τὰς ἡμέρας πολλὴ μετὰ πνιγμώδους βηχὸς, καὶ πυώδεα ζέοντα ὑπὲρ τοῦ ἀγγείου καὶ ἀφρέοντα, καὶ ἐν τῇ φάρυγγι τὰ πολλὰ κερχαλέα ὑπεσύριξεν. ἆσθμα ἀεὶ κατεῖχε καὶ πνεῦμα πυκνότερον, ὀλιγάκις εὔπνοος. ὑπὲρ δὲ τὰς μ ἐγγὺς οἶμαι τῶν ἑξήκοντα ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη μετὰ οἰδήματος ἄνευ ὀδύνης, οὐ πολὺ δ᾽ ὕστερον καὶ ὁ δεξιὸς, καὶ σφόδρα αἱ κόραι λευκαὶ καὶ ξηραὶ ἐγένοντο, καὶ ἐτελεύτησε μετὰ τὴν τύφλωσιν οὐ πολὺ, ὑπὲρ ζ ἡμέρας μετὰ ῥέγχου καὶ πολλῆς ληρήσιος. ὅμοια δὲ καὶ ἐξ

lateris dextri dolor, tussis, febris corripuit, edebat, deambulabat aliquantulum febricitans: ruptis laborare videbatur, nono die remisit febris, non reliquit, tussis plurimum vexavit et crassa spumosaque rejecit, lateris dolor detinebat. Ad decimumquartum rursusque vigesimum diem febris cessare videbatur, et rursus corripiebat. Calor autem tenuis erat, et per breve aliquod temporis spatium relinquebat. Tussis vero interdum quidem relinquebat, interdum etiam intendebatur cum multa suffocatione. Tum vero relaxabat, et post hos dies excreatio multa suffocante tussi aderat, et purulenta supra vas ferventia et spumantia educebantur, et in faucibus stridula multa asperitas sibilum quendam edebat, creber anhelitus semper detinebat et densior spiratio, raroque facile spirabat. Supra quadragesimum autem diem, prope sexagesimum, ut opinor, oculus sinister cum tumore sine dolore occoecatus est, neque vero longe postea etiam dexter, pupillaeque vehementer candidae et siccae existebant, neque multo post hanc excoecationem mortuus est, non ultra septem dies, cum stertore et multa desipientia. Eodem quo-

ὁμοίων τὴν ὥρην τὴν αὐτὴν ξυνέβη Θεσσαλίωνι, τὰ ζέοντα καὶ ἀφρέοντα, καὶ πυώδεα, καὶ βῆχες, καὶ οἱ κερχμοί. [566] ἡ Πολεμάρχου χειμῶ(843)νος κυναγχικὴ, οἴδημα ὑπὸ τὸν βρόγχον, πουλὺς πυρετὸς, φλέβα ἐτμήθη. ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος, ὁ πυρετὸς παρείπετο. περὶ πέμπτην γούνατος ἄλγημα καὶ οἴδημα ἀριστεροῦ καὶ κατὰ τὴν καρδίην ἔφη δοκεῖν τι ξυνάγεσθαι ἑωυτῇ καὶ ἀνέπνέι οἷον ἐκ τοῦ βεβαπτίσθαι ἀναπνεούσῃ, καὶ ἐκ τοῦ στήθεος ὑπεψόφει ὡς αἱ ἐγγαστρίμυθοι λεγόμεναι. τοιοῦτόν τι ξυνέβαινε. περὶ τὴν η̄ ἢ θ̄ ἐς νύκτα κοιλίη κατεῤῥάγη, ὑγρὰ πολλὰ ἅλεα καὶ κάκοδμα, ἀφωνίη ἔσχεν, ἐτελεύτησεν. Ἀρίστιππος ἐς τὴν κοιλίην τοξευθεὶς ἄνω βίῃ χαλεπῶς, ἄλγος κοιλίης δεινὸν, ἐμπίπρατο ταχέως, κάτω δὲ οὐδὲν διεχώρεεν. ἀσώδης ἦν, ἤμεε χολώδεα κατακορέα, ὁπότε δὴ ἀπέμεσεν, ἐδόκει ῥάων εἶναι. μετ᾽ ὀλίγον δὲ τὰ ἀλγήματα πάλιν δεινὰ, καὶ ἡ κοιλίη

que tempore Thessalioni similia similibus ex caussis contigerunt, ferventia, spumantia, purulenta educebantur, tusses aderant et faucium stridulae exasperationes. Polemarchi uxorem hieme angina vexavit, guttur intumuit cum multa febre, vena secta est, faucium suffocatio cessavit, febris perseveravit. Ad quintum diem laevum genu dolor et tumor occupavit, sibique videri quiddam ad cordis regionem coacervari dixit, et respirabat qualiter in aquam demersi respirare solent, ac strepitus quidam ex pectore edebatur, idemque contingebat quod mulieribus fatidicis, quae Pythone afflatae, quod ventre oracula fundunt, engastrimythi, hoc est ventriloquae, dicuntur. Ad octavum aut nonum diem sub noctem alvus affatim prorupit, liquida, multa, conferta et graveolentia demisit, vocis defectio tenuit, mortua est. Aristippus superiorem in ventrem magna vi et graviter sagitta percussus, vehementi ventris dolore detentus est, celeriter intendebatur, deorsum nihil demittebat, incontinenti corporis jactatione torquebatur, biliosa abunde colorata vomitione rejiciebat. Ubi vero vomuisset, melius habere videbatur, parvo interjecto temporis intervallo rursus dolores vehementes corripuerunt, venterque velut in intestini tenui-

Ed. Chart. IX. [566. 567.] Foës. II. 1217. 1218. Ed. Lind. I. (843. 844)
μοίως ἐμπιπρᾶτο ὡς ἐν εἰλεοῖς, θέρμαι καὶ δίψαι. ἐν ἑπτὰ μέραις ἐτελεύτησεν. ὁ δὲ Νεόπολις πληγεὶς ὁμοίως ταὐτὰ πασχε, κλυσθέντι δὲ δριμείῃ κοιλίῃ κατεῤῥάγη, χρῶμα καχύθη λεπτὸν, ὠχρὸν, μέλαν ἐὸν, ὄμματα αὐχμηρά. καρώδεα ἐνδεδινημένα, ἀτενίζοντα. [567] τῷ δὲ καθ' ἧπαρ ἐγγὺς πληγέντι ἀκοντίῳ εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες. τὰ μματα κοῖ||λα, ἀλυσμὸς, δυσφορίη, ἀπέθανε πρὶν ἀγορὴν λυθῆναι, ἐν ᾗπερ ἡμέρῃ ἐπλήγη. ὁ τὴν κεφαλὴν ἀπὸ Μακεδόνος λίθῳ πληγεὶς, ὑπὲρ κρο(844)τάφου ἀριστεροῦ ὅσην ἀμυχὴν διεκόπη, ἐσκοτώθη πληγεὶς καὶ ἔπεσε, τριταῖος ἄφωνος ἦν, ἀλυσμὸς, πυρετὸς ὁ πάνυ σφοδρὸς, σφυγμὸς ἐν κροτάφοισιν ὡς λεπτῆς θέρμης. ἤκουεν οὐδὲν, οὐδὲ ἐφρόνεεν, οὐ δ' ἠτρέμιζεν, νοτὶς περὶ μέτωπον καὶ ὑπὸ ῥῖνα ἄχρις ἀνθερεῶνος, πεμπταῖος ἐτελεύτησεν. ὁ Αἰνιήτης ἐν Δήλῳ ἀκοντίῳ πληγεὶς ἐς τοὔπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, τὸ μὲν ἕλκος ἄπονον. τριταίῳ δὲ γαστρὸς

oris morbis incendebatur, calor et sitis aderat, ac intra septem dies vitam cum morte commutavit. Neopolis vero ex simili vulnere eodem modo affectus fuit, ex acri autem per clysterem infuso alvus affatim prorupit, colore tenui, pallido, nigricante suffusus est, oculi squalidi erant, rigidi, intus revoluti, intenti. Jaculo in jecur cominus percusso, illico cadaverosus color affusus est, oculi concavi, corporis incontinens jactatio et implaciditas aderat. Mortuus est antequam concio dimitteretur eodem quo percussus est die. Qui a Macedone lapide in caput ictus est, supra tempus sinistrum non magis quam cutis scarificatione quadam dissectus, ex vulnere vertigine affectus est et cecidit, tertio die vocis defectio et corporis incontinens jactatio erat, febris non admodum vehemens, temporum pulsatio velut ex tenui calore, nihil audiebat, neque mentis compos erat, neque quiescebat. Mador circa frontem, tum sub naso ad mentum usque erumpebat, quinto die mortuus est. Aeniates quidam in Delo retro in latus sinistrum jaculo percussus, ulcus quidem sine dolore habuit. Tertio vero die ventris dolor par-

ὀδύνη σμικρή, οὐχ ὑπεχώρει. κλυσθέντι δὲ ἐς νύκτα κόπ
ῆν, καὶ ὁ πόνος διέλιπεν. ἕδρη ἔξω ἐς τὰς ὄρχιας τεταρτ
καὶ ἐς ἥβην, καὶ κοιλίην ὅλην δεινῶς ὁ πόνος καταιγίζ
ἀτρεμέειν οὐκ ἠδύνατο, χολώδεα ἔμεσεν κατακορέα. χολώδ
ὀφθαλμοὶ, καὶ οἷοι τῶν λιποθυμεόντων. μετὰ ε ἐτελεύτησ
πλὴν θέρμη λεπτή τις ἐνῆν αὐτῷ. Αὐδέλλῳ πληγέντι
τὸν νῶτον πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ φόβου ἐχ
ρεῖ καὶ ἡμοῤῥάγει. τῷ ἐναίμῳ δὲ καταδεθεὶς ὑγιὴς ἐγένε
[568] συνέβη δὲ καὶ τῷ δυσχυτάτῳ Φιλίας παιδίῳ, ψιλ
ματος ἐν τῷ μετώπῳ γενομένου, ἐναταίῳ πυρετός. εἶτα ἐπ
λιάνθη τὸ ὀστέον, ἐτελεύτησεν, καὶ τῷ Φανίου καὶ τῷ Εὐ
γου, πελιαινομένων δὲ τῶν ὀστέων καὶ πυρεταινόντων ἀφ
στατο τὸ δέρμα ἀπὸ τοῦ ὀστέου, καὶ πύου ὑπενέμετο. το
τοισι τρυπουμένοισιν ἐξ αὐτοῦ τοῦ ὀστέου ἀνήρχετο ἰχ
λεπτὸς, ὀῤῥώδης ὕπωχρος, κά(845)κοδμος, θανάσιμος. ξυ
βαίνει δὲ τοῖσι τοιούτοισι καὶ ἐμέτους ἐπιγίνεσθαι, καὶ
σπασμώδεα ἐπὶ τελευτῇ καὶ ἐνίους κλαγγώδεας εἶναι, κ

vus aderat, nil ex alvo secedebat, verum sub noctem e
infuso per clysterem stercus prodiit et dolor intermisit, sed
extra in scrotum prolapsa est. Quarto die in pubem et to
tum ventrem dolor vehementer irruebat, neque quiesce
poterat, biliosa affatim sincera vomitione rejecit, oculi e
viridi pallescentes et quales animo deficientibus. Post quin
tum diem mortuus est, praeterquam quod calor quidam
tenuis ipsi inerat. Audello in dorsum vulnere accepto sp
ritus multus cum strepitu ex vulnere prodibat, et sangu
multus prorupit. Deligato vero medicamento quod cruent
vulneribus imponitur, sanitati est restitutus. Contigit autem
etiam miserrimo Philiae puero ex ossis denudatione in front
nono die febris, deinde os livorem contraxit, mortuus est
Phaniae quoque et Evergi liberis, livore occupatis ossibus
febreque detentis, cutis ab osse discessit et pus intus depa
scebatur. His terebro perforatis, ex ipso osse tenuis sanies
serosa, aliquantulum pallida, graveolens et letalis emerge
bat. His quoque accedebat vomitus, et ad extremum con
vulsiones et quandoque stridulam vocem edebant, interdum

νίους ἀκρατέας. καὶ ἢν ἐν τοῖσι δεξιοῖσι τὸ τρῶμα ᾖ, τὰ ἀριστερὰ, ἢν δ' ἐν τοῖσιν ἀριστεροῖσι, τὰ δεξιά. τῷ Θεοδώρου ἐναταίῳ ἡλιωθέντι πυρετὸς ἐπῄει δεκαταίῳ ἐκ ψιλώματος οὐδενὸς ἄξιος εἰπεῖν κατὰ τὸ ὀστέον. ἐν δὲ τῷ πυρετῷ μελάνθη, ἀπέστη τὸ δέρμα, ἐπιπολὺ κλαγγώδης. δευτέρῃ καὶ εἰκοστῇ ἡ γαστὴρ ἐπέρθη, μάλιστα δὲ κατὰ τὰ ὑποχόνδρια, κγ ἐτελεύτησεν.

|| Οἷσι δ' ἂν ὀστέα καταγῇ, τούτοισιν ἑβδομαίοισιν οἱ πυρετοί. ἢν δὲ θερμοτέρῃ ἡ ὥρῃ, καὶ θᾶσσον. ἢν δὲ μᾶλλον κλασθῇ, καὶ παραχρῆμα. [569] καὶ ὁ Ἐξαρμόδου παιδίσκος, παραπλησίως καὶ ἄλγημα ἐς μηρὸν οὐ κατ' ἴξιν τοῦ τρώματος, καὶ ἐγεγόνει κλαγγώδης, καὶ τραχήλου ὀδύνη. καὶ ὁ Πουσιδοκρέων τρίτῃ σπασμὸς, θέρμη οὐκ ἔλιπεν, ἐτελεύτησεν ὀκτωκαιδεκαταῖος. ὁ τοῦ Ἰσαγόρα ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, φλασθέντος τοῦ ὀστέου καὶ μελανθέντος, πεμπταίῳ περιεγένετο. ὀστέον δὲ οὐκ ἀπέστη. τῷ ἐκ τοῦ μεγάλου πλοίου διόπῳ ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον καὶ τὸ ὀστέον συν-

etiam impotentes erant. Quod si vulnus dextram partem occuparet, sinistra laborabant, si vero sinistra, dextra. Theodori puerum nono die insolatu utentem, decimo die febris invasit ex ossis denudatione nullius pene momenti. In febre autem os est denigratum, cutis discessionem fecit, admodum stridulam vocem edidit. Secundo et vigesimo die venter intumuit, praesertim vero ad praecordia, tertio et vigesimo vitam cum morte commutavit.

Quibus ossa fracta fuerint, eos septimo die febris invadit, tempore vero calidiore etiam citius. Quod si magis confracta fuerint, etiam illico. Exarmodi etiam puerulus similiter quoque dolorem ad femur sensit, non ea parte qua vulnus erat, et stridulam vocem edidit, et cervicis dolor adfuit. Posidocreon quoque tertio die convulsione correptus est, calor non relinquebat, decimooctavo mortuus est. Isagorae filius posteriore capitis parte vulneratus, colliso osse et denigrato, quinto die superstes extitit. Os autem discessionem non fecerat. Magnae navis praefecto anchora manus dextrae indicem et os collisit, ex quo inflammatio, sideratio

Ed. Chart. IX. [569. 570.] Foëf. II. 1220. Ed. Lind. I. (845. 846.)

ἔφλασε τῆς δεξιῆς χειρὸς, φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετός. ὑπεκαθάρθη πέμπτῃ, μετρίως αἱ θέρμαι ἀνῆκαν καὶ αἱ ὀδύναι, τοῦ δακτύλου τι ἀπέπεσεν. μετὰ δὲ τὴν ζ̄ ἐξῄει ἰχὼρ ἐπιεικῶς, μετὰ ταῦτα τῇ γλώσσῃ οὐ πάντα ἔφη δύνασθαι ἑρμηνεύειν. τὶ προῤ(846)ῥησις, ὀπισθότονος εἰ ἕξει, ξυνέφερόν τε αἱ γνάθοι ξυνερειδόμεναι. ἔπειτα ἐς τράχηλον τριταῖος ὅλος ἐσπᾶτο ἐς τοὐπίσω ξὺν ἱδρῶτι. ἑκταῖος ἀπὸ τῆς προῤῥήσιος ἀπέθανεν. [570] ὁ δὲ ἐκ τῆς Ἁρπάλου ἀπελευθέρης Τελεφάνης, τύμμα κάτωθεν μεγάλου δακτύλου ἔλαβεν. ἐπεφλέγμηνε, καὶ σφόδρα ἐπώδυνος ἦν, καὶ ἐπεὶ ἀνῆκεν, ᾤχετο εἰς ἀγρὸν, ὀσφῦν ἤλγησεν, ἐλούσατο, αἱ γένυες ξυνήγοντο ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν, τὸ σίαλον ἀφρῶδες μόλις ἔξω διὰ τῶν ὀδόντων διῄει, τριταῖος ἀπέθανεν. Ζήνων ὁ τοῦ Δάμωνος περὶ κνήμην ἢ σφυρὸν, ἕλκος κατὰ νεῦρον ἤδη καθαρόν. τούτῳ δηχθέντι ὑπὸ φαρμάκου ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν. Μείνωνι ὑπ᾽ ἀρκτοῦρον καὶ πρότερον, ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθε-

et febris fucceffit, aliquantulum purgato quinto die calores et dolores modice remiferunt, ex digito aliquid decidit. Poft feptimum diem fanies moderate exibat, deinde fe non poffe omnia lingua explicare dixit. Praedictione denunciatum eft periculum, fi pofteriorum partium diftentio, opifthotonum dicunt, corriperet, et ad id contulerunt maxillae cohaerentes, deinde ad collum affixae. Tertio die totius corporis in pofteriora convulfione cum fudore tentabatur. Sexto a praedictione die mortuus eft. Telephanes ex Harpali liberta filius plagam deorfum in pedis pollice accepit, ex qua inflammatio et vehemens dolor confecutus eft. Quo remiffo in agrum profectus ex lumbis doluit, lavit, fub noctem maxillae cohaerebant, et pofteriorum partium diftentio, opifthotonos dicitur, aderat. Sputum fpumans aegre dentes pertransibat, tertio die mortuus eft. Zeno Damonis filius circa tibiam aut malleolum juxta nervum jam purum accepto ulcere et a medicamento erofo, diftentione in pofteriore, quam opifthotonum dicunt, mortuus eft. Menonem fub arcturi exortum et antea ex febre aeftiva et alvi

νῶς διατεθέντι, ἐκ πορείης κοπιάσαντι καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ, καὶ βὴξ ἔχουσα μὲν ἐκ κατάῤῥου καὶ πρότερον, τότε δὲ ἦν κατακορὴς, καὶ ἄγρυπνος, καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ᾽ ἀρχῆς καὶ ἀνακαθίζων τριταῖος ἔπτυσεν ὠχρὸν, ἀρτηρίη ὑπεσύριζε ῥεγχῶδες. περὶ τὴν ε πνεῦμα ἐπιεικῶς πυκνὸν, πόδες, αἱ κνῆμαι, ἄκρεα τὰ πλεῖστα ψυχρὰ καὶ ἔξω τοῦ ἱματίου, ὑποχώρησις ἀπ᾽ ἀρχῆς ἐπεγένετο χολώδης οὔτε λίην ὀλίγη οὔτε πολλή. ζ καὶ η καὶ θ ῥᾷον ἐδόκει || φέρειν, καί τινες ὕπνοι ἐγένοντο, καὶ ἀποχρεμπτόμενα ἀπεπτότερα. δεκάτη καὶ μέχρι ιγ σφόδρα (847) λευκὰ καὶ καθαρὰ, καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο, τὸ δὲ ἀριστερὸν ξυντεταμένον καὶ εὐπνούστερον, πρὸς δὲ βάλανον ὑπῆλθε μετρίως. ιγ πάλιν ἔπτυσεν ὠχρόν. ιδ δὲ μᾶλλον. ιε πρασοειδὲς, κοιλίη δὲ κακώδεα, χολώδεα, ὑγρὰ συχνὰ ὑπῆλθεν, ἀριστερὸν ὑποχόνδριον ἐπήρετο. ιστ δὲ καὶ σφόδρα ἐπῴδησεν, καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες, ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα. ὀλιγάκις ἐπὶ τὸ στῆθος, ἄκρεα καὶ μέτω-

profluvio imbecillum, ex via delassatum etiam lateris sinistri dolor et tussis detinuit, quae quidem etiam prius ex destillatione aderat, tunc vero valde intensa erat. Pervigil erat et febrem statim ab initio implacide ferebat, residens tertio die expuebat pallidum, arteria sibilum quendum cum stertore edebat. Sub quintum diem fere densa spiratio aderat, pedes, tibiae, extrema plerumque frigida et extra stragula erant. Ab exordio quod per alvum secedebat biliosum existebat, neque valde paucum neque multum. Septimo, octavo et nono lenius ferre videbatur et somni quidam aderant, crudiora erant quae excreabantur, decimo et ad decimum tertium usque alba admodum et pura. Praecordia molliora existebant, sinistra autem contenta, faciliusque spirabat. Glande subdita alvus moderate demisit, decimo tertio rursus pallidum spuit, decimoquarto vero magis, decimoquinto quod coloris erat porracei. Alvus vero maleolentia, biliosa, liquida, crebro demisit, praecordia sinistra attollebantur, decimosexto vero etiam valde intumuerant et spiratio jam cum stertore erat, sudor circa frontem et cervicem, raro

Ed. Chart. IX. [570. 571.] Foes. II. 1221. Ed. Lind. I. (847. 848.)
πον ἐπιεικῶς διετέλει ψυχρά. πηδηθμὸς δὲ φλεβῶν περὶ κροτάφους κατέσχεν, ὕπνοι κωματώδεες καὶ ἡμέρην καὶ νύκτα τοὺς τελευταίους χρόνους. οὖρον ἀπ' [571] ἀρχῆς ὠμὸν σποδοειδές. περὶ ι καὶ μέχρι ιγ λεπτὰ καὶ οὐκ ἄχροα, ἀπὸ δὲ τῆς ιγ οἷά περ ἀπ' ἀρχῆς. τῷ Κλεόχῳ πλευροῦ ἄλγημα καὶ πυρετὸς, ἀνῆκεν ὁ πυρετὸς, ἵδρωσε τὸ σῶμα ὅλον. ἐν τῷ οὔρῳ πολλά τὰ ἐκφερόμενα ἦν, ἐθορυβήθη μετὰ ταῦτα. Πληϊάδων περὶ δύσιν τὴν Ὀλυμπιάδεω, ὀκτάμηνον ἔχουσαν ἐκ πτώματος πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα καυσώδης, ξηρὴ, τραχείη, ὠχρὴ, ὀφθαλμοὶ ὠχροὶ, καὶ τὸ σῶμα νεκρῶδες. διέφθειρε πεμπταίη, ῥηϊδίως ἀπήλλαξε, καὶ ὕπνος ὡς ἐδόκεε καυματώδης. δείλης διεγειρόντων οὐκ ᾐσθάνετο, πταρμικῷ ὑπήκουσε, πόμα κατεδέξατο καὶ χυλοῦ. ὑπέβησσε καταπίνουσα τὸ πόμα, ἡ φωνὴ οὐκ ἐλύετο, οὐδὲ αὐτή τι ἀνέφερε, τὰ ὄμματα κατηφέα. πνεῦ(848)μα μετέωρον κατὰ ῥῖνα σπώμενον, χρῶμα πονηρὸν, ἱδρὼς περὶ τοὺς πόδας καὶ σκέλεα

pectus occupabat, frons et extrema fere frigida perſeverabant, venae temporum ſaliebant, ſomni cum ſopore diem et noctem poſtremo tempore detinebant, urina ab initio cruda, cinerem colore referens. Ad decimum et decimumtertium usque tenues et non decolores. A decimotertio autem quales ab initio. Cleochum lateris dolor et febris corripuit, remiſit febris, toto corpore ſudor dimanavit, per urinam multa efferebantur, quae poſtea returbida facta eſt. Ad vergiliarum occaſum Olympiadae uxorem octo menſibus utero gerentem, ex caſu febris acuta corripuit, lingua aeſtuans, ſicca, aſpera, pallida, oculi pallidi, corpus mortuo ſimile, abortu quinto die ſine labore eſt liberata et ſomnus, ut videbatur, cum ſopore adfuit, ſub veſperum cum excitaretur non ſentiebat, ſternutamentum cienti medicamento ceſſit, potionem recepit et ſucci ptiſanae nonnihil, potionem deglutiens aliquantum tuſſivit, vox ſoluta non erat, neque ipſa quicquam convaleſcebat, oculi demiſſi erant, ſpiratio ſublimis, quae naribus trahebatur, color pravus, ſudor pedes et crura, cum morti eſſet proxima, occupabat, mortua

Ed. Chart. IX. [571. 572.] Foës. II. 1221. Ed. Lind. I. (848.)

περὶ θάνατον ἐούσῃ, ἐτελεύτησεν. τῇ Νικολάου εὐνέτιδι ἐκ καύσου τὰ παρ' οὖς ἐγένετο ἐπ' ἀμφότερα. ὀλίγον ὕστερον τὸ ἕτερον ἤδη δοκέοντος χαλᾷν τοῦ πυρετοῦ ὡς οἴδημα περὶ ιδ μεγάλα ἀσήμως κατέστη. ὑπέστρεψε, χρῶμα νεκρῶδες. γλῶσσα τρηχείη, δασέη σφόδρα, ὑπόλευκος, διψώδης. ὑποχώρησις κάτω πολλὴ ὑγρὴ κακώδης παρὰ πάντα τὸν χρόνον. πρὸ τῆς τελευτῆς ἐφθάρη τὸ σῶμα τῷ πλήθει. ἐτελεύτησε περὶ τὰς κ [572] Ἀνδρέαν πρὸ Πληϊάδεος φρίκη, πυρετὸς, ἔμετος, ἀπ' ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο. τριταῖος δ' οὖν ἐὼν, πάλιν ἀγοράζων ἔφριξε, πυρετὸς ὀξὺς, ἔμετος χολῆς ἀκρήτου, παραλήρησις ἐς νύκτα, ῥᾴων πάλιν. πέμπτῃ χαλεπῶς, ἕκτῃ ἀπὸ λινοζώστιος εὖ ὑπῆλθε. ζ χαλεπώτερον, καὶ τὰς ἐφεξῆς συνεχέστερος ἤδη καὶ ἀνίδρωτος ἀπ' ἀρχῆς καὶ διψώδης. μάλιστα δὲ στόμα ὑπεξηραίνετο καὶ πόμα οὐδὲν ἡδέως προσεδέχετο. ἀηδίης πολλῆς ἐούσης περὶ τὸ στόμα, γλῶσσα ξηρὴ, ἄκροπις, τρηχύτης ἐπῆνθει ὠχρόλευκος, ἄγρυ-

est. Nicolai uxori ex febre ardente ad utramque aurem tubercula suborta sunt, paulo post alterum, cum jam febris remittere videretur, velut tumor laxus decimoquarto die valde citra ullam significationem conquievit, morbi reversio facta est, color cadaverosus erat, lingua aspera, densa admodum, subalbicans, siticulosa. Alvi egestio copiosa, liquida, omni tempore maleolens. Ante obitum corpus egestionis copia consumptum est, ad vigesimum diem mortua est. Ante vergiliarum occasum Andrean horror, febris, vomitus corripuit, ab initio semitertiana apparebat. Tertio vero die cum rursus in foro negotiaretur, horrore correptus est, cum febre acuta, bilem sinceram vomitione rejecit, deliravit, sub noctem meliuscule habuit. Quinto rursus graviter habuit, sexto ex mercuriali alvus probe dejecit. Septimo gravius habebat, caeterisque deinceps diebus jam magis continenter febris detinebat et ab initio sine sudore erat, sitique torquebatur. Praecipue vero os reficcabatur, nullumque potum non aversabatur, cum os admodum ingratum esset, lingua reficcata, inarticulata erat, asperitas existebat cum pallore albicans, pervigilio, anxietate torquebatur, exolutus, fra-

Ed. Chart. IX. [572.] Foes. II. 1221. 1222. Ed. Lind. I. (848. 849.)
πινος, ἀσώδης, ἐκλελυμένος, κεκλασμένος, γλῶσσα ὑπὸ ξηρότητος ἐνίοτε ὑπότραυλος ἕως διαβρέξειε, χυλὸν μάλιστα προσεδέχετο. ἐναταίῳ ἢ δεκαταίῳ παρ' οὖς ἀριστερὸν καὶ περὶ τὸ ἕτερον ἐπάρματα μικρὰ (849) ἀσήμως ἐφάνη. οὖρα διὰ παντὸς οὐκ ἄχροα, ἄνευ δὲ ὑποστάσιος. τεσσαρεσκαιδεκαταίῳ ἱδρώτιον περὶ τὰ ἄνω οὐ πολὺ μετριώτερον. ἡ θέρμη περὶ τὰς ιζ ἐμωλύνθη. κοιλίη μετὰ τὰς ι ξηρὴ, οὐκ ἄνευ βαλανείων ὑποχωρέουσα. περὶ δὲ τὰς κε ἐξανθήματα δι' ὀλίγου κνησμώδεα θερμὰ, ὥσπερ πυρίκαυ||στα. ὀδύνη δὲ ἦν περὶ τὰς μασχάλας καὶ τὰ πλευρά. ἐς σκέλεα διῆλθεν ἀσήμως καὶ ἔληξε. λουτρὸν ὠφέλει καὶ χρῖσμα τὸ ἐν τῷ ὄξει. μηνὶ δὲ δευτέρῳ ἴσως ἢ τρίτῳ ἐς νεφροὺς ἡ ὀδύνη καὶ πρότερόν ποτε γενομένη κατέστη. Ἀριστοκράτει περὶ ἡλίου τροπὰς χειμερινὰς κόπος καὶ φρίκη καὶ θέρμη, μετὰ δὲ ἤρξατο τριταίῳ πλευροῦ ὀδύνη καὶ ὀσφύος, καὶ οἴδημα ἐκ τῆς μασχάλης ἀρξάμενον παρ' ὅλον τὸ δεξιὸν πλευρὸν σκληρὸν κατὰ ταύτην τὴν πλευρὴν ἐκ μασχάλης ἀρξάμενον ἐρυθρὸν, πελι-

ctus, lingua interdum prae ſiccitate nonnihil balbutiens, donec eam perſunderet, ſorbitiunculam ex hordeo praecipue ſumebat. Nono aut decimo ad ſiniſtram aurem atque alteram parva tubercula ſine ulla judicationis ſignificatione apparuerunt. Urinae per totum morbum non decolores, verum ſine ſedimento fuerunt. Decimoquarto circa ſuperiores partes ſudor non admodum moderatus obortus eſt. Ad decimumſeptimum calor conquievit. Poſt decimum alvus ſicca, nihilque niſi ſubditis glandibus dejiciens. Ad vigeſimumquintum puſtulae pruriginoſae, calidae, velut ambuſta cute, ſenſim exortae ſunt. Dolor autem axillas et latera occupabat, in crura citra ullam ſignificationem tranſiit et deſiit. Balneum proderat et illitus cum aceto. Menſe vero ſecundo ſere aut tertio dolor ad renes, qui quandoque tenuerat, conſtitit. Ariſtocratem ſub brumam laſſitudo, horror et calor invaſit. Poſtea vero tertio die lateris et lumborum dolor coepit, et tumor ab axilla initium ſumens totum latus occupabat, ad ipſam coſtam durus, cum rubore qui ab axilla initium ducebat et livore, non ſecus quam ſi ab igne

δνὸν ὥς ὑπὸ πυρὸς θαλφθὲν καὶ ἐκκεκαυμένον, ἀσώδης, δυσφόρως ἔχων, σφόδρα διψώδης, γλῶσσα ὑπόλευκος. οὖρα οὐκ ἐχώρεε, σκέλεα ὑπόψυχρα, ὑποχώρησις ἀπὸ λινοζώστιος ὀλίγη, ὑγρὰ, ὑπόλευκα, ἀφρώδεα. ἐς νύκτα πνεῦμα ἐμετεωρίζετο, ἱδρώτιον περὶ [573] μέτωπον κάτω ψυχρὰ, ἀσώδης, τράχηλος ἐνεφυσᾶτο, βὴξ οὐκ ἐνῆν, ἐτελεύτησεν ἔμφρων. Ὀνησιάνακτι περὶ φθινόπωρον ὀφθαλμίη, μετὰ δὲ τεταρταῖος πυρετός. ἀρχομένου τοῦ τεταρταίου, σφόδρα ἀπόσιτος. προσιόντος δὲ ἡδέως πρὸς σιτίον. καὶ Πολυχάρι δὲ ἐν τεταρταίῳ ὅμοια τὰ περὶ τὴν πίτισιν. (850) συνέβη δὲ καὶ τῷ Μνησιάνακτι ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ, καὶ μετὰ τὸν πουλὺν χρόνον παρηκολούθει πολλῶν λευκῶν, μυξοποιῶν, καὶ ἔστιν ὅτε σμικρὸν αἷμα ἄνευ πόνων καὶ ὀδύνης, ψόφοι δὲ ἐν γαστρί. μετὰ τὸν πυρετὸν ἀπέστη παρὰ τὴν ἕδρην φῦμα σκληρὸν πουλὺν χρόνον παρηκολούθει ἄπεπτον. ἐῤῥάγη ἐς τὸ ἔντερον, καὶ ἔξω συριγγῶδες ἐγένετο. περιπατοῦντι δ' αὐτῷ ἐν τῇ ἀγορᾷ μαρμαρυγαὶ ὡρῶντο πρὸ τῶν ὀφθαλμῶν,

calefactus et ustulatus fuisset, anxie et moleste habebat, admodum siticulosus erat, lingua subalbicans. Urinae non prodibant, crura aliquantulum frigida, alvus ex mercurialis succo pauca dejiciebat, liquida, subalbicantia, spumosa. Sub noctem respiratio sublimis extitit, parvus sudor circa frontem erupit, partes inferiores frigidae, anxietate vexabatur, cervix intumescebat, tussis non aderat, mentis compos mortuus est. Onesianactem ad autumnum lippitudo, postea vero febris quartana detinuit. Per quartanae exordia a cibis alieno admodum erat animo, progressu vero temporis ad cibum alacriter habebat. Quin etiam Polychari in febre quartana eadem circa cibos contigerunt. Mnesianacti quoque etiam contigit alvi dejectio ante febrem, posteaque multo tempore comitabatur, multis albis, mucosis prodeuntibus. Quandoque etiam paucum sanguinem citra laborem et dolorem demittebat, ventris autem strepitus aderant. Post febrem tuberculum durum ad sedem abscessum fecit, diu incoctum perseveravit, ad intestinum ruptum est et foris fistulosum evadebat. Cum autem in foro deambularet, ei ante

Ed. Chart. IX. [573. 574.] Foës. II. 1222. Ed. Lind. I. (850. 851.)
καὶ τὸν ἥλιον οὐ πάνυ καθεώρα. ἀποχωρήσας δὲ σμικρὸν ἐξ ἑωυτοῦ ἦν καὶ τράχηλον σπασμώδης. ἐπεὶ δὲ ἐκομίσθη ἐς οἶκον μόγις ἀνέβλεψε, καὶ αὐτὸς ἑωυτοῦ μόγις ἐγένετο. τὸ πρῶτον δὲ περιέβλεπε τοὺς περιεστῶτας, καὶ τὸ σῶμα κατεψύχθη. μόγις δὲ ἀνεθερμάνθη ἀσκίοισι καὶ πυρίῃ ὑπὸ τῇ καινῇ, ἐπεὶ δὲ ὠυτοῦ ἐντὸς ἦν καὶ ἐξανίστατο, οὐκ ἐξιέναι ἤθελεν, ἀλλὰ δεδιέναι ἔλεγεν. εἰ δέ τις περὶ νουσημάτων χαλεπῶν διελέγετο, ὑπεξήρχετο φόβῳ. ἔστιν ὅτε προσπίπτειν αὐτῷ πρὸς τὰ ὑποχόνδρια θερμασίην ἔφη καὶ τῶν ὀφθαλμῶν μαρμαρυγὰς παρακολουθεῖν, καὶ ἡ ὑποχώρησις πουλλή, καὶ πολλάκις καὶ ὁμοίη χειμῶνος ξυνέβη. φλεβοτομίη γέγονε, ἐλλέβοροι, γαλακτοποσίαι βοείου. πρότερον δὲ ὀνείου ξυνήνεγκε καὶ τὰς ὑποχωρήσιας ἔπαυσεν. ὑδροποσίη ἀπ᾽ ἀρχῆς, περίπατοί τε καὶ κεφαλῆς καθάρσιες. [574] τῷ Ἀνεχέτου ταυτά. χειμῶνος ἐν βαλανείῳ πρὸς πυρὶ χριόμενος ἐθερμάνθη, καὶ παραχρῆμα περιέπεσεν ἐν ἐπιληπτικοῖς σπασμοῖς. ἐπειδὰν δὲ ἱκανοὶ σπα(851)σμοὶ, περιέβλεπεν, οὐ παρὰ ἑωυ-

oculos fulgores obverſabantur, neque plane ſolem intueri poterat. Ubi vero paulum ſeceſſiſſet, extra ſe fuit et cervicis convulſione tentatus eſt. Poſtquam autem domum relatus eſt, aegre viſum recepit, vixque ad ſeſe rediit. Primum vero circumſtantes oculis colluſtrabat, corpus adeo perfrixit, ut vix utriculis et novis ſubinde adhibitis fomentis recaleſceret. Poſteaquam autem ſui compos fuit et ſurrexit, prodire noluit, ſed timere dicebat. Quod ſi quis de gravibus morbis verba faceret, prae timore ſe ſubducebat. Interdum ſibi ad praecordia calorem occurrere dicebat, et oculis obverſantes fulgores comitari. Alvi dejectio multa fuit, et ſaepe et ſimilis hieme contigit. Venae ſectio facta eſt, veratrum exhibitum, lactis vaccini potione uſus eſt, ac primum aſinini, quod contulit et alvi egeſtiones ſedavit. Aquae potio ab initio fuit, deambulationesque et capitis purgationes. Anecheti filio iſta contigerunt. Per hiemem in balneo ad ignem cum inungeretur calefactus eſt, et confeſtim in comitialibus ſimiles convulſiones incidit. Ubi vero ſatis multae convulſiones fuiſſent, circumſpexit, non erat

Ed. Chart. IX. [574.] Foes. II. 1222. 1123. Ed. Lind. I. (851.)

τῷ ἦν. ἐπεὶ δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο, πάλιν τῇ ὑστεραίῃ πρωῒ ἐλήφθη σπασμώδης· ἀφρὸς δὲ οὐ πάνυ, καὶ τρίτῃ ἄκροπις, καὶ τετάρτῃ ἐπεσήμαινε τῇ γλώττῃ, πεμπταῖος οὐχ οἷός τε ἦν λέγειν, ἀλλ᾽ ἴσχετο ἐν τῇσιν ἀρχῇσι τῶν ὀνομάτων, καὶ τῇ ε γλῶσσα σφοδρὰ καὶ ὁ σπασμὸς ἐξεγένετο, καὶ ἐκτὸς ἑωυτοῦ ἐγένετο. ὅτε δὲ ἠνίει ταῦτα ἡ γλῶσσα μόγις ἀπεκαθίστατο εἰς ταὐτό. ἑκταίῳ ἀποσχομένῳ πάντων καὶ ῥοφήματος καὶ ποτοῦ καὶ οὐκ ἔτι οὐδενὸς ἐλάμβανεν. Κλεόχῳ ἐκ κόπων καὶ γυμνασίων, μέλιτι τὰς ἡμέρας διαχρωμένῳ οἴδημα ἐς γόνυ δεξιόν. μᾶλλον δὲ ἐς τὸ κάτω περὶ τοὺς τέ||νοντας τοὺς ὑπὸ τῷ γούνατι. περιῄει ὑποχωλαίνων, καὶ ἡ γαστροκνημίη ᾤδει καὶ σκληρὴ ἦν καὶ ἐς τὸν πόδα καὶ ἐς τὸν σφυρὸν τὸν δεξιὸν καὶ ἐς τὰ οὖλα παρ᾽ ὀδόντας, μεγάλα ὡς ῥᾶγες πελιδνὰ μεμελανωμένα ἀνάδυνα ὁπότε μὴ ἐσθίῃ, καὶ τὰ σκέλεα εἰ μὴ ἐξαnαστaίη. ἦλθε γὰρ ἐς τὸ ἀριστερὸν τὸ οἴδημα. ἧσσον δὲ καὶ ἀπολιαίνετο, ἐν τοῖσιν οἰδήμασι τοῖσι περὶ γούνατα, καὶ πόδας ὥσπερ ὑπόπυα. τέλος δὲ οὐχ

apud se. Ubi autem ad se rediit, postridie mane iterum convulsionibus correptus est, spuma non admodum apparuit. Tertio die linguam inarticulatam habuit, et quarto loqui velle lingua prae se ferebat. Quinto loqui non poterat, verum in nominum principiis haerebat, eodemque die lingua admodum haesitabat et convulsione vexabatur, ac extra se erat. Ubi vero ista remitterent, lingua aegre ad pristinum statum redibat. Sexto die cum omnibus abstinuisset et sorbitione et potu, nil etiam amplius sumpsit. Cleocho post lassitudines et exercitationes, cum per aliquot dies melle usus esset, tumor ad genu dextrum subortus est, magis vero ad infernam partem, circa tendines qui sub genu sunt, tendebat, obambulabat aliquantulum claudicans, surae tumor cum duritie aderat, et ad pedem ac malleolum dextrum pertingebat. Ad gingivas circa dentes tubercula magna velut uvae acini, livida, nigra, sine dolore erant, ubi cibum non caperet. Quin etiam crura nisi exurgeret doloris expertia erant. Tumor enim in sinistram patem venit, minus vero etiam livescebat. In tumoribus ad genua et pedes quaedam

Ed. Chart. IX. [574. 575.] Foës. II. 1223. Ed. Lind. I. (851. 852.)

οἷός τε ἦν ἵστασθαι, οὐδ᾽ ἐπὶ τὰς πτέρνας ἐπιβαίνειν, ἀλλὰ κλινοπετὴς ἦν, θέρμαι δῆλοι, ἐνίοτε ἀπόσιτος, οὐ πάνυ διψώδης, οὐδὲ ἐπὶ θᾶκον ἀνίστατο, ἀσώδης, καὶ ἔστιν ὅτε καὶ ὀλιγοψυχίῃ ἴσχετο. ἐλλέβοροι προσήχθησαν κεφαλῆς καθάρσιες, πρὸς τὸ στόμα μαννῶδες ξὺν τοῖσιν ἄλλοισι μισγομένοισι ξυνή(852)νεγκεν. πρὸς τὰ ἐν τῷ στόματι ἕλκεα ῥόφημα φακῆς ἐπιτήδειον. περὶ δὲ ἑξηκοστὴν κατέστη τὰ οἰδήματα πρὸς τοῦ δευτέρου ἐλλεβόρου. μοῦνον ὀδύνη ἐς τὰ γούνατα κατακειμένῳ ἦλθον. ὑγρὸν δὲ καὶ χολὴ ἀπέστη ἐς γούνατα καὶ πλείους ἡμέρας πρὸ τοῦ ἐλλεβόρου. [575] Πεισιστράτῳ ὤμου ἄλγημα καὶ βάρος πολὺ χρόνιον περιπατοῦντι, καὶ τἄλλα ὑγιαίνοντι. χειμῶνος δὲ ἐπέπεσε πολλὴ ὀδύνη πλευροῦ, καὶ θέρμη, καὶ βὴξ, ἀπόχρεμψίς τε αἵματος ἀφρώδεος. τοῦτο καὶ ῥεγχῶδες ἐν τῇ φάρυγγι, εὔφορος δὲ καὶ παρ᾽ ἑωυτῷ, καὶ ἡ θέρμη ἐχάλασεν. ἅμα δὲ καὶ ἡ απόχρεμψις καὶ τὸ κέρχον, καὶ περὶ τετάρτην ἢ πέμπτην ἡμέρην ὑγιής. τῇ Σιμῷ ἐν τόκῳ σεισθείσῃ ἄλγημα περὶ στῆθος καὶ

veluti ſuppurationes inerant. Tandem autem ſtare non poterat, nec calcibus incedere, ſed lecto decumbebat. Calores erant manifeſti, interdum cibum averſabatur, non admodum ſiticuloſus, neque ad ſedile exurgebat, anxietate vexabatur, interdumque parvo animi deliquio tenebatur, veratrum ad capitis purgationes eſt exhibitum. Ad os medicamentum ex thuris polline caeteris quibusdam admixtis contulit. Ad oris ulcera lenticulae ſorbitio accommodata erat. Circa ſexageſimum vero diem tumores ad exhibitum iterum veratrum ſubſederunt, tantum dolores ad genua decumbentem vexarunt. Humor autem et bilis abſceſſum ad genua fecit, pluribus etiam ante ſumptum veratrum diebus. Piſiſtratum deambulantem et caetera ſanum humeri dolor et gravitas longo tempore detinuit. Per hiemem vero incidit multus lateris dolor et calor et tuſſis, ſanguinem ſpumoſum exſcreabat, qui et ſtertorem in faucibus excitabat, leviter autem ferebat et mentis compos erat, calorque relaxavit, unaque et exſcreatio ſtridulaque faucium aſperitas, et ad quartum aut quintum diem convaluit. Simi conjugi in partu con-

Ed. Chart. IX. [575.] Foës. II. 1223—1225. Ed. Lind. I. (852. 853.)

πλευρὸν, βὴξ, πυρετοὶ, ἀποχρέμψιες πυώδεες. φθίσις, καὶ κατίστη, καὶ ἓξ μῆνας οἱ πυρετοὶ, καὶ διάῤῥοιαι ἀεί. ἐπὶ τέλει παῦσις πυρετῶν. κοιλίη ἔστη μετὰ τὴν παῦσιν, ἡμέρας μεθ' ἑπτὰ ἐτελεύτησεν.

|| Καὶ ἡ Εὐξένου ἐκ πυριήσιος ἐδόκει, θέρμαι οὐκ ἔλιπον οὐδένα χρόνον, μᾶλλον πρὸς ἑσπέρην ἐπετείνοντο, ἱδρῶτες ἐγίνοντο ἐς ὅλον τὸ σῶμα. μέλλοντος ἐπιτείνειν τοῦ πυρετοῦ ψύξις τῶν ποδῶν, ὁτὲ δὲ καὶ κνημέων καὶ γουνάτων ἐγίνοντο, βηχίον ξηρὸν, ὀλίγον χρόνον ἀρχομένου τοῦ πυρετοῦ παροξύνεσθαι, εἶτα ἔληγε, διὰ δὲ χρόνου πολλοῦ καὶ ὅλου τοῦ σώματος ῥῖγος ἐγένετο, ἄδιψος διὰ παντός. φάρμακον πιοῦσα καὶ ὀῤῥὸν ἐβλάβη μᾶλλον, ἀπ' ἀρχῆς πάντων ἀνώ||δυνος καὶ εὔπνοος. (853) μεσοῦντος δὲ τοῦ χρόνου πλευροῦ δεξιοῦ ἐγένετο ἄλγημα, καὶ ἡ βὴξ ἐκινήθη, καὶ ἆσθμα καὶ ἀποχρέμψιες σμικραὶ, λευκαὶ καὶ ὑπόλεπτοι, καὶ ἡ φρίκη οὐκ ἔτι ἐκ ποδῶν, ἀλλὰ ἀπὸ τραχήλου καὶ νώτου, καὶ κοιλίη ὑγροτέρη. ἐχάλασεν ὁ πυρετὸς μετὰ πολλοῦ ἱδρῶ-

---

cussae pectoris et lateris dolor obortus est, tussis, febris tenuis, exscreationes purulentae aderant, tabes, quae etiam constitit. Febris quoque sex mensibus detinuit, et alvi profluvia semper. Ad extremum febris cessatio, ex qua alvus substitit, post septimum diem mortua est.

Euxeni quoque uxor ex fotu laborare visa est, calores numquam reliquerunt, magis sub vesperam increscebant, sudores toto corpore oboriebantur. Ubi febris augeretur, pedum frigus, interdum vero et tibiarum et genuum existebat, tussicula sicca pauco tempore detinebat, ubi febris ingravescere inciperet, deinde cessabat, multo autem tempore toto corpore rigor excitatus est, perpetuo sine siti fuit. Medicamento et sero epoto magis laesa est. Per exordia prorsus doloris expers erat et facile spirabat. Medio autem tempore dextri lateris dolor obortus est et tussis commota, creber anhelitus erat et excreationes parvae, albicantes et aliquantulum tenues, neque amplius horror ex pedibus, sed cervice et dorso ortum ducebat et alvus liquidior erat, fe-

τος καὶ κατεψύχθη. ἆσθμα δὲ ἦν ποικίλον, ἐτελεύτησε μετὰ τὴν ἄφεσιν ἑβδόμη ἔμφρων. [576] ἡ Πολεμάρχου θέρεος ἤρξατο πυρεταίνειν, ἀφῆκε δὲ αὐτὴν ἑκταίην. μετὰ δὲ ὑπεφέρετο, ἐς νύκτα θέρμα. πάλιν δὲ διαλιπὼν ἔλαβεν ὁ πυρετὸς, καὶ οὐκ ἀνῆκε σχεδὸν τριῶν μηνῶν, βὴξ πολλὴ, ἀπόχρεμψις φλέγματος. ἐπείπερ δὲ τὰς εἴκοσιν ἐγένετο, πνεῦμα αἰεὶ πυκνὸν, ἐν τῷ στήθει ψόφοι, ἱδρώτης τὰ πολλὰ, πρωὶ ἠπιώτερος ὁ πυρετὸς, καὶ φρῖκαι ἔστιν ὅτε ἐλάμβανον, ὕπνοι ἐγίνοντο, καὶ κοιλίη ἔστιν ὅτε καθυγραίνετο καὶ πάλιν ξυνίστατο. ἐγεύετο ἐπιεικῶς. μεσοῦντος δὲ χρόνου ἐς γούνατα καὶ κνήμας ἄλγημα, καὶ ξυγκάμπτειν καὶ ἐκτείνειν ἄλλου ἐδεῖτο. διετέλει τὰ τῶν σκελέων μέχρι τελευτῆς. ὑπόγυον δὲ, καὶ ἐπῴδησαν οἱ πόδες μέχρι κνημέων, καὶ ἐφαπτομένων ἤλγει, καὶ οἱ ἱδρῶτες ἔληξαν καὶ τὰ ῥίγεα. ὁ δὲ πυρετὸς ἀεὶ ἐπέτεινεν. πρὸ δὲ τῆς τελευτῆς κοιλίη κατεῤῥάγη, ἔμφρων διετέλει. πρὸ τριῶν ἡμερῶν τῆς τελευτῆς ῥεγχώδης ἐν φά-

bris cum ſudore copioſo relaxavit et perſrigerata eſt. Varia autem erat crebra ſpiratio, ſeptimo poſt remiſſionem die mortua eſt mentis compos. Polemarchi uxor aeſtate febricitare coepit, eam autem dimiſit ſexto die, poſtea vero morbum trahebat, ad noctem calores tenuerunt. Rurſus ubi intermiſiſſet, prehendit febris, neque tribus prope menſibus dimiſit, tuſſis multa aderat, pituitae excreatio. Ubi vero ad vigeſimum diem perveniſſet, ſpiratio perpetuo crebra erat, in pectore ſtrepitus, plerumque ſudoribus diffluebat, mane febris remiſſior. Interdum etiam horrores prehendebant, ſomnus aderat et interdum alvus humecta erat, rurſusque ſiccabatur, ad guſtum moderate habebat. Medio vero interpoſito tempore ad genua et tibias dolor erat, et ſi flectere aut extendere cuperet, alterius indigebat opera. Crurum dolores perſeverarunt ad finem usque, qui jam prope inſtabat et pedes intumuerunt ad tibias usque, ad contactum dolebat, ſudoresque et rigores ceſſarunt, febris autem ſemper increvit. Ante obitum autem alvus effuſa eſt, mentis compos perſeverabat. Tribus ante obitum diebus ſtertor

ρυγγι καὶ πάλιν ἐπανήρχετο, ἐτελεύτησεν. Ἡγησιπόλιος παιδίον σχεδὸν τέσσαρας μῆνας ἄλγημα περὶ ὀμφαλὸν βρωτικὸν εἶχεν. (854) προϊόντος δὲ ἐπέτεινεν ἡ ὀδύνη, ἔκοπτε τὴν γαστέρα, ἐτίλλετο, θέρμαι ἐπελάμβανον, ἐτήκετο, ὀστέα ἐλήφθη, τὼ πόδε ἐπῴδει, ὄρχιες, γαστρὸς τὰ περὶ ὀμφαλὸν πεφυσημένον ἀραιὸν, οἷσι μέλλουσι κοιλίαι ἐκταράσσεσθαι ἀπόσιτος ἐγένετο, γάλα μοῦνον προσεδέχετο ὑπόγυον, καὶ ἡ κοιλίη καθυγράνθη, καὶ ὕφαιμος ἰχὼρ ὑπῄει κάκοδμος, κοιλίη ἐμπίπρατο, ἐτελεύτησεν ἐμέσας μικρὸν βραχὺ φλεγματῶδες, ὥστε δόξαι οἷον γονήν. [577] τῆς Πλατείης τελευτήσαντι δὴ ῥαφὴ τῆς κεφαλῆς σφόδρα ἐκοιλάνθη, ἀῤῥωστῶν δ' ἀεὶ τῇ χειρὶ κατῆγε κατὰ τοῦ βρέγματος, μάλιστα δ' ὑπόγυον, οὐκ ἤλγει δὲ τὴν κεφαλήν. καὶ ἐν μηρῷ ἀριστερῷ ὑπὸ βουβῶνα τὰ κάτω πελιδνὸν ἴσως τῇ προτεραίῃ. ὄρχιες κατισχνάνθησαν. ὅμοια δὲ καὶ τῷ Ἡγητορίδεω παιδίῳ, ἀπέθανε, πλὴν ὅτι ἔμετοι προσεγένοντο ὑπὸ τὴν τελευτὴν πλείους. ἡ Ἱππίου

in faucibus audiebatur, rurſusque repetebat, mortua eſt. Hegeſipolis filiolum quatuor prope menſes circa umbilicum dolor erodens detinuit, proceſſu vero temporis intendebatur dolor. Ventrem caedebat, vellicabat, calores prehendebant, contabeſcebat, oſſa reſtabant, pedes intumeſcebant. Teſtes, ventris partes ad umbilicum inflatae erant, perinde ac quibus alvus conturbari velle videtur cibum averſabatur. Lac recens ſolum aſſumebat et alvus effuſa eſt, aliquantumque cruenta ſanies et graveolens ſubiit, venter intendebatur, ubi exiguum et paucum pituitae vomitione rejeciſſet, ita ut genitale ſemen eſſe videretur, mortuus eſt. Plateae puero ſub ipſum ſane exitum capitis ſutura valde excavata eſt. Cum autem aegrotaret, manu perpetuo ſinciput contingebat, praecipue vero ubi mors inſtaret, neque tamen caput dolebat, et in femore ſiniſtro ſub inguine in partibus inferioribus lividum quid fortaſſe pridie quam moreretur viſum eſt, teſtes extenuati ſunt. Eadem quoque Hegetoridae filio contigerunt, eodemque modo mortuus eſt, niſi quod ſub obitum vomitiones plures adſuerunt. Hippiae ſoror per hie-

Ed. Chart. IX. [577. 578.] Foës. II. 1225. 1226. Ed. Lind. I. (854. 855.)

ἀδελφέη χειμῶνος φρενιτικὴ, ἁμαρτάνουσα, τῇσι χερσὶ πραγματευομένη, ἀμύσσουσα ἑωυτήν. πέμπτῃ, ἕκτῃ, ἐς νύκτα ἄφωνος, κωματώδης ἐμφυσῶσα ἐς γνάθους, καὶ χείλεα ὡς οἱ καθεύδοντες, ἐτελεύτησεν ἑβδομαία. Ἄσανδρος φρίξας πλευροῦ ὀδύνη, ἄλγος ἐς γούνατα καὶ μηρὸν, φαγὼν παρεφρόνει, ἐτελεύτησε ταχέως. τῷ Κλεοτίμῳ σκυτεῖ κοιλίης ὑγρανθείσης πουλὺν χρόνον καὶ θέρμης γινομένης καθ᾽ ἧπαρ ἔπαρμα φυ-[578]ματῶδες ἐς ὑπογάστριον κατέβη, καὶ κοιλίη ὑγραίνετο, καὶ ἕτερον αὐτῷ καθ᾽ ἧπαρ ἄνω πρὸς ὑποχόνδριον φῦμα ἐτελεύτησεν. οἷσι κεφαλῆς ὀδύνη δεινὴ (855) ξὺν θέρμῃ. οἷσι μὲν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς καὶ κατὰ ῥῖνάς τι ὑγρὸν ἀποχωρέει λεπτὸν, ἢ πέπον, ἢ ἐς ὦτα, ἢ ἐς φάρυγγα ἐκ κεφαλῆς ἀσφαλέστερον, οἷσι δὲ ξηρὰ ταῦτα. ὁ δὲ σφάκελος δεινὸς || ἐπικίνδυνα. ἢν δὲ προσῇ ἀσώδης ἢ χυλώδης ἔμετος ἢ κατάπληξις ὀμμάτων ἢ ἀφωνία καὶ σπάνιόν τι φθέγγεται ἢ λῆρός τις, θανάσιμα καὶ σπασμώδεα. ὁπόσοι δ᾽ ἂν ἐκ καταῤῥόου τὸ ἥμισυ τῆς κεφαλῆς πονέοντες καὶ κατὰ ῥῖνας

mem phrenitide detenta hallucinata eſt, manibus laborabat, ſe ipſa lancinabat. Quinto et ſexto die ſub noctem vox defecit, ſopore correpta eſt, buccas et labia velut dormientes inflabat, ſeptimo die mortua eſt. Aſandrum ex horrore lateris dolor corripuit, qui ad genua et femur pervenit, ubi comediſſet, delirabat, brevique mortuus eſt. Cleotimo ſutori cum alvus multo tempore fuſa et calor exortus fuisſet, circa jecoris regionem tumor tuberculo ſimilis enatus ad imum ventrem deſcendit et alvus fluida erat, eique alterum tuberculum juxta jecur, ſupra ad praecordia obortum exitum attulit. Quidam capitis dolore gravi cum calore tenebantnr. Quibusdam quidem ad dimidiam capitis partem et juxta nares humor quidam tenuis aut maturus aut ad aures aut ad fauces ex capite tutius ſecedit, quibusdam vero ſicco iſta adſunt. At ſideratio gravis periculo non vacat. Quod ſi vomitio allioſa aut cum anxietate adfuerit aut oculorum ſtupor, vocis defectio aut rarus ſermo aut deliratio quaedam, mortem et convulſionem metuere oportet. Atqui ex deſtillatione dimidia capitis parte dolen-

ὑγροῦ ὑποχωρέοντος ἐπιπυρετήνωσιν ἐπιεικῶς ἐν τῇ πέμπτῃ ἢ ἕκτῃ περιψύχονται. Ἐχεκράτει τῷ τυφλῷ κεφαλῆς ὀδύνη δεινὴ μᾶλλον εἰς τοὔπισθεν καὶ τραχήλου, ὅπου ἡ πρόσφυσις, καὶ ἐς κορυφὴν ἐχώρει, προϊόντος δὲ καὶ ἐς οὖς ἀριστερὸν, καὶ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπώδυνον, μυξώδεα ἀεὶ ἐχώρει ἐπιεικῶς ξυγκεκαυμένα, καὶ θέρμη παρηκολούθει λεπτὴ, καὶ ἀπόσιτος, τὴν ἡμέρην ῥάων, ἐς νύκτα δὲ ὠδυνᾶτο. ἐπεὶ δὲ τὸ κατὰ τὸ οὖς ἐῤῥάγη πῦον, ἔληξε πάντα, ἐῤῥάγη δὲ περὶ χειμῶνα, ἦρά γε ἐν πᾶσι τοῖς ἐμπυήμασι, καὶ τοῖσι περὶ ὀφθαλμὸν ἐς νύκτα οἱ πόνοι. [579] εἰσὶ βῆχες χειμῶνος, μάλιστα δὲ νότοισι παχέα καὶ πολλὰ χρεμπτομένοισι πυρετοὶ ἐπιγίνονται, ἐπιεικῶς δὲ πεμπταῖοι παύονται. αἱ βῆχες δὲ περὶ μ̄ οἷον Ἡγησιπόλει. οἷσι θέρμαι πολλαὶ ἔστιν ὅτε παυομένων οὐχ ὅλον τὸ σῶμα, ἀλλ' ἢ περὶ αὐχένα καὶ ὑπὸ μασχάλας ἢ κεφαλὴν ἀφιδρώοντες παύονται. (856) Χάριτι χειμῶνος ἐκ βηχίου ἐπιδημίου προσγενόμενος πυρετὸς ἐπέλα-

tes et humore per nares ſecedente, inſuper moderate febricitarunt, quinto aut ſexto die perfrigerantur. Echecratem caecum capitis vehemens dolor vexabat, poſteriore praecipue parte qua cervix capiti connectitur, et ad verticem progrediebatur, progreſſu vero temporis et ad aurem ſiniſtram et dimidia pars capitis dolore tentabatur, mucoſa ſemper prodibant fere ambuſta et calor tenuis comitabatur, ciborum faſtidium aderat, per diem melius habebat, ſub noctem vero dolore vexabatur. Poſtea quam autem pus per aurem erupit, cuncta ceſſarunt, erupit vero ad hiemem. Animadvertendum ſane eſt num in omnibus internis puris collectionibus et oculorum vitiis ad noctem dolores contingant. Tuſſes hieme fiunt, maxime vero auſtrino coeli ſtatu, craſſa et copioſa ſcreantibus febres ſuccedunt, fereque quinto die ceſſant. Tuſſes autem ſub quadrageſimum, quale quid Hegeſipoli contigit. Quibus calores multi interdum ceſſant, iis non toto corpore, ſed vel circa cervicem, aut ſub alis aut ex capite tenui dimanante ſudore deſinunt. Charitem per hiemem ex tuſſicula populariter graſſante febris acuta corripuit, veſtem ſtragulam abjiciebat, ſopor cum

βεν ὀξύς. τὰ ἱμάτια ἀπέβαλλεν, κῶμα μετὰ πόνου, οὖρα ἐγένετο ἐρυθρὰ οἷον ὀρόβων πλύμα, ὑπόστασις εὐθὺς ἀπὸ ἀρχῆς πολλὴ λευκή. ὕστερον δὲ καὶ ὑπέρυθρος, ἑβδόμῃ ἀπὸ βαλάνου σμικρὰ ὑπῆλθε, τὸ κῶμα κατεῖχεν ἄλυπον, νοτὶς ἐπὶ μετώπῳ, ὕπνος ἐς νύκτα, καὶ θέρμη ἠπιωτέρη, ὀγδόῃ χυλὸν προσεδέξατο, κωματώδης διετέλει μέχρις ἑνδεκάτης. ταύτῃ δὲ καὶ ἡ θέρμη μάλιστα ἔληξεν. ἐπὴν δὲ ἦν βὴξ, ἀπόχρεμψις διετέλει ἀεὶ πολλὴ, ῥηϊδίως, πρῶτον γλίσχρη, λευκὴ, παχέη, ἐπεὶ δὲ ξυνεπεπαίνετο, ὁμοίη πυώδεσιν. οὖρα ἀπὸ ἑνδεκάτης καθαρώτερα, ὑπόστασις τρηχείη, τρισκαιδεκάτῃ ἄλγημα ἐπὶ δεξιὰ μέχρι κενεῶνος ἐς ὑπογάστριον. οὖρον ἔσχετο πόμα τὸ ἀπὸ τοῦ καλλιφύλλου, ξυνήνεγκε πεντεκαιδεκάτῃ. πάλιν τὸ ἄλγημα ιστ, ἐς νύκτα μᾶλλον τὸ ἄλγημα ὑποχονδρίου ἤρχετο ἐς κοιλίην, λινοζώστιος ὕδωρ ὑπήγαγεν, ἡ θέρμη ἐντὸς τῶν κ ἐμωλύνθη καὶ ἀποχρέμψιες παρηκολούθουν παχεῖαι, ῥηϊδίως ἐς μ. ὑποκαθαίρειν τὰς κοιλίας ἐν τοῖσι νοσήμασιν

labore aderat. Urinae rubrae exiftebant, ervi loturae fimiles, fedimentum ftatim ab initio copiofum, album, poftea vero etiam aliquantum rubrum. Septimo die glande fuppofita exigua prodierunt, fopor minime moleftus detinuit, mador circa frontem adfuit, fomnus ad noctem et calor levior. Octavo forbitionem ex hordeo fumpfit, fopor ad undecimum perfeveravit. Eo vero die praecipue calor defiit. Ubi autem tuffis aderat, excreatio femper multa perfeverabat, facilis, primum glutinofa, alba, craffa, deinde ubi concocta fuit purulentis fimilis. Urinae ab undecimo die puriores, fedimentum afperum, decimo tertio dolor dextram partem occupavit usque ad lateris inanitatem ad imum ventrem tendens, urina detinebatur, cui decoctum adianti, quod calliphyllum nominatur, potui exhibitum profuit. Decimo quinto rurfus doluit, decimo fexto fub noctem magis praecordiorum dolor ad ventrem initium ducebat, quem mercurialis jufculum fubduxit. Calor intra vigefimum difparuit et excreationes craffae comitabantur, ad quadragefimum melius habuit. Ventres in morbis medicamento purgante

Ed. Chart. IX. [579. 580.] Foes. II. 1226. 1227. Ed. Lind. I. (856. 857.)
ἐπὴν πέπονα ᾖ, πεμπταῖα, τὰς μὲν κάτω ἐπὴν ἱδρυμένα ἴδῃς σημεῖον ἢν μὴ ἀσώδεες μηδὲ καρηβαρικοὶ ἔωσι, καὶ ὅτε αἱ θέρμαι πραΰταται, καὶ ὅταν ληρῶσι μετὰ τοὺς παροξυσμούς. τὰς δὲ ἄνω ἐν τοῖσι παροξυσμοῖς, τότε γὰρ καὶ αὗται μετεωρίζονται, ἐπὴν ἀσώδεες καὶ βαρέες τὰ ἄνω ἔωσιν, διὰ (857) τοῦτο δὲ μὴ ἐν ἀρχῇσι κα[580]θαίρειν, ὅτι ἀπὸ τοῦ αὐτομάτου ἐν τοῖσι χρονίοισι τούτοισιν ἢ χρόνια ἐπικίνδυνα. ἐπὶ ὠλεκράνου ἐκ τρώματος τρωθέντος πῆχυς ἐπισφακελίσας πυοῦται, πεπαινομένου δὲ γλίσχρος ἰχὼρ καὶ κολλώδης ἐκθλίβεται, ταχὺ προσίσταται, ὡς καὶ Κλεογενίσκῳ καὶ Δημάρχῳ τῷ Ἀγλαοτέλεος. ὁμοίως δὲ καὶ πάνυ ἐκ τῶν αὐτῶν πῦον οὐδὲν, οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη· πυουμένου δὲ τοῖσι πλείστοισι φρῖκαι καὶ πυρετοὶ ἐπιγίνονται. Ἀλκμᾶνι ἐκ νεφριτικῶν ἀνακομιζομένῳ κάτω καὶ αἵματος ἀφαιρεθέντος ἄνω καθ᾽ ἧπαρ ἐστράφη, καὶ πρὸς καρδίην ἄλ||γος δεινὸν, καὶ τὸ πνεῦμα ὑπὸ τοῦ πόνου κατείχετο,

ſubducere convenit, quinto die ubi concocta fuerint, inferiores quidem ubi materiam conſiſtentem cognoveris, cujus rei ſignum eſt ſi neque anxietate neque capitis gravitate aegri divexati fuerint, cumque calores mitiſſimi fuerint et ubi poſt acceſſiones deſierint. Superiores vero in ipſis acceſſionibus. Tunc namque etiam ipſi in ſublime elevantur, ubi aegri anxietatem et ſuperiorum partium gravitatem ſentiant. Iccirco vero in principiis purgandum non eſt, quod in hujusmodi temporibus per ſeſe purgentur aut cunctatio periculoſa. In cubiti gibbero ex caſu vulnerato cubitus ſideratione tentatus pus colligit, quo matureſcente ſanies viſcoſa et glutinoſa exprimitur et cito ſiſtitur, velut etiam Cleogeniſco et Demarcho Aglaotelis filio contigit. Eodem vero modo neque ex iisdem pus ullum admodum effluit, quale quid Aeſchyli filio accidit. At ubi ſuppuratio fit, horror plerisque et febres ſuccedunt. Alcmani ex renum doloribus convaleſcenti, detracto etiam deorſum ſanguine ſupra ad jecur morbus ſe convertit et ad cor dolor ingens aderat, praeque dolore ſpiritus retinebatur et alvus non

καὶ ἡ κοιλίη χαλεπῶς ὑπεχώρεε, σμικρὰ σπυραθώδεα, ἄση οὐκ ἐνῆν, ῥῖγος δ' ἔστιν ὅτε καὶ πυρετὸς ὑπελάμβανε, καὶ ἱδρὼς καὶ ἔμετος, καὶ ἐν τῷ ἀλγήματι οὐ ξυνέφερεν ὑποκλύσαι θαλάσσῃ ξυνήνεγκεν ἀπὸ πιτύρων, ἠσίτησεν ἡμέρας ἑπτὰ, μελίκρητον ἀκρητέστερον ἔπιεν, μετὰ δὲ χυλὸν φακοῦ, ὅτε δὲ λεπτὸν τὸ ἔτνος ἐπέπιεν ὕδωρ, μετὰ δὲ σκυλακίου ἑφθοῦ, μάζης μικρὸν ὅτι μάλιστα πάλαι ξυγκειμένης, προϊόντος δὲ ἢ βόεια τραχήλια ἢ κωλῆνας ὑὸς ἀκρέων ἑφθῶν. τῇ προτεραίῃ ὑδροποσίῃ, ἡσυχίῃ, σκέπῃ, πρὸς τὸ νεφριτικὸν ἐκ τῆς σικύης κλυσμός. τῷ Παρμενίσκου παιδὶ κώφωσις ξυνήνεγκε μὴ κλύζειν, (858) διακαθαίρω δὲ εἰρίῳ, μοῦνον δὲ ἐκχέειν ἔλαιον ἢ νέτωπον, περιπατεῖν, ἐγείρεσθαι πρωῒ, οἶνον πίνειν λευκὸν, λαχάνων ἀπέχεσθαι, ἄρτῳ τρέφεσθαι, ἰχθύσι πετραίοις. [581] τῇ Ἀσπασίου ὀδόντος δεινὸν ἄλγημα καὶ γνάθου, καστόριον καὶ πέπερι διακλυζομένῃ καὶ κατεχούσα ἐν τῷ στόματι ἀνῆκε, καὶ στραγγουρικὸν αὐτῇ ἀνῆκε, προσθερμαίνει τὸ ἄλευρον τὸ ξὺν ῥοδίνῳ, τὰς ἀφ' ὑστερέων κε-

nisi cum molestia exigua demittebat caprinis stercoribus similia, incontinens corporis jactatio nulla erat ac interdum rigor et febris corripiebat, sudor ac vomitio, neque in dolore aqua marina alvum subluere conserebat, sed fursurum decoctum contulit, diebus septem cibum aversatus mulsa meraciore in potu usus est, deinde vero lentis jusculo, interdumque tenui freso aquam superbibit, posteaque catuli cocti et mazae quam diutissime confectae exiguum sumsit, procedente vero tempore aut cervices bubulas aut suillos petiolos coctos. Pridie aquae potione, quiete, tegumento usus ad renum dolorem cucumeris silvestris infusum per clysterem est exhibitum. Parmenisci filio surditate vexato contulit aurem non eluere, verum lana perpurgare oleumque solum aut netopum infundere, deambulare, mane surgere, vinum album bibere, oleribus abstinere, pane et piscibus saxatilibus in cibo uti. Aspasii uxori dentis et maxillae dolorem ingentem castorium et piper ore collutum et contentum sedavit, ipsique urinae stillicidium remisit. Prodest et calidus farinae cum rosaceo subacta fotus. Ca-

φαλαλγίας καστόριον παύει, τὰ πλεῖστα τῶν ὑστερικῶν αἱ φῦσαι σημεῖον, οἱ ἐρευγμοὶ, καὶ οἱ περὶ γαστέρα ψόφοι, καὶ ἐπάρματα ὀσφύος καὶ περὶ νεφροὺς ἀλγήματα καὶ ἰσχία, καὶ ἐκγεγλευκισμένος μέλας, ἢ ἀρωμάτων τρίτον μέρος, ἀλεύρου δύο, ἐν οἴνῳ εὐώδει ἑψῆσαι λευκῷ ἐπ' ὀθόνιον ἐπιχέοντα, ἐπαλείψαντα τῷ ὀθονίῳ καταπλάσσειν, ῇ ἐπὶ τῆς γαστρὸς ἀλγήματα ὑστερικά.

|| Τῷ Καλλιμέδοντος ξυνήνεγκε πρὸς τὸ φῦμα ἐν τῷ τραχήλῳ σκληρὸν ἐὸν καὶ μέγα καὶ ἄπεπτον καὶ ἐπώδυνον καὶ ἀπόσχασις βραχίονος, λίνου σπόρῳ καταπλάσσειν πεφρυγμένῳ, οἴνῳ λευκῷ καὶ ἐλαίῳ δεύοντα ἐπιδεῖν, μὴ θερμὸν, μηδ' ἑφθὸν ἄγαν, ἢ ξὺν μελικρήτῳ ἑψεῖν ἄλευρον τήλιος, ἢ κριθῶν ἢ πυρῶν. Μελισάνδρῳ τοῦ οὔλου ἐπιβαλόντος, καὶ ὄντος ἐπωδύνου, καὶ σφόδρα οἰδέοντος ἀπόσχασις βραχίονος, στυπτηρίῃ Αἰγυπτίῃ ἐν ἀκμῇ παραστέλλειν. [582] Ἐυτυχίδει ἐκ χολερικῶν, ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν ἅμα τῇ κάτω ὑποχωρήσει κατακορέα χολὴν (859) πολ-

ſtorium capitis ab utero dolores ſedat. Uteri affectus magna ex parte a flatibus originem ducunt, indicio ſunt eructationes, ventris ſtrepitus et lumborum tumores ac renum coxendicumque dolores. Ad quae confert vinum quod muſtum eſſe deſiit, aut aromatum tertiam partem, farinae duas in vino albo odorato decoquere et linteolum imbutum cataplasmatis modo illitum apponere, qua ventris parte uteri dolores affligunt.

Callimedontis filio ad tuberculum in cervice enatum durum, magnum, immaturum et dolorem excitans contulit vena ſecta in brachio, aut lini ſemen torrefactum vino albo et oleo maceratum cataplasmate impoſitum et deligatum, neque calidum neque nimis coctum aut foenigraeci farina aut hordei aut tritici in mulſa decocta. Meliſandro cum magno gingivae dolore corriperetur et valde intumeſceret, vena in brachio ſecta eſt. Alumine Aegyptio per initia adhibito reprimere convenit. Eutychidi cholera morbus in cruribus nervorum diſtentionem attulit cum inferna alvi dejectione. Bilem abunde ſaturatam, multam, valde ruben-

λὴν ἤμει, ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτα σφόδρα ὑπέρυθρον. ὑπὸ δὲ τὸν ἔμετον ἔπινε, καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης, οὐδὲν κατέχειν ἠδύνατο οὐδὲ τὸ ἐκ τῶν σιδίων, καὶ οὔρου σχέσις, καὶ τῆς κάτω διόδου, διὰ τοὺς ἐμέτους τρὺξ μαλθακὴ ἦλθεν, καὶ κατέρηξε κάτω. ὑδρωπιώδεα ταλαιπωρέειν, ἱδροῦν, ἄρτον ἐσθίειν, πίνειν μὴ πολὺ, λούεσθαι κατὰ κεφαλῆς πολλῷ καὶ θερμῷ, ἀλλὰ χλιηρῷ. ὁ οἶνος λευκὸς, ὕπνῳ μὴ πολλῷ χρῆσθαι. Καλλιγένει περὶ πέντε καὶ εἴκοσιν ἔτεα γεγενημένῳ κατάῤῥους. ἡ βὴξ πολλὴ, ἀνῆγε τὸ καταῤῥέον ὑπὸ βίης, οὐδὲν κάτω ὑπέμενεν, ἔτεα τέσσαρα διετέλεσεν, θέρμαι λεπταὶ ἐν ἀρχῇ ἐγένοντο, ἐλλέβορος οὐκ ὠφέλησεν, ἀλλὰ ὀλιγοσιτίη, ἀλλὰ τὸ συμπιασθῆναι, ἐσθίειν ἄρτον, οἶνον μέλανα, ὄψα ὁποῖα ἐθέλοι, ἀπέχεσθαι δριμέων, ἁλυκῶν, λιπαρῶν, ὀποῦ σιλφίου, λαχάνων ὠμῶν, περιπατεῖν πουλλὰ, γαλακτοποσίη οὐ ξυνήνεγκεν, ἀλλὰ σήσαμον πίνειν καθαρὸν ὠμὸν, ὅσον ὀξύβαφον σὺν οἴνῳ μαλθακῷ. Τιμοχάριτι χειμῶνος κατάῤῥους μάλιστα ἐς τὰς ῥῖνας ἀφροδισιάσαντι ἐξηράνθη πάντα,

tem ad tres dies et noctes vomitione rejecit. Poſtquam bibit, et totius corporis imbecillitate et incontinenti jactatione vexatus eſt. Nihil continere poterat; ne mali quidem punici ſuccum. Urinae ſuppreſſio et ejus qui ad inferiora eſt pertranſitus adfuit. Vomitione ſaex mollis prodiit et deorſum erupit. Aqua inter cutem laborantem ſeſe laboribus exercere convenit, ſudare, panem edere, potu non multo uti, caput calida multa, imo potius tepida lavare. Vino albo neque multo ſomno uti prodeſt. Calligenem quinque et viginti annos natum deſtillatio male afflixit, tuſſis multa, quod defluebat aegre educebatur, nihil infra ſuſtinebat, quatuor annis perduravit. Per initia calores tenues aderant, veratrum non profuit, ſed modicus cibus et corpus macerare, pane in cibo et vino nigro in potu uti, obſonia quae vellet aſſumere, abſtinere acribus, ſalſis, pinguibus, laſeris ſucco, oleribus crudis multum deambulare. Lactis potus non contulit, verum ſeſamum purum crudum acetabuli menſura ex vino leni bibere. Timochariti per hiemem deſtillatio praecipue in nares defluxit. Ubi venere uſus fuiſſet, cuncta

Ed. Chart. IX. [582.583.] Foës. II. 1228.1229. Ed.Lind. I. (859.860.)
ιόπος, θέρμη ἐπεγένετο, κεφαλὴ βαρέη, ἱδρὼς ἀπὸ κεφαλῆς πουλὺς, κατέῤῥει δὲ καὶ κατὰ τοῦ σώματος ὅλον. ἦν δὲ καὶ ὑγιαίνων ἱδρώδης, τριταῖος ὑγιάνθη. [583] ὁ τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος ἀπόσιτος ἄνευ πυρετοῦ ἐτρύχετο, καὶ ἤμει τὰ σι(860)τία, καὶ φλέγμα μῆνας δὲ δύο, ἡ ἀσιτίη παρηκολούθησεν. τῷ μαγείρῳ ἐν ἀκάνθῳ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο, φαρμακοποσίη || οὐδεμία ξυνήνεγκεν, οἶνος μέλας καὶ ἀποσιτίη, καὶ λουτρῶν ἀπέχεσθαι, χρίεσθαί τε καὶ ἀνατρίβεσθαι χριόμενον, μὴ σφόδρα θάλπειν μὴ πολλῷ πυρὶ, ἀλλ' ἠπίῳ. οἷσι ῥεύματα ἐν ὀφθαλμοῖς λεπτὰ καὶ χρόνια, ἢν πέπονα κατὰ ῥῖνας χωρήσῃ, ὠφελέονται. ᾗσιν ἐν κυήμασιν ἐκ πτώματος ἢ σπάσματος ἢ πληγῆς πόνοι ἐπιεικῶς ἐν τῇσι τρίτῃσι δηλοῖ εἰ διαφθείρει. τῆς Τησίμου τὸ τριηκοσταῖον ἀπόφθαρμα, πιούσῃ τι αὐτόματον ξυνέβη πόνος, ἔμετος χολωδέων πολλῶν ὠχρῶν πρασοειδέων, μελάνων ὅτ' ἔπιε. τριταίῃ σπασμὸς, τὴν γλῶσσαν κατεμασᾶτο, πρὸς τεταρταῖον εἰσῆλθον. ἡ γλῶσσα μέλαινα μεγάλη, τῶν ὀφθαλ-

resiccata sunt, lassitudo, calor et capitis gravitas successit, sudor ex capite multus, qui etiam ex toto corpore defluxit. Erat autem etiam per sanitatem sudoribus obnoxius. Tertio die convaluit. Cleomenis puer per hiemem ciborum fastidio sine febre confici coepit, cibosque ac pituitam vomitione rejiciebat, duobusque mensibus inappetentia perseveravit. Coco ex phrenitide gibbus in spina exortus est, neque ullum medicamentum purgans epotum profuit, sed vinum nigrum et panis in cibo, balneis abstinere, ungi et unctum confricari, non admodum fovere neque multo igne, sed moderato. Quos fluxiones in oculos tenues et diuturnae vexant, si maturae per nares prodierint juvantur. Quibus praegnantibus ex casu aut convulsione aut ictu labores contingunt, fere intra triduum apparet num abortum facturae sint. Tesimi conjugi post epotum trigesimo die ultro medicamentum abortum faciens dolor contigit, vomitus multorum biliosorum, pallidorum, poraceorum, nigrorum. Ubi bibisset tertio die convulsio prehendit, linguam commanducabat. Quarto die ad eam ingressus sum, lingua erat nigra,

μῶν τὰ λευκὰ ἐρυθρὰ, ἄγρυπνος, τεταρταίη ἀπέθανεν ἐς νύκτα. [584] Πυθοκλῆς τοῖσι κάμνουσιν ὕδωρ, γάλα πολλῷ τῷ ὕδατι μιγνὺς ἐδίδου, καὶ ἀνέτρεφε. χειμέτλων κατασχᾶν, ἀλεαίνειν, τοὺς πόδας ὡς μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖσι πονηρὸν φακή. τοῖσί γε οὕτως ἔχουσιν ἡ γλυκέη ὀπώρη καὶ λάχανα. τοῖσι περὶ ὀσφῦν ἢ ἰσχίον ἢ σκέλεα ἀλγήμασιν ἐκ πόνων θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονᾷν καὶ σπόγγους βάπτοντα πυριῇν, ἐπικαταδεῖν δὲ εἰ-(861) ρίοισιν. ὀρίγανος ὀφθαλμιῶσι κακὸν πινομένη καὶ ὀδοῦσιν. ἡ ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος, ῥιπτασμὸς αὐτὴν εἶχεν, ἤμεσεν ἐς νύκτα, αἷμα συχνὸν ἐῤῥύη κατὰ τὸ οὖς τὸ ἀριστερὸν πεσούσης, καὶ μελίκρητον χαλεπῶς κατέπινεν, ῥέγχος εἶχε, πνεῦμα πυκνὸν ὥσπερ τῶν ἀποθνησκόντων, φλέβες αἱ περὶ τὸ μέτωπον τεταμέναι, κλίσις ὑπτίη, πόδες χλιηροὶ, πυρετὸς πολὺς, ποτὲ ὀξὺς, μάλιστα κατεπλήσσετο, ἑβδόμῃ φωνὴν ἔῤῥηξεν, αἱ θέρμαι λεπτότεραι, περιεγένετο. Ὀνισαντίδης τοῦ ὤμου τὸ ἄλγημα ἔσχεν ἐν θέρει γενόμενον ἐξ απο-

magna, oculorum album rubrum. Quarto ſub noctem mortua eſt. Pythocles aquam aegrotantibus et lac multa aqua permixtum exhibebat et renutriebat. Pernionum medela eſt ſcarificatio, tepefactio, ita ut pedes quam maxime igne et aqua excalfacias. Oculis nocet lens, itidemque poma dulcia et olera. Lumborum aut coxendicis aut crurum dolores ex laboribus obortos, aqua marina calida et aceto perfundere oportet et intincta ſpongia fovere et lanis deligare. Origanum lippientibus et dentibus potu exhibitum nocet. Puellam, quae ex abrupto loco decidit, vox defecerat, corporis jactatio detinebat, vomitus ſub noctem adſuit, ſanguis copioſus ex aure ſiniſtra in quam impegerat effluxit. Mulſam non niſi aegre abſorbebat, ſtertor detinebat, crebra ſpiratio velut in morientibus aderat, venae frontis diſtendebantur, decubitus erat ſupinus, pedes calidi, febris multa, interdum acuta, animo erat maxime conſternato, ſeptimo die vox erupit, leviter incaleſcebat, ſuperſtes evaſit. Oniſantidi per aeſtatem humeri dolore ex abſceſſu detento, cor-

τάσιος, ἐν τῇ θαλάσσῃ βρέχειν τὸ σῶμα καὶ τὸν ὦμον, ς πλεῖστον χρόνον, ἐπὶ τρεῖς ἡμέρας οἶνον λευκὸν ὑδαρέα μα πίνειν ἐν τῇ θαλάσσῃ κατακείμενον, καὶ οὐρέειν ἐν τῇ αλάσσῃ. [585] ὁ γναφεὺς ὁ ἐν Σύρῳ ὁ φρενιτικὸς, μετὰ ὲ καύσιος τρομώδης, σκελέων τὸ χρῶμα, οἷον ὑπὸ κωνώ-ων ἐγκαταδαμάσειν, ὀφθαλμὸς μέγας, βραχείη κίνησις, φωνὴ εκλασμένη, σαφὴς δὲ, οὖρον καθαρὸν, ὑπόστασιν οὐκ ἔχον, ρα διὰ τὴν τῆς θαψίης ὑποχώρησιν ὀκτωκαιδεκαταῖος ἀνῆκε ολυνθεὶς ἄνευ ἱδρῶτος. ὁ ἐν Ὀλύνθῳ Νικόξενος ὁμοίως βδομαῖος ἐδόκει χαλάσσειν μεθ᾽ ἱδρῶτος, ῥοφήματα προσε-φέρετο, οἶνον, βότρυν ἐξ ἡλίου, πρὸς ἑπτακαιδεκαταῖον εἰσ-ῆλθον, καυστικὸς, ἡ γλῶσσα θερμὴ, ἔξωθεν οὐ πάνυ ἰσχυρὴ, ἔκλυσις σώματος δεινὴ, φωνὴ κεκλασμένη, ἔργον ἀκοῦσαι, σα(862)φὴς δὲ, κρόταφοι συμπεπτωκότες, ὀφθαλμοὶ κοῖλοι, πόδες μαλθακοὶ καὶ χλιηροὶ, κατὰ σπλῆνα ξύντασις, τὸ κλύ-σμα οὐ πάνυ τι ἐδέχετο, ἀλλ᾽ ἀνεπήδα, ἐς νύκτα ἐπῆλθε κόπρος ξυνεστηκυῖα ὀλίγη καὶ αἵματός τι, οἶμαι ἀπὸ τοῦ

pus et humerum quam diutiſſime mari madefacere contu-lit, ſimul per tres dies vinum album, aquoſum, in mari decumbentem bibere, in eoque mejere. Fullo in Syro phre-nitide correptus, poſt uſtionem cruribus tremulis fuit, cor-pore velut a culicibus compuncto, oculus erat magnus, mo-tus exiguus, vox fracta, clara tamen, urina pura absque ſe-dimento. Animadvertendum eſt num iccirco quod per fe-rulaginem alvus ſubducta eſt, decimo octavo die morbus re-miſit et absque ſudore diſparuit. Eodem modo Nicoxeno Olynthi ſeptimo die morbus absque ſudore remittere vide-batur, ſorbitiones aſſumebat, vinum uvam inſolatam. Ad eum decimo ſeptimo die ingreſſus ſum, lingua ardens, calor fo-rinſecus non admodum vehemens erat, corporis ſumma exolutio, vox fracta adeo ut non niſi aegre exaudiretur, clara tamen, tempora collapſa, oculi concavi, molles pedes et tepidi, ad lienem diſtentio. Infuſum per clyſterem non admodum admittebat, verum reſiliebat, ſub noctem ſtercus prodiit coactum, paucum et nonnihil ſanguinis, opinor ex

κλυσμοῦ, οὖρον καθαρὸν λαμπρὸν, κλίσις ὑπτίη, σκέλεα δια-γνύμενα διὰ τὴν ἔκλυσιν, παράπαν ἄγρυπνος, ἐντὸς τῶν εἰ-κοσιν ἡ θέρμη ἐμολύνθη, ἄποτον τὸ ἀπὸ κριμνοῦ. ἀλλ' ὁ γ ἀπὸ μήλων ὁμοῦ, καὶ σίδης χυλὸς, καὶ φακοῦ πεφωσμένο ψυχρὸς, καὶ ἀλεύρου πλύμα ἑφθὸν, ψυχρὸν, λεπτὸν ῥύφημα ἐπεγένετο. τῶν κναφέων οἱ βουβῶνες ἐφυματοῦντο σκληρο καὶ ἀνώδυνοι, καὶ περὶ ἥβην καὶ τράχηλον ὅμοια μεγάλα πυρετὸς ἔμπροσθεν δέκα, βηχώδεες ἀπὸ ῥηγμάτων. τρίτῳ μηνὶ ἢ τετάρτῳ γαστὴρ || ξυνετάκη, θέρμαι ἐπεγένοντο γλῶσσα ξηρὴ, δίψα, ὑποχώρησις ἑκάστῳ χαλεπαὶ, ἀπέθανον [586] τὰ χολερικὰ ἐκ κρεηφαγίης, μάλιστα δὲ χοιρείων ἐνω-μοτέρων, καὶ ἐκ ἐρεβίνθων, καὶ μέθης εὐώδεος παλαιοῦ, κα ἡλιώσιος, καὶ σηπίης, καὶ καράβων τε καὶ ἀστακῶν καὶ λα-χανοφαγίης, μάλιστα δὲ πράσων καὶ κρομμύων, ἔτι δὲ θρι-δάκων ἑφθῶν, καὶ κράμβης καὶ λαπάθων ἐνωμοτέρων, κα ἀπὸ πεμμάτων καὶ μελιτωμάτων, καὶ ὀπώρης, καὶ σικύου πέπονος, καὶ οἰνογάλακτος, καὶ ὀρόβων, καὶ ἀλφίτων νέων

infuſo. Urina pura erat, ſplendida, decubitus ſupinus, crura diducta ob exolutionem nihil prorſus dormiebat, intra vi-geſimum diem calor conquievit. Potus erat aqua in qua farina craſſior macerata fuerat, ſed et ſimul pomorum aut mali punici et lentis toſtae ſuccus frigidus, ac farinae lo-tura cocta, frigida pro tenui ſorbitione eſt exhibita et ſu-perſtes evaſit. Fullonibus tubercula in inguinibus dura et ſine dolore exorta ſunt, circaque pubem et collum magni-tudine ſimilia erant, febris antea per decem dies tenuerat, tuſſi ex ruptionibus conſlictabantur. Tertio menſe aut quarto venter contabuit, calores ſupervenerunt, lingua arida, ſitis et alvi dejectiones moleſtae aderant, mortui ſunt. Cholera morbus ex carnis eſu contrahitur, praecipue vero ſuillae crudioris ex cicere, vinique odorati veteris ebrietate, inſo-latu, ex ſepiae eſu, locuſtarum et grammarorum, olerum maximeque porri et ceparum. Quin etiam et ex lactucis co-ctis, braſſica, lapatho crudiore et ex bellariis, dulciariis, pomis, cucumere, pepone et potione quae ex vino et lacte miſtis conficitur, οἰνόγαλα vocatur, ervo, polenta recenti.

ἄλλον ἐν θέρει τὰ χολερικὰ, καὶ οἱ διαλείποντες πυρετοὶ, αὶ οἷσι (863) φρῖκαι ἐπιγίνονται, οὗτοι ἔστιν ὅτε κακοήεις γίνονται καὶ ἐς νοσήματα ὀξέα καθίστανται, ἀλλ' εὐαβεῖσθαι χρὴ, μάλιστα δὲ τὰ τοιαῦτα νοσήματα ἡ πέμπτη αὶ ἡ ἑβδόμη καὶ ἡ ἐνάτη δηλοῦσι, βέλτιον δὲ μέχρι τῶν εσσαρεσκαίδεκα φυλάττεσθαι. Φερεκύδη μεθ' ἡλίου τροπὰς ειμερινὰς τῆς νυκτὸς πλευροῦ δεξιοῦ ἄλγημα καὶ πρότερον ιθισμένον ἔληξεν, ἠρίστησεν, ἐξελθὼν ἔφριξε, πυρετὸς ἐς ύκτα ἀνώδυνος βηχίον ῥέον τι ξηρόν. οὖρα οὐ πολλὰ, ὑπόστασις πολλὴ, ξυσματώδεα μαδαρὰ διεσπασμένα ἀπ' ἀρχῆς, ιετὰ δὲ τέσσαρας θολερὰ ὑφίστατο, καὶ τὸ οὖρον οὐκ ἄχροον ὑπόστασιν ἔχον, καὶ τὸ σύστημα οὐκ ἐφαίνετο ἐν τῷ χερνιβίῳ, ψύξιος ἐούσης, τριταίῳ αὐτομάτη κοιλίη ὑπῆλθε, τετάρτῃ βαλάνου γεγονότος κοπρώδεα καὶ χολώδεα διεχώρησεν, ὑγρὸς, περίῤῥοος, ὕπνος ἐς νύκτα οὐ πάνυ, ἡμέρης δέ τι ἐκοιμᾶτο, δίψα οὐ σφοδρὴ, τεταρταίῳ μάλιστα ἐς νύκτα δέρμα περὶ μέτωπον καὶ τὸ ἄλλο μαλθακὸν ὑποφέρειν αἰεὶ, πυρετὸς ἐκρατεῖτο πρὸς χεῖρα καὶ ὑπενότιζεν. ἄδηλος σφυ-

Aestate magis cholera morbus et febres intermittentes vigent et quibus horrores succedunt. Hae interdum malignae fiunt et ad morbos acutos deveniunt. Sed et ab his cavere oportet. Hujusmodi autem morbos praecipue quintus dies et septimus et nonus indicant, praestat vero ad decimum quartum usque cautum esse. Pherecydae post brumam noctu lateris dextri dolor etiam antea consuetus cessavit, pransus est, egressus horruit, febris sub noctem invasit, doloris expers fuit, tussicula quadam sicca vexabatur. Urinae non multae, sedimentum copiosum. Per initia ramentosa, laevia, divulsa, post quatuor vero dies turbida subsidebant et urina non decolor, sedimentum habebat neque in matella collectio apparebat ubi refrixisset. Tertio die sponte alvus subiit, quarto parata glande, stercoracea et biliosa dejecit, liquidus erat humorum affluxus, somnus ad noctem non admodum, verum de die aliquantulum dormiebat, sitis non erat vehemens, cutis circa frontem et reliquum corpus mollis semper eminebat, febris ad manus contactum

γμὸς σφόδρα ἐν μετώπῳ φλεβῶν βάρος, ἐν τῇσιν ὑποστρ φῇσι, καὶ ἐν τῇσιν ὑποχωρήσεσι πάσῃσιν. ὀλίγον χρόνον δ παντὸς ἀνώδυνος ἀπ' ἀρχῆς, ἀσώδης καὶ κατὰ μικρὸν ἡμ ἑβδόμῃ παρὰ βαλάνου ὑπεχώρησε τρὶς χολῶδες καὶ κοπρ δες ὑγρὸν σφόδρα καὶ ὠχρὸν, καὶ ἤδη τι ὑποπαρέκρουσ καὶ νοτὶς ἐπ' ὀλίγον ἔστιν ὅτε περὶ μέτωπον, τὸ ἱμάτιο ἐπὶ τὸ πρόσωπον. τὰ ὄμματα διὰ κενῆς ὡς εἴ τι (864) βλ πων ξυνέστρεφε, καὶ πάλιν κατέμυεν. αὐτοῦ τὸ ἱμάτιον ἀπ βαλεν ἐναταῖος, ἱδρὼς πρωῒ ἀρξάμενος μέχρι στήθεος δι τέλει ἕως ἐτελεύτησε, καὶ ὁ πυρετὸς ἐπέτεινε, καὶ ἡ παρα λήρησις, περὶ μέτωπον πλεῖστος ἱδρὼς, καὶ οἷον δεινὸν μὲ ἢ ἔκλευκον. [587] τὸ δέρμα δὲ τὸ ὑπὸ τὰς τρίχας ἐσμιγμέ νον. ὑποχόνδριον δεξιὸν ἐπηρμένον, ὑφῆκεν ἐφ' ἑωυτὸν χο λῶδες, ὀγδόην ὡς ὑπὸ κωνώπων ἀναδήγματα, πρὸ τῆς τε λευτῆς ἐνέβηξεν, οἷον ἐκ μύξης μύκητα ξυνεστηκότα λευκῷ φλέγματι περιεχόμενα, ἐπεχρέμπτετο δὲ καὶ ἔμπροσθεν σμι κρὰ, λευκὰ, γαλακτώδεα. μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξε

cum aliquo madore ſuperata videbatur, pulſus in fronte admodum obſcurus erat. In corporis converſionibus et omnibus alvi dejectionibus venarum gravitas aderat, pauco tempore per totum morbum doloris expers fuit, ab exordio anxius, paulatimque vomebat. Septimo die ex ſubdita glande ter dejecit, bilioſum et ſtercoraceum, liquidum admodum et pallidum, jamque nonnihil ſubdelirabat, interdumque circa frontem exiguus mador aderat. Veſtem ſtragulam in faciem conjiciebat, oculos fruſtra, non ſecus ac ſi quid intueretur, convertebat, rurſusque claudebat, ſuaque ſtragula abjiciebat. Nono die ſudor mane obortus ad pectus usque ad mortem perſeverabat et febris ac delirium intendebatur, plurimus circa frontem ſudor ac veluti dirus quidem, coloreque admodum albo. Cutis vero ſub pilis variis notis compuncta erat, praecordia dextra in tumorem ſublata; ex ſeſe bilioſum demiſit. Octavo die veluti culicum morſus apparuerunt, ante exitum tuſſi rejecit veluti ex muco concretos fungos, pituita alba circumvolutos. Exſcreabat autem etiam antea exigua, alba, lactea. Poſt coenam per

πρωῒ ἐξανέστη καρηβαρικὸς, ἔφριξεν, ἀπήμεσε, κεφαλὴν ἐβαρύνετο. ἐς νύκτα ἀνῆκε μέχρι μέσου ἡμέρης ἐπιεικῶς, ἔφριξε πάλιν, νύκτα χαλεπῶς, τὴν ἐπιοῦσαν δὲ ἡμέρην πυρετὸς ὀξὺς, κεφαλῆς σφάκελος, ἔμετος χολῆς πολλῆς, ἡ πλείστη πρασοειδὴς, ἔληξε πάντα, ὕπνος ἐς νύκτα, πρωῒ περιέψυκτο, ἱδρώτιον, νοτὶς ἐπιπολὺ τοῦ σώμα||τος κατὰ σπλῆνα, τῇ χειρὶ ἐδείκνυεν ὀλίγον χρόνον ξύστρεμμα ἀνώδυνον, παραχρῆμα ἐμαράνθη, ἐς νύκτα ἄγρυπνος, περὶ ἀγορὴν παρωξύνετο, πυρετὸς, ἄση, σκοτόδινος, στρόφος, κεφαλῆς ὀδύνη, ἔμετος πρασοειδὴς, λεῖος, γλίσχρος ὡς φλέγμα, πρὸς δυσμὰς ἔληξε πάντα. ἱδρὼς κεφαλῆς, τραχήλου ὑπεχώρησε μετὰ τὸν ἔμετον κοπρώδεα, ὑγρὰ, χολώδεα, οὔτε μέλανα, οὔτε ἐπεοικότα, νύκτα μετρίως, καὶ τὴν ἐπιοῦσαν ἡμέρην, ἐς νύκτα πάλιν ἄγρυπνος, ἔμετος ὄρθρου ὁμοίως καὶ (865) τὴν ἐπιοῦσαν ἡμέρην ἄνευ ἄσης. τῆς δὲ κεφαλῆς μετὰ τὸν ἱδρῶτα ἔληξαν αἱ ὀδύναι, ἐς τὴν ἑσπέρην πάντα ἐχάλασεν, ἐνάτῃ οὐκ ἔτι

somnum quidam horrore correptus, mane surrexit capitis gravitatem sentiens, horruit, vomuit, capitis gravitate laborabat, sub noctem remisit fere ad meridiem usque, rursus inhorruit, noctem moleste tulit. Postero vero die febris acuta invasit, capitis vehemens dolor, multae bilis vomitio quae maxima ex parte porracea erat, cessarunt omnia, sub noctem somnus, mane perfrigerabatur, sudor parvus et mador plurima ex corporis parte dimanavit circa lienem exiguo tempore manu indicabat duritiem doloris expertem, quae confestim evanuit, ad noctem pervigilio torquebatur, sub concionis tempus febris ingravescebat, anxietas aderat cum tenebricosa vertigine, intestinorum et capitis dolor, vomitus porraceus, laevis, velut pituita glutinosus, sub solis occasum cuncta cessarunt cum capitis et colli sudore. Post vomitionem stercoracea, liquida, biliosa dejecit neque nigra neque absurda, per noctem et posterum diem moderate habuit, sub noctem iterum pervigilio laboravit. Vomitus sub crepusculum coepit, similiterque postero die tenuit, absque anxietate fuit. Capitis autem dolores post sudorem cessarunt, sub vesperum cuncta relaxarunt. Nono die non am-

ἤμεσεν, ἐθερμάνθη μᾶλλον, τοῖσιν ἄλλοισιν οὐκ ἐδόκει πυρεταίνειν. αἱ ἐν κροτάφοισιν φλέβες ἐπήδων, ἀνώδυνος πάντων· δίψος ἦν αἰεὶ, ἐναταῖος ἐπὶ θῶκον ἀναστὰς ἐλειποψύχει σφόδρα, ὑπεχώρησε πρὸς βάλανον ξυσμάτια μέλανα καὶ χολώδεα, χρῶμα κοπρῶδες ὅσον ἀπέσταξεν ἡ φωνὴ κεκλασμένη. ἐν τῆσιν ὑποστροφῆσι βαρὺς, ὀφθαλμοὶ κοῖλοι, δέρμα μετώπου περιτεταμένον. ἄλλως εὔπνοος κόσμιος, πρὸς τοῖχον τὰ πλεῖστα ἀπεστραμμένος, ὑγρὸς ἐν τῆσι κλίσεσιν, ἐπικεκαμμένος, ἀτρεμίζων, γλῶσσα λευκὴ, λείη, περὶ δὲ τὰς δέκα καὶ μετὰ οὖρα ἐρυθρὰ τὰ κυκλώδεα, ἐν μέσῳ σμικρὸν λευκὸν, δωδεκαταίῳ πρὸς βάλανον ὅμοια ἀπέσταξε χολώδεα καὶ ξυσματώδεα, μετὰ τοῦ βαλανείου λειποψυχίη, ἔπειτα τὸ στόμα ἐπεξηραίνετο, διεκλύζετο αἰεὶ, καὶ εἰ μὴ σφόδρα ψυχρὸν ἦν, θερμὸν ἔφασκεν εἶναι τῆς χιόνος ἐπιεικῶς, εἶτα δίψα οὐκ ἐνῆν, τὸ ἱμάτιον αἰεὶ ἀπὸ τῶν στηθέων ἀπεώθει, τὴν χλαμύδα χλιαίνειν οὐκ εἴα, τὸ πῦρ πόῤῥω καὶ σμικρὸν, γνάθων

plius vomuit, sed magis incaluit, reliquis febris expers videbatur, temporum venae pulsabant, omnino doloris expers fuit, sitis semper aderat. Nono die ubi ad sellam surrexisset vehementer animo deficiebat, ex immissa glande paucula strigmenta dejecit nigra et biliosa, quicquid inde destillavit colorem stercoris habuit, vox fracta dum se converteret gravis, oculi cavi, frontis cutis circumtensa, alioqui facile spirabat, compositus erat, ad parietem plurimum conversus, in decubitu mollis, incurvus, quiescens, lingua alba, laevis. Ad decimum diem posteaque urinae circumquaque rubrae, in medio exiguum quiddam album habentes. Duodecimo ex glande subdita similia destillabant, biliosa et strigmentosa, post glandem animi defectio, postea os resiccabatur, colluebat semper, ac nisi admodum frigida esset aqua, calidam esse dicebat, quae prope frigore ad nivem accederet, postea sitis non aderat. Vestem semper a pectore repellebat, tunicam calefieri nolebat, ignis procul isque exiguus erat, maxilla utraque rubuit. Post haec

ἀμφοτέρων ἔρευθος. μετὰ ταῦ[588]τα ἄκροπις ἀνεθερμαίνετο μίαν ἢ δύο ἡμέρας, καὶ ἔληξεν.

|| Ἀνδροθαλεῖ ἀφωνίη, ἄγνοια, παραλήρησις. παυθέντων δὲ τουτέων περιῄει ἔτεα συχνὰ, καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρὴ, εἰ μὴ διακλύσαιτο. διαλέγεσθαι οὐχ οἷός τε ἦν, καὶ σφόδρα πικρὴ ἦν τὰ πουλλά. (866) ἔστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη, φλεβοτομίη ἔρυσε ταῦτα, ὑδρωποσίη, μελίκρητον, ἐλλέβορον ἔπιε μέλανα, χολῶδες οὐ διῄει, ἀλλ' ὀλίγον. τέλει δὲ χειμῶνος κατακλιθεὶς ἐξ ἑωυτοῦ ἐγένετο, καὶ τὰ τῆς γλώσσης παθήματα ὅμοια. θέρμη λεπτὴ, γλῶσσα ἄχρως, φωνὴ περιπλευμονικὴ, ἀπὸ τοῦ στήθεος τὸ ἱμάτιον ἀπέῤῥιπτε, καὶ ἐξάγειν ἑωυτὸν ὡς οὐρήσαντα ἐκέλευεν, οὐδὲν δυνάμενος σάφα εἰπεῖν οὐδὲ ἐὼν παρ' ἑωυτὸν, ἐξῆγον αὐτόν. ἐς νύκτα ἐτελεύτησεν, ᾗσι κατέκλινε δύο ἢ τρεῖς ἡμέρας. ἐγένετο τὸ Νικάνορος πάθος ὁπότε ἐς ποτὸν ὥρμητο, φόβος τῆς αὐλητρίδος ὅτε ἀρχομένης αὐλεῖν ἀκούσειεν ἐν τῷ συμποσίῳ, ὑπὸ

linguam inarticulatam habuit, diem unum aut duos recalescebat, defecit.

Androthali vocis defectio, ignorantia et deliratio aderat, quibus sedatis multis annis superfuit, et in morbum relabebatur. Lingua toto tempore sicca permanebat, ac nisi collueretur loqui non poterat, magnaque ex parte admodum amara erat, interdumque cordis dolor affligebat, quae sanguinis missio eripuit. Aquae potu et mulsa usus est. Veratrum nigrum ebibit, neque biliosum, nisi modicum, prodiit. Demum per hiemem decumbens mente abalienata erat, et lingua iisdem vitiis afficiebatur, calor tenuis erat, lingua decolor, vox qualis pulmonum inflammatione laborantibus, e pectore vestem rejiciebat, seque velut urinam redditurus educi jubebat, cum nihil aperte proloqui posset neque apud se esset, eum eduxerunt, sub noctem mortuus est, duobus aut tribus diebus quibus decubuit. Ea erat Nicanoris affectio ut cum ad convivium progrederetur, tibicinae metu afficeretur: adeo ut cum tibias inflare in

δειμάτων ὄχλοι, μόγις ὑπομένειν, ἔφη, ὅτε νὺξ εἴη. ἡμέρης δὲ ἀκούων οὐδὲν διετρέπετο, καὶ ταῦτα παρείπετο χρόνον συχνόν. Τιμοκλέης δὲ ὁ μετ᾽ ἐκείνου ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκει, καὶ οὐκ ἂν παρὰ κρημνὸν ἔφη παρελθεῖν οὐδὲ ἐπὶ γεφύρας, οὐδὲ τοὐλάχιστον βάθος τάφρου τολμῆσαι ἂν, ὑπὸ δείματος μὴ πέσῃ διελθεῖν, ἀλλὰ δι᾽ αὐτῆς τῆς τάφρου πορεύεσθαι. τοῦτο χρόνον τινὰ αὐτῷ ξυμβῆναι. [589] τὸ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ τοῦ δεξιοῦ, ὥσπερ ἀστραπὴν ἐκλάμπειν ἐδόκει, οὐ πολὺ δὲ ἐπισχόντι ὀδύνη ἐς κρόταφον τὸν δεξιὸν ἐγένετο δεινή. ἔπειτα καὶ ἐς ὅλην τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον οἴδετο ἡ κεφαλὴ ὄπισθεν τῶν σπονδύλων, καὶ ξύντασις καὶ σκληρότης ἀμφὶ τοὺς τένοντας. εἰ γοῦν ἐπειρᾶτο διακινέειν τὴν κεφαλὴν ἢ διοίγειν τοὺς ὀδόντας, (867) ἠδύνατο, ὡς σφόδρα ξυντεινόμενος. ἔμετοι ὁπότ᾽ ἂν γενοίατο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας. ἠπιωτέρως ἐποίουν, καὶ φλεβοτομίη ὠφέλησε, καὶ ἐλλέβοροι

convivio audiret, prae timore turbaretur neque ſuſtinere poſſe diceret, ſi nox eſſet, de die vero nihil commoveretur, quae quidem eum multo tempore comitabantur. Timocles vero, qui cum illo erat, caligine tentari et exoluto eſſe corpore ſibi videbatur, neque per praeruptum locum iter facere, neque vero pontem, ac ne minime quidem profundam ſcrobem transmittere audere dicebat, timens ne caderet, verum per ipſam ſcrobem adibat, idque illi aliquandiu contigit. Phoenicis is erat affectus, ut ex oculo dextro plerumque velut fulgor coruſcare videretur, non multo vero interpoſito tempore, ad tempus dextrum gravis dolor exoriebatur, poſteaque totum corpus caput atque etiam cervicem pervadebat, capitis pars poſterior ad vertebras intumeſcebat, cervicis nervi majores, quos tenontas appellant, contendebantur et circum dureſcebant. Quod ſi caput commovere aut dentes aperire conaretur, non poterat, utpote admodum diſtentus. Vomitiones ſi quando oboriebantur, commemoratos dolores ſubmovebant et leniebant. Sanguinis miſſio auxilio fuit et veratri potiones cu-

Ed. Chart. IX. [589. 590.] Foës. II. 1233. 1234. Ed. Lind. I. (867.)

ἦγον παντοδαπὰ οὐχ ἥκιστα πρασοειδέα. τῷ Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι || καὶ ἵμερος τῆς ἀπαλλαγῆς βίου, ὁτὲ δὲ πάλιν εὐθυμίη. ἐν Ὀλύνθῳ δὲ ποτὲ φθινοπώρου ἄφωνος κατέκειτο, ἡσυχίην ἔχων βραχύ τι ὅσον ἄρχεσθαι ἐπιχειρέων προσειπεῖν, ἤδη δέ τι καὶ διελέχθη, καὶ πάλιν ἄφωνος, ὕπνοι ἐνῆσαν, ὁτὲ δὲ ἀγρυπνίη καὶ ῥιπτασμὸς μετὰ σιγῆς, καὶ ἀλυσμὸς, καὶ χεὶρ πρὸς ὑποχόνδρια ὡς ὀδυναμένῳ, ὁτὲ δὲ ἀποστραφεὶς ἔκειτο ἡσυχίην ἄγων, ὁ πυρετὸς δὲ διὰ τέλεος καὶ εὔπνοος. ἔφη δὲ ὕστερον ἐπιγινώσκειν τοὺς ἐσιόντας, πιεῖν δὲ ὁτὲ μὲν ἡμέρης ὅλης καὶ νυκτὸς καὶ διδόντων οὐκ ἤθελεν, ὁτὲ δὲ ἐξαίφνης τὸν στάμνον ἁρπάσας, τοῦ ὕδατος παντὸς ἐξέπιεν. οὖρον παχὺ ὡς ὑποζυγίου. περὶ δὲ τὴν ιδ ἀνῆκεν. [590] ἡ δὲ Κόνωνος θεράπαινα ἐν κεφαλῇ ὀδύνης ἀρξαμένη ἐκτὸς ἑωυτῆς, καὶ βοὴ, καὶ κλαυθμὸς πολὺς, ὀλιγάκις δὲ ἡσυχίη. περὶ ἔτεα τεσσαράκοντα ἐτελεύτησεν, τὰς δὲ ἐπὶ τελευτῆς ἡμέρας ἄφωνος καὶ σπασμώδης ἐγένετο.

jusquemodi humores eduxerunt, praecipueque porraceos. Parmenisco etiam antea animi desperatio accidit, adeo ut vita defungi cuperet, interdum vero rursus securo erat animo. In Olyntho autem aliquando per autumnum voce defectus decumbebat quiete agens, perpusillum quid vix dum dicere aggrediens, quin etiam si quid dixisset, rursus vox deficiebat, somni aderant, interdum vero pervigilium et tacita corporis jactatio atque anxietas, manumque praecordiis velut dolorem sentiens admovebat, nonnunquam vero aversus quiete decumbebat, febris autem semper perseverabat et facile spirabat. Tandem se ingredientes agnoscere dixit, interdumque tota die ac nocte cum potus illi exhiberetur, bibere nolebat, nonnunquam vero accepta repente urna, totam exhausit aquam. Urina crassa, qualis in veterinario genere. At circa decimumquartum diem remisit. Cononis ancilla capitis dolore incipiente mente erat abalienata, clamor aderat et ejulatus multus, raroque quiescebat. Sub quadragesimum diem mortua est. Aliquot vero sub mortem diebus voce defecta et convulsione tentata est. Eodem quoque modo et circa eosdem dies mor-

Ed. Chart. IX. [590.] Foes. II. 1234. Ed. Lind. I. (867. 868.)

καὶ ὁ τοῦ Τιμοχάριος θεράπων, ἐκ μελαγχολικῶν δοκῶ εἶναι καὶ τοιούτων, ἐτελεύτησεν ὁμοίως καὶ περὶ ἡμέρας τὸ αὐτάς. τῷ Νικολάου περὶ ἡλίου τροπὰς χειμερινὰς ἐκ πότω ἔφριξεν, ἐς νύκτα πυρετός. τῇ ὑστεραίῃ ἔμετος χολώδη (868) ἄκρητος ὀλίγος. τρίτῃ δὲ ἀγορῆς πληθούσης ἱδρὼ δι᾽ ὅλου τοῦ σώματος, ἔληξε, καὶ ταχὺ πάλιν ἐθερμάνθη περὶ μέσας νύκτας ῥῖγος, πυρετὸς ὀξὺς, ἡμέρης δὲ τὴν αὐτὴ ὥρην ἱδρὼς, ταχὺ πάλιν ἐπεθερμάνθη, ἔμετος ὅμοιος. τ τετάρτῃ ἀπὸ ὕδατος λινοζώστιος ὑπεχώρησεν εὐκοπρώδεα κα ὑγρὰ, ὑπομύσαρα δὲ σπογγοειδέα οἷα ὕδωρ λινοζώστιος οὐ ἀνόμοια. ὑπόστασις οὐκ ἦν, οὐ δὲ πολὺ τὸ οὖρον, ἐναιωρή ματα σμικρὰ, ἀλγήματα ὑποχονδρίου ἀριστεροῦ καὶ ὀσφύος ᾤετο ἐκ τοῦ ἐμέτου ἐπαναπνεῖν, καὶ ἐπανέπνει. ἔστι δ᾽ ὅτ διπλόον, γλῶσσα λευκὴ, ἔχουσα ἐκ δεξιοῦ οἷον θερμοῦ πρόσ φυσιν. ἐπὴν βραχὺ ἦν διψώδης, ἄγρυπνος, ἔκφρων. ἑκταίω δὲ δεξιὸς ὀφθαλμὸς μείζων ἐν τῷ βλέπειν, ἑβδομαῖος ἐτελεύ

tuus est Timocharis famulus, melancholicis affectibus iisdem, ut videbatur, tentatus. Nicolai filium circa brumam ex compotationibus inhorrescentem, sub noctem febris corripuit; postero die vomitus biliosus, sincerus, paucus adfuit. Tertio vero die frequente adhuc foro, sudore per totum corpus oborto, desiit, statimque rursus incaluit. Ad mediam noctem rigor, febris acuta, die vero eadem hora sudor, rursus statim recaluit, vomitus similis. Quarto die ex mercurialis decocto bene stercoracea et liquida per alvum demisit, subolida tamen et spongiosa, mercurialis jusculo non absimilia. Urina absque sedimento, non admodum multa, pauca quaedam in medio innatantia habebat, praecordiorum sinistrorum et lumborum dolores aderant. Existimabat ex vomitione se facilius ac subinde spirare posse, interdumque geminata respiratione subinde respirabat, lingua albicans erat, dextra parte habens connexionem lupino similem, deinde parum siticulosus erat, pervigil, prudens. Sexto vero die oculus dexter major conspiciebatur, septimo mortuus est. Verumtamen ante mor-

Ed. Chart. IX. [590. 591.] Foëf. II. 1234. Ed. Lind. I. (868. 869.)

ηθε. πλὴν ἡ κοιλίη πρὸ τῆς τελευτῆς ἐμετεωρίσθη, καὶ ἀποθανόντι τὰ ὄπισθεν ἐφοινίχθη. [591] Μέτωνι μετὰ πληϊάδων δύσιν πυρετὸς, πλευροῦ ἀριστεροῦ ὀδύνη μέχρι κληῖδος, οὕτω δὲ δεινὴ, ὥστε ἀτρεμίζειν οὐχ οἷός τε καὶ τὸ φλέγμα κατεῖχεν, ὑποχώρησις πολλὴ χολώδης, ἐν τρισὶν ἡμέρῃσι σχεδὸν ἔληξεν ἡ ὀδύνη. ἡ θέρμη δὲ περὶ τὰς ζ ἢ θ, βὴξ ἐνῆν. ἀποχρέμψιες ὑπόχολοι οὐδὲ ἐγένοντο, οὐδὲ πολλαί. φλεγματώδεες δὲ αἱ βῆχες παρηκολούθεον, σιτίων ἀπεγεύετο. ἔστιν ὅτε ἐξῄει ὡς ὑγιὴς, ὑπελάμβανον δὲ ἐνίοτε θέρμαι λεπταὶ ὀλίγον χρόνον. ἱδρώτια ἐγίνοντο ἐς νύκτα, τὸ πνεῦμα ἐν τῇ θέρμῃ πυκνότερον. γνάθων ἔρευθος περὶ τὸ πλευρὸν βάρος, καὶ ὑπὸ τὴν μασχάλην, καὶ ἐς ὦμον, αἱ βῆχες ἀπεῖχον. φάρμακον (869) ἄνωθεν ἤγαγε χολώδεα. τρίτῃ ἀπὸ τοῦ φαρμάκου ἐῤῥάγη τὸ πῦον. ἀπὸ δὲ τῆς ἀρχῆς τοῦ ἀῤῥωστήματος τεσσαρακοστῇ, ἀποκαθῆραι δὲ περὶ πέντε καὶ τριήκοντα ἡμέρας ἄλλας καὶ ὑγιής. τῇ Θεοτίμου ἐν ἡμιτριταίῳ ἄση καὶ ἔμετος καὶ φρίκη ἅμα, ἀρχομένῳ τῷ πυρετῷ

tem venter intumuit, mortuoque partes posteriores rubore suffusae sunt. Metonem post vergiliarum occasum febris prehendit, et lateris sinistri dolor ad jugulum pertingens, isque adeo vehemens ut quiescere nequiret, et inflammatio detinebat, dejectio copiosa erat, biliosa, tribus fere diebus dolor cessavit, calor vero sub septimum aut nonum. Tussis aderat, exscreationes neque aliquantulum biliosae, neque copiosae fiebant, verum tusses pituitosae comitabantur, cibos sumebat, interdumque tanquam sanus exibat. Nonnunquam tamen tenues calores exiguo tempore detinebant, sub noctem parvi sudores oboriebantur. In calore spiratio crebrior aderat, malarum rubor, lateris gravitas sub axillam et ad humerum pertingebat, tusses aberant. Medicamentum per superiora biliosa eduxit. Tertio post medicamentum pus erupit, quadragesimo vero a morbi initio die. Per alios autem quinque et triginta dies repurgatus est, et convaluit. Theotimi conjugem in semitertiana febre anxietas et vomitus cepit, simulque horror per febris exordia

Ed. Chart. IX. [591. 592.] Foës. II. 1234. 1235. Ed. Lind. I. (869.)
καὶ δίψα. προϊόντος ἀρχομένῳ ἐξαίσιον τὸ θερμὸν μελίκρητον πιούσῃ καὶ ἀπεμούσῃ ἥ τε φρίκη καὶ ἡ ἄση, ἐπαύσατο καὶ τὸ ἀπὸ τῆς σίδης ὕστερον. τῇ Διοπειθέος ἀδελφῇ ἐν ἡμιτριταίῳ δεινὴ καρδιαλγίη || περὶ τὴν λῆψιν, καὶ ξυμπαρείπετο ὅλην τὴν ἡμέρην καὶ κεφαλαλγίη καὶ τῇσιν ἄλλῃσιν. ὡσαύτως ὑπὸ πληϊάδος δύσιν, ἀνδράσιν σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. [592] τῇ Ἀπομότου ἐν ἡμιτριταίῳ περὶ ἀρκτοῦρον δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν, καὶ ἔμετοι, καὶ πνῖγες προσίσταντο ἅμα ὑστερικαὶ, καὶ ἐς τὸ μετάφρενον ὀδύναι κατὰ ῥάχιν, ὅτε δὲ ἐνταῦθά οἱ ἴῃ, ἔληγον αἱ καρδιαλγίαι. τῇ Τερπιδέω μητρὶ τῇ ἀπὸ Δορίσκου διαφθορῆς γινομένης, μηνὶ πέμπτῳ διδύμων ἐκ πτώματος, τοῦ μὲν ἑτέρου αὐτίκα ὡς ἐν χιτῶνί τινι ἀπηλλάγη, τοῦ δὲ ἑτέρου ἢ πρότερον ἢ ὕστερον μ ἡμερέων ἀπηλλάγη, ὕστερον δὲ ἔλαβεν ἐν γαστρί. ἔτει δὲ ἐνάτῳ ὀδύναι δειναὶ κατὰ γαστέρα ἐπὶ πουλὺν χρόνον ἤρχοντο. ἔστι μὲν ὅτε ἐκ τοῦ τραχήλου καὶ ῥάχιος. καθίσταντο δὲ ἐς ὑπογάστριον καὶ βουβῶνας. ἔστι δ᾽ ὅτε ἐκ

et sitis, progressu temporis per febris initia immoderatus calor. Mulsa epota et vomitione rejecta et horror et anxietas cessavit, posteaque mali punici succum sumpsit. Diopithis sororem in semitertiana febre sub accessionem vehemens oris ventriculi dolor tenuit et tota die perseverabat, hujusmodique oris ventriculi dolor reliquis mulieribus eodem modo aderat. Talia tamen sub vergiliarum occasum viris rarius contingebant. Sub arcturum in febre semitertiana Apomoti conjugem, circa accessionis tempus, vehemens oris ventriculi dolor et vomitus tenuit, simulque uteri strangulatus male afficiebant et ad dorsum dolores juxta spinam erant, ex eoque tempore oris ventriculi dolores cessabant. Terpidae mater a Dorisco mense quinto ex casu per abortionem gemellos enixa est, altero quidem velut tunica conclusa statim liberata, altero vero aut prius aut posterius quadraginta diebus, postea autem utero gestavit. At anno nono vehementes ventris dolores diu tenuerunt interdumque ex cervice et spina ortum sumebant, in imo autem ventre et inguinibus consistebat, quandoque

Ed. Chart. IX. [592. 593.] Foes. II, 1235. Ed. Lind. I. (870.)

γού(870)νατος τοῦ δεξιοῦ. καθίσταντο δὲ ἐς τὠυτὸ, καὶ ὅτε μὲν κατὰ τὴν γαστέρα αἱ ὀδύναι εἶεν, ἐμετεωρίζετο ἡ κοιλίη, ὅτε δὲ ἐπαύσατο, ξυνέπιπτεν ἡ καρδιαλγίη, πνιγμοὶ οὐκ ἐνῆσαν. ψύξις δὲ τοῦ σώματος ὡς ὕδατι κειμένῳ, κατὰ τὸν χρόνον ἡνίκα ἡ ὀδύνη ἐγίνετο, ὑπέστρεφε δι᾽ ὅλου τὰ ἀλγήματα. ἠπιώτερα τῶν κατ᾽ ἀρχὰς, σκόροδα, σίλφιον, τὰ δριμέα ξύμπαντα οὐ ξυνέφερεν, οὐδὲ τὰ γλυκέα, οὐδὲ τὰ ὀξέα, οὐδὲ οἱ λευκοὶ οἶνοι. οἱ μέλανες δὲ καὶ λουτρὰ ὀλιγάκις ἀρχομένη, καὶ ἔμετοι δεινοὶ ἐπεγίνοντο καὶ τῶν σιτίων ἀποκλείσιες καὶ περὶ τὰς ὀδύνας τὰ γυναικεῖα οὐκ ἐφαίνετο. τῇ Κλεομένεος περὶ ζεφύρου πνοὰς, ἐκ ναυσίης καὶ κόπου πλευροῦ ἀριστεροῦ ὀδύνη, ἐκ τραχήλου ἀρξαμένη καὶ τοῦ ὤμου, πυρετὸς καὶ φρίκη καὶ ἱδρώς. ἤρξατο δὲ ὁ πυρετὸς καὶ οὐκ ἔληγεν, ἀλλ᾽ ἐπέ[593]τεινε, καὶ ἡ ὀδύνη δεινὴ, βὴξ, ἀπόχρεμψις ὕφαιμος ὠχρὴ, πολλὴ, γλῶσσα λευκὴ, διαχωρήματα μέτρια ὑγρὰ, οὖρα χολώδεα. τετάρτῃ ἐς νύκτα τὰ γυναικεῖα ἦλθε πουλλὰ, ἔληξεν ἥ τε βὴξ καὶ ἡ ἀπόχρεμψις

vero ex genu dextro exorti, in eundem locum consistebant. Et cum quidem ad ventrem dolores essent, alvus intumescebat, cum vero cessarent, oris ventriculi dolor contingebat, strangulatus non aderant. Corpus peraeque frigebat ac si in aqua jaceret. Quo tempore dolor aderat, toto corpore recursabant dolores quam per exordia leviores. Nihil allia, laserpitium aut acria omnia conferebant, neque dulcia neque acida, neque vero vina alba, verum nigra et balnea pauca per initia. Vomitiones vehementes accedebant et cibi intercludebantur, neque per dolores menses apparebant. Cleomenis uxorem flante favonio ex nausea et lassitudine lateris sinistri dolor corripuit, ex cervice et humero initium ducens, febris aderat et horror et sudor. Coeperat autem febris neque desinebat, verum intendebatur et vehemens dolor erat, tussis, exscreatio aliquantulum cruenta, pallida, multa, lingua albicans, dejectiones moderatae liquidae, urinae biliosae. Quarto die sub noctem menstrua copiosa prodierunt, tussisque desiit et exscreatio

καὶ ἡ ὀδύνη, ἡ δὲ θερμὴ λεπτή. τῇ Ἐπιχάρμου πρὸ τόκου δυσεντερίη, πόνος, ὑποχωρήματα ὕφαιμα, μυξώδεα, τεκούσῃ παραχρῆμα ὑγιής. τῇ Πολεμάρχου ἐν ἀρθριτικοῖς ἰσχίου ἄλγημα ἐξαίφνης γυναικείων οὐ γενομένων, τὸ ἐν τῷ τεύτλῳ πιούσῃ. ἔσχετο ἡ φωνὴ νύκτα καὶ ἐς μέσον ἡμέρης, ἤκουσε μετὰ ταῦτα καὶ ἐφρόνει, καὶ τῇ χειρὶ ἐσήμαινεν ἀμφὶ τὸ ἰσχίον εἶναι τὸ ἄλγημα. (871) τῇ Λικινίου ἀδελφῇ, τῇ ἀφηλικεστέρῃ ἔμετος ὅτι προσδέξαιτο τεσσαρεσκαίδεκα ἡμέρας, ἄνευ πυρετοῦ. αἱματωδέων τῶν ἐμεσμάτων, ἐρεγμοὶ, καὶ ξυνεσταλμένον, ἐχώρει πρὸς καρδίην πνίγμα, καστόριον, σέσελι, πάντα ἔπαυσε, καὶ τὸ ἀπὸ τῆς σίδης. ἀπέστη δὲ ἄλγημα μέτριον ἐς κενεῶνα, βολβοῦ χυλὸς, καὶ οἶνος γαλακτώδης αὐστηρός, καὶ ἄρτοι ὡς ἐλάχιστοι ξὺν ἐλαίῳ. τῇ Παυσανίου κούρῃ μύκητα ὠμὸν φαγούσῃ ἄση ἔσχε, πνιγμὸς, ὀδύνη γαστρὸς μελίκρητον θερμὸν πίνειν καὶ [594] ἐμέειν ξυνήνεγκε καὶ λουτρὸν θερμόν. ἐν τῷ λουτρῷ ἐξήμεσε τὸν

et dolor, tenuis tamen calor relictus est. Uxor Epicharmi ante partum intestinorum difficultate laborabat, dolor aderat, dejectiones aliquantulum cruentae, mucosae. Ubi peperisset, confestim convaluit. Polemarchi uxorem articulorum doloribus vexatam, minime fluentibus mensibus, coxendicis dolor derepente corripuit. Post epotum betae jusculum vox per noctem et ad meridiem usque intercepta fuit. Postea audivit et mentis compos erat, manuque indicabat dolorem circa coxendicem adesse. Licinii sororem quae jam florentes annos exegerat, vomitus cepit, quo quicquid quatuordecim diebus assumpserat, rejiciebat, febris expers erat, cruentarum vomitionum eructationes aderant, et ad os ventriculi strangulatio procedebat coarctationem inducens. Castorium, seseli et mali punici succus est exhibitus, cuncta sedata sunt, modicus tamen dolor in lateris inanitatem concessit. Bulbi succus contulit, et vinum austerum egelidum, et quam paucissimi panes oleo intincti. Pausaniae puellam ex fungi crudi esu anxietas corripiebat, suffocatio, ventris dolor. Mulsa calida epota et vomitio profuit, balneumque calidum. In balneo fungum vomi-

Ed. Chart. IX. [594.] Foës. II. 1235. 1236. Ed. Lind. I. (871. 872.)

μύκητα, καὶ ἐπεὶ λήξειν ἔμελλεν, ἐξίδρωσεν. Ἐπιχάρμῳ περὶ πληϊάδων δύσιν ὤμου ὀδύνη καὶ βάρος δεινὸν ἐς βραχίονα, ἄση, ἔμετοι συχνοὶ, ὑδρωποσίη. τῷ Εὔφρονος παιδὶ ἐξανθήματα οἷα ἀπὸ κωνώπων, μετὰ ζέφυρον αὐχμοὶ ἐγένοντο μέχρις ἡμέρας μετοπωρινῆς. ὑπὸ κύνα δεινὰ πνίγεα, καὶ πνεύματα θερμὰ καὶ πυρετοὶ ἱδρώδεες καὶ πάλιν εὐθὺς ὑπεθέρμαινον. φύματα δὲ παρ᾽ οὖς πολλοῖσιν ἐγένετο. τῇ γραίῃ βηχικῇ περὶ ἐνάτην. τῷ μειρακίῳ τῷ σπληνώδει τῷ τῆς παιδίσκης, κοιλίης ὑγρανθείσης περὶ τὸν αὐτὸν χρόνον. Κτησιφῶντι ὑπ᾽ ἀρκτοῦρον σχεδὸν περὶ τὰς ἑπτὰ τῷ παιδὶ μοῦνον ἐπωήθη. τῷ Ἐρατύλλου ἀπεμωλύνθη, περὶ ἀμφότερα ἀνιδρώσιες. γλώσσης ὑπὸ ξηρότητος ψελλοὶ, οἱ ὀρνιθίαι ἔπνευσαν πολλοὶ καὶ ψυχροὶ, καὶ χιόνες ἐξ εὐδείων (872) ἔστιν ὅτε ἐγένοντο, καὶ μετὰ ἰσημερίην νότια διαμίσγοντα βορείοις, ὕδατα συχνὰ ἐπεδήμησαν. βῆχες πολλαὶ, μᾶλλον δὲ παιδίοισι. παρὰ ὦτα πολλοῖσιν, οἷα τοῖσι Σατύροισιν. ὅτε δὲ

tione rejecit et ubi ista cessatura essent, sudore detenta est. Epicharmo sub vergiliarum occasum humeri dolor et ad brachium vehemens gravitas contigit, anxietas aderat, crebrae vomitiones et aquae potio. Euphranoris filio pustulae culicum morsibus non absimiles eruperunt. Post favonium ad autumnale aequinoctium squallores multi continebant. Sub canem aestus vehementes, venti calidi, febres in quibus aegri sudoribus diffluebant, statim rursus aliquantulum incalescebant. Aurium vero tubercula multis enascebantur, ut vetulae tussiculosae sub nonum diem. Eodemque tempore adolescentulo lienis tumore laboranti, ancillae filio liquidiore alvo. Ctesiphonti ad arcturum, fere circa septimum puero soli ad suppurationem pervenerunt. Eratylli puero ad utramque aurem exorta disparuerunt, sudores nulli aderant, prae linguae siccitate blaesi erant. Ornithiae spiraverunt multi et frigidi, post tranquillitates interdum nives aderant, post aequinoctium austrina aquilonaribus permista erant frequentes pluviae, tusses multae, praecipue vero in pueros vulgariter grassatae sunt. Plerisque circa aures qualia Satyris oborta sunt. Interdum au-

Ed. Chart. IX. [594. 595.] Foës. II. 1236. 1238. Ed. Lind. I. (872.)
ὁ πρὸ τούτου τοῦ χρόνου χειμὼν σφόδρα χειμερινὸς ἐγένετο ἐν χιόνι καὶ ὄμβροισι βορείοισιν.

[595] || Τῷ Τιμόνακτος παιδίῳ ὡς διμηνιαίῳ ἐξανθήματα ἐν σκέλεσιν, καὶ ἐν ἰσχίοισι καὶ ὀσφύϊ, ὑπογαστρίῳ καὶ οἰδήματα σφόδρα ἐνευρέθη. καταστάντων δὲ τούτων, σπασμοὶ καὶ ἐπιληπτικὰ ἐγένοντο ἄνευ πυρετῶν ἡμέρας πολλὰς καὶ ἐτελεύτησεν. τῷ τοῦ Πολεμάρχου ξυνέβη μὲν τῷ ἔμπροσθεν χρόνῳ ἐμπυωθῆναί τε καὶ ἀποχρέμψασθαι, ὕστερον δὲ θέρμαι αὐτῷ ἦσαν, καὶ ὑδρωπιώδης ἦν καὶ ἐπίσπληνος καὶ ἀσθματώδης. πρὸς αἶπος εἴ ποτε ἴοι, ἀδύνατος καὶ διψώδης, καὶ ἀπόσιτος ἐπιεικῶς ἔστιν ὅτε, καὶ βηχία ξηρὰ ἐπὶ πουλὺν χρόνον οὕτως ἐγίνετο. ὑπεφέρετο καὶ εἰ μή τοι εὔλυτος. κοιλίη κάτω πλήρης ἐγίνετο, καὶ ἆσθμα καὶ πνίγμα ἐγένετο μᾶλλον. τέλεος δὲ κατάῤῥοος, καὶ ἀπόχρεμψις ἐπικατῆλθε, καὶ βὴξ, ἡ δὲ ἀπόχρεμψις παχεῖα καὶ ὠχρά. πῦα δὲ καὶ πυρετὸς σφοδρὸς, καὶ ἐδόκει λῆξαι, καὶ ἡ βὴξ πρηϋτέρη, καὶ ἡ ἀπόχρεμψις καθαρή. ὑπέστρεψε πάλιν ὀξὺς πυ-

tem quae praecesserat hiems admodum hiberna extiterat, nivibus et imbribus aquilonaribus infesta.

Timonactis infanti fere bimestri, pustulae in cruribus, coxis, lumbis et imo ventre, tumoresque admodum rubicundi extiterunt. Quibus conquiescentibus convulsiones et comitiales exoriebantur, multis diebus sine febre fuit et mortuus est. Polemarchi puerum, qui antea quidem pus intro collegerat et exscreaverat, tandem tamen calores corripuerunt, aqua inter cutem vexabatur, lienis tumore et crebro anhelitu. Si quando ad locum accessu difficilem contenderet, imcecillus erat et siticulosus ac interdum cibum fere aversabatur, itemque tussicula sicca multo tempore detinebat, ac nisi sane soluta esset alvus inferior, implebatur et creber anhelitus suffocatioque magis vexabat. Tandem vero destillatio et exscreatio supervenit et tussis. Exscreatio autem crassa, pallida, purulenta, febrisque vehemens erat, quae desiisse visa est et tussis esse mitior puraque exscreatio. Rursus febris acuta repetiit, spiratio crebra, mortuus est. Antea tamen pedes riguerunt, posteaque toto cor-

ρετὸς, πνεῦμα πυκνὸν, ἐτελεύτησε, πλὴν προσεῤῥίγωσε πόδας καὶ κατεψύχθη μετὰ ταῦτα, πνεῦμα μᾶλλον ἐγκατελήφθη, ἡ οὔρησις ἔστη, τὰ ἄκρεα κατεψύχθη, ἔμφρων ἐτελεύτησε, τριταῖος δὲ ἀπὸ τῆς ὑποστροφῆς. (873) τῷ τοῦ Θύνου σφόδρα ἐν πυρετῷ καυσώδει ἐλιμοκτονήθη, ὑποχώρησις συχνὴ, μετὰ χολῆς δὲ ἐγένετο καὶ μετὰ ἀψυχίης καὶ ἱδρῶτος πολλοῦ, κατεψύχθη σφόδρα, καὶ ἄφωνος ἦν ἡμέρην ὅλην καὶ νύκτα, ἐγχεόμενος χυλὸν πτισάνης κατείχετο, ἐφρόνει, εὔπνοος ἦν. [596] τῷ Ἐπιχάρμου ξυνέβη ἐκ περιόδου καὶ ποτοῦ ἀπεψίη, τῇ ὑστεραίῃ δὲ πρωῒ ἄσης γενομένης πιὼν ὕδωρ, ὄξος, ἅλας, ἐξήμεσε φλέγμα, μετὰ δὲ ῥῖγος ἔλαβεν, ἐλούσατο πυρεταίνων καὶ στῆθος ἤλγει. τῇ τρίτῃ εὐθὺς πρωῒ κῶμα, ὀλίγον χρόνον ἐπεῖχεν καὶ ἐπελήρει, καὶ πυρετὸς ὀξὺς, βαρέως ἔφερε τὴν νόσον. τῇ τετάρτῃ ἄγρυπνος, ἀπέθανεν. Ἀρίστωνι δακτύλου τοῦ ποδὸς ἡλκωμένου ξὺν πυρετῷ ἀσάφεια, τὸ γαγγραινῶδες ἀνέδραμεν ἄχρι πρὸς γόνυ, ἀπώλετο, ἦν δὲ μέλαν ὑπόξηρον, δυσῶδες. ὁ τὸ καρκίνωμα τὸ ἐν τῇ φάρυγγι καυθεὶς ὑγιὴς ἐγένετο ὑφ᾽ ἡμέων. Πολύ-

pore refrixit. Spiratio magis intercepta fuit, urina ſuppreſſa eſt, extrema perfrixerunt, mentis compos mortuus eſt, tertio vero a recidiva die. Thyni puero in febre ardente vehementer inedia confecto, copioſa alvi dejectio cum bile tamen aderat et animi deliquio, multoque ſudore, toto corpore admodum perſrixit dieque integro et nocte vox defecerat. Infuſum ptiſanae cremorem continuit, mentis compos erat, facile ſpirabat. Epicharmi puero ex deambulatione et potu cruditas contigit. Poſtridie autem mane ſuborta anxietate, epota aqua cum aceto et ſale pituitam vomitione rejecit, poſteaque rigor prehendit, in febre lavit, pectus dolebat. Tertio die ſub ipſum crepuſculum ſopor exiguo tempore detinebat, delirabat et febre acuta vexabatur, morbum gravate ferebat. Quarto pervigil mortuus eſt. Ariſtoni pedis digito ulcerato cum febre vocis obſcuritas aderat, gangraena ad genu usque pervenit, periit. Ulcus autem erat nigrum, ſubaridum et graveolens. Qui cancrum in faucibus habebat, uſtione per nos convaluit. Abderis Polyphantus capitis

φαντος ἐν Ἀβδήροισι κεφαλὴν ὠδύνατο, ἐν πυρετῷ σφοδρῷ, οὖρα λεπτὰ πολλὰ, ὑποστάσιες δασεῖαι καὶ ἀνατεταραγμέναι, οὐ παυομένου δὲ τοῦ ἀλγήματος τῆς κεφαλῆς πταρμικὰ προσετέθη ἐόντι δεκαταίῳ, μετὰ δὲ ἐς τράχηλον ὀδύνη ἰσχυρὴ, οὖρον ἦλθεν ἐρυθρὸν, ἀνατεταραγμένον οἷον τὸ τοῦ ὑποζυγίου, παρέκρουσε τρόπον φρενιτικὸν, ἀπέθανεν ἐν σπασμοῖσιν ἰσχυροῖσιν. [597] παραπλησίως δὲ καὶ ἡ τοῦ Εὐαλκίδου οἰκέτις, ἔνθα οἱ πολὺν χρόνον τὰ δασέα ἐχώρει οὖρα καὶ κεφαλαλγίαι ἐνῆσαν, φρενιτικὴ γενομένη ἀπέθανεν ὡσαύτως σπα(874)σμοῖσιν ἰσχυροῖσι, πάνυ γὰρ τὰ δασέα οὖρα καὶ ἀνατετραμμένα σημεῖον ἀκριβὲς κεφαλαλγίης καὶ σπασμοῦ καὶ θανάτου. ὁ δὲ Ἁλικαρνασσεὺς ὁ ἐν τῇ Ξαντίππου οἰκίῃ καταλύων οὖς ἐν χειμῶνι ὠδύνατο, καὶ κεφαλὴν οὐ μετρίως. ἦν δὲ περὶ ἔτεα πεντήκοντα. φλέβα ἐτμήθη, κατὰ Μνησίμαρχον, ἐβλάβη ἡ κεφαλὴ κενωθεῖσα καὶ ψυχθεῖσα, οὐ γὰρ ἐξεπύησεν. φρενιτικὸς ἐγένετο, ἀπέθανε, οὖρα καὶ τούτῳ δασέα. ἐν Καρδίῃ τῷ Μητροδώρου παιδὶ ἐξ ὀδόν-

dolore in vehementi febre vexabatur. Urinae tenues, copiosae, sedimenta crassa et returbata.* Cum vero capitis dolor minime conquiesceret, sternutamenta sunt naribus admota decimo die. Post haec autem dolor vehemens cervicem invasit, urina rubra prodiit returbida, qualis veterini generis. Velut phrenitide captus mente motus est, obiit cum vehementibus convulsionibus. Ad eundem quoque modum Eualcidae famula, cum ei multo tempore urinae densae prodirent et capitis dolores adessent, phrenitide correpta et vehementibus convulsionibus similiter vexata mortua est. Fere enim urinae spissae et conturbatae capitis doloris, convulsionis et mortis indubitatum signum prae se ferunt. Halicarnasseus quidam, qui ad Xantippi domum divertebat, per hiemem auris et capitis dolore non mediocri tenebatur. Erat autem annorum prope quinquaginta. Vena juxta Mnesimachum pertusa est. Caput vacuatum ac perfrigeratum noxiam sensit. Neque enim pus reddidit. Phreniticus evasit, mortuus est. Huic quoque urinae spissae erant. In Cardia Metrodori puero ex dentium dolore maxillae sideratio et

των ὀδύνη, σφακελισμὸς σιηγόνος καὶ οὐλάων ὑπερσάρκωσις δεινὴ, μετρίως ἐξεπύησεν, ἐξέπεσον οἵ τε γόμφοι καὶ ἡ σιαγών. || Ἀναξήνωρ ἐν Ἀβδήροισιν, ἦν μὲν σπληνώδης καὶ κακόχρους, ξυνέβη δὲ αὐτῷ οἰδήματος γενομένου περὶ μηρὸν τὸν ἀριστερὸν ἐξαπίνης τοῦτο ἀφανισθῆναι. οὐ πολλῆσι δὲ ὕστερον ἡμέρῃσιν ἐγενήθη αὐτῷ κατὰ τὸν [598] σπλῆνα οἷον ἐπινυκτὶς ἐξ ἀρχῆς, ἔτι δὲ οἴδημα καὶ ἐρύθημα σκληρὸν, μετὰ δὲ ἡμέρην τετάρτην πυρετὸς ἐγένετο καυσώδης καὶ ἐπελιδνώθη πάντα κύκλῳ καὶ σαπρὰ ἐδόκει, ἀπέθανεν, ὑπεκαθάρθη δὲ πρότερον καὶ κατενόει. Κλόνιγος ἐν Ἀβδήροισιν ἦν μὲν νεφριτικὸς, οὔρει δὲ αἷμα κατὰ σμικρὸν κατὰ πουλὺ χαλεπῶς, ἠνόχλει δὲ καὶ κοιλίη δυσεντερική. τούτῳ πρωῒ μὲν ἐδίδοτο γάλα αἴγειον, καὶ ὕδατος πέμπτη μερὶς ἀναζευγμέον τὸ πᾶν κοτύλαι τρεῖς. ἑσπέ(875)ρην δὲ ἄρτος μὲν ἔξοπτος, ὄψα δὲ σεῦτλα, ἢ σίκυος, οἶνος μέλας λεπτὸς, ἐδίδοτο δὲ καὶ σίκυον πέπονα. οὕτω δὲ διαιτωμένῳ καὶ ἡ κοιλίη

vehementer supercrescens in gingivis caro ac moderata suppuratio contigit, tum molares tum maxilla ipsa deciderunt. Abderae Anaxenor lienosus quidem erat et vitiato colore. Contigit autem ut obortus ad femur sinistrum tumor derepente evanesceret. Neque multis post diebus ad lienis regionem exorta ei est per initia velut pustula noctibus inquietans Epinyctis dicta, insuperque tumor cum rubore et duritie. Post diem autem quartum febris ardens suborta est et in ambitu omnia livorem contraxerunt et computruisse visa sunt. Mortuus est cum tamen antea aliquantulum purgatus et mentis compos fuisset. Abderae Clonigus cum renum quidem doloribus vexaretur, sanguinem paulatim mejebat plerumque cum molestia et alvus intestinorum difficultate laborabat. Huic mane quidem lac caprillum cum quinta aquae parte est exhibitum, ita ut tota mixtura heminarum trium esset. Ad vesperum autem, cum pane quidem exassato, pro obsonio beta aut cucumis, vinum nigrum tenue. Exhibebatur etiam cucumeralis pepo. Hac autem victus ratione et alvus substitit et purae urinae prodibant.

ξυνέστη, καὶ τὰ οὖρα καθαρὰ ἐφοίτα. ἐγαλακτοπότησε δὲ ἕως τὰ οὖρα ἀπεκατέστη. γυναικὶ ἐν Ἀβδήροισι καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος. ἦν δὲ τοιοῦτον. διὰ τῆς θηλῆς ἰχὼρ ὕφαιμος ἔῤῥει, ἐπιληφθείσης δὲ τῆς ῥύσιος ἀπέθανεν. τῷ Δεινίου παιδίῳ ἐν Ἀβδήροισι μετρίως ὀμφαλὸν τρωθέντι συρίγγιον κατελείφθη, καί ποτε καὶ ἕλμις δι' ἑωυτοῦ διῆλθεν ἁδρὰ, καὶ ἔφη ὅτε πυρέξειε χολώδεα ὅτι καὶ αὐτὰ ταύτῃ διήει, προσεπεπτώκει τούτῳ τὸ ἔντερον πρὸς τῷ συριγγίῳ καὶ διαβέβρωτο ὡς τὸ συρίγγιον καὶ ἀπανεῤῥήγνυτο καὶ βηχία διεκώλυε διαμένειν. [599] τῷ παιδίῳ τῷ Πυθῶνος ἐν Πέλῃ πυρετὸς αὐτίκα ἤρξατο πουλὺς καὶ καταφορὴ πουλλὴ μετὰ ἀφωνίης, ὕπνοι ἐγένοντο, καὶ κοιλίη σκληρὴ παρὰ πάντα τὸν χρόνον, προστιθεμένου δὲ τοῦ ἐκ τῆς χολῆς πολλὰ διεχώρει, καὶ αὐτίκα ἐνεδίδου, ταχὺ δὲ πάλιν ἡ κοιλίη ἐπήρετο, καὶ ὁ πυρετὸς παρωξύνετο, καὶ ἡ καταφορὴ διὰ τῶν αὐτῶν. τῆς δ' αὐτῆς ἀγωγῆς ἐούσης ἐδόθη τι τῶν σὺν κνίκῳ, καὶ σικύου, καὶ μηκωνίου, καὶ χολώδεα κατέῤῥηξε, καὶ αὐτίκα

In lactis autem potu perſeveravit, tantisper dum urinae reſtitutae ſunt. Abderae mulieri cuidam circa pectus carcinoma exortum eſt. Erat autem hujusmodi, per papillam ſanies ſubcruenta effluebat. Intercepta vero fluxione mortua eſt. Abderae Dinii puero ad umbilicum mediocriter pertuſo, fiſtula parva relicta eſt, interdumque lumbricus craſſus per ſe pervaſit, cumque febricitaret, ut ajebat, bilioſa, quod et ipſa hac prodibant. Huic inteſtinum in fiſtulam prolapſum eſt ac velut fiſtula corrodebatur, rurſusque disrumpebatur, tuſſiculaeque intus permanere non ſinebant. In Pela Pythonis filius confeſtim multum ſebricitare coepit cum magna in ſomnum propenſione, cum vocis defectione ſomni fiebant, alvusque toto tempore dura erat. Glande vero ex felle ſuppoſita multa dejiciebat, ſtatimque remittebat. Celeriter autem alvus rurſus intumeſcebat, febris ingraveſcebat, eademque in ſomnum propenſio perſeverabat. Eodem autem rei ſtatu exhibitum eſt aliquid medicamenti ex his quae carthamum et cucumerem agreſtem et meconium recipiunt, bilioſa eruperunt confestimque ſopor ceſſavit, fe-

Ed. Chart. IX. [599.600.] Foes. II. 1239. Ed. Lind. I. (875.876.)

τὸ σῶμα ἐπέπαυτο, καὶ ὁ πυρετὸς ἐπραΰνετο, καὶ τὰ ὅλα ἐκουφίσθη, καὶ ἐκρίθη τεσσαρεσκαιδεκαταῖος. (876) Εὔδημος σπλῆνα ἐπόνει ἰσχυρῶς, προσετάττετο ὑπὸ τῶν ἰητρῶν ἐσθίειν πουλλὰ, πίνειν οἶνον ὀλίγον λεπτὸν, περιπατεῖν συχνὰ, οὐ μετέβαλλεν, ἐφλεβοτομήθη, σιτία καὶ ποτὰ πεφεισμένως, περίπατοι ἐκ προσαγωγῆς, οἶνος μέλας λεπτὸς, ὑγιάνθη. Φιλιστίδι τῇ Ἡρακλείδου γυναικὶ ἤρξατο πυρετὸς ὀξὺς, ἔρευθος προσώπου ἐξ οὐδεμίης προφάσιος, ὀλίγον δ' ὕστερον τῆς ἡμέρης ἐῤῥίγωσεν, οὐκ ἀναθερμανθείσης σπασμὸς ἐγένετο, ἐν τοῖσι δακτύλοισι τῶν χειρῶν καὶ τῶν ποδῶν, σμικρὸν δὲ μετὰ ταῦτα ἐπεθερμάνθη. οὔρησε τροφιώδεα, νεφελώδεα διεσπασμένα, νύκτα ἐκοιμήθη. δευτέρῃ ἐπεῤῥίγωσεν, ἡμέρῃ σμικρῷ μᾶλλον ἐθερμάνθη, καὶ τὸ ἔρευθος ἧσσον, καὶ οἱ σπασμοὶ ἐπεγένοντο μετριώτεροι. οὖρα διὰ τῶν αὐ[600]τῶν. νύκτα ἐκοιμήθη, σμικρὰ διαγρυπνήσασα μηδεμιῆς δυσφορίης ἐνεούσης. τριταίῃ οὔρησεν εὐχροώτερα σμικρὰ ὑφεστηκότα, τὴν δ' αὐτὴν ὥρην ἐπεῤῥίγωσεν, πυρετὸς ὀξὺς, ἱδρὼς ἐς νύκτα

bris mitescebat, cunctaque allevata sunt et decimoquarto die judicio est absolutus. Eudemo lienis dolore vehementer conflictato a medicis est imperatum ut multa comederet, vinum paucum tenue biberet, frequenter deambularet, ex qua victus ratione nihil immutabat. Vena secta est, cibos et potum parce sumsit, deambulationes sensim auctae sunt, vinum nigrum tenue est exhibitum, convaluit. Philistidem Heraclidae conjugem febris acuta invasit, faciei rubor nulla ex evidente causa. Paulo vero post procedente die, rigore correpta cum non recalesceret, convulsio in magnum digitis et pedum oborta est, paulumque postea incaluit. Urinas reddidit compacta quaedam innatantia, nebulosa, divulsa habentes, per noctem dormivit. Secundo die insuper riguit, per diem paulo magis incaluit et rubor minor erat et convulsiones moderatiores succedebant, urinae eaedem, noctem dormivit, parum pervigil fuit cum nulla aegre tolerabili molestia. Tertio die urinas coloratas magis reddidit, parum subsidentes, sub idem tempus subinde rigor prehendit, fe-

Ed. Chart. IX. [600.] Foëſ. II. 1239. 1240. Ed. Lind. I. (876. 877.)

δι᾽ ὅλου. ὀψὲ δὲ τῆς ἡμέρης τὸ χρῶμα ἀνετράπη εἰς τὸν ἰκτερώδεα τρόπον, νύκτα ὕπνωσε δι᾽ ὅλου. τεταρταίῃ αἷμα ἐκ τοῦ ἀριστεροῦ ἐῤῥύει καλῶς, καὶ γυναικεῖα σμικρὰ ἐπεφάνει ἐν τάξει. πάλιν δὲ τὴν αὐτὴν ὥρην τὸ πυρέτιον || παρωξύνθη, οὖρα τροφιώδεα σμικρὰ, κοιλίη δὲ φύσει μὲν σκληρὴ, πολὺ δὲ μᾶλλον ξυνεστήκει, καὶ οὐδὲν διήει εἰ μὴ βάλανον πρόσθοιτο, νύκτα ὕπνωσε. πεμπταίῃ τό τε (877.) πυρέτιον πρηΰτερον, καὶ πρὸς τὴν ἑσπέρην δι᾽ ὅλου ἵδρου, καὶ γυναικείων χώρησις, καὶ νύκτα ὕπνωσεν. ἑκταίῃ οὔρησεν ἀθρόον πουλὺ τροφιῶδες, σμικρὴν ὑπόστασιν ἔχον ὁμόχροον, περὶ δὲ μέσον ἡμέρης σμικρὰ ἐῤῥίγωσεν, ὑπεθερμάνθη, ἵδρωσε δι᾽ ὅλου, οὖρα εὔχροα, ἐκρίθη πάντα. Τύχων ἐν τῇ πολιορκίῃ τῇ περὶ Δάτον ἐπλήγη καταπέλτῃ ἐς τὸ στῆθος καὶ μετ᾽ ὀλίγου γέλως ἦν περὶ αὐτὸν θορυβώδης, ἐδόκει δέ μοι ὁ ἰητρὸς ἐξαίρων τὸ ξύλον ἐγκαταλιπεῖν τὸν σίδηρον κατὰ

bris acuta, ſudor per noctem toto corpore dimanavit. Sub veſperum autem diei color in regii morbi modum verſus eſt, noctu dormivit et ſudor toto corpore effluxit. Quarto die ſanguis ex nare ſiniſtra probe effluxit et menſtrua pauca ſuo ordine comparuerunt. Rurſus autem eodem tempore febricula ingraveſcebat, urinae paucae, denſata quaedam innatantia habentes. Alvus vero cum natura dura eſſet, multo tamen magis ſubſtitit, nihilque niſi ſubdita glande demittebat, noctu dormivit. Quinto die tum febricula mitior viſa eſt tum ſub veſperum ſudor toto corpore effuſus eſt et menſtrua profluxerunt noctuque dormivit. Sexto die urinam confertam, multam, denſata quaedam innatantia et paucam ſubſidentiam concolorem habentem reddidit. Circa meridiem autem paulum inſuper riguit, aliquantum incaluit, ſudor toto corpore diminavit, noctu dormivit. Septimo die parum recaluit, facile tulit, toto corpore ſudavit, urinae probe coloratae erant, cuncta judicatione ſunt abſoluta. In oppugnatione circa Datum Tychon catapulta in pectus vulnus accepit, parvoque poſt intervallo riſus cum perturbatione ei aderat. Videbatur autem medicus cum lignum eximeret, ferrum circa ſeptum transverſum reliquiſſe. Cumque ſub

Ed. Chart. IX. [600. 601.] Foës. II. 1240. Ed. Lind. I. (877. 878.)

τὸ διάφραγμα, ἀλγέοντος δὲ αὐτοῦ περὶ τὴν ἑσπέρην, ἔκλυσέ τε καὶ ἐφαρμάκευσε. κατὰ νύκτα διήγαγε τὴν πρώτην δυσφόρως. ἅμα δὲ τῇ ἡμέρῃ ἐδόκει καὶ τῷ ἰητρῷ καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν, ἦν γὰρ ἡσυχέος. πρόῤῥησις ὅτι σπασμοῦ γενομένου οὐ βραδέως ἀπολεῖται. ἐς τὴν ἐπιοῦσαν νύκτα δύσφορος, ἄγρυπνος, ἐπὶ γαστέρα τὰ πολλὰ κείμενος. τρίτῃ πρωῒ ἐσπᾶτο, περὶ μέσον ἡμέρης ἐτελεύτησεν. εὐνοῦχος ἐκ κυνηγεσίης καὶ διαδρομῆς ὑδραγωγὸς γίνεται. [601] ὁ παρὰ τὴν Ἐλεαλκέος κρήνην. ὁ περὶ τὰ ἓξ ἔτεα ἱππουρίν τε καὶ βουβῶνα καὶ ἴξιν καὶ κέδματα. ὁ τὸν κενεῶνα φθινήσας ἑβδομαῖος ἀπέθανεν, προπιούντων ἄπεπτον, ἁλμυρὰ μετὰ μέλιτος. πορνείη ἄχρωμος δυσεντερίης ἄκος. (878) τῇ Λεωνίδεω θυγατρὶ ἡ φύσις ὁρμήσασα ἀπεστράφη. ἀποστραφεῖσα ἐμυκτήρισεν, μυκτηρίσασα διηλλάγη. ὁ ἰητρὸς οὐ ξυνεῖδεν, ἡ παῖς ἀπέθανεν. ὁ Φιλοτίμου παῖς ἔφηβος ἦλθεν

vesperam ei dolor commotus esset, infusum per clysterem et medicamentum alvum dejiciens exhibuit. Primam noctem implacide transegit. Sub diluculum vero et medico et reliquis melius habere visus est, placidus quippe erat. Praedictum est accedente convulsione celeriter periturum. Postera nocte implacidus, pervigil, in ventrem plerumque decumbens, tertio die mane convulsione tentabatur, sub meridiem mortuus est. Eunuchus ex venatu et discursatione in aquam inter cutem delabitur. Qui ad Elealcis fontem habitabat, ad sex annos hippurin habuit et inguinum tumorem, varicem et diuturnas desluxiones in coxendicem aut articulos. Quidam ad lateris inanitatem tabefactus, septimo die mortuus est. In his qui pus prius crudum expuunt, salsa cum melle exhibenda sunt. Impudens scortatio difficultati intestinorum medetur. Leonidae filiae natura ad impetum incitata sese avertit, atque ubi aversa est sanguinem ex naribus effudit, quo effuso permutata est, quod non vidit medicus; puella mortua est. Philotimi filius ubi ad pubertatem pervenit, ad me venit. In quo ubi calvariae os arte

εἰς ἐμὲ, εὑρὼν κρανίον ὀστέον ἔρημον ἰητρικῆς ἐς ἰηχῖνα τὰ κρύφημα οὐκ ὁρῶν ἑστῶτα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ.

2. [1.] (68) [Τμῆμα πρῶτον.] Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρεόντας καὶ τὰ ἔξωθεν.

Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γενομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνοιτο ξυμφέρει τε καὶ εὐφόρως ἔχουσιν, ἢν δὲ μὴ, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην καὶ ὥρην καὶ ἡλικίην καὶ νούσους ἐν ᾗσι δεῖ ἢ οὔ.

Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ

medica destitutum invenissem, occulta animi sensa ad curationem non satis constare videbam.

HIPPOCRATIS APHORISMI.

[*Sectio prima.*] Vita brevis, ars longa, occasio praeceps, experientia fallax, judicium difficile. Neque vero satis est ad ea quae facto opus sunt praesto esse, sed et aegrum et eos qui praesentes sunt et res externas ad id probe comparatas esse oportet.

In alvi perturbationibus et vomitionibus quae sponte eveniunt, si qualia oportet purgentur, conducit et facile tolerant, sin minus, contra evenit. Itidem et vasorum evacuatio, si qualis debet, fiat, conducit et facile tolerant, sin minus, contra fit. Adhibenda igitur consideratio et loci et tempestatis anni et aetatis et morborum in quibus haec fieri debent necne.

Bene habita athletarum valetudo ad summum progressa, ubi ad plenitudinis extremum pervenerit, lubrica est,

Ed. Chart. IX. 2. [1. 9.] Foëf. II. 1242. 1243. Ed. Baf. I. (68. 69.)

αὐτέῳ οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐκ ἔτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, || ἵνα πάλιν ἀρχὴν λάβῃ τὸ σῶμα. μὴ δὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γὰρ, ἀλλ᾽ ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραὶ, καὶ πάλιν αἱ ἀναθρέψιες (69) *αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί.*

2. [9] *Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι καὶ ἐν τοῖσιν ὀξέσιν οὗ μὴ ἐπιδέχεται σφαλεραὶ, καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται χαλεπαὶ, καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι χαλεπαί.*

Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται· πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται μέγα γίνεται μᾶλλον ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι.

cum non poffit eodem ftatu permanere neque quiefcere. Quandoquidem vero non quiefcit, neque jam poteft in melius progredi, reliquum eft ut in deterius labatur. His igitur de caufis pleniorem illum corporis habitum haud cunctanter folvere expedit, quo corpus alterius nutricationis initium fumat. Neque tamen eo deveniendum ut vafa extreme concidant, periculofum enim, fed qualis fuerit ejus qui fuftinere debet natura, eousque progrediendum. Eadem vero ratione evacuationes ad extremum deductae, periculofae contraque refectiones ad fummum progreffae periculofae.

Tenuis et exacta victus ratio cum in morbis longis femper tum in acutis ubi non admittitur, parum tuta eft. Ac rurfus victus qui ad fummam pervenit tenuitatem gravis, fi quidem ad extremum perductae plenitudines graves funt.

In tenui victus ratione delinquunt aegri, ob quod magis laeduntur. Quodcunque enim peccatum in tenui quam in paulo pleniore victus ratione gravius effe folet. Icciro

διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι, διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν μικρὸν ἁδροτέρων.

Ἐς δὲ τὰ ἔσχατα νουσήματα αἱ ἔσχατοι θεραπεῖαι ἐς ἀκριβίην κράτισται.

2. [11] Ὅκου μὲν κάτοξυ τὸ νούσημα, αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρῆσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

Ὁκόταν δὲ ἀκμάζῃ τὸ νούσημα, τότε λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.

Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀ(70)κμὴ, αὐτίκα λεπτῶς

etiam ſanis parum tuta eſt tenuis et certo praeſcripta ac accurata victus ratio parum tuta eſt, quoniam errata gravius ferunt. Eam igitur ob cauſam tenuis et accuratus victus paulo pleniore maxima ex parte periculoſior eſt.

Ad ſummos morbos ſummae ad unguem curationes adhibitae optime valent.

Cum ergo morbus eſt peracutus, extremos protinus obtinet labores et extreme tenuiſſima victus ratione neceſſario utendum. Cum vero non eſt, ſed pleniorem victum adhibere conceſſum eſt, tam a tenui victu ſe ſubducere oportet, quam morbus ab extremis receſſerit.

Cum morbi ſumma eſt vehementia, tum vel tenuiſſimo victu uti neceſſe eſt.

At conjectura etiam ex aegro facienda, an cum eo victu ſatis eſſe poſſit ad morbi vigorem usque, an non prius ille deficiat neque cum tali victu ſatis eſſe poſſit, vel prior morbus deficiat et obtundatur.

Quibus igitur ſtatim vigor adeſt, iis protinus victus

διαιτᾷν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου μικρὸν ἀφαιρετέον, ἔμπροσθεν δὲ πιωτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

Ἐν δὲ τοῖσιν παροξυσμοῖσιν ὑποστέλλεσθαι χρὴ, τὸ προστιθέναι γὰρ βλάβη, καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή.

2. [16] Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην ἤν τε παρ' ἡμέρην ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται, ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον ἢν αὐτίκα ἐπιφαίνεται ἀρχομένου βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται μηκύνει, καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες καὶ δύσκριτα καὶ εὔκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, πάντων δὲ μάλιστα παιδία,

tenuis exhibendus. Quibus vero poſtea vigor futurus eſt, iis ſub ipſum vigoris tempus et paulo ante cibus ſubtrahendus. Antea vero uberior cibus exhibendus, quo aeger ſatis eſſe poſſit.

In exacerbationibus cibum refugere oportet, exhibere enim noxium. Et quaecunque per circuitus ingraveſcunt, in ipſis acceſſionibus reformidare oportet.

Morbi et anni tempeſtates et circuituum collatae inter ſe viciſſitudines, ſive quotidie ſive altero quoque die ſive etiam per majora intervalla fiant, acceſſiones et morborum conditiones indicabunt. Quin etiam et per ea quae mox apparent eadem indicantur, quale quid in morbo laterali laborantibus, ſputum ſi ſtatim circa initia ſubappareat, morbum brevem, ſi vero poſterius videatur, longum futurum denunciat. Urinae quoque et alvi excrementa et ſudores, ubi apparuerint, judicatu faciles vel difficiles et breves vel longos fore morbos indicant.

Senes facillime jejunium tolerant, ſecundum eos qui conſtantem aetatem degunt, minimum adoleſcentes, ex omni-

τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείστης οὖν δεῖται τροφῆς, εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγον ὑπεκκαυμάτων δέονται. ὑπὸ πολλῶν μὲν γὰρ ἀποσβέννυνται, διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα.

2. [28] Αἱ κοιλίαι χειμῶνος καὶ (71) ἦρος θερμόταται φύσει καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖστον ἔχει, || τροφῆς οὖν πλείονος δέονται. σημεῖον αἱ ἡλικίαι καὶ οἱ ἀθληταί.

Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι τοῖσι οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

Καὶ οἷσι ἅπαξ ἢ δὶς καὶ πλείω ἢ ἐλάσσω καὶ κατὰ

bus vero praecipue pueri, atque inter ipſos qui ad actiones obeundas promptiores exiſtunt.

Quae increſcunt plurimum calorem innatum obtinent, plurimo igitur indigent alimento, alioqui corpus abſumitur. In ſenibus vero cum paucus calor inſit, iccirco ſane paucis fomitibus indigent, a multis namque extinguuntur. Eandem etiam ob cauſam neque ſenibus, quod eorum corpus ſit frigidum, febres perinde acutae contingunt.

Per hiemem et ver ventres natura calidiſſimi ſomnique longiſſimi. Per ea igitur tempora copioſiora cibaria exhibenda, ſiquidem plurimus eſt calor nativus, ideoque copioſiore indigent alimento. Quod indicant aetates et athletae.

Victus ratio humida cum febricitantibus omnibus tum pueris maxime, atque aliis qui ejusmodi victu uti conſueverunt, confert.

Animadvertendi ſunt etiam quibus ſemel aut bis et quibus copioſior aut paucior aut per partes cibus offeren-

μέρος, δοτέον δέ τι καὶ τῷ ἔθει καὶ τῇ ὥρῃ καὶ τῇ χώρῃ καὶ τῇ ἡλικίῃ.

Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον.

Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθέσιων πρὸ τῶν κρίσεων.

Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινέειν, μηδὲ νεωτεροποιέειν μήτε φαρμακίοισι μήτ' ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν.

2. [38] Ἃ δεῖ ἄγειν ὅκου ἂν μάλιστα ῥέπῃ, ταύτῃ ἄγειν διὰ τῶν ξυμφερόντων χωρίων.

Πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμὰ μηδὲ ἐν ἀρχῇσιν ἢν μὴ ὀργᾷ, τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ, οἷα δεῖ καὶ φέρει εὐφόρως, καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν ἢν ἐξαρκέῃ ὁ νοσέων.

dus est. Aliquid autem tempori, regioni, aetati et consuetudini concedendum.

Per aestatem et autumnum cibos gravissime ferunt, per hiemem facillime. Ver post hiemem secundum locum obtinet.

Quibus per circuitus accessiones contingunt, nihil dato neque cogito, sed de ciborum accessione ante judicationes detrahito.

Quae judicationem subeunt aut jam perfecte subierunt, ea neque moveto neque medicamentis neque aliis irritamentis innovato, sed sinito.

Quae educere oportet, quo maxime vergunt, eo ducito per loca convenientia.

Cocta medicamento purgante educito ac moveto, minime cruda neque per initia, nisi suopte impetu ad excretionem ferantur, quod fere non accidit.

Quae prodeunt copia minime aestimanda, sed ut qualia expedit prodeant et aeger facile ferat. Atque ubi ad animi defectionem usque educere oportet, id etiam faciendum, si aeger sufficere queat.

(72) Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τὰ δ' ἐναντία δυσχερῶς.

2. [43] [Τμῆμα δεύτερον.] Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον, ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

Ὅκου παραφροσύνην ὕπνος παύῃ, ἀγαθόν.

Ὕπνος ἀγρυπνίη ἀμφότερα τοῦ μετρίου μᾶλλον γενόμενα κακόν.

Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅ τι ἂν μᾶλλον τῆς φύσιος ῇ.

Κόποι αὐτόματοι φράζουσι νόσους.

Ὁκόσοι πονέοντές τι τοῦ σώματος τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα νωθρῶς ἐπανατρέφειν δεῖ, τὰ δὲ ἐν ὀλίγῳ ὀλίγως.

Ἢν ἐκ νόσου τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι

In morbis acutis raro et per initia medicamentis purgantibus utendum, idque diligenti ante adhibita circumſpectione faciendum.

Cum purgantur quae purgari decet, confert et facile tolerant, ubi contra accidit, difficulter.

[*Sectio ſecunda.*] Quae in morbo ſomnus laborem facit, lethale, quod ſi juvet ſomnus, minime lethale.

Ubi delirium ſomnus ſedaverit, bonum.

Somnus, vigilia, utraque modum excedentia malum denunciant.

Neque ſatietas neque fames neque aliud quicquam bonum, quod ſupra naturae modum fuerit.

Laſſitudines ſponte obortae morbos praenunciant.

Quibus pars aliqua corporis dolet neque fere dolorem ſentiunt, iis mens aegrotat.

Attenuata longo temporis intervallo corpora, lente reficere oportet, at quae brevi, celeriter.

Si quis ex morbo cibum capiens vires non recipiat,

πλείονι τροφῇ τὸ σῶμα χρέεται, ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνηται, χρὴ εἰδέναι ὅτι κενώσιος δεῖται.

Τὰ σώματα χρὴ, ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν.

Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσῳ ἂν θρέψῃς μᾶλλον βλάψεις.

2. [50] (73) Ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίου.

Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν ὑποστροφὰς ποιέειν εἴωθεν.

Ὁκόσοισι κρίσις γίνηται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπιτοπολύ.

Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλει.

Ὅκου φάρυγξ νοσέει ἢ φύματα ἐν τῷ σώματι φύεται, τὰς ἐκκρίσιας σκέπτεσθαι. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίγνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

copiosiore alimento corpus uti significat. Quod si cibum minime capiente istud contingat, evacuatione indigere sciendum est.

Cum quis corpora purgare volet, ea ad fluxum bene comparata faciat oportet.

Impura corpora quo plus nutrias, eo magis laedas.

Potu quam cibo refici proclivius est.

Quae per morbos post judicationem intus relinquuntur, morborum reversiones facere consueverunt.

Quibus judicatio contingit, iis nox accessionem praecedens gravis, quae vero sequitur, plerumque levior esse solet.

In alvi fluxionibus dejectionum mutationes, nisi ad pravas commutentur, juvant.

Cum fauces aegrotant aut tubercula in corpore exoriuntur, excretiones in considerationem adhibendae. Si namque biliosae sint, corpus simul aegrotat. At si sanorum similes extiterint, secure corpus nutrias.

Ed. Chart. IX. 2. [50. 62.] Foes. II. 1244. 1245. Ed. Lind. I. (73. 74.)

Ὅκου λιμὸς, οὐ δεῖ πονέειν.

|| Ὅκου ἂν τροφὴ πλεῖστον παρὰ φύσιν ἐσέλθῃ, τοῦτο νόσον ποιέει, δηλοῖ δὲ ἡ ἴησις.

Τῶν τρεφομένων ἀθρόως καὶ ταχέως ταχεῖαι καὶ διαχωρήσιες γίνονται.

Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες οὔτε τοῦ θανάτου οὔτε τῆς ὑγείης.

Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραὶ εἰσὶ, τουτέοισιν ἀπογηράσκουσιν ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραὶ εἰσὶ, τουτέοισι πρεσβυτέροισι γινομένοισι ὑγραίνονται.

2. [62] Λιμὸν θώρηξις λύει.

Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσεως, πλησμονὴ, καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

(74) Τὰ ὀξέα τῶν νουσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος, ἑτέρης ἑβδομάδος ἡ

Cum inedia premit, laborare minime convenit.

Ubi copiofior praeter naturam cibus ingeftus fuerit, id morbum creat, quod etiam curatio indicat.

Eorum quae univerfim et celeriter alunt, celeres quoque excretiones effe folent.

Morborum acutorum non in totum certae funt praenunciationes neque falutis neque mortis.

Quibus per juventutem alvi funt humidae, iis fenefcentibus exiccantur, quibus vero in juventute alvi ficcae funt, iis cum fenes evadunt humectantur.

Famem vini potio folvit.

Morbos ex repletione ut curat evacuatio, fic eos, qui ex evacuatione fiunt, repletio et in caeteris contrarietas remedio eft.

Morbi acuti intra dies quatuordecim judicatione terminantur.

Quartus feptenariorum index eft. Octavus alterius

ὀγδόη ἀρχὴ, θεωρητὴ δὲ ἡ ἑνδεκάτη. αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος, θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς ιδ, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

Οἱ τεταρταῖοι θερινοὶ τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ φθινοπωρινοὶ μακροὶ καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι ἢ σπασμὸν ἐπὶ πυρετῷ.

Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τοι διαμένειν οὐδὲ χρονίζειν εἴωθεν.

2. [70] Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν καὶ μηθὲν ἐνδιδόναι τὸ σῶμα ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον μοχθηρόν· τὸ μὲν γὰρ μῆκος νόσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

ſeptimanae principium. Undecimus etiam ſpectandus dies, ſiquidem alterius ſeptimanae quartus eſt. Rurſus quoque ſpectandus decimus ſeptimus, iis ſiquidem a decimo quarto quartus eſt et ab undecimo ſeptimus.

Quartanae aeſtivae fere breves exiſtunt, autumnales vero longae, praeſertim quae ad hiemem pertingunt.

Convulſioni febrem advenire praeſtat quam convulſionem febri.

Si quae non pro ratione levant, iis non oportet fidere neque admodum metuere mala quae praeter rationem eveniunt. Ex his enim multa incerta eſſe, neque multum perdurare, neque diutius perſeverare conſueverunt.

Corpus eorum qui non omnino leviter febricitant in eodem conſiſtere et nihil concidere, vel etiam magis quam ratio poſtulat extenuari malum. Illud ſiquidem morbi diuturnitatem, hoc vero imbecillitatem ſignificat.

Ἀρχομένων τῶν νούσων ἤν τι δοκέῃ κινεῖν, κίνει, ἀκμαζουσῶν δὲ ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστατα, περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότατα.

Τῷ ἐξ ἀῤῥωστίης εὐσιτεῦντι μηδὲν ἐπιδιδόναι τὸ σῶμα μοχθηρόν.

Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες κατ᾽ ἀρχὰς μὲν εὐσιτεῦντες καὶ μηδὲν ἐπιδόντες πρὸς τῷ τέλει πάλιν ἀσι(75)τέουσιν, οἱ δὲ κατ᾽ ἀρχὰς μὲν ἀσιτεῦντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτεῦντες βέλτιον ἀπαλλάσσουσιν.

Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς ἀγαθὸν, τὸ δὲ ἐναντίον κακόν.

Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν οἷς ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἕξιος καὶ τῆς ἡλικίης καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

2. [77] Ἐν πάσῃσι τῇσι νούσοισι τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχει βέλτιόν ἐστι, τὸ δὲ σφόδρα

Per morborum initia, fi quid movendum videtur, moveto. Cum vero vigent, quiefcere praeftat.

Circa initia et fines omnia funt leviffima, at circa vigores vehementiffima.

Si cui ex morbo cibum probe fumenti corpus nihil proficit, malum.

Ut plurimum omnes male habentes, circa initia quidem cibum bene fumentes, neque quicquam proficientes, ii tandem rurfus cibum averfantur. At qui circa initia quidem vehementer cibos faftidiunt, poftea vero eos probe affumunt, in melius degunt.

Mente conftare et bene habere ad ea quae offeruntur, quovis in morbo bonum, contra vero malum.

Per morbos minore funt periculo, quorum naturae et aetati et habitui et anni tempeftati morbus magis cognatus fuerit, quam quibus in horum aliquo minime cognatus fuerit.

Quovis in morbo partes quae funt ad umbilicum et imum ventrem craffitudinem habere praeftat, valde autem

λεπτὸν καὶ ἐκτετηκὸς μοχθηρὸν, ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα ἐν τῇσι φαρμακίῃσι καθαιρόμενοι ἐκλύονται ταχέως καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

Οἱ εὖ τὰ σώματα ἔχοντες φαρμακεύεσθαι ἐργώδεες.

|| Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ τῶν βελτιόνων μὲν ἀηδεστέρων δὲ μᾶλλον αἱρετέον.

Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὅσα δ' ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδραι πρεσβύτῃσιν οὐ πεπαίνονται.

Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσιος ἐξαπίνης τελευτῶσι.

Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον.

tenues eſſe et tabefactas pravum. Ad inferiores autem purgationes hoc etiam parum tutum.

Qui inculpata ſunt corporis ſanitate dum per medicamentum purgantia repurgantur, cito exolvuntur et qui pravo utuntur cibo.

Qui bene habito ſunt corpore ad medicationes moleſte habent.

Cibus et potus paulo pejor, ſuavior tamen melioribus quidem, ſed minus gratis anteponendus.

Ut plurimum quidem ſenes juvenibus aegrotant minus. At qui ipſis morbi diuturni contingunt, eos fere ad mortem comitari ſolent.

Raucedines et gravedines in valde ſenibus non coquuntur.

Qui crebro et vehementer citra manifeſtam cauſam animo linquuntur, repente moriuntur.

Valida quidem apoplexia nullo modo ſanatur, levis vero non facile.

(76) Τῶν ἀπαγχομένων καὶ καταλυομένων μηδέπω δὲ τεθνηκότων οὐκ ἀναφέρουσιν οἷσι ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

Οἱ παχέες σφόδρα κατὰ φύσιν ταχυθάνατοι γίνονται μᾶλλον τῶν ἰσχνῶν.

2. [84] Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης καὶ τῶν χωρίων καὶ τῶν βίων ποιέουσι.

Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

Περὶ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον ἢ γενομένου.

Ἐν πάσῃ κινήσει τοῦ σώματος ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

Οἱ εἰθισμένοι τοὺς συνήθεις πόνους φέρειν, κἢν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνηθέων ἰσχυρῶν τε καὶ νέων ῥᾷον φέρουσι.

Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἢν ᾖ χείρω τῶν

Ex ſtrangulatis et diſſolutis necdum mortuis ii minime ad vitam redeunt, quibus ſpuma circa os collecta fuerit.

Natura admodum craſſi celerius intereunt quam graciles.

Ex comitialibus, juvenes mutatione potiſſimum aetatis et regionum et victuum liberationem accipiunt.

Cum duo dolores ſimul minime eundem locum occupant, vehementer alterum obſcurat.

Dolores et febres contingunt magis circa puris generationem quam eo confecto.

Quovis in corporis motu ſimul ac laborare coeperit, quies confeſtim laſſitudinis eſt remedium.

Qui ſolitos labores ferre aſſueverunt, etiam ſi invalidi ſunt aut ſenes, eos facilius ferunt quam qui non aſſueti quamvis robuſti et juvenes.

Quae ex longo temporis intervallo aſſueta ſunt, quam-

ἀσυνήθων, ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ οὖν καὶ ἐς τὰ συνήθεα μεταβάλλειν.

Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν ἢ πληροῦν ἢ θερμαίνειν ἢ ψύχειν ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν σφαλερὸν, καὶ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον, τὸ δὲ κατ᾽ ὀλίγον ἀσφαλὲς, καὶ ἄλλως ἤν τις ἐξ ἑτέρου ἐφ᾽ ἕτερον μεταβαίνῃ.

Πάντα κατὰ λόγον ποιέοντι καὶ μὴ γινομένων τῶν κατὰ λόγον μὴ μεταβαίνειν ἐφ᾽ ἕτε(77)ρον μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

2. [89] Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσιν νέοι μὲν ὄντες βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων, ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι, ξηραίνονται γὰρ ὡς ἐπιτοπολὺ τοῖσιν ἀπογηράσκουσι.

Μεγέθει δὲ σώματος ἐννεᾶσαι μὲν ἐλευθέριον καὶ οὐκ ἀειδὲς, ἐγγηρᾶσαι δὲ δύσχρηστον καὶ χεῖρον τῶν ἐλασσόνων.

[Τμῆμα τρίτον.] Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα

vis deteriora insuetis minus molesta esse solent. Quare ad insolita etiam facienda mutatio.

Confertim et repente vacuare vel implere vel calefacere vel refrigerare vel utcunque aliter corpus movere periculosum. Quod siquidem nimium naturae inimicum. Verum quod paulatim fit, securum est tum vel maxime si quis ab uno ad alterum transierit.

Cum quis omnia recta ratione facit, neque tamen pro ratione succedit, non est ad aliud progrediendum, si manet quod ab initio visum est.

Quicunque alvos habent humidas, ii quidem si juvenes sunt melius degunt quam qui siccas habent. At in senectute pejus degunt, cum ipsis senescentibus fere resiccentur.

Longa corporis statura in juventute quidem degenda liberalis nec indecora, in senectute vero inutilis et brevitate deterior.

[*Sectio tertia.*] Tempestatum anni mutationes potissi-

τίκτουσι νοσήματα, καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος καὶ τἄλλα κατὰ λόγον οὕτως.

Τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι.

Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι, καὶ ἡλικίαι τινὲς πρὸς ὥρας καὶ χώρας καὶ διαίτας.

Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γένηται, φθινοπωρινὰ τὰ νουσήματα προσδέχεσθαι χρή.

|| Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοὶ, ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσιν πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι, φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.

(78) Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

mum morbos pariunt et in ipfis anni tempeftatibus magnae mutationes frigoris et caloris, aliaque pro ratione ad hunc modum.

Naturae hae quidem ad aeftatem, aliae vero ad hiemem bene vel male habere confuevere.

Morbi alii ad alias anni tempeftates bene vel male habere confuevere et aetates quaedam ad anni tempeftates et loca et victus rationes.

Per anni tempeftates, quando eodem die modo calor modo frigus fit, autumnales morbos expectare convenit.

Auftri auditionis hebetudinem et vifionis caliginem inducunt et capitis gravitatem, corpus torpidum et languidum reddunt, cum fic invaluerint, ifta in morbis patiuntur. Sin aquilonia tempeftas fuerit, tuffes movet, fauces exafperat, alvos indurat, urinam fupprimit, horrores excitat, laterum et pectoris dolores. Cum fic invaluerit, ejusmodi in morbis expectanda funt.

Cum aeftus veri fimilis fuerit, in febribus copiofos fudores expectare oportet.

2. [97] Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται, καὶ ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιουτέον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπιτοπουλὺ καὶ τὰ νουσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

Ἐν τοῖσι καθεστεῶσι καιροῖσι ἢν ὡραίως τὰ ὡραῖα ἀποδίδωσιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι καὶ θανατωδέσταται τοὐπίπαν. ἦρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες.

Τὸ φθινόπωρον τοῖς φθίνουσι κακόν.

Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ καὶ ἀνδρῶν τοῖσιν ὑγροῖσι τὰς φύσιας.

Ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἔπομβρος καὶ εὐδιεινὸς γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες, ᾗσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώ-

Per squalores febres acutae fiunt, et si quidem annus magna ex parte talis extiterit, qualem temporis conditionem effecerit, tales fere quoque morbos expectare oportet.

Temporibus bene et ordine constitutis et tempestivam tempestivitatem servantibus morbi qui facile consistant et solvantur fiunt. In male vero constitutis, qui neque facile consistunt, neque facile solvuntur.

Per autumnum omnino morbi acutissimi et maxime exitiales. Ver autem saluberrimum et minime exitiale.

Autumnus tabidis malus.

Quod autem ad anni tempestates attinet, si quidem hiems plus aequo sicca et aquilonia fuerit, ver autem valde pluvium et austrinum, febres acutas et lippitudines, et intestinorum difficultates ad aestatem oriri necesse est, praecipue vero in mulieribus et viris natura humidioribus.

At si hiems austrina et valde pluvia et placida fuerit, ver autem plus justo siccum et aquilonium, mulieres quidem, quibus partus ad ver imminet, ex quavis causa abortiunt.

σκουσιν. αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδί
τίκτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι ἢ λεπτὰ καὶ νο
σώδεα ζῇν ἐόντα. τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι κα
ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥο
συντόμως ἀπολλύντες.

2. [104] Ἢν δὲ τὸ θέρος αὐχ(79)μηρὸν καὶ βόρειο
γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλ
γίαι ἐς τὸν χειμῶνα γίνονται καὶ βῆχες καὶ βράγχοι κα
κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες.

Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσ
τὰς φύσιας καὶ τῇσι γυναιξὶ ξύμφορον, τοῖσι δὲ λοιποῖσι
ὀφθαλμίαι ἔσονται ξηραὶ καὶ πυρετοὶ ὀξέες καὶ κόρυζα
ἐνίοισι δὲ καὶ μελαγχολίαι.

Τῶν δὲ καταστησίων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον ο
αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι καὶ ἧσσον θανα
τώδεες.

Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλ
γίνεται, πυρετοί τε μακροὶ καὶ κοιλίης ῥύσιες καὶ σηπεδόνε

Quae vero pepererint, imbecillos et morboſos infantes edun
ita ut vel ſtatim intereant, vel tenues et valetudinarii vivan
Caeteris autem mortalibus difficultates inteſtinorum et lip
pitudines aridae oriuntur, ſenioribus vero defluxiones bre
interficientes.

Si vero aeſtas plus aequo ſicca et aquilonia, autumn
vero admodum pluvius et auſtrinus fuerit, capitis dolore
ad hiemem oriuntur et tuſſes et raucitates et gravedine
nonnullis etiam et tabes.

Si vero aquilonius ſit et ſine pluviis, iis quidem q
natura ſunt humidiore et mulieribus commodus, reliqu
autem lippitudines erunt ſiccae, et febres acutae et diuturna
nonnullis vero etiam melancholiae.

Ex anni autem conditionibus in totum magnae ſicc
tates aſſiduis imbribus ſunt ſalubriores minusque lethales.

Per aſſiduos imbres morbi magna ex parte oriuntu
cum febres longae, tum alvi fluxiones, putredines, com

Ed. Chart. IX. 2. [104. 113.] Foës. II. 1247. 1248. Ed. Lind. I. (79. 80.)
αὶ ἐπίληπτοι καὶ ἀπόπληκτοι καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν ὐχμοῖσι φθινώδεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι αὶ δυσεντερίαι.

Αἱ δὲ καθ' ἡμέρην καταστάσιες αἱ μὲν βόρειοι τά τε ώματα ξυνιστῶσι καὶ εὔτονα καὶ εὐκίνητα καὶ εὔχροα καὶ ὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι καὶ τὰ μματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι προϋ-άρχει, μᾶλλον πονέουσιν. αἱ δὲ νότιοι διαλύουσι τὰ σώ-ματα καὶ ὑγραίνουσιν καὶ βαρηκοΐας καὶ καρηβαρίας καὶ λίγγους ποιέουσιν, ἐν δὲ τοῖσιν ὀφθαλμοῖσιν καὶ τοῖσι σώ-μασι δυσκινησίην καὶ τὰς κοιλίας ὑγραίνουσι.

2. [113] Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου οῦ θέρεος οἱ παῖδες καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν (80) ἡλικίῃσιν || ἄριστά τε διάγουσι καὶ ὑγιαίνουσι μάλιστα, τοῦ ὲ θέρεος καὶ τοῦ φθινοπώρου μέχρι μέν τινος οἱ γέροντες, ὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος οἱ μέσοι ῇσιν ἡλικίῃσι.

Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνε-

iales, apoplexiae et anginae. Per magnas autem ſiccitates, abitudines, lippitudines, articulorum dolores, urinae ſtilli-cidia et inteſtinorum difficultates.

At ſtatus temporum quotidiani, aquilonii quidem cor-pora denſant, valentiora, expeditiora, bene colorata et melius audientia reddunt, alvos exſiccant, oculos mordent, et ſi thoracem dolor aliquis prius habuerit, eum magis irri-tant. Auſtrini autem corpora exolvunt et humectant, gra-vem auditum et capitis gravitatem et vertigines afferunt, oculis et corporibus difficilem motionem inducunt et alvos humectant.

Quod autem ad anni tempora attinet, vere quidem et prima aeſtate pueri et his aeſtate proximi optime degunt et maxime valent, aeſtate vero et quadantenus autumno ſenes. Reliqua autumni et hiemis parte qui inter has ae-tates ſunt medii.

In quibusvis anni temporibus omnis generis morbi ori-

και, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται καὶ παροξύνεται.

Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ καὶ τὰ μελαγχολικὰ καὶ τὰ ἐπιληπτικὰ καὶ αἵματος ῥύσιες καὶ κυνάγχαι καὶ κόρυζαι καὶ βράγχοι καὶ λέπραι καὶ βῆχες καὶ λειχῆνες καὶ ἀλφοὶ καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται καὶ φύματα καὶ ἀρθριτικά.

Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων καὶ πυρετοὶ ξυνεχέες καὶ καῦσοι, καὶ τριταῖοι πυρετοὶ καὶ τεταρταῖοι, καὶ ἔμετοι καὶ διάῤῥοιαι καὶ ὀφθαλμίαι καὶ ὤτων πόνοι καὶ στομάτων ἑλκώσιες καὶ σηπεδόνες αἰδοίων καὶ ἵδρωα.

Τοῦ δὲ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι καὶ πλανῆτες, καὶ σπλῆνες καὶ ὕδρωπες καὶ φθίσιες καὶ στραγγουρίαι καὶ λειεντερίαι καὶ δυσεντερίαι καὶ ἰσχιάδες καὶ κυνάγχαι καὶ ἄσθματα καὶ εἰλεοὶ καὶ ἐπιληψίαι καὶ τὰ μανικὰ καὶ τὰ μελαγχολικά.

Τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπλευμονίαι, λήθαργοι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων

untur, nonnulli tamen in quibusdam tum fiunt tum excitantur.

Vere quidem insania, melancholiae, comitiales, sanguinis profusiones, anginae, gravedines, raucitates, tusses, leprae, impetigines, vitiligines et pustulae ulcerosae plurimae et tubercula et articulorum dolores.

Aestate autem horum nonnulli et febres assiduae et ardentes et tertianae plurimae et quartanae, vomitiones, alvi profluvia, lippitudines, aurium dolores, oris exulcerationes, genitalium putredines et sudamina.

Autumno vero etiam aestivi multi et quartanae febres atque erraticae, lienes, aquae inter cutem, tabes, urinae stillicidia, intestinorum levitates et difficultates, coxendicum dolores, anginae, crebri anhelitus, volvuli, comitiales insaniae et melancholiae.

Hieme vero morbi laterales, pulmonum inflammationes, lethargi, gravedines, raucitates, tusses, dolores pectorum

πόνοι πλευρέων, ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.

2. [119] Ἐν δὲ τῇ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει. τοῖσι μὲν σμι(81)κροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότητες.

Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν οὔλων ὀδαξυσμοὶ, πυρετοὶ, σπασμοὶ, διάῤῥοιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παίδων καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

Πρεσβυτέροισι δὲ γενομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, στραγγουρίαι, χοιράδες καὶ τἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι τουτέων τε τὰ πολλὰ, πυρετοὶ χρόνιοι μᾶλλον καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

laterum et lumborum, capitis dolores, vertigines et apoplexiae.

Per aetates haec eveniunt, parvis et recens natis pueris, serpentia oris ulcera, aphthae dictae, vomitiones, tusses, vigiliae, pavores, circa umbilicum inflammationes, aurium humiditates.

Ad dentitionem vero progressis gingivarum stimulantes prurigines, febres, convulsiones, alvi profluvia, idque praecipue cum caninos dentes emittere coeperint, et iis qui maxime crassi sunt et alvos duras habent.

At iis paulum aetate progressis, tonsillarum inflammationes, vertebrae quae ad occipitium est interiorem in partem impulsiones, crebrae anhelationes, calculi, lumbrici rotundi, alii tenues et minuti, in recto intestino orti, ascarides dicti, verrucae Graecis ἀκροχορδόνες dictae, satyriasmi, strumae et alia tubercula, praecipue vero praedicta.

Adhuc autem aetate provectioribus et ad pubertatem progressis, ex iis multa et febres diuturnae magis et sanguinis ex naribus profluvia.

Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ᾽ ἂν διαμείνῃ τοῖσι παιδίοισι καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν ἢ τῇσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

2. [125] Τοῖσι δὲ νεηνίσκοισιν αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νουσήματα, μάλιστα δὲ τὰ προειρημένα.

Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην ἄσθματα, πλευρίτιδες, περιπλευμο(82)νίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολεραὶ, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

Τοῖσι δὲ πρεσβύτῃσι δύσπνοιαι, κατάῤῥοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι

At magna ex parte pueris morbi judicatione folvuntur, partim quidem intra quadraginta dies, partim vero intra feptem menfes, nonnulli intra annos feptem, quidam etiam ad pubertatem progreffis. Qui vero pueris perfeverarint neque circa pubertatem foluti fuerint, aut foeminis circa menfium eruptionem, diu perfeverare confueverunt.

Adolefcentibus autem fanguinis fpuitiones, tabes, febres acutae, comitiales aliique morbi, praecipue tamen praedicti.

His vero qui hanc aetatem fuperarunt, crebri anhelitus, morbi laterales, pulmonum inflammationes, lethargi, phrenitides, febres ardentes, diuturna alvi profluvia, cholerae, inteftinorum difficultates et laevitates, fanguinis per os venarum quae in ano funt profufio, αἱμοῤῥοΐδες Graece dictae.

At fenibus fpirandi difficultates, deftillationes tuffim inferentes, ftranguriae, urinae difficultates, articulorum et renum dolores, vertigines, apoplexiae, mali corporis habitus, totius corporis pruritus, vigiliae, alvi, oculorum

Ed. Chart. IX. 2. [125. 130.] Foes. II. 1148. 1249. Ed. Lind. I. (82.)
κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρηκοΐαι.

2. [130] || [Τμῆμα τέταρτον.] Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ παρὰ ταύτας, τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβεῖσθαι χρή.

Ἐν τῇσι φαρμακίῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκόσα καὶ αὐτόματα ἰόντα χρήσιμα, τὰ δὲ ἐναντίως ἰόντα παύειν.

Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τὰ δὲ ἐναντία δυσχερῶς.

Φαρμακεύειν θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω.

Ὑπὸ κύνα καὶ πρὸ κυνὸς ἐργώδεες αἱ φαρμακίαι.

Τοὺς ἰσχνοὺς τοὺς εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

narium humiditates, visus hebetudines, gravedines, auditus graves.

[*Sectio quarta.*] Uterum gerentibus medicamenta purgantia sunt exhibenda, si humor impetu fertur ad excretionem, quarto mense et ad septimum usque his tamen minus. In minoribus autem et grandioribus foetibus subtimide se gerere oportet.

In medicamentorum purgantium usu, qualia etiam sponte prodeuntia utilia sunt, talia e corpore educere convenit, quae vero contrario modo prodeunt, cohibere.

Si quae purgari decet, purgentur, confert et leviter ferunt, contra vero, graviter.

Aestate quidem superiores ventres potius medicamentis repurgato, hieme vero inferiores.

Sub canis ortum et ante canis ortum molestae sunt per medicamenta purgationes.

Graciles et facili vomitione utentes medicamento per superiora purgare oportet, reformidantes hiemem.

Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος.

Τοὺς δὲ φθινώδεας ὑποστελλομένους τὰς ἄνω.

(83) Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν ἢν ὀργᾷ αὐθημερὸν, χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

2. [138] Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακίης μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω κακόν.

Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα ἐν πλείονι τροφῇ καὶ ἀναπαύσει.

Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν

At difficili vomitione utentes et modice carnoſos per inferiora, aeſtatem reformidantes.

Tabeſcentes vero, reformidantes per ſuperiora purgationes.

Atra bile abundantes largius per inferiora, ſimili ratione adhibita contraria purgandi via.

In valde acutis ſi ſuopte impetu ad excretionem humor feratur, medicamento purgante eodem die utendum, ſiquidem in his cunctari malum.

Quibus inteſtina cortorquentur, circa umbilicum labores et lumborum dolor adeſt, qui neque medicamento purgante, neque alia ratione ſolvitur, in ſiccum hydropem confirmatur.

Quibus alvi inteſtinorum laevitate infeſtantur, eos hiberno tempore per ſuperiora medicamento purgare malum.

Qui veratro ſumpto non facile per ſuperiora purgantur, iis ante potionem corpora copioſiore cibo et quiete praehumectato.

Ubi quis veratrum potione ſumpſerit, corporum qui-

Ed. Chart. IX. 2. [138. 143.] Foës. II. 1249. Ed. Lind. I. (83. 84.)

σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη ὅτι κίνησις τὰ σώματα ταράσσῃ.

Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει καὶ μὴ κίνει.

Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι. σπασμὸν γὰρ ἐμποιέει.

Ἀπυρέτῳ ἐόντι ἀποσιτίη καὶ καρδιωγμὸς, καὶ σκοτόδινος καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακίης δεῖσθαι σημαίνει.

2. [143] Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα ἄνω φαρμακείην σημαίνει. ὁκόσα δὲ κάτω, κάτω.

(84) Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

Ἀπυρέτοισι ἐοῦσιν ἢν γίνεται στρόφος καὶ γουνάτων βάρος καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακίης δεῖσθαι σημαίνει.

dem motiones magis quam somnum et quietem inducito. Nam vel navigatio turbari motione corpora indicat.

Ubi veratrum magis ducere voles, corpus moveto, ubi vero sistere, somnum conciliato, neque moveto.

Veratrum iis qui sano sunt corpore periculosum, convulsionem enim inducit.

Si cui sine febre cibi fastidium, oris ventriculi morsus, tenebricosa vertigo contigerit et os amarulentum fuerit, haec necessariam esse per superiora purgationem indicant.

Dolores supra septum transversum purgatione indigentes medicamentum quod per superiora purget necessarium esse indicant. At qui septo transverso sunt inferiores, per inferiora.

Qui sumpta potione medica dum purgantur non sitiunt, ii purgandi finem non faciunt, donec sitiverint.

Si dolor intestina torquens et genuum gravitas et lumborum dolor citra febrem adfuerint, medicamento quod per inferiora purgat opus esse significant.

Ed. Chart. IX. 2. [143, 148.] Foeſ. II. 1249. 1250. Ed. Lind. I. (84.)

Ὑποχωρήματα μέλανα οἱονεὶ αἷμα μέλαν ἀπ᾽ αὐτομάτου ἰόντα καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ κάκιστα, καὶ ὁκόσοισιν ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον. σὺν φαρμάκῳ δὲ ἄμεινον, καὶ ὁκόσῳ ἂν πλείω χρώματα οὐ πονηρά, νοσημάτων ὁκόσων ἀρχομένων χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

|| Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων ἢ ἐκ πολυχρονίων ἢ ἐκ τρωμάτων ἢ ἄλλως πως λεπτυνομένων χολὴ μέλαινα ἢ ὁκοῖον αἷμα μέλαν ἐπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

2. [148] Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακόν, κάτω δὲ ἀγαθόν, καὶ τὰ μέλανα ὑποχωρέοντα κακόν.

Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖαι ἂν σάρκες ὑποχωρήσωσι, θανάσιμον.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

Nigrae dejectiones, qualis ſanguis niger, ſponte procedentes et cum febre et citra febrem, peſſimae, eoque pejores quo plures earum colores deteriores fuerint. A medicamento autem melius, quoque plures colores fuerint non pravi.

Per quorumvis morborum initia bilem atram ſupra vel infra prodire lethale.

Quibus per morbos acutos aut diuturnos aut vulnera aut alium quemvis modum extenuatis bilis atra aut veluti ſanguis niger ſubierit, ii poſtridie moriuntur.

Inteſtinorum difficultas ſi ab atra bile ortum duxerit, lethalis.

Sanguis, ſupra quidem, qualiscunque fuerit emiſſus, malus, infra autem, ſi niger dejiciatur, bonus.

Inteſtinorum difficultate vexato ſi veluti carunculae dejiciantur, lethale.

Quibus per febres ſanguinis copia undecunque profluxerit, iis cum reficiuntur alvi humidiores evadunt.

Ed. Chart. IX. 2. [148 154.] Foës. II. 1250. Ed. Lind. I. (84. 85.)

Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γενομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται.

(85) Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνονται, δύσκριτα.

Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ δύσκριτα.

Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα καὶ περὶ τὰς γνάθους μάλιστα ἀποστάσιες γίνονται.

Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τι πονέσει, ἐνταῦθα ἀποστάσιες γίνονται.

2. [154] Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον.

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ καὶ μόλις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

Quibus biliosae sunt dejectiones, hae oborta surditate cessant, et quibus adest surditas, his exortis biliosis dejectionibus finitur.

In febribus si rigores contingant sexto die, difficilem habent judicationem.

Quibus accessiones fiunt, quanamcunque hora febris dimiserit, si postero die eadem qua antea hora prehenderit, judicatio difficilis esse solet.

Quibus per febres lassitudinis sensus inest, iis ad articulos, potissimumque circa maxillas abscessus oriuntur.

Iis vero qui ex morbis convalescunt, si pars aliqua laboraverit, illic abscessus fiunt.

Sed et si pars quaepiam ante morbum laboraverit, in eam se morbus obfirmat.

Si febre vexato, nullo existente in faucibus tumore, repentina accidat strangulatio, lethale.

In febre vexato collum repente perversum, ac vix deglutire posse, nullo existente tumore, lethale.

Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι καὶ πεμπταῖοι καὶ ἑβδομαῖοι καὶ ἐναταῖοι καὶ ἐνδεκαταῖοι καὶ τεσσαρεσκαιδεκαταῖοι καὶ ἑπτακαιδεκαταῖοι καὶ μιῇ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριακοστῇ πρώτῃ, καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσιν, οἱ δὲ μὴ οὕτως γινόμενοι πόνον σημαίνουσι καὶ μῆκος νόσου καὶ ὑποτροπιασμούς.

Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι θάνατον, ξὺν πρηϊτέρῳ δὲ μῆκος νόσου σημαίνουσι.

Καὶ ὅκου ἔνι τοῦ σώμα(86)τος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον.

Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ ἢν τὸ σῶμα καταψύχηται ἢ αὖθις θερμαίνηται ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ

Sudores febricitantibus boni, qui coeperint tertio die, quinto, septimo, nono, undecimo, decimoquarto, decimoseptimo, vicesimo primo, vicesimo septimo, tricesimo primo et tricesimo quarto, ii enim sudores morbos judicant. Qui vero tales non sunt, laborem et morbi longitudinem, ejusdemque reversionem significant.

Sudores frigidi in febre quidem acuta oborti mortem, in mitiori autem morbi prolixitatem significant.

Et ubi in corpore sudor inest, ibi morbum esse enunciat.

Et qua corporis parte calor inest aut frigus, ibi morbus est.

Et ubi toto corpore mutationes contingunt, ut si corpus refrigeretur, rursumque calefiet, vel color alius ex alio oriatur, morbi longitudinem significat.

Sudor copiosus de somno citra manifestam causam obortus, corpus copiosiore uti cibo significat. Quod si cibum

Ed. Chart. IX. 2. [154. 162.] Foës. II. 1250. 1251. Ed. Lind. I. (86.)
τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται.

2. [162] Ἰδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς μείζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

|| Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα ἢ πόνοι ἐγγίνονται.

Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα ἢ πόνοι ἐκ πυρετῶν γίγνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Ἢν ῥῖγος ἐπιπίπτει πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες καὶ χολώδεες πᾶσαι κακαί. ἀποχωρεῦσαι δὲ καλῶς ἀγαθαὶ καὶ κατὰ τὰς διαχωρήσιας καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

non assumenti istud contingat, quod evacuatione opus sit indicat.

Sudor copiosus calidus aut frigidus semper fluens, frigidus majorem, calidus minorem morbum significat.

Febres quae tertio quoque die vehementius affligunt neque intermittunt, periculosiores. Quocunque autem modo intermiserint, extra periculum esse significant.

Quibus adsunt febres longae, iis tubercula, vel ad articulos dolores innascuntur.

Quibus tubercula aut ad articulos dolores post febres longas oriuntur, ii copiosioribus cibis utuntur.

Si febre non intermittente rigor frequenter incidat, aegro jam debili, lethale est.

In febribus non intermittentibus excreationes lividae, sanguineae, graveolentes et biliosae, omnes malae, bene autem si prodeant, bonae, tum per alvi excretiones, tum per urinas. At si quid eorum quae non juvant per haec loca excernatur, malum.

Ed. Chart. 2. IX. [162. 167.] Foës. II. 1251. Ed. Lind. I. (87.)

(87) Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον.

Ἐν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος ἢ ὀφρὺς ἢ ὀφθαλμὸς ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἀσθενέος ἐόντος τοῦ κάμνοντος, ὅ τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

2. [167] Ὅκου ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας μῆκος νόσου σημαίνει.

Ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν δακρύουσιν οὐδὲν ἄτοπον, ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ διψώδεές εἰσίν.

In febribus non intermittentibus, ſi partes externae ſint frigidae, internae vero urantur et ſiti vexentur, lethale eſt.

In febre non intermittente, ſi labrum aut ſupercilium aut oculus aut naſus pervertatur, ſi non videat, ſi non audiat, imbecillo jam corpore, quicquid ex his evenerit, in propinquo mors eſt.

Quando in febre non intermittente difficultas ſpirandi et delirium contigerit, lethale.

In febribus quae abſcedunt ſi primis judicationibus non ſolvantur, morbi longitudinem ſignificant.

Quibus in febribus aut aliis morbis oculi ex voluntate illachrymant, nihil abſurdi accidit. At quibus praeter voluntatem, abſurdius.

Quibus per febres ad dentes glutinoſus humor obnaſcitur, iis vehementiores fiunt febres.

Quibus tuſſes ſiccae leviter irritantes in febribus ardentibus diu perſeverant, ii non multum ſiti vexantur.

Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος μὴ ἐκλείποντος τοῦ πυρετοῦ κακὸν, μηκύνει γὰρ ἡ νοῦσος καὶ ὑγρασίην πλείω σημαίνει.

Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νόσημα.

Ὑπὸ καύσου ἐχομένου ἐπιγενομένου ῥίγεος λύσις.

(88) Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

2. [173] Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν ἢ κοιλίη ἐκταραχθεῖσα λύει τὸ νούσημα.

Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακὸν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

Ex glandularum inflammationibus febres omnes malae praeter diarias.

Febricitanti ſi ſudor contingat non deficiente febre, malum. Prorogatur enim morbus multamque ſignificat humiditatem.

Si cui convulſione aut diſtentione nervorum detento febris ſucceſſerit, morbum ſolvit.

Febre ardente detento ſi rigor ſucceſſerit, ſolutio contingit.

Tertiana exquiſita ſeptem circuitibus ut longiſſime judicatur.

Quibus per febres aures obſurduerunt, ſanguis ex naribus profluens aut alvus exturbata morbum ſolvit.

Febricitantem niſi diebus imparibus febris dimiſerit, reverti ſolet.

Quibus per febres morbus regius ante diem ſeptimum obortus fuerit, malum.

Ed. Chart. IX. 2. [173.] Foës. II. 1251. 1252. Ed. Lind. I. (88. 89.)

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι, τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ, ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν καὶ καρδιωγμὸς, κακόν.

|| Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακὸν, σπασμὸν γὰρ σημαίνει.

Ὁκόσοισιν οὖρα παχέα θρομβώδεα ὀλίγα οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν ὠφελέει, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον (89) ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν ἢ παρέσονται.

Quibus per febres die ſeptimo aut nono aut undecimo aut decimo quarto morbus regius obortus fuerit, bonum, niſi praecordia dextra dura fuerint, alioqui minime bonum.

In febribus circa ventriculum aeſtus vehemens et oris ventriculi morſus malo eſt.

In febribus acutis convulſiones et circa viſcera dolores vehementes malum.

In febribus per ſomnos pavores aut convulſiones malo ſunt.

In febribus ſpiritus offenſans malo eſt, convulſionem namque indicat.

Quibus non ſine febre urinae ſunt craſſae, grumoſae et paucae, ſi ab iis copioſae et tenues prodeant, juvant. Praecipue vero tales redduntur quibus ab initio vel non ita multo poſt ſedimentum ineſt.

Quibus per febres urinae ſunt returbidae, quales veterini generis, iis capitis dolor vel adeſt vel aderit.

2. [180] Ὀκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν καὶ τἄλλα κατὰ λόγον.

Ὀκόσοισιν οὖρα διαφανέα λευκὰ πονηρὰ, μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

Ὀκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν ἢ οὔρου πλῆθος ἐπέλθῃ, ἐν πυρετοῖσι δὲ ταῦτα.

Ὀκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ κάρτα παχὺ καὶ λευκὸν γινόμενον οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ παχὺ λύεται.

Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

Ὀκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

Quibus ſeptimo die judicatio contingit, iis urina rubram die quarto nubeculam habet aliaque pro ratione.

Quibus urinae pellucidae, albae, malae, praecipue vero in phreniticis apparent.

Quibus ſublata praecordia murmurant, lumborum ſuccedente dolore, iis alvi humectantur, niſi flatus deorſum erumpant aut urinae copia prodeat. Atque haec in febribus contingunt.

Quibus ſperatur aliquid ad articulos abſceſſurum, urina copioſa et craſſa et alba reddita, abſceſſu liberat, qualis in febribus cum laſſitudinis ſenſu quarto die quibusdam ferri incipit. Quod ſi ex naribus etiam ſanguis effluxerit, tum brevi admodum ſolutio fit.

Si ſanguis aut pus cum urina redditur, renum aut veſicae exulceratio ſignificatur.

Quibus cum urina craſſa exiguae carunculae aut veluti capilli ſimul feruntur, iis a renibus excernuntur.

Ed. Chart. IX. 2. [180. 190.] Foës. II. 1252. Ed. Lind. I. (89. 90.)

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

2. [190] *Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπο(90)γάστριον καὶ ἐς τὸν περιτόναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.*

Ἢν αἷμα καὶ πῦον οὐρέῃ καὶ λεπίδας καὶ ὀσμὴ βαρείη ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύσις.

Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

[*Τμῆμα πέμπτον.*] *Σπασμὸς ἐξ ἐλλεβόρου θανάσιμον.*

Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος θανάσιμον.

Quibus cum urina crassa furfuri similia quaedam simul exeunt, iis vesica psora laborat.

Qui sponte sanguinem cum urina effundunt, iis in renibus venulam ruptam esse significat.

Quibus in urina arenosae sunt subsidentiae, iis vesica calculo laborat.

Si quis sanguinem et grumos cum urina fundat et stranguriam habeat, dolorque in imum ventrem et interfoemineum incidat, quae ad vesicam attinent laborant.

Si quis sanguinem et pus et squamulas cum urina fundat, gravisque odor adsit, vesicae exulcerationem significat.

Quibus in urinae fistula tuberculum innascitur, eo in pus verso et rupto, solutio contingit.

Urina copiose de nocte reddita paucam alvi dejectionem significat.

[*Sectio quinta.*] Convulsio ex veratro lethalis.

Convulsio quae in vulnus incidit lethalis.

. Chart.IX. 2. [190.197.] Foëf. II. 1252.1253. Ed. Lind. I. (90. 91.)

Αἵματος πολλοῦ ῥυέντος κάτω σπασμὸς ἢ λυγμὸς ιγενόμενος κακόν.

Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος κόν.

Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται σπασθεὶς, ιοθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ ἢ ἐς τὴν ὥρην ἐλθὼν, θ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

‖ 2. [197] *Ὁκόσοισι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσ-ρσιν ἡμέρῃσιν ἀπόλλυνται, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες νονται.*

Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετά-ασιν ἴσχει, ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, υτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν σσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα καθίσταται.

(91) *Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτω-ιίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων.*

Ex copiofo fanguinis fluxu convulfio aut fingultus ntingens malum denunciat.

Ex profufa purgatione convulfio aut fingultus fucce-ens malum.

Si ebrium quempiam vox deficiat derepente, convul-is moritur, nifi eum febris prehendat aut qua hora cra-ula folvi folet ad vocem redeat.

Qui nervorum diftentione corripiuntur intra quatuor ies pereunt, quos fi effugerint, fanefcunt.

Comitiales quibus ante pubertatis annos contingunt, epofitionem accipiunt. At quibus quintum et vigefimum nnum agentibus fiunt, eos fere ad mortem usque comi-antur.

Qui morbo laterali laborant, nifi intra dies quatuor-lecim repurgentur, iis in fuppurationem deponitur.

Tabes praecipue contingit aetatibus, quae funt ab anno lecimo octavo ad trigefimum quintum.

Ed. Chart. IX. 2. [197. 202.] Foës. II. 1253. Ed. Lind. I. (91

῾Οκόσοι κυνάγχην διαφεύγουσιν, ἐς τὸν πλεύμονα αὐτέοισι τρέπεται καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν, ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακα ἐπιχεόμενον καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδε

῾Οκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσιν, οὗτοι διαῤῥοίης ἐπιγενομένης ἀποθνήσκουσιν.

῾Οκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ το πλεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

2. [202] ῾Υπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγενομένη θανατῶδες.

῾Οκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν, ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ᾽ ἧς ἂν ῥῆξις γίνηται, παύονται, ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται.

Τὸ θερμὸν βλάπτει ταῦτα πλευνάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας, ταῦτα οἷσι θάνατος.

Qui anginam effugiunt, iis in pulmonem vertitur e intra dies ſeptem intereunt, quos ſi evaſerint, ſuppurati fiun

In tabe vexatis, ſi ſputum quod tuſſi rejiciunt carbonibus infuſum gravem odorem emittat et capilli e capit defluant, lethale eſt.

In tabidis ſi capilli e capite defluant, ii ſuccedent alvi profluvio moriuntur.

Qui ſpumantem ſanguinem ſputo rejiciunt, iis ex pulmone educitur.

Tabe detento ſuccedens alvi profluvium lethale.

Qui ex morbo laterali ſuppurati fiunt, ſi intra die quadraginta, ex quo ruptio facta eſt, repurgentur, liberantur, alioqui in tabem tranſeunt.

Calidum eo frequentius utentibus has affert noxias carnium effoeminationem, nervorum impotentiam, menti ſtuporem, ſanguinis profluvia, animi defectiones, ad qua mors ſequitur.

d. Chart. IX. 2. [202.207.] Foëf. II. 1253. Ed. Lind. I. (91. 92.)

Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς καὶ ίγεα πυρετώδεα.

Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεάλῳ, νωτιαίῳ μυελῷ, τὸ δὲ θερμὸν ὠφέλιμον.

(92) Ὁκόσα κατέψυκται, ἐκθερμαίνει, πλὴν ὁκόσα αἱοῤῥαγέειν μέλλει.

Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, δύνην ἀνεκπύητον ποιέει, μελαίνει, ῥίγεα πυρετώδεα ποιεῖ, πασμοὺς καὶ τετάνους.

Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, έρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται.

2. [207] Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, έγιστον σημεῖον ἐς ἀσφαλείην, δέρμα μαλάσσει, ἰσχναίνει, νώδυνον, ῥιγέων, σπασμῶν, τετάνων, παρηγορικὸν, τὴν δὲ ν τῇ κεφαλῇ καρηβαρείην λύει, πλεῖστον δὲ διαφέρει ὀστέων ατήγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι, τουτέων δὲ μά-

Frigidum vero convulfiones, nervorum diftentiones, enigrationes et rigores febriles.

Frigidum offibus adverfum, dentibus, nervis, cerebro, orfali medullae, calidum vero utile.

Perfrigerata excalefacere oportet, praeter ea quae fanuinem effundunt aut brevi effundent.

Frigidum ulcera mordet, cutem obdurat, dolorem inuppurabilem facit, denigrationes, rigores febriles, convulfiones, nervorum diftentiones.

Quandoque tamen in nervorum diftentione absque ulcere in juvene quadrati corporis, aeftate media, frigidae copiofa perfufio caloris revocationem efficit, calor autem haec fanat.

Calidum fuppurationem movens, non in omni ulcere, maximum fecuritatis judicium exhibet, cutem emollit, extenuat, dolorem tollit, rigores, convulfiones, nervorum distentiones mitigat, capitis gravitatem folvit, offium vero fracturis plurimum confert, fed praecipue his quae carne

λιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι, καὶ ὁκόσα ὑπὸ ψύξ[ι]
θνήσκει ἢ ἑλκοῦται, καὶ ἕρποισιν ἐσθιομένοισιν, ἕδρῃ, [αἰ]
δοίῳ, ὑστέρῃ, κύστει, τουτέοισι τὸ μὲν θερμὸν φίλιον κ[αὶ]
κρίνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμο[ρ]
ῥαγέειν μέλλει μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥ[εῖ]
καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν κ[αὶ]
ὕφαιμον ῥέποντα αἵματι νεαρῷ ἐπὶ ταῦτα, ἐπεὶ τά γε π[α]
λαιὰ μελαίνει, καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον, ἐπεὶ τὸ
ἑλκούμενον βλάπτει.

‖ Τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμι[α]
(93) βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα, ἄτ[ερ]
ἕλκεος καὶ ποδαγρικὰ καὶ σπάσματα, τουτέων τὰ πλεῖσ[τα]
ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει κ[αὶ]
ὀδύνην λύει, νάρκη δὲ μετρίη ὀδύνης λυτική.

nudata ſunt, iisque maxime qui in capite ulcera haben[t].
His etiam quae a frigore emoriuntur aut exulcerantur [et]
herpetibus exedentibus, ſedi, pudendo, utero, veſicae, [i]
omnibus calidum gratum et judicationem faciens, frigidu[m]
vero inimicum et interimens.

At frigido in his utendum unde ſanguis proflui[t]
aut paulo poſt fluxurus eſt, non ſupra ipſas partes, ſ[ed]
circa eas unde profluit adhibito. Et ſi quae inflammatio-
nes, aut incendioſa quaedam ad rubrum et ſubcruentu[m]
ex recenti ſanguine vergunt, ad ea admoto. Invetera[ta]
namque denigrat. Eryſipelas etiam non ulceratum juva[t],
ſiquidem exulceratum laedit.

Frigida, veluti nix et glacies, pectori ſunt adverſa, tuſ-
ſes movent, ſanguinis eruptiones et deſtillationes efficiun[t].

Articulorum tumores et dolores abſque ulcere et po-
dagricas affectiones et convulſa, haec magna ex parte fri-
gida large effuſa levat et minuit, doloremque ſolvit. Mode-
ratus namque torpor dolorem ſolvendi facultatem habet.

Ed. Chart. IX. 2. [207 213.] Foëf. II. 1254. Ed. Lind. I. (94.)

Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον κουφότατον.

Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη, πολλαχῇ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐποίει.

Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον, τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι.

2. [213] Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νουσημάτων ληφθῆναι θανατῶδες.

Γυνὴν ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις.

Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι ἀγαθόν.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πουλλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

Aqua quae cito calefcit et cito refrigeratur leviffima.

Quibus bibendi de nocte appetentia eft, iis admodum fitientibus, fi obdormierint, bono eft.

Odoramentorum fuffitus muliebria educit et ad alia plerumque utilis effet, nifi capitis gravitatem inferret.

Uterum gerentibus purgantia medicamenta exhibenda funt, fi humor impetu feratur ad excretionem, quarto menfe et ad feptimum usque, fed his minus. In majoribus autem et grandioribus foetibus fubtimide fe gerere oportet.

Mulierem utero gerentem morbo quopiam acuto corripi lethale.

Mulieri uterum gerenti vena fecta abortionem facit, idque potiffimum fi foetus grandior fuerit.

Mulieri fanguinem vomitione rejicienti menftruis erumpentibus folutio contingit.

Mulieri menftruis deficientibus fanguis ex naribus profluens bono eft.

Mulieri utero gerenti, fi alvus multum profluat, abortionis periculum eft.

Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ πταρμὸς ἐπιγινόμενος ἀγαθόν.

Γυναικὶ τὰ καταμήνια (94) ἄχροα καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα καθάρσιος δεῖσθαι σημαίνει.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μασθοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει, καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν, ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

2. [218] Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

Γυναιξὶν ὁκόσοισιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται μανίην σημαίνει.

Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, ἀδείπνῳ ἐούσῃ μελίκρατον διδόναι πιεῖν, κἢν περ στρόφος αὐτὴν ἔχῃ, περὶ τὴν γαστέρα κύει, ἢν δὲ μὴ, οὐ κύει.

Γυνὴ ἔγκυος εἰ μὲν ἄῤῥεν κύει, εὔχρους ἐστὶν, ἢν δὲ θῆλυ, δύσχρους.

Mulieri uteri ſtrangulatu vexatae aut difficultate partus laboranti ſternutatio ſuccedens bono eſt.

Mulieri menſes decolores, neque ſemper eadem periodo procedentes, purgationem indicant eſſe neceſſariam.

Mulieri utero gerenti ſi mammae derepente gracileſcant, abortionis periculum eſt.

Mulieri utero gemellos gerenti, ſi altera mamma gracilis evadat, alterum abortu edit, et ſi quidem dextra mamma gracileſcat, marem, ſi vero ſiniſtra, foeminam.

Si mulier quae neque gravida eſt neque peperit, lac habet, ei menſtrua defecerunt.

Mulieribus quibus ad mammas ſanguis in tumorem colligitur, furor ſignificatur.

Si noſſe velis num mulier conceperit, ei dormiturae aquam mulſam propinato, et ſi ventris tormina eam corripuerint, concepit, ſin minus, non concepit.

Mulier praegnans, ſi marem geſtat, coloratior eſt, ſi foeminam, minus colorata.

Ed. Chart. IX. 2. [218.] Foës. II. 1254. 1255. Ed. Lind. I. (94. 95.)

Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσιν δίμηνα πρὶν ἢ παχυνθῆναι.

Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν, καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρους τὸ ἔμβρυον, ἀλλ' ἀποῤῥήγνυνται.

Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον (95) τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν.

Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπνήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

|| Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεια ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

Ὑστέρων ἐκπτώσιας πταρμικὸν προστιθεὶς ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

Mulieri praegnanti eryſipelas in utero lethale.

Quae praeter naturam tenues utero gerunt, abortiunt donec pleniores evadant.

Quae mediocri corporis habitu praeditae, foetus bimeſtres aut trimeſtres absque occaſione manifeſta abortione excludunt, iis uteri acetabula, Graeci κοτυληδόνας vocant, mucoris plena ſunt, neque prae pondere foetum continere poſſunt, ſed abrumpuntur.

Quae praeter naturam craſſae non concipiunt, iis omentum os uteri comprimit, neque prius quam extenuentur, praegnantes efficiuntur.

Si uterus qua parte ad coxam incumbit, ſuppuratus fuerit, eum per linimenta medicamento convenienti illita curari neceſſe eſt.

Mares uteri dextra parte, foeminae ſiniſtra magis geſtantur.

Ut ſecundae excidant, ſternutatorio naribus appoſitas eas et os comprimito.

Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

2. [225] *Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει· ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.*

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν ἢ ἐν τοῖσιν ἰσχίοισιν ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

Mulieri si voles menstrua sistere, cucurbitulam quam maximam ad nares appone.

Quae utero gerunt, iis uteri os connivet.

Mulieri uterum gerenti, si lac copiosum e mammis effluat, foetum imbecillum indicat. Quod si solidae mammae fuerint, valentiorem foetum significant.

Quae foetus corrupturae sunt, iis mammae extenuantur. Quod si contra durae evadant, dolor erit vel in mammis vel in coxis vel in oculis vel in genibus, neque foetum corrumpunt.

Quibus os uteri durum est, iis connivere os uteri necesse est.

Quaecunque utero gerentes febribus detinentur et vehementer extenuantur citra manifestam causam, eae difficulter et cum periculo pariunt aut in abortionis periculum incidunt.

In fluore muliebri si convulsio accedat et animi defectio, malo est.

(96) Καταμηνίων γινομένων πλειόνων νοῦσοι ξυμβαίνουσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι.

Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ὑστέρῃ φλεγμαινούσῃ στραγγουρίη ἐπιγίνεται, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι στραγγουρίη ἐπιγίνεται, ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

2. [231] Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτω. κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι᾽ ἑωυτὴν ἄγονός ἐστιν.

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται μήτε φρίκης μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

Ὁκόσοι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι, οὐ κυΐσκουσι, καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσι, ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς

Menſibus copioſioribus profluentibus morbi contingunt et non prodeuntibus ab utero morbi eveniunt.

Ad recti inteſtini et uteri inflammationem, renesque purulentos ſtranguria ſuccedit. At jecore inflammatione laborante ſuccedit ſingultus.

Si mulier non concipiat, ſcire autem expetit num conceptura ſit, veſtibus undique obvolutae per inferna ſuffitum apponito et ſi odor quidem ad nares et os usque per corpus tibi pervadere videatur, ipſam non ex ſeſe infoecundam eſſe ſcito.

Si mulieri utero gerenti purgationes eant, foetus ut bene valeat fieri non poteſt.

Si mulieri purgationes non prodeant, neque horrore neque febre ſuccedente, ciborum vero faſtidia ei accidant, gravidam eſſe exiſtimato.

Quae frigidos et denſos habent uteros non concipiunt, neque quae praehumidos habent, ſiquidem in ipſis genitura extinguitur. Et quae plus aequo ſiccas et adurentes, ali-

Ed. Chart. IX. 2. [231, 237.] Foës. II. 1255, 1256. Ed. Lind. I. (96. 97.)
μᾶλλον καὶ περικαεῖς, ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα, ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἳ τοιαῦται ἐπίτεκνοι γίνονται.

Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων· ἢ γὰρ δι' ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυριῆται ὥστε ἀθροίζεσθαι πρὸς τὸν (97) τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

2. [237] Γάλα διδόναι κεφαλαλγέουσι κακὸν, κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, καὶ τοῖσι διψώδεσι, κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν, ἁρμόζει δὲ τοῖσι φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι, διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετακόσι.

|| Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνονται, οὐ μάλα

menti namque inopia semen corrumpitur. At quae ex utrisque moderatam nactae sunt temperiem, eae foecundae evadunt.

Eadem vero ratio est in maribus; aut enim propter corporis raritatem spiritus foras dissipatur, ita ut ne semen transmittat, aut propter densitatem humor foras non excernitur aut ob frigiditatem non accenditur, ut ad eum locum cogatur, aut ob caliditatem hoc idem contingit.

Lac exhibere capite dolentibus malum. Malum item et febricitantibus et quibus praecordia sublata murmurant et siticulosis. Malum quoque et quibus biliosae sunt dejectiones, quique febre acuta laborant et quibus copiosa sanguinis dejectio facta est. At tabidis lac dare convenit, non valde admodum febricitantibus et in febribus longis et languidis, dum nullum ex supra commemoratis signis adsuerit et praeter rationem extenuatis.

Quibus cum ulceribus tumores conspiciuntur, ii fere

σπῶνται οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων, ἐξαίφνης τοῖσι μὲν ὄπισθεν σπασμοὶ, τέτανοι, τοῖσι δὲ ἔμπροσθεν μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι ἢ ἐμπύησις ἢ δυσεντερία, ἢν ἐρυθρὰ μᾶλλον ᾖ τὰ οἰδήματα.

Ἢν τραυμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν οἴδημα μὴ φαίνεται, κακόν.

Τὰ χαῦνα χρηστὰ, τὰ ἔνωμα κακά.

Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα ὠφελέει.

Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον καὶ διὰ νώτου ἐς κεφαλὴν, ἀνδράσι δὲ μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι, δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ (98) πάνυ τι ἁλίσκονται, ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ,

neque convelluntur, neque in furorem aguntur. At iis derepente evanefcentibus, quibus quidem id a tergo incidit, convulfiones et nervorum diftentiones fiunt. Quibus vero a fronte, furores aut lateris dolores acuti aut puris collectio aut inteftinorum difficultas, fi rubri tumores fuerint.

Si magnis et pravis exiftentibus vulneribus tumor non confpiciatur, ingens malum.

Molles boni, at crudi mali.

Ei, qui parte capitis pofteriore dolet, recta in fronte incifa vena prodeft.

Rigores mulieribus quidem initium ducunt ex lumbis magis et per dorfum ad caput perveniunt. Quin etiam viris parte corporis pofteriore magis quam anteriore, veluti ex cubitis et femoribus. Quod et indicat cutis raritas, quam etiam pilus oftendit.

Qui quartanis corripiuntur, fere convulfione non tentantur. Quod fi prius corripiantur, deinde quartana fuccedat, liberantur.

Quibus cutis obtenditur arida et dura, ii fine fudore

Ed. Chart. IX. 2. [237. 245.] Foës. II. 1256. Ed. Lind. I. (98.)
ἄνευ ἱδρώτων τελευτῶσιν, ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν.

Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

2. [245] [Τμῆμα ἕκτον.] Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρευγμίη ἐπιγινομένη μὴ γινομένη πρότερον σημεῖον ἀγαθόν.

Οἷσι ῥῖνες ὑγρότεραι φύσει καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον, οἷσι δὲ τἀναντία, ὑγεινότερον.

Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι κακὸν, καὶ σὺν πυρετῷ κάκιον.

Τὰ περιμάδηρα ἕλκεα κακοήθεα.

Τῶν ὀδυνέων ἐν πλευροῖσι καὶ ἐν στήθεσι καὶ ἐν τοῖσιν ἄλλοισιν μέρεσιν, ἢν μέγα διαφέρωσι καταμαθητέον.

Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα τὰ μὲν μετέωρα κοῦφα, τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

moriuntur. At quibus laxa et rara cum ſudore vitam finiunt.

Qui morbo regio laborat, non multum flatulenti ſunt.

[*Sectio ſexta.*] In diuturnis inteſtinorum laevitatibus, ſi ructus acidus, qui antea non extitit, ſuccedat, bonum eſt ſignum.

Quibus nares natura ſunt humidiores et genitura humidior, ii morboſiore ſunt valetudine, at quibus contraria ſunt, ſalubriore.

In longis inteſtinorum difficultatibus cibi faſtidia malum denunciant et cum febre pejus.

Ulcera undiquaque glabra maligna.

Dolores et in lateribus et in pectore et in caeteris partibus, num multum differant perdiſcendum.

Renum et veſicae vitia in ſenibus aegre curantur.

Dolores qui ad ventrem fiunt, ſublimes quidem leviores, non ſublimes vero vehementiores.

Ed. Chart. IX. 2. [245. 254.] Foës. II. 1256. Ed. Lind. I. (98. 99.)

Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥᾳδίως ὑγιάζεται.

Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

Κεφαλὴν πονέοντι καὶ (99) περιωδυνέοντι πῦον ἢ ὕδωρ ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὸ στόμα ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα.

2. [254] Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσι αἱμοῤῥοΐδες ἐπιγινόμεναι ἀγαθόν.

Τῷ ἰηθέντι χρονίας αἱμοῤῥοΐδας, εἰ μὲν μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγενόμενοι λύουσι τὸν λυγμόν.

Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος λύσις.

Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγινόμενος λύει τὴν διάῤῥοιαν.

Aqua inter cutem laborantibus orta in corpore ulcera non facile ſanantur.

Puſtulae latae raro pruriginoſae.

Capite dolenti ac vehementer laboranti pus aut aqua aut ſanguis per nares vel os vel aures effluens morbum tollit.

Melancholicis affectibus et renum vitiis ſuccedentes haemorrhoides, hoc eſt ſanguinis profluvium per ora venarum in ano ſanguinem ſundere ſolita, bono ſunt.

Diuturnum ſanguinis profluvium per ora venarum quae in ano ſunt, haemorrhoidas dicunt, curanti, niſi una ſervetur, periculum eſt ne aqua inter cutem aut tabes ſuccedat.

Singultu detento, ſi ſternutamenta accedant, ſingultum tollunt.

Aqua inter cutem detento, ubi aqua ex venis in ventrem confluxerit, morbus ſolvitur.

Longo alvi profluvio detento, ſpontanea accedens vomitio alvi profluvium ſolvit.

|| Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ διάῤῥοια ἐπιγενομένη κακόν.

Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης ληφθῆναι ἀγαθόν.

Κύστιν διακοπέντι ἢ ἐγκέφαλον ἢ καρδίην ἢ φρένας ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν ἢ κοιλίην ἢ ἧπαρ, θανατῶδες.

Ἐπὴν διακοπῇ ὀστέον ἢ χονδρὸς ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε ξυμφύεται.

Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμοῤῥοΐδων ἐπιγινομένων μανίης λύσις.

Ὁκόσα ῥήγματα ἐκ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

(100) Ἢν φόβος ἢ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

Morbo laterali aut pulmonum inflammatione conflictato fuccedens alvi profluvium malum.

Lippitudine laborantem alvi profluvio corripi bonum.

Cui vefica perfecta fuerit aut cerebrum aut cor aut feptum transverfum aut tenue quoddam inteftinum aut ventriculus aut jecur, lethale eft.

Os cum perfectum fuerit aut cartilago aut nervus aus genae tenuis particula aut praeputium, neque augetur neque coalefcit.

Si fanguis in ventrem praeter naturam effufus fuerit, ut in pus vertatur neceffe eft.

Infanientibus fi varices aut fanguinis profluvium per ora venarum quae in ano funt, haemorrhoides dicuntur, acceflerint, infaniae folutio.

Rupta quae ex dorfo ad cubiti articulos defcendunt, venae fectio foluit.

Metus et triftitia fi diu perfeverent, melancholiae iftud indicium eft.

Ex tenuioribus inteftinis fi quod perfectum fuerit, minime coalefcit.

Ἐρυσίπελας ἔξωθεν καταχεόμενον, εἴσω τρέπεσθαι οὐκ ἀγαθόν. ἔσωθεν δὲ ἔξω ἀγαθόν.

2. [262] Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται ἐκρυέντος τοῦ πύου καὶ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ.

Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακοποσίη λύει.

Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

Ὁκόσοι φαλακροὶ ἔωσι, τουτέοισι κιρσοὶ μεγάλοι οὐκ

Eryſipelas foras effuſum intro verti, minime bonum, at ab interioribus foras, bonum.

Quibus in febribus ardentibus tremores contingunt, delirium ſolvit.

Qui pus thorace colligunt, aut aqua inter cutem laborant, ſi uruntur aut ſecantur et pus aut aqua conſertim effluxerit, omnino intereunt.

Eunuchi neque podagra laborant, neque calveſcunt.

Mulier podagra non laborat, niſi cum menſtrua defecerint.

Puer podagra non tentatur ante venereorum uſum.

Oculorum dolores meri potio, aut balneum aut fomentum, aut venae ſectio aut medicamentum purgans exhibitum ſolvit.

Balbi longo alvi profluvio maxime corripiuntur.

Qui acidum eructant, non admodum morbo laterali tentantur.

Qui calvi ſunt, iis varices magni non fiunt. At quibus

ἐγγίνονται. ὁκόσοισι δ' ἂν φαλακροῖσι κιρσοὶ γίνονται, πάλιν οὗτοι γίνονται δασέες.

Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγενομένη κακόν.

Δυσουρίην φλεβοτομίη λύει, τάμνειν δὲ τὰς εἴσω.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἰδήματα γενέσθαι ἐν τῷ βρόγχῳ ἔξω ἀγαθόν.

(101) Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ πουλὺν χρόνον διατελοῦσι.

Σπασμοὶ γίνονται ἢ ὑπὸ πληρώσιος ἢ κενώσιος· οὕτω δὲ καὶ λυγμός.

2. [274] Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

calvis exiſtentibus varices ſuccedunt, iis rurſus capillitium gignitur.

Aqua inter cutem laborantibus tuſſis accedens malo eſt.

Urinae difficultatem venae ſectio ſolvit. Secandae autem ſunt interiores.

In angina detento, ſi tumor in cervice oriatur, bonum, foras enim morbus vertitur.

Quibus cancri occulti oriuntur, eos non curare praeſtat. Curati namque cito pereunt, non curati vero diutius perdurant.

Convulſio ex repletione aut vacuatione oritur, ita vero etiam ſingultus.

Quibus ad praecordia dolores citra inflammationem oriuntur, iis febris ſuccedens dolorem ſolvit.

Quibus ſuppuratum aliquod in corpore exiſtit, neque de ſe ſignificationem edit, iis ob puris aut loci craſſitudinem ſui indicium non exhibet.

Ed.Chart.IX.2.[274.281.] Foës. II. 1257. 1258. Ed.Lind.I.(101.102.)

Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι πονηρόν.

Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη καὶ ἀπόλλυνται.

|| Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ ὕδωρ ῥυῇ.

Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

Ὁκόσοι ὕβοι ἐξ ἄσθματος ἢ βηχὸς γίνονται, πρὸ τῆς ἥβης ἀπόλλυνται.

Ὁκόσοισι φλεβοτομίη ξυμφέρει, τουτέους προσῆκον τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν.

2. [281] Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη ἀγαθόν.

Ὁκόσα ποδαγρικὰ νουσήματα γίνονται, ταῦτα ἀπο (102) φλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίστανται.

Morbo regio laborantibus jecur durum fieri malum.

Lienoſi qui difficultate inteſtinorum corripiuntur, iis poſt longam ſuccedentem inteſtinorum difficultatem, aqua inter cutem aut laevitas inteſtinorum accidit, et moriuntur.

Quibus ex ſtranguria volvulus ſuccedit, intra diem ſeptimum moriuntur, niſi febre accedente copioſa urina effluat.

Ulcera annua quaecunque fuerint, aut longius tompus habuerint, os abscedere eſt neceſſe et cicatrices cavas fieri.

Qui gibboſi ex anhelatione et tuſſi fiunt, ante pubertatem moriuntur.

Quibus venae ſectio et medicamentum purgans confert, iis vere venam ſecare aut medicamentum purgans exhibere convenit.

Lienoſis accedens inteſtinorum difficultas bono eſt.

Podagrici morbi intra diem quadrageſimum depoſita inflammatione ſubſiſtunt.

Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ καὶ παραχρῆμα ἄφωνοι κεῖνται καὶ ῥέγκουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ μὴ ἐκ διαῤῥοίης ἐόντι ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς ἐπισφαλέστεραι.

Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαὶ κακαί.

Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

Τοῖσι μελαγχολικοῖσι νουσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες ἢ ἀπόπληξιν τοῦ σώματος ἢ σπασμὸν, ἢ μανίην ἢ τύφλωσιν σημαίνουσι.

Quibus perfectum fuerit cerebrum, iis febrem et bilis vomitionem fuccedere neceffe eft.

Quibus bene valentibus capitis dolores derepente contingunt, ftatimque voce deficiunt et ftertunt, intra dies feptem pereunt, nifi febris eos prehenderit.

Spectare vero oportet quae etiam ex oculis per fomnum fubapparent. Etenim fi quid ex albo non commiffis palpebris fubappareat, neque id ex alvi profluvio, aut medicamenti potione contingat, pravum fignum eft et letale admodum.

Deliria quae cum rifu fiunt tutiora. At quae ftudio adhibito, periculofiora.

In morbis acutis cum febre gemebundae fpirationes malae.

Podagrae vitia vere et autumno fere moventur.

Morborum melancholicorum periculofi decubitus, aut corporis fiderationem aut convulfionem, aut furorem aut caecitatem denunciant.

Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

Ἢν ἐπίπλους ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

(103) Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος καὶ χωλοῦνται ἢν μὴ καυθῶσιν.

2. [291] [Τμῆμα ἕβδομον.] Ἐν τοῖσιν ὀξέσι νουσήμασι ψύξις ἀκρωτηρίων κακόν.

Ἐπὶ ὀστέῳ νοσοῦντι σὰρξ πελιδνὴ κακόν.

Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ κακόν.

Ἐπὶ ἱδρῶτι φρίκη οὐ χρηστόν.

Ἐπὶ μανίῃ δυσεντερίη ἢ ὕδρωψ ἢ ἔκστασις ἀγαθόν.

Ἐπὶ νούσῳ πολυχρονίῃ ἀσιτίη καὶ χολώδεις ὑποχωρήσιες κακόν.

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη κακόν.

At corporis siderationes contingunt ea aetate maxime quae est a quadragesimo ad sexagesimum.

Ubi omentum exciderit, computrescere necesse est.

Quibus coxendicis dolore conflictatis coxendicis articulus suo loco excidit, ac rursus recipitur, iis mucores innascuntur.

Quibus diuturno coxendicis dolore conflictatis femoris caput suo loco excidit, iis crus tabescit et claudicant, nisi urantur.

[*Sectio septima.*] In acutis morbis extremorum refrigeratio mala.

Caro livida ex osse aegrotante malum denunciat.

Ex vomitione singultus et oculi rubentes malo sunt.

Ex sudore horror minime bonus.

Ex furore intestinorum difficultas, aut hydrops, aut vehemens mentis emotio, ἔκστασις dicitur, bono est.

In morbo diuturno ciborum fastidium et sincerae dejectiones malum denunciant.

Ex multo potu rigor et delirium malum.

Ἐπὶ φύματος εἴσω ῥήξιος ἔκλυσις, ἔμετος καὶ λειποψυχίη γίνεται.

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμὸς κακόν.

Ἐπὶ εἰλεῷ ἔμετος ἢ λὺγξ ἢ σπασμὸς ἢ παραφροσύνη κακόν.

|| Ἐπὶ πλευρίτιδι περιπλευμονίη ἐπιγινομένη κακόν.

Ἐπὶ περιπλευμονίῃ φρενῖτις κακόν.

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος κακόν.

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη κακόν.

2. [299] Ἐπὶ αἵματος πτύσει πύου πτύσις κακόν.

Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις κακόν.

Ἐπὴν δὲ τὸ σίελον ἴσχηται, ἀποθνήσκουσιν.

(104) Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λὺγξ κακόν.

Ἐπὶ ἀγρυπνίῃ σπασμὸς καὶ παραφροσύνη, κακόν.

Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας.

Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.

Ex rupto intro tuberculo exolutio, vomitio et animi defectio contingit.

Ex ſanguinis profluvio deliratio aut etiam convulſio malo eſt.

Ex morbo tenuioris ieteſtini, ileum dicunt, vomitio aut ſingultus aut convulſio aut delirium malum.

Ex morbo laterali pulmonis inflammatio malo eſt.

Ex pulmonis inflammatione phrenitis malum denunciat.

Ex vehementibus ardoribus convulſio, aut nervorum diſtentio, malo eſt.

Ex ictu in capite accepto ſtupor aut deſipientia malo eſt.

Ex ſanguinis ſputo puris ſputum malum.

Ex puris ſputo tabes et fluxus, ubi vero ſputum ſiſtitur, moriuntur.

Ex jecoris inflammatione ſingultus malo eſt.

Ex vigilia convulſio vel delirium malum.

Ex oſſis nudatione eryſipelas.

Ex eryſipelate putredo aut ſuppuratio.

Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν αἱμοῤῥαγίη.

Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην ἐκπύησις.

Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει δυσεντερίη.

Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ.

Ἐκ φαρμακοποσίης σπασμὸς θανατῶδες.

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις κακόν.

Ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ἐκτρῶσαι ποιέει.

Ὅ τι ἂν ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται οὔτε συμφύεται.

Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον.

2. [306] Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα καταῤῥεῖ.

Ex vehementi et conſpicuo in ulceribus arteriarum perculſu ſanguinis eruptio.

Ex diuturno partium quae ad ventrem attinent dolore ſuppuratio.

Ex ſincera alvi egeſtione inteſtinorum difficultas.

Ex oſſe perfecto delirium, ſi ad vacuum usque penetravit.

Ex medicamenti purgantis potione convulſio letalis.

Ex vehementi partium quae ad ventrem attinent dolore, extremorum refrigeratio mala.

Mulieri utero gerenti ſi crebra et inanis deſidendi voluntas, tinesmum dicunt, acceſſerit, abortum facit.

Os quodcunque vel cartilago vel nervus in corpore praeciſus fuerit, neque augetur neque coaleſcit.

Alba pituita vexato, ſi vehemens alvi profluvium ſuccedat, morbum ſolvit.

Quibus per alvi profluvia ſpumoſa ſunt alvi excrementa, iis ea ex capite defluunt.

Ὁκόσοισι πυρέττουσιν ἐν τοῖσι οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξείην ἀῤῥωστίην σημαίνει.

(105) Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

Ὁκόσοισι δὲ ἐπὶ τοῖσι οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσι καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι.

Ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

Ὁκόσοισι δὲ νεφριτικοῖς ἐοῦσι τὰ προειρημένα συμβαίνει σημήϊα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται. κἢν μὲν περὶ τοὺς ἔξω τόπους γένωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω. ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς εἴσω τόπους γίνονται καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον εἴσω.

Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον·

Quibus per febres ſedimenta hordei toſti non exacte moliti craſſioribus fruſtulis ſimilia in urinis contingunt, longam fore aegritudinem denunciant.

At quibus bilioſa ſedimenta, ſupra vero tenuia fuerint, acutum morbum ſignificant.

Quibus diſparatae ſunt urinae, iis vehemens eſt in corpore turbatio.

Quibus in urinarum ſummo bullae conſiſtunt, renum morbum eumque longum fore ſignificant.

At quibus ſumma urina pinguis eſt et conſerta, iis renum morbum eumque acutum ſignificat.

Quibus vero renum vitio affectis praedicta ſigna contingunt, doloresque circa ſpinae muſculos fiunt, ſi quidem ad loca exteriora ferantur, abſceſſum extra fore expecta. Quod ſi dolores ad loca interna magis vergant, abſceſſum quoque interius potius futurum ſperandum.

Qui ſanguinem vomitione refundunt, ſi quidem citra

Ed. Chart. IX. 2. [306. 312.] Foës. II. 1259. 1260. Ed. Lind. I. (105. 106.)

εἰ δὲ ξὺν πυρετῷ κακόν, θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι καὶ τοῖσι στυπτικοῖσι.

Κατάῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέραις εἴκοσιν.

2. [312] Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίη ἔχῃ καὶ ὀδύνη ἐμπίπτῃ ἐς περίναιον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

|| Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς λύσις τοῦ πυρετοῦ γίνεται.

(106) Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

Ὁκόσοι ἔμπυοι καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίνονται· ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται.

febrem contingat, salutare, cum febre vero malum. Curandum vero refrigerandi et adstringendi vim habentibus.

Destillationes in superiorem ventrem intra vigesimum diem in pus vertuntur.

Si quis sanguinem et grumos meiat et stranguria laboret, dolorque ad intersoemineum, imum ventrem et pectinem pertingat, partes ad vesicam pertinentes male affici significat.

Si lingua derepente incontinens, aut aliqua corporis pars siderata evadat, id atram bilem indicat.

Si senioribus supra modum purgatis singultus accidat, non bonum.

Si febris non ex bile orta prehenderit, aqua calida et copiosa capiti affusa, fit febris solutio.

Mulier ambidextra non fit.

Suppurati cum uruntur aut secantur, si pus purum et album effluat, evadunt. Quod si subcruentum et coenosum et graveolens fuerit, pereunt.

Ed. Chart. IX. 2. [312. 318.] Foës. II. 1260. Ed. Lind. I. (106.)

Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν τὸ μὲν πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίγνονται. ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισιν ἐστίν· ἐὰν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

Ὀδύνας ὀφθαλμῶν ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ φλεβοτόμει.

Ὑδρωπιῶντα ἐὰν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

2. [318] Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς εἴσω.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγενόμενον, ἀγαθὸν, ἔξω γὰρ τρέπεται τὸ νούσημα.

Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ· ὑπερχεῖται οὖν ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω· ψοφεῖ δὲ ὅτι διά στενοῦ ἡ διέξοδος αὐτοῦ ἐστίν.

Qui ex purulento jecore aduruntur, ii ubi pus purum fluxerit et album, superſunt, quod pus in tunica ipſis concluſum ſit. Sin vero qualis amurca fluat, pereunt.

Oculorum dolores exhibita meri potione et copioſae aquae calentis balneo venae ſectione curato.

Aqua inter cutem laborantem ſi tuſſis detineat, deſperatus eſt.

Urinae ſtillicidium, ſtranguriam vocant, et meiendi difficultatem, vini meri potio et venae ſectio ſolvit. At ſecandae ſunt interiores.

In angina detento, ſi tumor et rubor in pectore contingat, bonum, foras ſi quidem morbus vertitur.

Quibus cerebrum ſideratione tentatum eſt, intra tres dies intereunt. Quod ſi hos effugerint, ſani evadunt.

Sternutatio ex capite fit concalefacto cerebro, aut perhumectata capitis inanitate. Aër enim intus contentus extra effunditur. Strepitum autem edit, quod ei per anguſtum ſit transitus.

Ed. Chart. IX. 2. [318. 325.] Foës. II. 1260. Ed. Lind. I. (106. 107.)

Ὁκόσοισιν ἧπαρ περιωδυνᾶται τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὴν ὀδύνην.

Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, τουτέοισι ξυμφέρει ἔαρι φλεβοτομεῖσθαι.

Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα (107) ἀποκλείεται καὶ ὀδύνην παρέχει οὐκ ἔχον διέξοδον οὐδὲ εἰς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος λύσις γίνεται τῆς νόσου.

Ὁκόσοισι δὲ τὸ ἧπαρ ὕδατος πλησθὲν εἰς τὸν ἐπίπλουν ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπιπλᾶται καὶ ἀποθνήσκουσιν.

Ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος λύει.

2. [325] Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνονται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύεται ὁ πόνος.

Ὁκόσοις δ᾽ ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα.

Quibus jecur vehementer dolet, iis ſuccedens febris dolorem ſolvit.

Quibus ſanguinem ex venis detrahere convenit, iis vere vena ſecanda eſt.

Quibus inter ſeptum transverſum et ventriculum pituita concluditur et dolorem exhibet, neque in alterutrum ventrem viam habet, iis per venas in veſicam pituita verſa, morbi fit ſolutio.

Quibus jecur aqua plenum in omentum eruperit, iis venter aqua impletur et moriuntur.

Anxietudinem, oſcitationem, horrorem, vinum aequali aqua temperatum epotum ſolvit.

Quibus in urinaria fiſtula tuberculum innaſcitur, eo in pus verſo et rupto dolor ſolvitur.

Quibus ex occaſione aliqua cerebrum concuſſum fuerit, eos protinus voce deficere neceſſe eſt.

Ed. Chart. IX. 2. [325.] Foes. II. 1260. 1261. Ed. Lind. I. (107. 108.)

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὸν ἐμποιέειν, λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

Ὅκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ τὸ σῶμα καταψύχηται καὶ πάλιν θερμαίνηται ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νόσου σημαίνει.

Ἱδρὼς πολὺς θερμὸς ἢ ψυχρὸς ῥέων αἰεὶ σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ. ἀπάγειν οὖν χρὴ τῷ μὲν ἰσχυρῷ ἄνωθεν, τῷ δὲ ἀσθενεῖ κάτωθεν.

Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες ἢν ἰσχυρότεροι διὰ τρίτης γένωνται, ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσιν, σημαίνει ὅτι ἀκίνδυνοι.

|| Ὁκόσοισι πυρετοὶ (108) μακροὶ, τουτέοισιν ἢ φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

Ὁκόσοισι φύματα μακρὰ ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Corporibus humida carne praeditis famem inducere convenit, fames ſi quidem corpora exſiccat.

Si febre detento, nullo exiſtente in faucibus tumore, derepente ſuffocatio ſuccedat, nec niſi aegre devorare queat, letale.

Si febre detento cervix pervertatur, neque devorare queat, nullo in cervice tumore exiſtente, letale.

Ubi toto corpore mutationes et corpus univerſum perfrigeratur, rurſusque incaleſcit, nec ſubinde calorem commutat, morbi longitudo denunciatur.

Sudor multus calidus aut frigidus ſemper fluens, humoris copiam ineſſe ſignificat. Haec igitur robuſto quidem ſuperne, debili vero inferne deducenda.

Febres non intermittentes ſi tertio die vehementiores evadunt, periculo obnoxiae. Quoquo autem modo intermiſerint, periculum abeſſe indicat.

Quos febres longae exercent, iis tubercula, vel in articulis dolores innaſcuntur.

Ἤν τις πυρέσσοντι τροφὴν διδῷ, ἣν ὑγιεῖ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος.

Τὰ ἀπὸ τῆς κύστιος διαχωρέοντα ὁρᾷν δεῖ, εἰ οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται.

Τὰ ἥκιστα οὖν ὅμοια τουτέοισι, ταῦτα νοσωδέστερα, τὰ δ᾽ ὅμοια τοῖς ὑγιαίνουσιν ἥκιστα νοσερά.

Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι καὶ μὴ κινήσῃς ὑφίσταται οἱονεὶ ξύσματα, καὶ ἢν ὀλίγα ᾖ ὀλίγη ἡ νοῦσος γίνεται· ἢν δὲ πολλὰ, πολλὴ, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

2. [333] Ὁκόσοισιν ἢν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς μελαίνης ἐστὶν, ἢν πλείονα, πλείονος, ἢν ἐλάσσω, ἐλάσσονος.

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς ἀγαθαὶ, καὶ κατὰ κοιλίην καὶ κύστιν, καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένῳ κακόν.

Quibus longa tubercula aut in articulis dolores ex febre fiunt, ii copiofioribus cibis utuntur.

Si febricitanti quis cibum exhibuerit, fano quidem robur et aegrotanti morbus.

Quae per veficam excernuntur fpectare oportet, an qualia fanis fubeunt. Nam quae his minime funt fimilia, ea morbofiora. Quae vero fanis fimilia, minime morbofa.

Et quibus dejectiones, fi refidere permiferis neque moveris, veluti ftrigmente fubfident, et fi paucae funt, parvus eft morbus, fin vero multae, magnus, iis alvum infra purgari conducit. Quod fi minime purgata alvo forbitiones exhibueris, quo plures dederis, eo magis nocebis.

Quae cruda deorfum fecedunt, ab atra bile funt, fi plura, major; fi pauciora, minor eft morbus.

In febribus non intermittentibus excreationes lividae, cruentae, biliofae et graveolentes omnes malae. Cum vero probe fecedunt, bonae. Per alvum etiam et veficam, et ubicunque quod fecedit fubftiterit minime purgatum, malum.

Ed. Chart. IX. 2. [333. 337.] Foës II. 1261. Ed. Lind. I. (108. 109.

Τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν. κἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην, ἢν δὲ κάτω εὔροα ποιέειν, ὑγρῆναι τὴν κοιλίην

Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα κακόν.

(109) Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσι, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται καὶ δίψα ἔχῃ, θανάσιμον.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ῥὶς ἢ ὀφθαλμὸς διαστροφῇ ἢ μὴ βλέπῃ ἢ μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν ὅ τι ἂν ᾖ τουτέων τῶν σημείων θανάσιμον.

Ἐπὶ λευκῷ φλέγματι, ὕδρωψ ἐπιγίνεται.

Ἐπὶ διαῤῥοίῃ δυσεντερίη.

Ἐπὶ δυσεντερίῃ λειεντερίη.

Ἐπὶ σφακέλῳ ἀπόστασις ὀστέου.

2. [337] Ἐπὶ αἵματος ἐμέτῳ, φθόη καὶ πύου κάθαρσις ἄνω, ἐπὶ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς, ἐπὶ τῷ ῥεύματι διάῤῥοια, ἐπὶ διαῤῥοίῃ σχέσις τῆς ἄνω καθάρσιος, ἐπὶ τῇ σχέσει θάνατος.

Corpora cum quis repurgare volet, fluxilia reddere oportet. Quod ſi ſupra fluxilia reddere voles, alvus ſiſtenda eſt, ſi vero infra, humectanda.

Somnus, vigilia, utraque ſi modum exceſſerint, morbus.

In febribus non intermittentibus, ſi externa frigeant, interna vero urantur et ſitis detineat, letale.

In febre non intermittente, ſi labrum aut naſus aut oculus, aut ſupercilium pervertatur, ſi neque videat neque audiat et jam debilis ſit, horum quicquid acciderit, letale.

Albae pituitae aqua inter cutem ſuccedit.

Ex alvi profluvio inteſtinorum difficultas.

Inteſtinorum difficultati laevitas inteſtinorum ſuccedit.

Ex ſideratione os abscedit.

Ex ſanguinis vomitione tabes et puris per ſuperiora purgatio. Ex tabe fluxio e capite, ex fluxione alvi profluvium, ex alvi profluvio purgationis per ſuperiora retentio, ex qua mors.

Ed. Chart. IX. 2. [337.] Foës. II. 1261. Ed. Lind. I. (109. 110.)

Ἐπὶ αἵματος πτύσει πύου πτύσις καὶ ῥύσις, ἐπὴν δὲ σίαλον ἴσχηται, ἀποθνήσκουσιν.

Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν καὶ τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἥν που ἄλλη τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται· ἢν δὲ πουλὺ, πολλὴ, θανάσιμον τὸ τοιοῦτον.

Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται, ἧσσον γὰρ κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

(110) Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθὸν, ὁκόσοισι δὲ ἄνευ προαιρέσιος κακόν.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι οἱ ὠθούμενοι ἐκ τοῦ μετώπου ὥσπερ σταλαγμοὶ καὶ κρουνοὶ καὶ ψυχροὶ σφόδρα, καὶ πολλοί.

Ex ſanguinis ſputo puris ſputum et fluor, ubi autem ſputum retinetur, moriuntur.

Qualia etiam quae per veſicam et alvum et carnes excernuntur, et ſicubi alias corpus a natura receſſerit, inſpicere oportet. Si parum, parvus eſt morbus, ſi multum, magnus, ſi admodum multum, letale iſtud eſt.

[*Aphorismi ſpurii et nothi.*] Qui ſupra quadrageſimum annum phrenitici evadunt, ii vero minime convaleſcunt. Minori namque periculo ſunt obnoxii, quorum naturae et aetati morbus familiaris fuerit.

Quibus oculi in morbis ſponte illacrimant, bonum, quibus vero non ſponte, malum.

Quibus per febres quartanas ſanguis ex naribus fluxerit malo eſt.

Sudores diebus judicatoriis vehementer et velociter ſubborti, periculoſi et qui ex fronte guttarum et ſcaturiginum inſtar propelluntur, quique copioſi ſunt et valde frigidi. Ejus-

Ed. Chart. IX. 2. [337.] Foëſ. II. 1261. 1262. Ed. Lind. I. (110.)

ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης καὶ πόνου ὑπερβολῆς καὶ ἐκθλίψιος πολυχρονίου

|| Ἐπὶ χρονίῳ νουσήματι κοιλίης καταφορὴ κακόν.

Ὁκόσα φάρμακα οὐκ ἰῆται σίδηρος ἰῆται, ὅσα σίδηρος οὐκ ἰῆται πῦρ ἰῆται, ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

modi namque ſudorem cum vi et ſummo dolore, expreſſione diuturna prodire neceſſe eſt.

Ex morbo diuturno alvi deductio mala eſt.

Quae medicamenta non ſanant, ea ferrum ſanat. Quae ferrum non ſanat, ea ignis ſanat. Quae vero ignis non ſanat, ea inſanabilia reputare oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

Ed. Chart. I. [9.] Foëſ. II. 1271. Ed. Lind. II. (896.)

[9] ‖ (896) [*Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Παίτῳ χαίρειν.*] Νοῦσος προσεπέλασεν ἡ καλουμένη λοιμικὴ τοῖς στρατεύμασιν ἡμῶν, καὶ πολλὰ πολλάκις ποιησάντων ἡμῶν, ἔνδοσιν οὐκ ἔδωκεν. ὅθεν ἀξιῶ παντοίως καὶ πάσαις ταῖς παρ᾽ ἐμοῦ διδομέναις δωρεαῖς ἤ τι τῶν ἐκ φύσεώς σου ἐπινοημάτων ἤ τι τῶν ἐκ τέχνης πρήξεων, ἤ τινος ἑτέρου ἀνδρὸς ἑρμηνείην δυναμένου ἰήσασθαι, πέμπε τάχος, μάστιξον, ἀξιῶ, τὸ πάθος, ἅλωκε γὰρ κατὰ τὸν ὄχλον καὶ πολὺς ἅλυς πνεῦμα μέγα καὶ πυκνὸν ἔχων. οὐ πολεμοῦντες πολεμούμεθα, ἐχθρὸν ἔχοντες τὸν θῆρα λυμαινόμενον τὰ ποίμνια,

HIPPOCRATIS EPISTOLAE.

[*Magnus Artaxerxes rex regum Paeto S.*] Morbus peſtilens dictus noſtris exercitibus ſe applicuit, nobisque crebro multa molientibus nihil dum remiſit. Quare prorſus te pro meis in te collatis beneficiis oro ut quamprimum ali quod ex ingenio tuo excogitatum praeſidium aut aliquod ex arte remedium aut alicujus qui mederi queat conſilium ad nos mittas. Propulſa, oro, hanc affectionem. Publice enim noſtras copias magna invaſit anxietas, easque multum et ſaepe ſuo afflatu inficit. Non oppugnantes oppugnamur, cum hoſtem habeamus feram iſtam gregem noſtrum de-

τίτρωκε πολ(897)λοὺς, δυσιάτους ἐποίησε, πικρὰ βέλη βελῶν καταπέμπει, οὐ φέρω γνώμην, οὐκ ἔτι ἔχω μετ' ἀνδρῶν γονίμων βουλεύσασθαι. λῦε ταῦτα πάντα μὴ διαλείψας ἀγαθῇ συνειδήσει. ἔῤῥωσο.

[10] [*Παῖτος βασιλεῖ βασιλέων τῷ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.*] Τὰ φυσικὰ βοηθήματα οὐ λύει τὴν ἐπιδημίαν λοιμικοῦ πάθους, ἃ δὲ ἐκ φύσεως γίγνεται νοσήματα αὕτη ἡ φύσις ἴαται κρίνουσα· ὅσα δὲ ἐξ ἐπιδημίας τέχνη τεχνικῶς κρίνουσα τὴν τροπὴν τῶν σωμάτων. Ἱπποκράτης δὲ ἰητρὸς ἰῆται τοῦτο τὸ πάθος. τῷ γένει μὲν οὖν ἐστὶ Δωριεὺς, πόλεως δὲ Κῶ, πατρὸς δὲ Ἡρακλείδα τοῦ Ἱπποκράτους τοῦ Γνωσιδίκου τοῦ Νέβρου τοῦ Σωστράτου τοῦ Θεοδώρου τοῦ Κλεομυττάδα τοῦ Κρισάμιδος. οὗτος θείᾳ φύσει κέχρηται καὶ ἐκ μικρῶν καὶ ἰδιωτικῶν εἰς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰητρικήν. γίνεται μὲν οὖν ὁ θεῖος Ἱπποκράτης, ἔνατος μὲν ἀπὸ Κρισάμιδος τοῦ βασιλέως, ὀκτωκαιδέκατος δὲ ἀπὸ Ἀσκληπιοῦ, εἰκοστὸς δὲ ἀπὸ Διὸς, μητρὸς δὲ Πραξιθέας τῆς Φαιναρέτης ἐκ τῆς οἰκίας τῶν Ἡρακλειδῶν. ὥστε

vastantem, quae multos acerbis jaculis immissis sauciavit et immedicabiles reddidit. Angor animo neque habeo, quid jam consilii cum familiaribus capiam. Solve omnia, neque nos tuo optimo consilio destitue. Vale.

[*Paetus Regi regum magno Artaxerxi.*] Quae a natura praesidia petuntur, morbum pestilentem populariter grassantem non solvunt. Morbos autem ex natura ortos natura ipsa per judicationem curat. Qui vero populariter grassantur, eos ars ex artificio corporum mutationem discernens curat. At Hippocrates medicus hunc morbum sanat a Doriensibus oriundus, et civitate Co, patre vero Heraclide Hippocratis filio, ex Gnosidico, Nebro, Sostrate Theodoro, Cleomyttada, Crisamida. Hic divina natura praeditus, ex parvis ac vulgaribus initiis in magnam artem medicinam provexit. Ortu igitur divinus est Hippocrates nonus quidem a Crisamide rege, ab Aesculapio vero decimus octavus, a Jove vigesimus, matre vero Praxithea Phaenaretes filia, ex Heraclidarum familia. Quare ex utroque

κατ' ἀμφότερα τὰ σπέρματα θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος Ἱπποκράτης, πρὸς μὲν πατρὸς Ἀσκληπιάδης ὤν, πρὸς δὲ μητρὸς Ἡρακλείδης. ἔμαθε δὲ τὴν τέχνην παρά τε τῷ πατρὶ Ἡρακλείδῃ καὶ παρὰ τῷ πάππῳ Ἱπποκράτει. ἀλλὰ παρὰ μὲν τούτοις, ὡς εἰκὸς, τὰ πρῶ(898)τα ἐμυήθη τῆς ιητρικῆς ὅσα πιθανὸν ἦν καὶ τούτους εἰδέναι, τὴν δὲ σύμπασαν τέχνην αὐτὸς ἑαυτὸν ἐδίδαξεν θείᾳ φύσει κεχρημένος, καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς εὐφυΐᾳ τοὺς προγόνους, ὅσον διενήνοχεν αὐτῶν καὶ τῇ τῆς τέ||χνης ἀρετῇ. καθαίρει δὲ οὐ θηρίων μὲν γένος, θηριωδῶν δὲ νοσημάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλατταν διασπείρων πανταχόθεν, ὥσπερ ὁ Τριπτόλεμος τὰ τῆς Δήμητρος σπέρματα τὰ τοῦ Ἀσκληπιοῦ βοηθήματα. τοιγαροῦν ἐνδικώτατα καὶ αὐτὸς ἀνιέρωται πολλαχοῦ τῆς γῆς, ἠξίωταί τε τῶν αὐτῶν Ἡρακλεῖ τε καὶ Ἀσκληπιῷ ὑπὸ Ἀθηναίων δωρεῶν. αὐτὸν μεταπέμψαι κελεύων ἀργύριον καὶ χρυσίον ὅσον ἂν βούληται δὸς αὐτῷ. οὗτος γὰρ ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰήσιος τοῦ πάθους, οὗτος πατὴρ ὑγείας, οὗτος σωτὴρ, οὗ-

ſemine a diis oriundus divinus Hippocrates, ex patre quidem Aſclepiadarum familiam attingens, ex matre vero Heraclidarum. Artem vero tum ex patre Heraclide, tum ex avo Hippocrate didicit. Verum ab his quidem, ut par eſt, primum artis myſteriis initiatus, quae eos tenuiſſe credibile eſt, ipſe deinde divino ingenio praeditus univerſam artem didicit, tanto ingenii dexteritate majores ſuos ſuperans, quanto etiam iis artis excellentia praeſtitit. Expellit autem non ferarum quidem, ſed ferorum et agreſtium morborum genus et per magnos terrae et maris tractus Aeſculapii auxilia non ſecus ac Triptolemus Cereris ſemina diſpergit. Quamobrem juſtiſſimis de cauſis in multis terrarum locis etiam ipſe divinis honoribus affectus eſt et ab Athenienſibus iisdem quibus Hercules et Aeſculapius muneribus cohoneſtatus eſt. Hunc accerſiri jube, aurique et argenti quantum volet dato. Hic enim non unum hujus mali ſanandi modum tenet. Hic eſt ſanitatis pater ac con-

τος ἀκεσώδυνος, οὗτος ἁπλῶς ἡγεμὼν τῆς θεοπρεποῦς ἐπι-στήμης. ἔῤῥωσο.

[Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνει Ἑλλησ-πόντου ὑπάρχῳ.] Ἱπποκράτους ἰητροῦ Κῴου ἀπὸ Ἀσκλη-πιοῦ γεγονότος καὶ ἐς ἐμὲ κλέος ἀφῖκται τῆς τέχνης. δὸ(ς) οὖν αὐτῷ χρυσὸν ὁκόσον ἂν βούληται, καὶ τὰ ἄλλα χύδη-(ν) ὧν σπανίζει, καὶ πέμπε ἐς ἡμέας. ἔσται γὰρ ἰσότιμος Περ-σέων τοῖς ἀρίστοις, καὶ εἴ τις ἐστὶν ἄλλος ἀνὴρ κατ' Εὐρώ-πην ἀγαθὸς, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενο(ς) ὄλβου, ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίη(ν) οὐ ῥηΐδιον. ἔῤῥωσο.

[11] (900) [Ὑστάνης ὕπαρχος Ἑλλησπόντου Ἱππο-κράτει Ἀσκληπιαδῶν ὄντι ἀπογόνῳ χαίρειν.] Βασιλεὺς με-γας Ἀρταξέρξης σοῦ χρήζων ἔπεμψε πρὸς ἡμέας ὑπάρχου(ς) κελεύων σοι ἀργύριον καὶ χρυσὸν καὶ τὰ ἄλλα χύδην ὧ(ν) σπανίζεις καὶ ὅσα βούλει διδόναι, καὶ πέμπειν πρὸς ἑωυτὸ(ν) ἐν τάχει· ἔσεσθαι γὰρ Περσαίων τοῖς ἀρίστοις ἰσότιμον. σ(ὺ) οὖν παραγίνου ξυντόμως. ἔῤῥωσο.

servator, hic dolores curat et, ut breviter dicam, hic di-vinae scientiae princeps est. Vale.

[*Rex regum magnus Artaxerxes Hystani Hellesponti praefecto.*] Hippocratis medici Coi, ab Aesculapio oriundi artis etiam gloria ad me pervenit. Auri igitur quantum volet, reliquaque quibus indiget effuse ei exhibeto et ad nos mittito. Cum Persarum enim optimatibus eodem erit ho-nore. Et si quis alius in Europa prudentia excellit, eum in familiam regiam nihil divitiis parcens ascifcito. Neque enim viros qui consilio valeant invenire est facile. Vale.

Hystanes Hellesponti praefectus Hippocrati ex Ascle-piadarum familia oriundo S.] Rex magnus Artaxerxes tua praesentia opus habet et ad nos praefectos misit imperans ut tibi argentum et aurum caeteraque quibus opus habes et quaecunque voles abunde exhibeamus teque ad se brevi mittamus. Te enim Persarum optimatibus honore aequalem fore. Tu igitur facito ut quam primum advenias. Vale.

[Ἱπποκράτης ἰητρὸς Ὑστάνει Ἑλλησπόντου ὑπάρχῳ χαίρειν.] Πρὸς τὴν ἐπιστολὴν, ἣν ἔπεμψας φάμενος παρὰ βασιλέως ἀφῖχθαι, πέμπε βασιλεῖ ἃ λέγω γράφων ὅτι τάχος, ὅτι καὶ προσφορῇ καὶ ἐσθῆτι καὶ οἰκήσει καὶ πάσῃ τῇ ἐς βίον ἀρκεούσῃ οὐσίῃ χρεόμεθα. Περσέων δὲ ὄλβου οὔ μοι θέμις ἐπαύρασθαι, οὐδὲ βαρβάρους ἄνδρας νούσων παύειν, ἐχθροὺς ὑπάρχοντας Ἑλλήνων. ἔῤῥωσο.

(901) [Ἱπποκράτης Δημητρίῳ ὑγιαίνειν.] Βασιλεὺς Περσέων ἡμέας μεταπέμπεται, οὐκ εἰδὼς ὅτι λόγος ἐμοὶ σοφίης χρυσοῦ πλέον δύναται. ἔῤῥωσο.

(899) [Βασιλεῖ βασιλέων τῷ ἐμῷ μεγάλῳ δεσπότῃ Ἀρταξέρξῃ Ὑστάνης Ἑλλησπόντου ὕπαρχος χαίρειν.] Ἣν ἔπεμψας ἐπιστολὴν, λέγων πέμψαι Ἱπποκράτει Κῴῳ ἀπὸ Ἀσκληπιάδων γεγονότι, ἔπεμψα, καὶ παρ' αὐτοῦ δὲ ἐκομισάμην ἀπόκρισιν, ἣν γράψας ἔδωκε καὶ ἐκέλευσεν εἰς τὸν οἶκον πέμπειν. φέροντα οὖν ἀπέστειλά σοι φάναι Γυμνάσβην Διευτύχη. ἔῤῥωσο.

[Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Κῴοις τάδε

[*Hippocrates medicus Hystani Hellesponti praefecto S.*] Ad epistolam, quam misisti et a rege venisse asseris, regi quae respondeo quam celerrime rescribe, nos victu, vestitu, domo, omnique re ad vitam necessaria cumulate frui, Persarum autem opibus uti neque mihi aequum est, neque barbaros morbis liberare, cum sint Graecorum hostes. Vale.

[*Hippocrates Demetrio S.*] Rex Persarum nos ad se vocavit, nescius mihi potiorem esse sapientiae quam auri rationem. Vale.

[*Regi regum magno meo domino Artaxerxi Hystanes Hellesponti praefectus S.*] Quam ad me misisti epistolam, iubens ut ad Hippocratem Coum et ex Asclepiadarum familia oriundum mitterem, misi et ab eo responsum accepi, quod scriptis traditum ut domum tuam mitterem jussit. Gymnasben igitur Dieutychen qui hoc perferat ad te misi. Vale.

[*Rex regum magnus Artaxerxes haec Cois denunciat.*]

λέγει.] Δότε ἐμοῖς ἀγγέλοις Ἱπποκράτην ἰητρὸν κακοὺς τρόπους ἔχοντα καὶ εἰς ἐμὲ καὶ εἰς Πέρσας ἀσελγαί||νοντα. εἰ δὲ μὴ, γνώσεσθε καὶ τῆς πρώτης ἁμαρτίας τιμωρίαν τίσοντες. δηϊώσας γὰρ τὴν ὑμετέραν πόλιν καὶ νῆσον κατασπάσας εἰς πέλαγος ποιήσω μηδὲ εἰς τὸν ἐπίλοιπον χρόνον γνῶναι, εἰ ἦν ἐπὶ τούτῳ τῷ τόπῳ νῆσος ἢ ἡ πόλις Κῶ.

[12] [Ἀπόκρισις Κῴων.] Ἔδοξε τῷ δάμῳ ἀποκρίνασθαι τοῖς παρὰ Ἀρταξέρξου ἀγγέλοις ὅτι Κῷοι οὐδὲν ἀνάξιον πράξουσιν οὔτε Μέροπος οὔτε Ἡρακλέους οὔτε Ἀσκληπιοῦ, ὧν ἕνεκεν πάντες οἱ πολῖται οὔτε δώσουσιν Ἱπποκράτεα, οὐδὲ εἰ μέλλοιεν ὀλέθρῳ τῷ κακίστῳ ἀπολέσθαι. καὶ γὰρ Δαρείου καὶ Ξέρ(900)ξου ἀπὸ πατέρων ἐπιστολὰς γραψάντων. γαῖαν καὶ ὕδωρ αἰτεόντων οὐκ ἔδωκεν ὁ δᾶμος, ὁρέων αὐτοὺς ὁμοίως τοῖς ἄλλοις ἀνθρώποις θνητοὺς ἐόντας ἐπ' αὐτοὺς ἰόντας. καὶ νῦν τὰν αὐτὰν ἀπόκρισιν διδοῖ ἀπὸ Κῴων ἀναχωρεῖτε, ὅτι Ἱπποκράτην οὐ δίδοντι ἔκδοτον. ἀπαγγέλλετε οὖν αὐτῷ οἱ ἄγγελοι ὅτι οὐδ' οἱ θεοὶ ἀμελήσουσιν ἁμέων.

Hippocratem medicum maligno erga nos animo et in me et Persas proterve injurium nunciis meis reddite. Alioqui noscetis vos etiam primae culpae poenas persoluturos. Vestram enim urbem ferro et igni devastatam et insulam demolitam pelagus efficiam, ut ne in posterum dignoscatur, an eo loco insula aut urbs Cos fuerit.

[*Coorum responsum.*] Artaxerxis nunciis populo respondere visum est, Coos nihil Merope neque Hercule neque Aesculapio indignum facturos. Ideoque cives omnes Hippocratem minime reddituros, etiamsi pessimam mortem oppetere debeant. Dario enim et Xerxi per literas terram et aquam a majoribus nostris petentibus, populus recusavit cum eos videret, si se hostiliter persequerentur, aeque ac alios homines mortales esse. Atque etiam nunc idem respondet, ut a Cois recedatis, cum Hippocratem vobis non sint tradituri. Hoc igitur illi nuncium perferte, quod et dii ipsi nostri sunt curam habituri.

(901) [Ἀβδηριτῶν ἡ βουλὴ καὶ ὁ δᾶμος Ἱπποκράτει χαίρειν.] Κινδυνεύεται τὰ μέγιστα τῇ πόλει νῦν, Ἱππόκρατες, ἀνὴρ ἡμετέρων, ὃς καὶ παρόντι χρόνῳ καὶ τῷ μέλλοντι αἰεὶ κλέος ἠλπίζετο τῇ πόλει. μηδὲ νῦν δὲ ὦ πάντες θεοὶ φθονηθείη. οὗτος ὑπὸ πολλῆς τῆς κατεχούσης αὐτὸν σοφίης νενόσηκεν, ὥστε φόβος οὐχ ὁ τυχὼν, ἂν φθαρῇ τὸν λογισμὸν Δημόκριτος, ὄντως δὴ τὴν πόλιν ἡμῶν Ἀβδηριτῶν καταλειφθήσεσθαι. ἐκλαθόμενος γὰρ ἁπάντων καὶ ἑωυτοῦ πρότερον ἐγρηγορὼς καὶ νύκτα καὶ ἡμέρην γελῶν ἕκαστα μικρὰ καὶ μεγάλα καὶ μηδὲν οἰόμενος εἶναι τὸν βίον ὅλον διατελεῖ. γαμεῖ τις, ὁ δὲ ἐμπορεύεται, ὁ δὲ δημηγορεῖ, ἄλλος ἄρχει, πρεσβεύει, χειροτονεῖται, ἀποχειροτονεῖται, νοσεῖ, τιτρώσκεται, τέθνηκεν, ὁ δὲ γελᾷ πάντα, τοὺς μὲν κατηφεῖς τε καὶ σκυθρωποὺς, τοὺς δὲ χαίροντας ὁρῶν. ζητεῖ δὲ ὁ ἀνὴρ καὶ περὶ τῶν ἐν Ἅιδου καὶ γράφει ταῦτα, καὶ εἰδώλων φησὶ πλήρη τὸν ἠέρα εἶναι καὶ ὀρνέων φωνὰς ὠτακουστεῖν, καὶ πολλάκις νύκτωρ ἐξαναστὰς μόνος ἡσυχῇ ᾠδὰς ᾄδοντι ἔοικε, καὶ

[*Senatus Populusque Abderitanus Hippocrati S.*] In rem urbis noſtrae nunc maxime periclitatur vir ille, o Hippocrates, qui etiam nunc et olim huic ſemper ornamento fore ſperabatur. Ac verendum eſt ne nunc, o dii omnes, invidia laboremus, cum hic ob multam ſapientiam, quam conſecutus eſt, adeo aegrotet, ut non mediocriter verendum ſit ne, ſi Democritus mente captus fuerit, urbs noſtra Abderitana penitus pro deſerta habeatur. Omnium enim imprimiſque ſui oblitus, vigilans noctu et interdiu, ſingulaque parva et magna deridens ac pro nihilo reputans totam vitam traducit. Ducit aliquis uxorem, hic mercaturam exercet, hic concionem habet, alius magiſtratum gerit, legationem obit, populi ſuffragio magiſtratus declaratur, abrogatur, aegrotat, vulneratur, moritur, hic autem ridet omnia, cum hos quidem demiſſo et tetrico vultu, illos vero hilares videat. Quin et ea inquirit quae apud inferos fiunt, et de his ſcribit, et imaginum plenum aërem eſſe dicit, ſeque avium voces intelligere, et ſaepe de nocte ſurgens, ſolus placide canere videtur, ſeſeque quandoque

ἀποδημεῖν ἐνίοτε λέγει εἰς τὴν ἀπειρίην καὶ Δημοκρίτους εἶναι ὁμοίως ἑωυ(902)τῷ ἀναριθμήτους, καὶ συνδιεφθορὼς τῇ γνώμῃ τὸ χρῶμα ζῇ. ταῦτα φοβούμεθα, Ἱππόκρατες, ταῦτα ταραττόμεθα, ἀλλὰ σῶζε, καὶ ταχὺς ἐλθὼν νουθετήσων τὴν πατρίδα, μηδὲ ἡμᾶς ἀποβάλῃς· καὶ γὰρ οὐδὲ ἀπόβλητοί ἐσμεν καὶ ἐν ἡμῖν μαρτυρία κεῖται. οὐκ ἂν ἁμάρτοις οὔτε δόξης τῆς ἐπ' αὐτῷ περισωθέντι οὔτε χρημάτων οὔτε παιδείας καίτοι τὰ παιδείης πολλῷ σοι βελτίω τῶν τῆς τύχης. ἀλλ' οὖν καὶ ταῦτα συχνὰ παρ' ἡμῶν καὶ ἄφθονα γενήσεται. τῆς γὰρ Δημοκρίτεω ψυχῆς, ἀλλ' οὐδ' εἰ χρυσὸς ἦν ἡ πόλις, ἀντάξια βουλήσιος, οὐδ' ὁτιοῦν ἀφυστερήσαντα τοὺς νόμους ἡμῶν δοκοῦμεν νοσεῖν, Ἱππόκρατες, τοὺς νόμους παρακόπτειν ἴθι θεραπεύσων, ἀνδρῶν φέριστε, ἄνδρα ἀρίσημον, οὐκ ἰατρὸς, ἀλλὰ κτίστης ἐὼν ὅλης τῆς Ἰωνίης, περιβάλλων ἡμῖν ἱερώτερον τεῖχος. πόλιν, οὐκ ἄνδρα θεραπεύσεις, βουλὴν δὲ νοσοῦσαν καὶ κινδυνεύουσαν ἀποκλεισθῆναι, μέλλοις ἀνοιγνύναι αὐτὸς νομοθέτης, αὐτὸς δικαστὴς, αὐτὸς ἄρχων, αὐτὸς σωτὴρ, καὶ τούτων τεχνίτης ἀφίξῃ. ταῦτά σε προσδο-

in infinitionem peregrinari dicit, et innumerabiles sui similes esse Democritos, unaque cum mente corpore perditus vivit. Haec metuimus, o Hippocrates, his de rebus perturbati sumus. Verum tuo consilio patriam nostram servaturus cito advenito, neque nos despexeris. Neque enim despiciendi sumus, et nos testimonii autoritate valemus, et de eo servato neque gloria tua, neque pecuniis, neque eruditionis fama frustraberis. Et quamquam plus apud te valeat doctrinae quam fortunae ratio, haec tamen tibi a nobis et copiosa et larga offerentur. Etenim pro Democriti salute, non si urbs aurea sit, voluntati nostrae respondeat, neque si quicquam ei desit. Leges nostras, Hippocrates, aegrotare et delirare existimamus. Adsis vir optime, virum eximium curaturus. Venies non tanquam medicus, sed velut totius Ioniae fundator, nos sacratiore muro circumdabis. Urbem, non virum curabis, senatum aegrotantem et ne claudatur periclitantem aperies, ipse legum conditor, judex, magistratus, servator et horum artifex advenies. Hanc in rem

κῶμεν, Ἱππόκρατες, ταῦτα καὶ γένοιο ἐλθὼν, μία πόλεων, οὐκ ἄσημος, μᾶλλον δὲ ἡ Ἑλλὰς ὅλη δεῖταί σου φυλάξαι σῶμα σοφίης. αὐτὴν δὲ δόκει παιδείαν πρεσβεύειν πρὸς σὲ τῆς παρακοπῆς ταύτης ἀπαλλαγῆναι δεομένην. || ξυγγενὲς μὲν οὖν, ὡς ἔοικε, πᾶσιν σοφία, τοῖς δ᾽ ἐγγυτέρω κεχωρηκόσιν αὐτῆς ὥσπερ ἡμῖν καὶ μάλα πλέον. εὖ ἴσθι, (903) χαριεῖ καὶ τῷ μέλλοντι αἰῶνι μὴ προεκλιπὼν Δημόκριτον ἧς ἐλπίζει προτερήσειν ἀληθίης. σὺ γὰρ Ἀσκληπιῷ προσπέπλεξαι γένος καὶ τέχνην, ὁ δὲ Ἡρακλέους ἔστιν ἀδελφιδοῦς, ἀφ᾽ οὗ Ἄβδηρος, ὥς που πυνθάνῃ πάντως, ᾧ ἐπώνυμος ἡ πόλις ὥστε κἀκείνῳ χάρις ἡ Δημοκρίτου γένοιτ᾽ ἂν ἴησις. ὁρῶν οὖν ὦ Ἱππόκρατες εἰς ἀναισθησίαν ἀποῤῥέοντα καὶ δῆμον καὶ ἄνδρα ἀρίσημον σπεῦδε πρὸς ἡμέας, δεόμεθα. φεῦ, ὡς καὶ τὰ ἀγαθὰ περιττεύσαντα νόσοι τυγχάνουσιν. ὁ Δημόκριτος γὰρ ὅσον ἐῤῥώσθη πρὸς ἄκρα σοφίης, ἴσα κινδυνεύει νῦν ἀποπληξίᾳ διανοίας καὶ ἠλιθιότητι κεκακῶσθαι, οἱ δ᾽ ἄλλοι ὅσοι, πολλοὶ δ᾽ εἰσὶν Ἀβδηριτῶν μείναντες ἐν ἀπαι-

te expectamus Hippocrates, haec nobis eris ubi veneris. Civitatum una non obscura, imo potius Graecia te orat, ut sapientiae corpus conserves. Ipsam vero doctrinam apud te legationem obire putato, ut se hac calamitate liberes rogantem. Sapientia certe, ut nobis videtur, omnibus cognata est et nobis, qui ad eam propius accessimus, multo magis. Certo scito te a futuro saeculo magnam initurum gratiam, si Democritum veritate, qua eum omnibus praestare posse sperat, non destitueris. Tu enim Aesculapio genere et arte conjunctus es, hic vero Herculis ex fratre nepos, ex quo Abderus, ut profecto aliquando audisti, cujus nomen civitas habet. Quare illi etiam grata futura est Democriti curatio. Cum igitur videas, Hippocrates, populum et virum egregium ad sensuum stupiditatem delabi, ad nos ut festines rogamus. Mirum quod etiam exuberantia bona morbi existunt. Democritus enim quantum sapientiae acumine valuit, in tantum nunc periclitatur, ne mentis stupore et dementia male afficiatur. At reliquum Abderitanum vulgus ineruditum

δευσίῃ τόν γε κοινὸν κατέχουσιν νοῦν, ἀλλὰ νῦν γε φρονιμώτεροι νόσον σοφοῦ κρίνειν, οἵ πρὶν ἄφρονες. ἴθι οὖν μετ' Ἀσκληπιοῦ πατρὸς, ἴθι μετὰ Ἡρακλέους θυγατρὸς Ἠπιόνης, ἴθι μετὰ παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων, ἴθι νῦν Παιώνια νούσου φέρων ἄκη. εὐκαρπίσει δὲ γῆ ῥίζας καὶ βοτάνας ἀλεξιφάρμακα μανίης ἄνθη, σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν οὔτε γῆ οὔτε ὀρῶν ἀκρώρειαι ἢ νῦν Δημοκρίτῳ τὰ πρὸς ὑγείαν. ἔῤῥωσο.

[13] (904) [Ἱπποκράτης Ἀβδηριτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.] Ὁ πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν εἰς Κῶ καὶ ἔτυχε τότ' ἐοῦσα τῆς ῥάβδου ἡ ἀνάληψις. ἐν ἐκείνῃ τῇ ἡμέρῃ καὶ ἐτήσιος ἑορτὴ, ὡς ἴστε, πανήγυρις ἡμῖν καὶ πομπὴ πολυτελὴς ἐς κυπάρισσον, ἣν ἔθος ἀνάγειν τοῖς τῷ θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῆς προσόψιος ὁ Ἀμελησαγόρας, πεισθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν καὶ ἐθαύμασα, ὅτι περὶ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πό-

ſenſu quidem communi fruitur. Quin etiam qui antea imprudentes habebantur, ad ſapientis morbum diſcernendum nunc quidem perſpicaciores ſunt. Adeſto igitur cum Aeſculapio patre, cum Herculis filia Epione, cum filiis qui ad Ilium in expeditionem profecti ſunt, adeſto nunc Paeonia tecum morbi remedia afferens. Terra uberibus fructibus, radicibus, herbis et floribus ad depellendam inſaniam ferax eſt, neque fere unquam foecundius producent neque terra neque montium juga quam quae nunc ad Democriti ſalutem. Vale.

[*Hippocrates ſenatui populoque Abderitarum S.*] Civis veſter Ameleſagoras eo die Co appulit, in quem forte inciderat virgae aſſumptio, anniverſaria, ut ſcitis, nobis feſtivitas et publicus conventus, pompaque ad cupreſſum celebris, quam pro more deducunt qui deo dicati ſunt. Cum autem et ex verbis et ex aſpectu ipſo feſtinare videretur Ameleſagoras, credens re vera urgere negotium, epiſtolam veſtram legi et miratus ſum quod de unius hominis ſalute,

λις θορυβεῖσθε. καὶ μακάριοί γε δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας, ἐρύματα ἑωυτῶν καὶ οὐ τοὺς πύργους οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πειθόμενος τέχνας μὲν εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος, καὶ μὴ νεμεσήσετε, ἄνδρες Ἀβδηρῖται, οὐχ ἡμᾶς δοκέω, ἀλλὰ φύσιν αὐτέην καλέειν με ἀνασώσασθαι ποίημα ἑωυτῆς, κινδυνεῦον ὑπὸ νόσου διαπεσεῖν. ὥστε πρὸς ὑμέων ἐγὼ νῦν φύσει καὶ θεοῖς ὑπακούων σπεύδω νοσέοντα Δημόκριτον ἰήσασθαι, εἴπερ δὴ καὶ τοῦτο νοῦσος ἐστὶν, ἀλλὰ μὴ ἀπάτῃ συσκιάζεσθε, ὅπερ εὔχομαι καὶ γένοιτο πλέον τῆς ἐν ἡμῖν εὐνοίας τεκμήριον καὶ πρὸς ὑπόνοιαν ταραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ οὔτ᾽ ἂν φύσις οὔτ᾽ ἂν θεὸς ὑπόσχοιτο, ὥστε μηδ᾽ ὑμεῖς, ἀνέρες Ἀβδηρῖται, βιάζεσθε, ἀλλ᾽ ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα (906) καὶ τὰ ἔργα. οἱ δὲ μισθαρνεῦντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας, ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς ἐκ τῆς προτέρης παῤῥησίης. εἶθ᾽ ὡς εἰκὸς καὶ ψεύσαιντο ἂν, ὡς περὶ μεγάλης νούσου, καὶ ἀρνηθεῖεν ἂν ὡς

non ſecus ac ſi unus eſſet in civitate conturbati eſſetis. Et certe beati ſunt populi, qui viros bonos ſua eſſe propugnacula intelligunt, non turres, non moenia, ſed prudentium virorum prudentia conſilia. At vero artes deorum eſſe munera cum mihi perſuadeam, viros autem naturae opera, ne indignemini, viri Abderitae, ſi naturam, non vos me vocare exiſtimem ad opus ſuum conſervandum, quod periclitatur ne morbo corruat. Quare naturae et diis potius quam vobis auſcultans, feſtino Democritum aegrotantem ſanaturus, ſi ſane hic morbus eſt, ac non potius, quod exopto, errore hallucinamini. Ac certe majus fuerit benevolentiae veſtrae teſtimonium, ſi vos ad hanc ſuſpicionem conturbati fueritis. Mihi vero ad vos venienti non natura, neque deus argentum promiſerit. Ac neque vos, viri Abderitae, per vim obtrudite, ſed liberae artis libera eſſe ſinite opera. Qui autem mercede operam ſuam locant, hi ſcientias tanquam ex priore libertate mancipio dantes ſervire cogunt. Deinde probabile eſt eos mentiri poſſe velut in magno morbo, et

Ed. Chart. I. [13.] Foës. II. 1274. 1275. Ed. Lind. II. (906.)

περὶ μικρῆς, καὶ οὐκ ἂν ἔλθοιεν ὑποσχόμενοι, καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος, ὅτι δι' ὅλου αὐτοῦ ὡς πνεῦμα χειμέριον ἡ ἀφόρητος φιλαργυρίη διαδέδυκεν, ἐφ' ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ ξυνήεσαν ἐλθόντες ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον, ὅτι καὶ μακαρίζεται νοῦσος ἐοῦσα καὶ κακοῦσα. οἶμαι δὲ ἔγωγε καὶ τὰ ψυχῆς νουσήματα πάντα || μανίας εἶναι σφοδρὰς ἐμποιούσας δόξας τινὰς καὶ φαντασίας τῷ λογισμῷ, ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτέειν ἐξ ἅπαντος ἐβουλόμην, ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας, ἀλλ' ἐπὶ τὸν μέγαν ἠρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσίεσαν τῆς ἐξ ἀνθρώπων εὐδαιμονίης γεγεμισμέναι. ἰώμην δ' ἂν τὸν ἐκεῖσε λοιμὸν αὐτῶν, ἀλλ' ἀπηρνησάμην ἐχθρὴν Ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νόσου. κἀγὼ τό γε ἐπ' ἐμοὶ κατεναυμάχουν τοὺς βαρβάρους, εἶχον δ' ἂν αἰσχύνην τὸν παρὰ βασιλέως πλοῦτον καὶ πατρίδος ἐχθρὴν περιουσίην, περιεκείμην δ' ἂν

negare ut in parvo, aut ubi promiserint, non venire, rursusque non vocatos venire. Miserabilis sane est humana vita, quod ad eam totam intolerabilis argenti cupiditas velut hibernus flatus pervaserit, ad quem morbum insania graviorem curandum utinam medici omnes potius concurrerent, quae tamen beata censetur, cum morbus sit et male affligat. Equidem omnes animi morbos vehementes insanias reputo, cum opiniones quasdam et visa rationi suscitant, ex quibus sanescit qui per virtutem repurgatur. Ego vero si omnibus modis ditescere voluissem, viri Abderitae, ne decem quidem talentorum gratia ad vos venirem, sed ad magnum Persarum regem proficiscerer, ubi urbes totae opibus humanis refertissimae occurrissent, illorum autem pestilentem morbum curassem. Sed regionem Graeciae inimicam malo morbo liberare recusavi. Et ego his quidem totis meis viribus barbaros navali proelio superavi. Regias autem opes ignominiae mihi futuras et opulentiam patriae inimicam reportassem, quibus circum affluens urbium Graeciae de-

αὐτὰ, ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος τὸ πανταχόθεν χρηματίζεσθαι, μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐστὶν ὑπὸ δικαιοσύνης οὐ κρυπτόμενα, ἀλλ᾽ ἐμφανέα ὄντα, ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα εἶ(906)ναι σώζειν πολεμίους καὶ φίλους ἰᾶσθαι μισθοῦ. ἀλλ᾽ οὐχ ὧδε ἔχει τὰ ἡμετέρα, ὦ δῆμε, οὐ καρποῦμαι δὲ νούσους, οὐδὲ δι᾽ εὐχῆς ἤκουσα τὴν Δημοκρίτεω παράκρουσιν, ὃς εἴτε ὑγιαίνει, φίλος ἔσται, εἴτε νουσέει θεραπευθεὶς, πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν ἐμβριθέα καὶ στεῤῥὸν τὰ ἤθεα, καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔῤῥωσθε.

[14] [Ἱπποκράτης Φιλοποίμενι χαίρειν.] Οἱ τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις καὶ τεὴν ἀπέδοσαν, ἥσθην τε κάρτα καὶ ξενίην ὑπισχνεομένου σέο καὶ τὴν ἑτέρην διαίτην. ἔλθοιμεν δ᾽ ἂν αἰσίᾳ τύχῃ καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν χρηστοτέρῃσιν ἐλπίσιν ὡς ἐν τῇ γραφῇ παραδεδήλωται, οὐ μανίην, ἀλλὰ ψυχῆς τινὰ ῥῶσιν ὑπερβάλλουσαν διασαφηνέοντες τοῦ ἀνδρὸς μήτε παίδων μήτε γυναικὸς μήτε ξυγγενέων μήτε οὐσίης μήτε τινὸς ὅλως ἐν φρον-

ſtructor exiſterem. Divitiae non ſunt pecuniae undecunque comparatae. Magna enim ſunt virtutis ſacra, quae a juſtitia non teguntur, ſed in apertum ſe proferunt. An non reputatis aequale peccatum eſſe, hoſtes ſervare et amicos mercede curare. At non ita ſe habent res noſtrae. Ex morbis quaeſtum non facio, neque ex animo Democriti dementiam audivi, qui ſive ſanus ſit, amicus eſt, ſive aegrotet, curatus magis amicus futurus eſt. Eum autem gravibus et firmis moribus eſſe praeditum intelligo et urbi veſtrae eſſe ornamento. Valete.

[*Hippocrates Philopoemeni S.*] Legati qui cum urbis veſtrae epiſtola etiam tuam mihi reddiderunt, quodque tuum hoſpitium et reliqua vitae commoda promitteres, valde laetatus ſum. Auſpicato autem veniemus et ut conjicimus, meliore ſpe accedemus, cum velut ex literis accepimus non inſaniam, ſed eximium quoddam animi robur vir hic demonſtret, qui neque liberorum neque uxoris neque cognatorum neque rei familiaris neque cujusquam omnino curam

τίδι ἐόντος, ἡμέρην δὲ καὶ εὐφρόνην πρὸς ἑωυτῷ καθεστεῶτος καὶ ἰδιάζοντος, τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν ἢ ὑποσκιάσεσι δενδρέων, ἢ ἐν μαλθακῇσι ποίῃσιν ἢ παρὰ συχνοῖσιν ὑδάτων ῥείθροις. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖσι μελαγχολικοῖς τὰ τοιαῦτα· σιγηροί τε γὰρ ἐνίοτε εἰσὶ καὶ μονήρεες καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπέονταί τε ξύμφυλον ὄψιν ἀλλοτρίην νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσεως (907) σεσοβῆσθαι. ὥσπερ γὰρ δμῶες τε καὶ δμωΐδες ἐν τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες, ὁκόταν ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἐπιστῇ, πτυηθέντες ἀφησυχάζουσι, παραπλησίως καὶ αἱ λοιπαὶ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποις κακῶν ὑπηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑωυτέην ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν, ποθέουσιν ἄντρα καὶ ἡσυχίην οὐ πάντες οἱ μανέντες, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονήσαντες ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξω φροντίδων κοπτόμενος ἀναπαῦσαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξε, εἶτα ἀναστὰς ὄρθιος ἐν ἑωυτῷ

habeat, sed dies et noctes solus privatam vitam degat, in antris plerumque et solitudinibus aut in arborum umbraculis aut in mollibus herbis aut juxta crebra aquarum fluenta. Haec igitur plerumque melancholicis accidunt. Quandoque enim taciturni sunt, solitarii, desertorum amantes, familiarium conspectum tanquam alienum fugiunt. Neque etiam absurdum est in his, qui ad disciplinas studiose contendunt, omnes alias curas ab uno sapientiae affectu excuti. Non aliter enim ac ministri et ministrae in domibus tumultuantes ac concertantes, si quando derepente eis hera adfuerit, attoniti conquiescunt, similiter etiam reliquae animi cupiditates malorum hominibus sunt administrae, at ubi sapientia in conspectum se dederit, tanquam mancipia reliqui affectus discedunt. Non omnes amentes speluncas et quietem expetunt, verum etiam qui res humanas negligunt, ob tranquillitatis desiderium. Cum enim mens curis externis fracta corpus recreare voluerit, tunc cito in quietem tradit,

Ed.Chart.I. [14.15.] Foës.II. 1275.1276. Ed.Lind. II.(907.908.910.)

περιεσκόπει κύκλῳ χωρίον ἀληθείης, ἐν ᾧ οὐ πατὴρ, οὐ μήτηρ, οὐ γυνὴ, οὐ τέκνα, οὐ κασίγνητος, οὐ συγγενέες, οὐ δμῶες, οὐ τύχη, οὐχ ὅλως οὐδὲν τὸν θόρυβον ἐμποιησάντων, πάντα δ' ἀποκεκλεισμένα τὰ ταράσσοντα ἕστηκεν ὑπὸ φόβου, οὐδὲ πλησιάσαι τολμέοντα ὑπ' εὐλαβείης τῶν αὐτόθι ἐνοικεόντων, οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο καὶ τέχναι καὶ ἀρεταὶ παντοῖαι καὶ θεοὶ καὶ δαίμονες καὶ βουλαὶ καὶ γνῶμαι. || καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστεπται, εἰς ὃ ταχὰ καὶ Δημόκριτος ὑπὸ σοφίης μετῴκισται. εἶτ' οὐκ ἔτι ὁρέων τοὺς ἐν τῇ πόλει ἅτε τηλοῦ ἐκδεδημηκὸς δοξάζεται μανίης νοῦσον, διὰ τὸ φιλέρημον, σπεύδουσι δὲ Ἀβδηρῖται ἀργυρίου ἐξελεγχθῆναι ὅτι οὐ ξυνίασι Δημόκρι(908)τον. ἀλλὰ σύ γε ἡμῖν κατάρτυε τὴν ξενίην, ὦ ἑταῖρε Φιλοποίμην. οὐ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλι παρασχεῖν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς οἶσθα. ἔῤῥωσο.

[15] (910) [Ἱπποκράτης Διονυσίῳ χαίρειν.] Ἢ περίμει-

deinde erecta et ſtans circum ſeſe veritatis locum circumſpicit, in quo non pater, non mater, non uxor, non liberi, non frater, non cognati, non miniſtri, non fortuna neque prorſus quicquam tumultum excitat, ſed perturbantia omnia rejecta prae timore ſubſiſtunt, neque appropinquare audent, pro eorum reverentia qui illic inhabitant. Illum autem locum inhabitant artes, virtutum omne genus, dii, daemones, conſilia et ſententiae. In illaque regione magnus polus ſtellis plurimum ſe moventibus tanquam corona cinctus eſt, in quam fortaſſis Democritus ob ſapientiam commigravit. Deinde cum eos qui in urbe ſunt non videat, ut qui procul a domo agat, ob ſolitudinis amorem inſanire creditur. Cum vero Abderitae Democritum non intelligant, de argento periculum facere ſtudent. Tu vero, amice Philopoemen, hoſpitium nobis praeparato. Neque enim perturbatae urbi moleſtus eſſe volo cum te, ut noſti, veterem et proprium hoſpitem habeam. Vale.

[*Hippocrates Dionyſio S.*] Aut me Halicarnaſſi ex-

νόν με ἐν Ἁλικαρνασσῷ ἢ φθάσον αὐτὸς ἐλθεῖν, ὦ ἑταῖρε. κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς Ἄβδηράν μοι Δημοκρίτεω χάριν, ἐφ᾽ ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις, ἀλλ᾽ ἔκτοπός τις ἡ συμπαθείη τῶν ἀνθρώπων, Διονύσιε, ὡς μιῇ ψυχῇ συννοσέει τῷ πολίτῃ· ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ δὲ οἶμαι οὐδὲ νόσον αὐτὴν εἶναι, ἀλλ᾽ ἀμετρίην παιδίης, οὐκ οὖσάν γε τῷ ὄντι ἀμετρίην, ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν, ἐπεὶ οὐδέποτε βλαβερὸν τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τὸ ὑπερβάλλον διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην, δοκιμάζει δὲ ἕκαστος ἐξ ὧν αὐτὸς οὐκ ἔχει τὸ ἐν ἄλλῳ πλεονάζον περισσεύειν, ὥς που καὶ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε, καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην, καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει τὸ ἀρετῆς ξύμμετρον. ἐκεῖνον μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῆς ἐνθένδε προγνώσιος καὶ ἀκούσαντες τῶν λόγων αὐτοῦ ἄμεινον εἰσόμεθα. σὺ δὲ ἔπειξον, ὦ Διονύσιε, αὐτὸς παραγενέσθαι, βούλομαι γὰρ ἐνδιατρῖψαί σε τῇ πατρίδι μου

pecta, aut me, o amice, anteverte. Necessario enim mihi Democriti gratia in Abderam abeundum, ad quem aegrotantem urbs me accersivit. At mirabilis Dionysii quaedam est morum hominum naturae convenientia et consensio, qui velut unus animus una cum cive suo aegrotat, ut proinde mihi curatione indigere videatur. Equidem non ipsum morbum esse puto, sed nimis exuperantem doctrinam, quae revera modum superare non potest, sed ita vulgo existimatur, cum neque modum exuperans virtus unquam sit noxia. Quod vero exuperat, propter eorum qui judicant inscitiam morbi opinionem praebet. Quisque autem ex his quae non habet, quod in alio abundat, modum excedere opinatur. Ita sane timidus fortitudinem et avarus animi magnitudinem modum excedere sentit, omnisque defectus virtutis moderationem excessum esse putat. Illum igitur ubi viderimus cum ea, quae nobis inde suppetet praenotione, ejusque sermonem audiverimus, melius cognoscemus. Tu vero, Dionysi, accedere festina. Volo enim te, quoad rediero, in

μέχρις ἂν ἐπανέλθω, ὅκως τῶν τε ἡμετέρων φροντιῇς καὶ πρῶτον ἡμέων τῆς πόλιος, ἐπειδὴ οὐκ οἶδ᾽ ὅκως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ καὶ τὴν ἀρχαίην φύσιν ἔχον. ὥστε οὐδὲ πολλαὶ παρενοχλήσουσι νοῦσοι, πλὴν ὅμως πάριθι. οἰκήσεις δὲ τὴν ἐμὴν οἰκίην ὑπερευκαιρέου(911)σαν, ἅτε καὶ τοῦ γυναίου μένοντος πρὸς τοὺς γονέας διὰ τὴν ἐμὴν ἐκδημίην. ἐπισκόπει δὲ ὅμως καὶ τὰ ἐκείνης, ὅκως διάγῃ σωφρόνως καὶ μὴ τῇ ἀνδρὸς ἀπουσίῃ ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν γὰρ ἐξ ἀρχῆς ἦν καὶ γονέας ἀστείους εἶχεν, τὸν δὲ πατέρα ἐκτόπως ἀνδρικόν τε καὶ μάλα μισοπόνηρον ὑπερφυῶς γερόντιον. ἀλλ᾽ ὅμως ἀεὶ χρήζει γυνὴ σωφρονίζοντος, ἔχει γὰρ φύσει τὸ ἀκόλαστον ἐν ἑωυτέῃ, ὅπερ εἰ μὴ καθ᾽ ἡμέρας ἐπικόπτοιτο, ὡς τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέστερον γονέων εἰς φυλακὴν γυναικὸς, οὐ γὰρ ὡς ἐκείνοις καὶ τουτέῳ ξυνοικέει πάθος εὐνοίης, δι᾽ οὗ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν

patria noſtra commorari, ut rerum noſtrarum imprimisque urbis noſtrae curam habeas, quandoquidem neſcio quo caſu ſalubris annus eſt et priſtinam naturam retinet, quare neque multi morbi moleſti erunt, verumtamen adeſto. Domum meam valde peropportunam inhabitabis, cum mea uxor propter meam profectionem apud parentes maneat, illius tamen vitam obſerva, quo pudice degat et ne ob viri abſentiam alios viros uſurpet. Modeſta ab initio fuit et probos habuit parentes, patrem autem mirum in modum virilem et vehementer malos odio proſequentem, ac egregie ſenem. Semper tamen eo qui modeſte coerceat mulier opus habet. Natura enim inſitam intemperantiam habet, quae niſi quotidie reſecetur, velut arbores ſupervacuis frondibus et inutili fruticatione luxuriat. At ego amicum parentibus diligentiorem in muliere cuſtodienda exiſtimo. Neque enim hic, velut illi, benevolentiae affectu cum ea conjunctus eſt, quo plerumque admonitioni tenebras offendunt. In omni

παντὶ τὸ ἀπαθέστερον, ἅτε μὴ ἐπικλώμενον ἐπ' εὐνοίης ἔῤῥωσο.

[16] [Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.] Οἶδα παρὰ σοὶ γενόμενος ἐν Ῥόδῳ Δαμάγητε τὴν ναῦν ἐκείνην, ἅλιος ἐπιγραφὴ ἦν αὐτῇ, πάγκαλόν τινα καὶ εὔπρυμνον, ἱκανῶς τε τετροπισμένην, καὶ διάβασιν εἶχε πολλήν. ἐπῄνεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς ὡς ὀξὺ καὶ ἀσφαλὲς καὶ εὔτεχνον ὑπουργῆσαι, καὶ τοῦ πλοῦ τὴν εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν ἀλλ' εἰ οἷόν τε, μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν || ἐπείγει γὰρ τὸ πρῆγμα καὶ φιλότης, μάλα εἰς Ἄβδηρα δια(912)πλεῦσαι πάνυ ταχέως. βούλομαι γὰρ νοσέουσαν ἰήσασθαι πόλιν διὰ νοσέοντα ἕνα Δημόκριτον. ἀκούεις που ἀνδρὸς τὸ κλέος, τοῦτον ἡ πατρὶς ἠτίηται μανίῃ κεκακῶσθαι. ἐγὼ δὲ βούλομαι, μᾶλλον δὲ εὔχομαι, μὴ ὄντως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοισι δόξαν εἶναι. γελῇ φασὶν ἀεὶ καὶ οὐ παύεται γελῶν ἐπὶ παντὶ πρήγματι, καὶ σημεῖον αὐτοῖσι μανίης τοῦτο δοκέει. ὅθεν λέγε τοῖσιν ἐν Ῥόδῳ φίλοισι μετριάζειν ἀεὶ, καὶ μὴ πολλὰ γελῇν μηδὲ πολλὰ σκυθρωπά-

autem re quod ſine affectu prudentius eſt, quod nimirum benevolentia frangi non poſſit.

[*Hippocrates Damageto S.*] Cum apud te Rhodi eſſem, Damagete, navem illam vidi cui ſolis inſcriptio inerat, quae mihi perpulchra, puppi probe et idonea carina inſtructa, multaque tranſtra habere viſa eſt. Tu vero eam commendabas, quod ad navigandum velox eſſet, tuta, ad regendum bene fabricata, facilemque navigationis curſum haberet. Eam ad nos mittito, ſed ſi fieri poſſit, non remis, ſed alarum remigio inſtructam. Res enim et amicitia urget ut quam citiſſime in Abderam trajiciam. Aegrotantem enim urbem propter unum Democritum morbo affectum curare volo. Si quando de hujus viri fama accepiſti, hunc patria dementiae inſimulat. At ego volo, imo vero exopto, illum re vera non delirare, ſed eos ita opinari. Ridet ſemper, inquiunt, neque in quovis negotio ridere ceſſat, hocque illis inſaniae ſignum videtur. Quare noſtros qui Rhodi ſunt amicos moneto, ut ſemper modum teneant neque multum ri-

ζειν, ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι, ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξειας, τοῖς δὲ φροντιστὴς περὶ ἀρετῆς μερμηρίζων. ἔνι μέντοι τι Δαμάγητε κακὸν, παρ' ἕκαστον αὐτοῦ γελῶντος. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον, καὶ εἴποιμ' ἂν αὐτῷ Δημόκριτε καὶ νοσέοντος καὶ κτεινομένου καὶ τεθνεῶτος καὶ πολιορκουμένου καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἕκαστον τῶν πρησσομένων ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεομαχεῖς δὲ εἰ δύο ἐόντων ἐν κόσμῳ, χαρῆς καὶ λύπης, σὺ θάτερον αὐτῶν ἐκβέβληκας. μακάριός τ' ἂν ἦς, ἀλλ' ἀδύνατον, εἰ μήτε μήτηρ σοι νενόσηκεν μήτε πατὴρ, μήτε τὰ ὕστερον τέκνα ἢ γυνὴ ἢ φίλος, ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα διασώζεται εὐτυχεῖς πάντα. ἀλλὰ νοσεόντων γελᾷς, ἀποθνησκόντων χαίρεις, εἴ τί που πύθοιο κακὸν, εὐφραίνῃ, ὡς πονηρότατος εἶ ὦ Δημόκριτε, καὶ πόῤῥω γε σοφίης, ἣν νόμιζεις αὐτὰ μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν Δημόκριτε, κινδυνεύων καὶ αὐτὸς (913) Ἀβδηρίτης εἶναι, φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων ἀκρι-

deant neque multum tetrici ſint, ſed inter haec modum teneant, uti his quidem gratiſſimus eſſe videaris, illis vero commendationi deditus, de virtute anxie cogitans. Ineſt certe Damagete vitii aliquid, quod ad ſingula rideat. Si enim immoderantia vitioſa eſt, quae perpetua vitioſior. Eum autem ſic alloquar, Democrite, ſi quis aegrotet, ſi quis interficitur, moritur et obſidetur, et ſi quid mali incidit et quicquid fit, materiam tibi riſus praebet. An non bellum diis indicere videris, ſi cum duo ſint in mundo, gaudium et triſtitia, alterum a te rejeceris? Beatus certe mihi videaris, verum id fieri nequit, ſi neque mater tibi aegrotet, neque pater neque tandem liberi aut uxor aut amicus, ſed ut propter tuum riſum conſerventur, omnia certe tibi proſpere cedunt. Sed quod cum aegrotant rides, cum moriuntur gaudes, ſi quod malum audieris, exhilararis, maxime improbus es, Democrite, longeque a ſapientia aberras, ſi haec vitia non exiſtimas. Atra igitur bile vexaris Democrite, et periclitaris ne ipſe Abderitanus habearis, prudentior autem ſit civitas. Verum de his quidem Damagete illic exactius

βέστερον ἐκεῖ λέξομεν Δαμάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνο ὃν ἐπιστέλλω σοι χρονίζει. ἔῤῥωσο.

[17] (908) [Ἱπποκράτης Φιλοποίμενι χαίρειν.] Σύννου καὶ πεφροντικὼς ὑπὲρ Δημοκρίτεω, αὐτέῃ ἐκείνῃ τῇ νυκτ καταδαρθὼν, πρὸς ἀρχομένην τὴν ἕω ὄναρ ἐφαντάσθην. ἐ οὗ νομίζω κάρτα μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ἐκπάγλως γὰ διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρῇν φαίνε σθαι αὐτέου πλησίον. ἤδη δὲ πρὸς ταῖς τῶν Ἀβδηριτῶ πύλαις ἐτυγχάνομεν. ὁ δὲ Ἀσκληπιὸς οὐχ ὡς εἰώθεσαν αὐ τέου αἱ εἰκόνες, μείλιχόν τε καὶ πρᾶον ἰδέσθαι κατεφαίνετο ἀλλὰ διεγηγερμένος τῇ σχέσει καὶ ἰδέσθαι φοβερώτερος εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆμά τι ἑρπετῶν ὑπερφυές ἐπειγόμενοι δὲ καὶ αὐτῷ μακρῷ τῷ ἐπισύρματι, καί τι φρι κῶδες ὡς ἐν ἐρημίῃσι καὶ νάπῃσι κοίλῃσιν ὑποσυρίζοντες οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα περιεσφη κωμένας ἔχοντες ᾖεσαν. ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ θεός κἀγὼ λαβόμενος ἀσμένως ἐλιπάρεον ξυνέρχεσθαι, καὶ μὴ κα θυστερεῖν μου τῆς θεραπείης. ὁ δὲ, οὐδέν τι, ἔφη, ἐν τῷ

differemus. Navis autem etiam hoc tempore quo ad te ſcribo moratur. Vale.

[*Hippocrates Philopoemeni S.*] Cum cogitabundus et ſolicitus de Democriti ſalute eſſem, illaque ipſa nocte dormirem, ſub aurorae initium ſomnium mihi viſum eſt, ex quo nihil admodum periculoſi eventurum exiſtimo. Mirandum enim in modum excitatus ſum. Ipſum enim Aeſculapium coram praeſentem mihi videre videbar, cum jam ad Abderitanas portas perveniſſemus. At Aeſculapius non ea lenitate ac facilitate, qua illius imagines conſpici ſolent, videbatur, ſed habitus erat commoto ſimilis et aſpectus magis horrendus. Sequebantur autem eum dracones inter reptilia eximii, longoque tractu feſtinantes, horrendum quiddam velut in ſolitudinibus et cavis vallibus ſubſibilantes. Pone ibant comites medicamentorum ciſtas probe obturatas habentes. Deinde mihi manum deus porrexit, qua lubenter arrepta rogabam mecum uti veniret, neque me in curatione deſereret. Ille vero, nihil, inquit, mea opera in praeſentia

Ed. Chart. I. [17.] Foeſ. II. 1277. 1278. Ed. Lind. II. (908. 909.)

παρόντι ἐμεῦ χρήζεις, ἀλλά σε αὐτὴ τὰ νῦν ξεναγήσει θεός, κοινὴ ἀθανάτων τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα καλήν τε καὶ μεγάλην ἀφελὲς πεπλοκισμένην, λαμπρήμονα. διέλαμπον (909) δ᾽ αὐτέης οἱ τῶν ὀμμάτων κύκλοι, καθαρόν τι φῶς, οἷον ἀστέρων μαρμαρυγὰς δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη, κείνη δὲ ἡ γυνὴ πιέσασά με τοῦ καρποῦ μαλθακῇ τινι εὐτονίῃ, διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν, ἵνα τὴν ξενίην ἐδόκεον εὐτρεπεῖσθαι, ἀπῄει ὡς φάσμα, οἷον εἰποῦσα, αὔριόν σε παρὰ Δημοκρίτεῳ καταλήψομαι. || ἤδη δὲ αὐτῆς μεταστρεφομένης, δέομαι, φημὶ, ἀρίστη, τίς εἶ καὶ τίνα σε καλέομεν, ἡ δὲ, Ἀλήθεια, ἔφη. αὕτη δὲ ἣν προσιεῦσαν, ὁρῇς καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι, οὐ κακὴ μὲν οὐδ᾽ αὐτὴ, θρασυτέρη δὲ ἰδέσθαι καὶ σεσοβημένη, Δόξα, ἔφη, καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίταισιν. ἐγὼ μὲν οὖν ἀναστὰς ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δημόκριτος, ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, ὡς οὐκ ἔχων ὕλην θεραπείης, ἀλλὰ ἡ μὲν ἀλήθεια τοῦ ὑγιαίνειν

indiges, verum haec communis tum immortalium tum mortalium dea te nunc hoſpitem deducet. At ego converſus mulierem tum pulchram tum magnam aſpicio, ſimplici capillorum ornatu, ſplendido cultu, cujus oculorum orbes claro lumine pellucebant, uti ſtellarum fulgores viderentur. Et deus quidem diſceſſit, mulier vero illa oppreſſa manu me levi quodam paſſu per urbem perhumaniter complexa deduxit. Ubi vero ad domum venimus, ubi mihi hoſpitium paratum putabam, velut ſpectrum diſceſſit, dicere viſa, cras te apud Democritum offendam. Qua jam diſcedente, quaeſo optima, inquam, quaenam es et quod tibi nomen eſt. Veritas, inquit. Quam vero accedentem vides, Opinio eſt, inquit, confeſtimque altera quaedam mihi viſa eſt, neque mala haec quidem, ferociore tamen et faſtuoſo aſpectu et apud Abderitanos habitat. Experrectus igitur mihi ipſi ſomnium explicavi, quod ex quo ipſe deus medendi auctor diſceſſiſſet, tanquam nullam curandi habeat materiam, Democritus medico non indigeat, ſed veritas ipſa, quod ſanus ſit, apud

παρὰ Δημοκρίτεῳ μένει, ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα παρ' Ἀβδηρίταις ὄντως κατῴκηκε. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην, καὶ ἔστιν, καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα μάλιστα δὲ ὁκόταν καὶ τάξιν διαφυλάττει. ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάνυ ξυγγενεῖς εἰσιν, ἐπειδὴ καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, ὅ καὶ πρόγονος ἡμέων, ἐοῦσας καὶ ἐσομένας νούσους προαγορεύων καὶ νοσέοντας καὶ νοσήσοντας ἰώμενος. ἔῤῥωσο.

[18] (928) [Ἱπποκράτης Κρατεύᾳ χαίρειν.] Ἐπίσταμαι σε ῥιζοτόμον ἄριστον, ὦ ἑταῖρε, καὶ διὰ τεὴν ἄσκησιν καὶ διὰ προγόνων κλέος, ὡς μηδὲν ἀποδεῖν σε δυνάμει τοῦ προπάτορος Κρατεύα. νῦν οὖν εἰ καί (929) ποτε ἄλλοτε βοτανολόγησον ὁκόσα τε καὶ ὁκοῖα δύνασαι. ἀναγκαίη γὰρ ἐπείγει καὶ διάπεμψαί μοι ταῦτα, ἐπ' ἄνδρα ὅλῃ πόλει ἰσοστάσιον Ἀβδηρίτην μὲν, ἀλλὰ Δημόκριτον. νοσέειν γάρ φασιν αὐτὸν καὶ καθάρσιος μάλα χρήζειν ἐντὸς μανίης ἐόντα. μὴ χρησαίμεθα μὲν οὖν τοῖς φαρμάκοις, ὥσπερ καὶ πέπεισμαι, ἀλλ' ὅμως εὐτρεπεῖσθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτα-

Democritum manet, opinio vero quod aegrotet re vera apud Abderitanos habitat. Haec vera esse, ut sunt, credo Philopoemen, neque somnia rejicio, praesertim quae ordinem conservant. Medicina autem et divinatio magnam inter se cognationem habent, quandoquidem duarum artium pater est unus Apollo, progenitor noster, qui et praesentes et futuros morbos praedicebat et aegrotantes et aegrotaturos curabat. Vale.

[*Hippocrates Crateuae S.*] Scio te, o amice, praestantissimum esse herbarium, teque propter studium et majorum gloriam nihil facultate Crateuae proavo tuo cedere. Nunc igitur si unquam alias quantas et quaselcunque poteris herbas lege, cum necessitas urgeat, easque ad nos transmitte, ad virum curandum, Abderitam quidem, verum Democritum, toti civitati aequi parandum. Eum enim aegrotare ajunt, et insania detentum purgatione valde indigere. Ac ut ne medicamentis quidem, ut spero, utamur, sed tamen undiquaque instructum esse oportet. Rem autem

νῶν παρὰ σοὶ πολλάκις ἐθαύμασα, ὥς καὶ τὴν τῶν ὅλων γε φύσιν τε καὶ διάταξιν καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, ἐξ ἧς ζῶα καὶ φυτὰ καὶ τροφαὶ καὶ φάρμακα καὶ τύχη καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ ἂν εἶχεν οἷ ἐπιβῇ ἡ φιλαργυρίη, οὐδ᾽ ἂν Ἀβδηρῖταί με νῦν δέκα ταλάντοις ἐδελέαζον, ἀντὶ ἰητροῦ μισθωτὸν ἐλέγχοντες. εἰ δ᾽ ἐδύνασο, Κράτευα, τῆς φιλαργυρίης τὴν πικρὰν ῥίζαν ἐκκόψαι, ὥς μηδὲν λείψανον αὐτῆς ἀφεῖναι, εὖ ἴσθι ὡς ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. ἀλλὰ ταῦτα μὲν εὐχαὶ, σὺ δ᾽ ἡμῖν τὸ παρεὸν μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλόφους βοτάνας ῥιζοτόμει. στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσὶν καὶ δριμύτεραι μᾶλλον διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅ τι γὰρ ἕλκουσιν ἐμψυχότερόν ἐστι. πειρήθητι δ᾽ ὅμως καὶ τὰς παρὰ λίμναις ἑλίους πεφυκυίας ἀνθολογῆσαι, καὶ τὰς ποταμίους ἢ κρηνίτιδας ἢ πιδακίτιδας παρ᾽ ἡμῖν καλεομένας, ἃς δὴ ἀσθενέας καὶ ἀτόνους καὶ γλυκυχύλους εἶναι πέπεισμαι.

herbariam apud te semper miratus sum, ut et rerum universarum naturam et ordinem, sanctissimumque terrae solum, ex qua animantia, plantae, alimenta, medicamenta, fortuna, divitiaeque ipsae promanant. Neque enim alioqui pecuniae cupiditas haberet ubi consisteret, neque me nunc Abderitae decem talentis illectassent, et pro medico mercede conductum deprehendissent. Quod si, Crateua, amaram pecuniae cupiditatis radicem excindere possis, ut ne ullae ejus reliquiae restent, hoc probe teneto, quod una cum hominum corporibus etiam male affectos purgaremus. Sed haec quidem in votis habenda. Tu vero nobis, quod praesens est, montanas et ex summis collibus herbas legito. Nam ob soli densitatem et aeris tenuitatem aquosioribus sunt solidiores et vehementiores. Quod enim attrahunt, magis est animatum. Tenta tamen ut etiam ex his quae circa stagna aut paludes nascuntur flores colligas, et eas quae apud nos fluviales aut fontanae aut ex aquis salientibus scatentes vocantur, quas sane imbecillas et remissas ac dulcis succi esse

πάντα δὲ ὁκόσα (930) χυλοί τε καὶ ὀποὶ ῥέοντες ἐν ὑαλίνοισιν ἀγγείοισιν φερέσθωσαν. ὁκόσα δ᾽ αὖ φύλλα ἢ ἄνθεα ἢ ῥίζαι ἐν κώθωσι καινοῖσι περιεσφηκωμένοις. ὅκως μὴ διαυγαζόμενα τῇσι πνοῇσι ἐκλείπῃ τὸν τόνον τῆς φαρμακείης ὥσπερ λειποψυχήσαντα, ἀλλ᾽ εὐθὺς ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόδιος, καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης μὲν γὰρ πάσης ἀλλότριον ἀναβολὴ, ἰητρικῆς δὲ καὶ πάνυ, ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροὶ, ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι μὲν οὖν ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήσιος. εἰ δ᾽ ἄρα τι σφάλμα φύσεως ἢ καιροῦ ἢ ἄλλης τινὸς αἰτίης γένοιτο, πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λάθοι, || ἅτε μὴ πάγχυ δι᾽ ἀτρεκίης εὐτονέοντας, ἐπὶ τὸ ἄδηλον πᾶσαν χρέος δύναμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κινδυνεύων οἷς δυνάμεθα, ἀλλ᾽ ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα, καὶ σχεδὸν πρὸς δύο στρατευόμεθα τέλεα, τὸ μὲν ἀνθρώπου, τὸ δὲ τέχνης, ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῇ ἐπιστήμῃ ὥρισται.

mihi persuadeo. Succi autem omnes et fluidi liquores in vitreis vasis adferantur, ac rursus folia, flores et radices in fictilibus novis probe obturatis, ut ne ventis difflata vim medicam tanquam animo deficientes deferant, verum haec ad nos confestim mitte. Anni enim tempestas commoda est, et dictae insaniae necessitas urget. Cum enim ab omni arte aliena sit procrastinatio, tum vero maxime in medicina, in qua dilatio vitae periculum adfert. Temporum autem opportunitates curationum sunt animi, earumque observatio finis. Democritum sane quidem etiam citra medelam convaliturum spero. Si vero aliquod naturae aut occasionis aut alterius alicujus causae erratum contingat, multa namque nos mortales latent, cum non admodum veritate praestemus, ad id quod obscurum est facultatem omnem congregatam esse opus est. Neque enim ei, qui periculo constitutus est, satis sunt quae possumus, verum etiam quae non possumus expetit, fereque ad duos fines bellum inferimus, unum quidem hominis, alterum vero artis. Horum alter quidem obscurus est, alter vero arte circumscriptus est et in his ambobus

Ed. Chart. I. [18. 19.] Foes. II. 1279. Ed. Lind. II. (930. 931. 913.)
δεῖ δὲ ἐν ἀμφοτέροισι τουτέοισι καὶ τύχης. τὸ γὰρ ἀτέκμαρτον ἐν ταῖς καθάρσεσι δι' εὐλαβείης ἰόντων, καὶ γὰρ καὶ στομάχου κάκωσιν ὑφορώμεθα, καὶ ξυμμετρίην φαρμακείης πρὸς ἀγνοουμένην φύσιν στομαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. [19] ἕτερον δ' αἰεὶ καὶ πρὸς ἑωυτὴν ὁρίζουσα οἰκεῖ. ἐνίοτε δὲ τὸ πᾶν ἀπώλε(931)σε καὶ ταῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν ἐνιοβόλησε καὶ περιχανόντα τῇ ἐντὸς αὔρῃ κάκωσιν ἀντ' ἀλεξήσιος αὐτοῖς προσέπνευσεν, καὶ τούτου ἄγνοια ἔσται, εἰ μή τις ἄρα κηλὶς ἢ σπίλος ἢ ὀδμὴ θηριώδης καὶ ἀπηνὴς τοῦ γενομένου ξύμβολον φανείη. εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης τῆς κατορθώσιος ἀφήμαρτε. βεβαιότεραι δ' ἂν ἀεὶ αἱ δι' ἐλλεβόρων καθάρσιες εἰσὶ, αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων καὶ Ἀντικυρεὺς ἐφ' Ἡρακλέους ἱστορέονται κεχρῆσθαι. μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτεω μηδενὶ τούτων, ἀλλὰ γένοιτο ἐκείνῳ τῶν δραστικωτάτων καὶ ἰητρικωτάτων φαρμάκων σοφίη τέλος. ἔῤῥωσο.

(913) [Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.] Τοῦτ' ἐκεῖνο,

fortuna opus est. Nulla enim conjectura eorum quae ad purgationem cum cautione feruntur. Nam et stomachum male affectum suspectamus, et medicationis convenientem modum ex ignota natura conjicimus. Neque enim eadem et una est omnium natura, alterum autem semper etiam sibi circumscribens assimilat, interdum vero totum perdit. Quin etiam reptilia multa herbas suo veneno inficiunt, et suo circum hiatu cum interiore aura malignitatem pro auxilio ipsis inspirant. Idque ignorabitur, nisi certe macula quaedam aut inquinamentum aut ferinus et injucundus odor ejus rei quae accidit notam dederit. Deinde ars ipsa propter fortunae lapsum a via recta aberrat. Certiores autem sunt per veratrum purgationes, quibus etiam Melampus ad Proeti filias et Anticyreus in Hercule usi fuisse traduntur. Ac optandum nobis ut nullum ex his in Democrito usurpemus, sed sapientia efficacissimum et praestantissimum medicamentum illi contingat, et finem imponat. Vale.

[*Hippocrates Damageto S.*] Hoc ipsum conjiciebamus,

Δαμάγητε, ὅπερ εἰκάζομεν, οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε καὶ ἡμᾶς ἐσωφρόνιζε καὶ δι᾽ ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀληθέως τὴν Ἀσκληπιάδα νῆα, ᾗ πρόσθες μετὰ τοῦ ἁλίου ἐπίσημον καὶ ὑγιείην, ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἱστιοδρόμηκε, καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα, ᾗπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν, ὡς εἰκὸς, ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία νὴ θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μέντοι ὧδε εἶχον, ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ, ὁ δὲ μετ᾽ ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον, ἔνδοξάν που σμικρὸν ἐφ᾽ ἑωυτῶν γεγονέναι καὶ χρηστὰς ἐλπίδας ἐποιοῦντο. ὁ δὲ Φιλοποίμην ἄγειν ἐπὶ τὴν ξείνην με ὥρμητο, κἀκείνοις ξυνεδόκεε τοῦτο. ἐγὼ δὲ, ὦ ἄνδρες, ἔφην, Ἀβδηρῖται, οὐδὲν ἔστι μοι προὔργου ἢ Δημόκριτον θεήσασθαι. οἱ δ᾽ ἐπῄνουν ἀκούσαντες καὶ ἥσθησαν, ἦγόν τέ με ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἑτέρωθεν ἕτεροι, σῶζε λέγον(914)τες, βοήθει, θε-

Damagete, non delirat Democritus, ſed in omnibus ſapit nosque et per nos omnes homines ſapientiores reddit. Remiſi autem ad te, amice, revera Aeſculapii navem, cui cum ſolis ſigno etiam ſanitatem apponito, cum revera proſpero numine vela fecerit, eoque die Abderam navigarit, quo me perventurum ſcripſeram. Omnes igitur pro portis congregatos offendimus, nos, ut eſt veriſimile, expectantes, non viros ſolum, verum etiam mulieres, atque etiam ſenes et pueros, per deos, triſtes itemque infantes. Hi ſane ſic affecti erant, quod Democritus inſaniret, at ille tunc exacta quadam diligentia philoſophiae incumbebat. Ubi autem me viderunt, paulum ad ſe rediiſſe et bene ſperare viſi ſunt. Philopoemen vero me ad hoſpitium ducere properabat, quod et communiter illis placebat. At ego, viri Abderitae, inquam, nihil mihi prius faciendum exiſtimo, quam ut Democritum videam. Quo audito collaudarunt et laetati ſunt, meque continuo per forum deduxerunt, alii quidem ſequentes, alii praecurrentes, aliaque ex parte alii clamantes ut ſer-

Ed. Chart. I. [19. 20.] Foës. II. 1279. 1280. Ed. Lind. II. (914.)

ράπευσον. κἀγὼ παρήνεον θαῤῥεῖν, ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ πίσυνος ἐτησίαις ὥραις, εἰ δ' ἄρα καί τινος βραχέος, εὐδιορθώτου, καὶ ἅμα ταῦτα λέγων ἤειν, οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη, μᾶλλον δ' οὐδ' ἡ πόλις ὅλη. παρήειμεν οὖν, πλησίον γὰρ τοῦ τείχους ἐτύγχανεν, καὶ ἀνάγουσί με ἡσυχῇ, ἔπειτα κατόπιν τοῦ πύργου βουνὸς ἦν τις ὑψηλὸς, μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος, ἔνθεν τε ἐθεωρεῖτο τὰ τοῦ Δημοκρίτου καταγώγια, καὶ αὐτὸς ὁ Δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίστῳ, ἐν ἐξωμίδι παχείῃ μοῦνος ἀνήνυτος ἐπὶ λιθίνῳ θώκῳ, ὠχριηκὼς πάνυ καὶ λιπόσαρκος, κουρεῶν τὰ γένεια, παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς λεπτόῤῥυτον ὕδωρ κατὰ πρηνοῦς τοῦ λόφου θέον ἠρεμέως ἐκελάρυζεν. || ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι, Νυμφέων ἱδρυμένον, αὐτοφύτοις ἐπιῤῥεφὲς ἀμπέλοις. ὁ δ' εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν γουνάτοιν βιβλίον, καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτέῳ παρεβέβλητο, σεσώρευντο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι' ὅλων. [20] ὁ δὲ ὁτὲ μὲν

varem, adjuvarem, medelam adhiberem. At ego bono animo esse jubebam, quod etesiarum tempestate fretus, nullum quidem malum aut certe brevi et facile corrigi posse sperarem. Simulque haec dicens pergebam, neque enim procul domus erat, imo neque tota civitas. Audivimus igitur, cum juxta moenia esset, illucque me placide deducunt. Deinde post turrim collis erat altus, longis et densis populis nigris opacus, unde Democriti domicilium conspiciebatur. Ipseque Democritus sub umbrosa et humillima platano sedebat, in brevi et substricta tunica crassa citra humeros desinente, exomide dicta, solus, squalidus, in lapidea sella, pallidus admodum et macilentus, barba promissa. Juxta eum ad dextram tenuis aquula per declivem tumulum decurrens placide resonabat. Erat autem delubrum quoddam super tumulum illum, Nymphis quidem, quantum conjicere licet, dedicatum, sponte enatis vitibus circumdatum. Hic vero composite admodum librum super genua habebat, et alii quidam utraque ex parte ei adjacebant, crebra autem

ξυντόνως ἔγραφεν ἐγκείμενος, ὅτε δὲ ἠρέμει πάμπολύ τι ἐπέχων καὶ ἐν ἑωυτῷ μερμηρίζων, εἶτα μετ᾽ οὐ πολὺ τουτέων ἐρδομένων ἐξαναστὰς περιεπάτει, καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει, καὶ καταθεὶς αὐτὰ μετελθὼν πάλιν ἐκαθέζετο, οἱ δὲ Ἀβδηρῖται περιεστῶτές με κατηφέες καὶ οὐ πόῤῥω τὰς ὄψεις δακρυόντων ἔχοντες φασίν, (915) ὁρῇς μέντοι τὸν Δημοκρίτου βίον, ὦ Ἱππόκρατες, ὡς μέμηνεν καὶ οὔτε ὅ τι θέλει οἶδεν οὔτε ὅ τι ἔρδει. καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν εἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀδυρομένῃ, εἶτ᾽ ἀνῴμωξεν πάλιν ὑποκρινόμενος παροδίτην ἀπολέσαντά τι ὧν διεκόμιζεν, καὶ ὁ Δημόκριτος ὑπακούων τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα, καὶ οὐκ ἔτι οὐδὲν ἔγραφεν, τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσεισεν. ἐγὼ δὲ, ὑμεῖς μὲν, ἔφην, ὦ Ἀβδηρῖται, αὐτόθι μίμνετε, ἐγγυτέρω δ᾽ αὐτὸς καὶ λόγων καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκούσας εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν, καὶ ταῦτ᾽ εἰπὼν κατέβαινον ἡσυχῇ. ἦν δὲ ὀξὺ

animalium cadavera, per totum dissecta, accumulata erant. Hic autem interdum contento studio scriptioni incumbebat, interdum multum subsistens et apud se anxie cogitans quiescebat. Deinde non multo post his peractis, exurgens deambulabat et animalium viscera attente inspiciebat, hisque depositis reversus rursus desidebat. At vero Abderitae mihi tristes, nec procul a lacrimantibus oculis assistentes. Vides certe, inquiunt, Hippocrates, Democriti vitam, quam insaniat neque quid velit aut quid faciat novit. Et ex his aliquis cum adhuc ejus insaniam mihi magis demonstrare vellet, altos ejulatus ad instar mulieris liberorum mortem lamentantis edidit, deinde rursus ingemuit, viatoris personam gerens, qui quod ferebat perdidit. Quibus auditis Democritus partim risit, partim subsannavit nihilque amplius scribebat, caput vero crebro concutiebat. At ego, vos quidem, inquam, viri Abderitae, hic manete, ubi autem ipse propius accessero et viri verba audiero, corpusque videro, affectus veritatem cognoscam, hisque dictis placide descendi. Erat autem praeceps locus ille et pronus, vix igitur gressum re-

καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον, μόλις δ᾽ οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχεν, ὅτε ἐπῆλθον αὐτέῳ, ὅ τι δή ποτε γράφων ἐνθουσιωδῶς καὶ μεθ᾽ ὁρμῆς. εἱστήκειν οὖν αὐτόθι περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος, ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γραφίου ἀνέβλεψέ τε εἰς ἐμὲ προσιόντα καὶ φησὶ, χαῖρε ξένε. κἀγὼ, πολλά γε καὶ σὺ, Δημόκριτε, ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς, οἶμαι, ὅτι οὐκ ὀνομαστὶ προσεῖπέ με, σὲ δὲ, ἔφη, τί καλέομεν, ἄγνοια γὰρ τοῦ σοῦ ὀνόματος ἦν πρόφασις τῆς τοῦ ξένου προσηγορίας. Ἱπποκράτης, ἔφην, ἔμοιγε τοὔνομα ὁ ἰητρός. ὁ δὲ εἶπεν, ἡ τῶν Ἀσκληπιαδῶν εὐγένεια πολύ τέ σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτη(916)κεν καὶ ἐς ἡμέας ἀφῖκται. τί δὲ χρέος, ἑταῖρε, δεῦρό σε ἤγαγε; μᾶλλον δὲ πρὸ πάντων κάθησο. ὁρῇς δὲ ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ἔτι χλωρὸς καὶ μαλθακὸς ἐγκαθίσαι προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου πάλιν φησὶν, ἴδιον οὖν ἢ ἐπιδήμιον πρᾶγμα διζήμενος δεῦρο

permeavi. Ubi vero propius accessi, forte in eum incidi cum sane quid divino furore actus et concitatus scriberet. Isthic igitur constiti, tempus opportunum dum ipse cessaret expectans. At ille non multo post, deposito impetu et stilo scriptorio, me accedentem aspexit et, salve, inquit, hospes. Et ego, tu quoque plurimum, inquam, Democrite, hominum sapientissime. Ille vero pudore suffusus, opinor, quod me nomine non compellasset, te vero, inquit, quonam nomine vocavero? Tui enim nominis ignoratio occasio fuit cur te hospitem appellarem. Hippocrates, inquam, medicus vocor. At ille, Asclepiadarum, inquit, nobilitas, tuaeque in arte medica sapientiae gloria crebris admodum hominum sermonibus ad nos pervenit. Quodnam vero te negotium, o amice, huc adduxit? Quin potius omissis omnibus considelo. Cernis enim quam non sit injucunda haec foliis instrata sedes, viridis ad haec et mollis, et ad insidendum blandior invidia obnoxiis fortunae sellis. Cum vero consedissem, rursus inquit, privatum igitur an publicum animo agitans negotium

Ed. Chart. I. [20.] Foes. II. 1280. 1281. Ed. Lind. II. (916.)
ἀφῖξαι, φράζεο σαφῶς. καὶ γὰρ ἡμεῖς ὅ τι δυναίμεθα συνεργοῖμεν ἄν. κἀγὼ τὸ μὲν κατ᾽ ἀλήθειαν, ἔφην, αἴτιον, δεῦρο σέο χάριν ἥκω ξυντυχεῖν σοφῷ ἀνδρί. ἔχει δὲ πρόφασιν ἡ πατρὶς ἧς πρεσβείην τελῶ. ὁ δὲ, ξενίῃ τοίνυν, φησὶ, τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πειρεύμενος δὲ κἀγὼ κατὰ πάντα τἀνδρὸς, καίπερ ἤδη μοι καταδήλου μὴ παρακόπτειν ἐόντος, Φιλοποίμενα οἶσθα, ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, καὶ μάλα, εἶπεν, τὸν Δάμωνος λέγεις υἱὸν, τὸν οἰκοῦντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. τοῦτον εἶπον, οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξένος. ἀλλὰ σὺ, Δημόκριτε, τῇ κρείσσονί με ξενίῃ δέχου, καὶ πρῶτόν γε τί τοῦτο τυγχάνεις γράφων φράζε. ὁ δ᾽ ἐπισχὼν ὀλίγον, περὶ μανίης, ἔφη. κἀγὼ, ὦ Ζεῦ βασιλεῦ, φημὶ, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ, ποίην, φησὶ, πόλιν Ἱππόκρατες; ἐγὼ δὲ, οὐδὲν, ἔφην, ὦ Δημόκριτε, ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως προσέπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ, εἶπεν, ἄλλο, πλὴν ἥτις τε εἴη, ὅκως ἀνθρώποις ἐγγίνεται, καὶ τίνα τρόπον ἀπολοφέοιτο. || τά τε γὰρ ζῶα

huc venisti? eloquere aperte. Ad id enim te pro viribus adjuvabimus. Ego vero, ista sane vera causa est, huc tui gratia venio, ut te virum sapientem conveniam. Occasionem autem patria dedit, cujus legationem obeo. At ille, hospitio igitur primum nostro utere. Ego vero pertentato per omnia viro, etsi eum minime delirare jam mihi constaret, Philopoemenem, inquam, nosti, civem vestrum? Ille vero, maxime, inquit, Damonis filium dicis, cujus aedes sunt juxta fontem Hermaida? Illum ipsum, inquam, cujus antiquus sum et peculiaris hospes. Tu vero, Democrite, potiore me hospitio excipito, imprimisque quidnam scribas eloquere. Ille vero paulum moratus, de insania, inquit. Tum ego, Iuppiter rex, inquam, peropportune sane contra civitatem scribis. At ille, quam civitatem Hippocrates? Nihil inquam, o Democrite, sed nescio quo modo mihi excidit. Sed quid de insania scribis? Quidnam vero, inquit, aliud quam quid sit, et quomodo hominibus innascatur, et quanam ratione allevetur. Haec

Ed. Chart. I. [20. 21.] Foës. II. 1281. Ed. Lind. II. (916. 917.)

ταῦτα ὁκόσα, ἔφη, (917) ὁρῇς, τουτέου μέντοι γε ἀνατέμνω εἵνεκα, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπιτοπολὺ αὕτη πλεονάσασα [21] ἐπὶ πάσῃ μὲν φύσει ἐνυπάρχει, ἀλλὰ παρ᾽ οἷς μὲν ἔλαττον, παρ᾽ οἷς δέ τι πλέον. ἡ δ᾽ ἀμετρίη αὐτέης νοῦσοι τυγχάνουσιν, ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ, νὴ Δία, ἔφην, ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις, ὅθεν εὐδαίμονά σε κρίνω τοσαύτης ἀπολαύοντα ἡσυχίης, ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρεομένου δὲ διὰ τί, ὦ Ἱππόκρατες, οὐκ ἐπιτέτραπται; ὅτι, ἔφην, ἢ ἀγροὶ ἢ οἰκίη ἢ τέκνα ἢ δάνεια ἢ νοῦσοι ἢ θάνατοι ἢ δμῶες ἢ γάμος ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἡμῶν ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη, καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε, καὶ ἐπετώθασε, καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. κἀγὼ, τί μέντοι, Δημόκριτε, ἔφην, γελᾷς; πότερον τὰ ἀγαθὰ ὧν εἶπον ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα, καὶ ἄποθεν ὁρεῦντες οἱ Ἀβδηρῖται, οἱ μὲν

enim, inquit, quae vides animantia hujus certe rei gratia reſeco, minime dei opera odio proſequens, ſed bilis naturam et ſedem inquirens. Noſti enim quod haec, ubi redundarit, ut plurimum hominum inſaniae cauſa eſt. In omni quidem natura ineſt, ſed in aliis quidem minus, in aliis vero copioſius. Hujus autem immoderantia morbi exiſtunt, velut materia, partim quidem bona, partim vero mala ſubjecta. Tum ego, per Jovem, inquam, o Democrite, vere et ſapienter ais. Perinde te beatum judico, qui tanta quiete frueris, cujus participes eſſe nobis non liceat. At eo interrogante, cur Hippocrates non liceat? Quod, inquam, aut agri aut res familiaris aut liberi aut aes alienum aut morbi aut mortes aut ſervi aut nuptiae aut ejusmodi quaedam hujus opportunitatem nobis reſcindant. Tum ſane vir ille in ſolitam affectionem delapſus et abunde in riſum effuſus eſt et vehementius irriſit, ac de caetero quievit. At ego, quid ſane Democrite, inquam, rides? num de bonis aut malis quae dixi? Ille vero adhuc magis ridebat. Quod

Ed. Chart. I. [21.] Foëſ. II. 1281. Ed. Lind. II. (917. 918.)

τὰς κεφαλὰς αὐτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας ἔτιλλον. καὶ γὰρ, ὡς ὕστερον ἔφησαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς τῷ γέλωτι ἐχρήσατο. ὑποτυχὼν δ᾽ ἐγὼ, ἀλλὰ μὲν, ἔφην, σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος ἢ τὰ λεχθέντα, ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης ἢ σὺ ἐλεγχθεὶς (918) διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις, ἔφη, εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδένα οὐδεπώποτε, ὦ Ἱππόκρατες; καὶ πῶς οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε; ἢ οὐκ οἴῃ ἄτοπός γε εἶναι γελῶν ἀνθρώπου θάνατον ἢ νοῦσον ἢ παρακοπὴν ἢ μανίην ἢ μελαγχολίην ἢ σφαγὴν ἢ ἄλλο τι χεῖρον; ἢ τοὔμπαλιν γάμους ἢ πανηγύρεις ἢ τεκνογονίην ἢ μυστήρια ἢ ἀρχὰς ἢ καὶ τιμὰς ἢ ἄλλο τι ὅλως ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν γελᾷς, καὶ ἐφ᾽ οἷς ἥδεσθαι χρὴ, καταγελᾷς τουτέων, ὥστε μήτε ἀγαθὸν μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ

procul videntes Abderitae partim quidem capita, partim vero frontem caedebant, quidam etiam capillos evellebant. Nam quemadmodum poſtea narrarunt, copioſiore quam ſolitus eſſet riſu uſus fuerat. Tum ego, At vero ſapientum optime Democrite, hujus enim tui affectus cauſam deprehendere cupio, quonam tibi riſu dignus viſus ſum, aut ea quae dicta ſunt, ut hoc cognito, cauſa deſiſtam, vel tu reprehenſus importunos hos riſus ſummoveas. Tum ille, ſi, me hercule, inquit, redarguere me poteris, curationem Hippocrates qualem nullus unquam feceris. Et quomodo, inquam, optime, reprehenſione dignus non videaris, aut te abſurdum non eſſe putas, ſi hominum mortem rides aut morbum aut dementiam aut inſaniam aut melancholiam aut caedem aut quid pejus? aut contra nuptias aut conventuum celebritates aut liberorum natales aut myſteria aut magiſtratus aut honores aut aliud quid prorſus bonum? Quae enim commiſeratione digna ſunt rides, et de quibus laetari oporteat, ea etiam derides, adeo uti apud te neque boni neque mali ullum ſit diſcrimen. At ille, recte

ταῦτα μὲν ἔφη, εὖ λέγεις, ὦ Ἱππόκρατες, ἀλλ' οὐκ οἶσθά πω τοῦ ἡμετέρου γέλωτος αἰτίην, μαθὼν δ' εὖ οἶδ' ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος ἀποίσεις θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι καὶ ἑωυτέῳ καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰατρικὴν ἀμοιβηδὸν, γνοὺς ὅσῃ σπουδῇ περὶ τὰ ἀσπούδαστα φιλοτιμεύμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι τὸν βίον ἀναλίσκουσι γελώτων ἄξια διοικεῦντες. ἐγὼ δέ φημι, λέγε πρὸς θεῶν, μήποτε γὰρ διαλανθάνει ἅπας ὁ κόσμος νοσέων, καὶ οὐκ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην. τί γὰρ ἂν εἴη ἔξω αὐτέου; ὁ δ' ὑπολαβὼν, πολλαί γε, φησὶν, ἀπειρίαι κόσμων εἰσὶν, Ἱππόκρατες, καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει πλουσίην τὴν φύ(919)σιν ἐοῦσαν. ἀλλὰ ταῦτα, ἔφην, Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ, εὐλαβοῦμαι γὰρ μή πως καὶ τὴν ἀπειρίην διεξιὼν γελᾶν ἄρξῃ. ἴσθι δὲ νῦν περὶ τοῦ σέο γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρανὸν ἀπιδών με, δύο, φησὶ, τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα.

quidem dicis, Hippocrates, verum risus nostri causam nondum nosti, quam cum didiceris, certus sum quod meum risum meliorem curationem pro tua legatione patriae tibique ipsi vicissim reportabis, qua etiam alios prudentiores reddere poteris. Pro quibus fortasse me etiam medicinam mutuo docueris, ubi cognoveris quanto studio omnes homines ad ea, quae negligenda sunt et nullius pretii facienda, contendunt, et in his, quae risu digna sunt, consectandis vitam consumunt. Tum ego, dic per deos, inquam, nunquid omnis mundus se aegrotare ignorat, neque habet unde sui curationem legatione accersat? Quid enim extra eum esse potest? Quo audito, multae, inquit, sunt Hippocrates mundorum infinitates, nolique, amice, naturam divitem ut parvam existimare. Sed haec, Democrite, inquam, suo tempore docebis. Vereor enim, ne si quando infinitatem percensueris, ridere incipias. Nunc vero de tuo risu in vita reddendam esse tibi rationem puta. At ille admodum perspicue in me intuens, duas, inquit, mei risus causas existimas,

Ed. Chart.I.[21. 22.] Foëſ. II. 1281. 1282. Ed. Lind. II. (919. 920.)

ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον, ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν πάσαις ἐπιβουλαῖς νηπιάζοντα, καὶ μηδεμιῆς ἕνεκεν ὠφελείας ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους, πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισιν ἐπιθυμίῃσιν ὁδεύοντα. ‖ ἄργυρον κτίζοντα καὶ χρυσὸν, καὶ μὴ παυόμενον τῆς κτήσεως ταύτης, αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται, καὶ οὐδὲ αἰσχύνεται μὴ λεγόμενος εὐδαίμων. ὅτι χάσμα τῆς γῆς ὀρύσσει διζήμενος χερσὶν, [22] ὧν οἱ μὲν ὑπὸ σομφῆς ἐπιπιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολυχρονίως ταύτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει παραμένουσιν, ἀργύριον καὶ χρυσίον μαστεύοντες, ἴχνη κόνεως καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἐγείροντες καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες, ἐς περιουσίην αἰεὶ βωλοποιέοντες ἐκ γῆς τῆς μητρὸς πολεμίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζοντες πατοῦσιν. ὅσος γέλως ἐπὶ μόχθου καὶ κρυφίης γῆς ἐρῶσι τὴν φανερὴν ὑβρί(920)ζοντες. κύνας ὠνεῦνται, οἱ δ' ἵππους, οἱ

bona et mala. At ego unum hominem rideo, amentia quidem refertum, recte factis vacuum, in omnibus conſiliis pueriliter agentem, nullius utilitatis gratia immenſos labores tolerantem, terrae fines et infinitos receſſus argenti et auri comparandi gratia immoderatis cupiditatibus peragrantem et nunquam ab his comparandis ceſſantem, ſemper vero ad copiam tumultuantem, ne ſi ea deſtituatur pudore ſuffundatur, quod felix non dicatur. Quod in terrae hiatus inquirens, eorum manibus effodiat, qui partim quidem a terra inani intereunt, partim vero diutius hac neceſſitate detenti in ſupplicio tanquam in patria permanent, aurum et argentum perquirentes, pulveris veſtigia et ramenta perveſtigantes, arenam aliam aliunde excitantes, et terrae venas excindentes, ad opulentiam ſemper terram matrem tanquam hoſtilem in glebas proſcindunt, quam eandem etiam cum admiratione calcant. Quantum vero rideri debet, quod terram latentem cum labore amant, apertam contumelia afficiunt. Canes emunt, quidam etiam equos, quidam vero

δὲ χώρην πολλὴν περιορίζοντες ἰδίην ἐπιγράφουσιν, καὶ πολλῆς ἐθέλοντες δεσπόζειν οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν, ἃς μετ᾽ ὀλίγον ἐκβάλλουσιν, ἐρῶσιν, εἶτα μισοῦσι, μετ᾽ ἐπιθυμίης γεννῶσιν, εἶτ᾽ ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἔμφυλον, ἠρεμίην οὐχ αἱρετίζοντες. ἀντενεδρεύουσι βασιλέας, ἀνδροφονοῦσι, γῆν ὀρύσσοντες ἀργύριον ζητοῦσιν, ἀργύριον εὑρόντες γῆν ἐθέλουσι πρίασθαι, ὠνησάμενοι γῆν καρποὺς πιπράσκουσι, καρποὺς ἀποδόμενοι πάλιν ἀργύριον λαμβάνουσιν. ἐν ὅσαις μεταβολαῖς εἰσὶν, ἐν ὅσῃ κακίῃ. οὐσίην μὴ ἔχοντες οὐσίην ποθέουσιν, ἔχοντες κρύπτουσιν, ἀφανίζουσιν. καταγελῶ ἐφ᾽ οἷς κακοπραγέουσιν, ἐπιτείνω τὸν γέλωτα ἐφ᾽ οἷς δυστυχέουσι, θεσμοὺς γὰρ ἀληθείας παραβεβήκασι, φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους δῆριν ἔχουσι. μετὰ δὲ ἀδελφῶν καὶ τοκήων καὶ πολιτῶν, καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων ὧν οὐδεὶς θανὼν δεσπότης ἐστὶν, ἀλληλοκτονεύουσιν, ἀθεσμόβια φρονεῦντες φίλων καὶ πατρίδων

multa circumscripta regione eam sibi adscribunt, et cum multis dominari velint, sibi ipsis imperare nequeunt. Uxores ducere cupiunt, quas paulo post repudiant, amant, deinde odio prosequuntur, cum cupiditate liberos suscipiunt, deinde eos adultos abdicant. Quodnam hoc inane studium et rationis expers nihilque ab insania discrepans? Bellum intestinum gerunt, quietem optabilem non ducunt, regibus vicissim insidias tendunt, homines necant, defossa terra argentum investigant, argento reperto terram emere cupiunt, terra empta fructum divendunt, fructibus distributis rursus argentum capiunt. Quibus mutationibus et quantis vitiis obnoxii? Cum opes non habeant, eas expetunt, si habent, abscondunt, dissipant. Eorem res adversas derideo, eorum infortunia intento risu excipio. Veritatis enim instituta violarunt, contentionis studio hostiles inter se rixas habent. Cum fratribus vero, parentibus et civibus mutuas caedes exercent, idque pro iis possessionibus quarum nemo post mortem dominus esse potest. Injustam vitam consectantes, amicorum

ἀπορίην ὑπερορῶσι, πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα, ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλεῖν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λαλέοντας μισεῦσι· τῶν γὰρ μὴ ῥηϊδίων ἐφίενται. καὶ γὰρ ἤπει(921)ρον οἰκεῦντες θάλασσαν ποθέουσι, καὶ πάλιν ἐν νήσοις ἐόντες ἤπειρον γλίχονται, καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινεῖσθαι, νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγίης, ὑπὸ φιλαργυρίης, ὑπὸ τῶν παθέων πάντων νοσέουσι. Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν, Ἱππόκρατες, ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτὸς τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελῆται, οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέουσι νήφειν, οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσεῦντες αὐτοὶ, οἱ δὲ τῶν πλεόντων, ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις οὔτε τοῖς ἔργοις. ἐγὼ δὲ, ταῦτα μὲν, ἔφην, κρήγυα, Δημόκριτε, οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πρή-

et patriae inopiam defpiciunt, indigna et inanimata divitiarum loco habent, pro univerfis facultatibus ftatuam mercantur, quod fimulacrum loqui videatur, eos vero, qui vere loquuntur, odio habent. Res non faciles amore profequuntur, in continente habitantes maritima expetunt, rurfusque infulas tenentes continentem affectant, cunctaque in fuam cupiditatem pervertunt. Et in bello quidem fortitudinem laudare videntur, at in dies a libidinum indulgentia et avaritia vincuntur et affectibus omnibus tenentur. Therfitis autem vitam omnes referunt. Qua vero in re rifum meum Hippocrates reprehendifti? Neque enim quifquam fuam, fed alter alterius amentiam deridet, hi quidem ebrios, cum ipfi fibi fobrii videantur, alii amantes, cum ipfi graviore morbo laborent, hi vero navigantes, alii agriculturae deditos. Neque enim artibus, neque operibus inter fe confentiunt. Tum ego, haec quidem, inquam, vera funt, Democrite, neque alia quaepiam oratio ad convincendam mortalium miferiam commodior effe poffit, verum ipfae

ξιες νομοθετοῦσι τὴν ἀναγκαίην, οἰκονομίης τε εἵνεκα καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχὴν, σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπὶ ἀδιαπτωσίῃ, μὴ κατ' εὐτονούντων δὲ τὴν ἀδηλότητα προορῆσθαι. εἴ που γάρ τις, ὦ Δημόκριτε, γαμέων ἢ χωρισμὸν ἢ θάνατον προσεδόκησεν. || τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν; ἀλλ' οὐδ' ἐν γεωργίῃ καὶ πλοίῳ καὶ βασιλείῃ καὶ (922) ἡγεμονίῃ καὶ πάνθ' ὅσ' ὑπάρχει κατὰ τὸν αἰῶνα· οὐδεὶς γὰρ προὔλαβεν πταῖσαι, ἀλλ' ἀγαθοῖσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται, τῶν δὲ χερειόνων οὐδὲ μέμνηται. μή ποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος. ὁ δὲ Δημόκριτος, μάλα, ἔφη, νωθὴς τὸν νόον ὑπάρχεις καὶ μακράν γε τῆς ἐμῆς γνώμης ἀπόδημος, Ἱππόκρατες, [23] ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων, δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρει διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπήλλασσον καὶ τὸν ἐμὸν

actiones hanc necessitatem veluti decreto quodam imponunt, ad rei domesticae dispensationem, navium fabricationem et reliquam reipublicae administrationem, in qua versari hominem oportet. Neque enim ad inertiam eum natura procreavit. Ex his rursus late sparsa ambitio multorum recte sentientem animum aberrare coegit, qui ad omnia velut sine lapsu summo studio contendunt, non tamen obscuritatem praevidere possunt. Quis enim, o Democrite, uxorem ducens divortium aut mortem cogitat? aut liberos educans, interitum? sed neque in agricultura et navigatione, regno, imperio et omnibus, quae sunt in vita. Nemo enim se aberraturum animo ante percepit, sed quisque horum bona spe pascitur, deteriora vero ne meminit quidem. Num igitur tuus hic risus his minime convenit? Tum Democritus, tardo, inquit, es admodum ingenio proculque a mea sententia peregrinaris, Hippocrates, neque tranquillitatis et perturbationis modum propter ignorantiam prospicis. Qui enim haec ipsa prudenti cogitatione disponunt, ii et facile liberantur et meum risum sublevant. Nunc

ἐλώφεον γέλωτα. νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῖς ἐν τῷ βίῳ φρενοβλαβέες τετύφλωνται ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῆσιν ἐμπίπτουσα, αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα. οἱ δ' ὡς ἐπ' ἀρηρυίῃ καὶ βεβαίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων, ἄλλοτε ἄλλος ποθεῦντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδεῦνται πολλῇσι ξυμφορῇσιν. εἰ δέ τις ἐμερμήριζεν κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν, ἑωυτὸν ἐξεπιστάμενος, καὶ ξύγκρισιν ἰδίην σαφῶς κατανοήσας καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν, ἀόριστον ἐκτείνων, τὴν δὲ πλουσίην φύσιν καὶ πάντων τιθηνὸν, δι' αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων εὐεξίη κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστιν. ἀρίσημοι (923) δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. ἄλλοι δὲ τὰ τῶν παλαιῶν μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο, τὰ δῆλα

vero velut in rebus vitae convenientibus mente capti caecutiunt, neque mente ratiocinationis experte inordinatum impetum facile addiſcunt. Satis enim fuerit haec admonitio rerum omnium commutatio, quae ſubditis converſionibus incidens, repentinam et omnimodam rerum velut rotarum agitationem in mentis notione reponit. Illi vero tanquam haec adaptata ſit et firma, affectionum continenter incidentium obliti, aliter alius quae triſtitiam adferunt expetentes, quae ſunt in commoda inquirentes, in multis calamitatibus aſſidue verſantur. Quod ſi quis omnia quae facit pro virmus mente verſaret, vitiam ab omni caſu immunem ſervaret, ſeipſe probe noſcens et ſuam ipſius concretionem aperte intelligens, cupiditatis ſtudium in infinitum non extenderet, ſed naturam divitem et omnium alumnam per ea, quae abunde ſuppetunt, ſequeretur. Quemadmodum autem optimus corporis habitus affectionum periculum denunciat, ſic magnus rerum ſucceſſus lubricus eſt. Rebus autem in adverſis inſignes conſpiciuntur. Alii vero antiquorum res minime oculis ſubjicientes, pravis ſuis affectionibus pereunt,

καθάπερ ἄδηλα μὴ προθεωρεῦντες, ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γενομένων καὶ μὴ γινομένων, ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. ταῦθ᾽ ὁ ἐμὸς γέλως, ἄφρονες ἄνθρωποι, πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρίης, ἐπιβουλίης, βασκανίης, ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἀπειρίη γάρ τις ἐστὶ κἂν τουτέοις δολοπλοκίῃσιν, ἀνθομιλεῦντες, σκολιόφρονες. ἀρετῆς δὲ παρ᾽ αὐτέοις τρόπος ἐστὶ τὸ χέρειον, φιλοψευδίην γὰρ ἀσκέουσι, φιληδονίην κοσμέουσι, νόμοις ἀπειθεῦντες. ὁ δὲ αὐτέων κατακρίνει τὴν ἀπροαιρεσίην, μήτε ὁρήσεως μήτε ἀκοῆς μετέχοντας, μούνη δ᾽ αἴσθησις ἀνθρώπου ἀτρεκείη διανοίη τηλαυγὴς, τό τε ὂν καὶ τὸ ἐσόμενον προορεομένη. δυσαρεστεῦνται πᾶσι καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται, ἀρνησάμενοι πλόον πλέουσι, γεωργίην ἀπωσάμενοι αὖθις γεωργοῦσιν, ἐκβάλλοντες γαμετὴν ἑτέρην εἰσάγονται, γεννήσαντες ἔθαψαν, θάψαντες ἐγέννησαν, πάλιν τρέφουσι, γῆρας ηὔξαντο,

manifefta velut obfcura non providentes, cum tamen longam vitam exemplum habeant, eorum quae fiunt et non fiunt, ex quibus quod futurum eft cognofcere oportebat. Haec eft mei rifus materia, homines imprudentes improbitatis fuae poenas dantes, avaritiae, inexplebilis cupiditatis, inimicitiarum, infidiarum, fubdolorum confiliorum, invidentiae. Difficile eft multorum malorum machinatricem folertiam verbis exprimere, cum eorum fit infinitas quaedam et in his cum dolofis commentis prava mente inter fe converfentur. Apud eos autem virtutis modus habetur, quod eft deterius. Mendacia enim amant et in his fe exercent, voluptatis ftudium extollunt, legibus minime parentes. Hic autem meus rifus quae ab his nullo propofito confilio fiunt condemnat, cum neque vifionis, neque auditionis participes fint. At folus hominis fenfus recta intelligentia eminus fplendefcens, quod praefens et futurum eft praevidet. Omnia deteftantur ac rurfus ad eadem fe adjungunt, navigationem averfantes navigant, agricultura propulfata rurfus agrum colunt, abdicata uxore aliam inducunt, fufceptos liberos fepeliunt et his fepultis alios procreant et rurfus educant,

ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν, ἐν οὐδεμιῇ καταστάσει βέβαιον ἔχοντες τὴν γνώμην, ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείης. ὁ πολιτευόμενος τὸν χειροτεχνεῦν(924)τα ὡς ἀκίνδυνον, ὁ δὲ χειροτέχνης ἐκεῖνον ὡς εὐτονεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωροῦσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δὲ ἐπὶ τὴν ἀπειθῆ καὶ σκολίην τρηχυβατέοντες καταφερόμενοι καὶ προσκόπτοντες, οἱ δὲ πλεῖστοι ἐκπίπτοντες, ἀσθμαίνοντες ὡς διωκόμενοι, ἐρίζοντες, ὑστερέοντες, προηγεύμενοι. || καὶ οὓς μὲν αὐτέων ἔρωτες ἀτάσθαλοι ὑποπεπρήκασιν ἀλλοτρίης εὐνῆς φθορῇ, ἀναιδείης πισύνους, οὓς δὲ τήκει φιλαργυρίης νοῦσος ἀόριστος, οἱ δ' ἀλλήλοις ἀντεπιτίθενται. οἱ δ' ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀνενεχθέντες βρίθει κακίης εἰς βυθὸν ἀπωλείας καταφέρονται, κατασκάπτουσιν, εἶτα ἐποικοδομοῦσι, χαρίζονται, εἶτα μετανοοῦσιν καὶ ἀφαιρεῦνται τὰ φιλίης δίκαια, κακοπραγεῦντες εἰς ἔχθρην τὰ

senectutem exoptant cumque eo pervenerint gemunt, nulloque in statu firma mente persistunt. Principes ac reges privatum beatum praedicant, privatus regium imperium affectat. Qui rempublicam regit, artificem tanquam periculi expertem laudat, artifex vero illum velut in omnia potentiam exercentem. Rectam enim virtutis viam puram minimeque asperam ac inoffensam non cernunt, per quam nullus incedere sustinet. Per inaccessam autem et tortuosam feruntur et per aspera delati incedunt et offendunt, plerique etiam decidunt, velut si quis persequatur anhelantes, partim sequentes partim praecedentes contendunt. Et eorum quosdam impudentia fretos nefandi alieni cubilis corrumpendi amores succendunt, quosdam etiam inordinatus avaritiae morbus tabefacit, alii mutuas insidias struunt. Alii vero ambitionis studio in aëra subvecti sceleris gravitate in exitii profundum praecipites deferuntur, diruunt, deinde aedificant, beneficium conferendo gratiam demerentur, deinde poenitentia ducti amicitiae jura violant maleque afficiendo

ξυγγενίης πολεμοποιεῦντες, καὶ τουτέων πάντων αἰτίη φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι; παρ᾽ οἷς ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνὸν, ἐν δὲ τοῖς θυμοῖς τί περισσὸν ζώοις ἀλόγοις παραλελοίπασιν; [24] πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὀρεχθῇ. λύ(925)κος δὲ δαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς ἀναπέπαυται, ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσιν οὐκ ἔχει θοίνης κόρον ἄνθρωπος, καὶ χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων τέρμα ἐστὶν, ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱππόκρατες, μὴ γελάσω τὸν κλαίοντα δι᾽ ἔρωτα ὅτι ξυμφερόντως ἀποκέκλειστοι, μάλιστα δ᾽ ἢν ῥιψοκίνδυνος ῇ, καὶ φέρηται κατὰ κρημνῶν ἢ βυθῶν πελάγους, ἐπιτενῶ τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμε-

ad inimicitias deveniunt et cognationis jura bello appetunt, horumque omnium avaritia caufa eft. Quanam in re ab infantibus ludibundis difcrepant? quos, cum mens judicio careat, quicquid fefe forte obtulit delectat. Quod ad cupiditates attinet, non multum a brutis animantibus differunt, nifi quod ferae in eo quod fatis eft fe continent. Quinam enim leo aurum defoffum in terram abdidit? Quinam taurus alienum ufurpandi cupiditate ad proelium impetu quodam delatus eft? Quae pardalis inexplebilem aviditatem admifit? Sitit quidem aper, fed quantum aquae appetit. Lupus vero dilaniato, quod fefe obtulit, neceffario alimento quiefcit. At fi dies jungantur noctibus, hominem non capit comeffandi fatietas. Et anniverfariorum temporum ordo, brutis quidem animantibus coitus finem adfert, hic vero infano libidinis ftimulo continenter agitatur. Quomodo, Hippocrates, ejulantem ob amorem quod fuo commodo privetur non derideam? praecipueque fi quis nullo habito periculorum delectu per praecipitia et alta maria feratur, intenfo rifu non excipiam? Non ridebo eum, qui navem multis mercibus onuftam demerfit, deinde mare incufantem,

νον τῇ θαλάττῃ ὅτι κατέβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελῆν, ἐξευρεῖν δὲ κατ᾽ αὐτέων ἤθελόν τι λυπηρόν. ἀλλ᾽ οὐδὲ ἰητρικὴν ὑπὲρ τουτέων ἐχρῆν εἶναι, μήτε τεχνώμενον παιήονα φάρμακα. ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γενέσθω, σώζων ἀνθρώπους κεραυνοῖς ηὐχαρίστηται. οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμὶ, μανίης διζήμενος αἰτίην, ζῶα κατακτείνω καὶ ἀνατέμνω. ἐχρῆν δὲ ἐξ ἀνθρώπου τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ᾽ αὐτέου πάθεα ξυνήθροικεν, ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσος ἐστὶν, τρεφόμενος ἄχρηστος ἱκέτης βοηθείης, αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης, θρασὺς, ἀκμάζων, (926) παρακμάζων, οἰκτρὸς, τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας. ἐκ μητρῴων γὰρ λύθρων ἐξέθορε τοιοῦτος, διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες, ἐν ξυμφορῇσι καὶ μάχῃσι; οἱ δ᾽ ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντὸς, οἱ δ᾽

quod eam plenam submerserit? Equidem haec minime ridicula duco, verum in eos aliquid molesti excogitare cuperem. Sed neque pro his medicinam esse oportuit, neque aliquem qui Paeonia medicamenta conficeret. Cujus rei te admonere debeat tuus ille progenitor Aesculapius, qui pro servatis hominibus gratam beneficii recordationem fulminis ictus reportavit. Non vides me quoque hujus vitii participem esse, dum in insaniae causam inquirens animantia macto ac reseco, quam in hominibus perscrutari oportuit? Nonne vides mundum ipsum inhumanitate redundare et infinitas adversus hominem affectiones cumulare? Totus homo ab ipso ortu morbus est. Dum educatur inutilis, auxilium supplex implorat, dum increscit, improbus et demens est, institutione puerili indigens, in aetatis vigore constitutus, audax, aetate marcescens miserabilis, suos labores per imprudentiam excolens. Talis enim ex materno cruore sanie permixto promicuit. Propter eaque hi quidem indignabundi et immodica ira referti in calamitatibus et pugnis, alii in adulteriis et stupris perpetuo versantur, alii in ebrietatibus, alii

Ed. Chart. I. [24.] Foës. II. 1284, 1285. Ed. Lind. II. (926.)

ἐν μέθησιν, οἱ δ᾽ ἐν ἐπιθυμίησι τῶν ἀλλοτρίων, οἱ δ᾽ ἐν ἀπολείησι τῶν σφετέρων. ὄφελον δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσεις ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ᾽ οὕτως ὁρῆν τὰ πρησσόμενα ἔνδον. εἴδωμεν ἂν οὓς μὲν ἐσθίοντας, οὓς δὲ ἐμέοντας, ἑτέρους δ᾽ αἰκίησι στρεβλέοντας, τοὺς δὲ φάρμακα κυκῶντας, τοὺς δὲ ξυννοέοντας ἐπιβουλίην, τοὺς δὲ ψηφίζοντας, ἄλλους χαίροντας, τοὺς δὲ κλαίοντας, τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας, τοὺς δὲ διὰ φιλοδοξίην ἔκφρονας. καί γε τινὲς βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κευθομένων, καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες, ἀρνεόμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι, οἱ δὲ ἀσωτίῃ βεβαρυμένοι, ῥυπῶντες, δέσμιοι, οἱ δὲ τρυφῇσι γαυριῶντες, τρέφοντες, ἄλλοι σφάζοντες, ἄλλοι θάπτοντες, ὑπορέοντες ἃ ἔχουσι, || πρὸς τὰς ἐλπιζομένας κτήσιας ὡρμημένοι, οἱ μὲν ἀναίσχυντοι, οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι, οἱ μὲν φονεῦντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανεῦντες, οἱ δὲ ἐπτοημένοι κενοδοξίῃ. καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ

in rerum alienarum cupiditatibus, alii in ſuis perdendis. Quod ſi poſſemus nullo intus relicto velamento omnium habitationes detegere, deinde ita quae intus aguntur inſpicere, hos quidem edere videremus, illos vero vomere, alios indignis verberibus torquere, alios venena miſcere, alios inſidias ſtruere, alios rationibus ſtudere, hos gaudere, illos plorare, hos amicorum accuſationem meditari, illos vero nimia ambitione deſipere. Et certe quaedam ſunt in animis altius reconditae actiones. Et in his partim quidem juvenes, partim vero ſenes, petentes, denegantes, pauperes, rebus affluentes, fame oppreſſi. Hi luxu gravati, ſordidi, vincti, illi vero deliciis geſtientes, multos alentes. Alii jugulantes, alii ſepelientes, ea quae habent pro nihilo habentes, ſperatas poſſeſſiones captantes, alii quidem impudentes, alii parci, alii inexplebiles, alii quidem interficientes, alii verberibus afflicti, alii ſuperbe ſe jactantes, alii inani gloria attoniti. Et hi quidem equis addicti ſunt, alii hominibus;

δὲ ἀνδράσιν, οἳ δὲ κυσὶν, οἳ δὲ λίθοις ἢ ξύλοις, οἳ δὲ χαλκῷ, οἳ δὲ γραφῇσι. καὶ οἳ μὲν (927) πρεσβείαις, οἳ δὲ στρατηγίαις, οἳ δὲ ἱερωσύνῃσιν, οἳ δὲ στεφανοφορέοντες, οἳ δὲ ἔνοπλοι, οἳ δ᾽ ἀποκτεινόμενοι. φέρονται δὲ τουτέων ἕκαστοι, οἳ μὲν ἐπὶ ναυμαχίην, οἳ δὲ ἐπὶ στρατείην, οἳ δὲ ὑπ᾽ ἀγροικίην, ἕτεροι δὲ ἐπὶ φορτίδας ναῦς, οἳ δὲ εἰς ἀγορὴν, ἕτεροι δ᾽ ἐπ᾽ ἐκκλησίην, οἳ δὲ ἐπὶ θέητρον, οἳ δὲ ἐς φυγὴν, ἄλλοι δὲ ἀλλαχόσε. καὶ οἳ μὲν ἐς φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην, οἳ δὲ ἐς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ δυστήνους ψυχὰς ὁρεῦντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιήνδε ἀκρασίην ἔχοντα βίον αὐτέων; [25] κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν σὴν ἰητρικὴν ἁνδάνειν αὐτέοισιν, δυσαρεστέονται γὰρ ὑπ᾽ ἀκρασίης ἅπασι, καὶ μανίην τὴν σοφίην νομίζουσιν. ἤπου γὰρ ὑπονοέω ὡς σαφῶς λωβᾶσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης ἢ διὰ φθόνον ἢ δι᾽ ἀχαριστίην. οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι τὴν αἰτίην θεοῖς ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ ἰδίᾳ φύσει προσά-

alii navibus, alii lapidibus aut lignis, alii ſtatuis ex aere, alii picturis. Et alii quidem legationibus, alii rei militaris adminiſtrationibus, alii rebus ſacris. Alii coronas geſtant, alii armati ſunt, alii interficiuntur. Et horum ſinguli partim quidem in pugna navali verſantur, partim in militari officio, partim vero in agricultura. Alii vero in navibus onerariis, alii in foro, alii in concionibus, alii in theatro, alii in fuga, alii vero aliis quibusdam rebus. Et alii quidem ad voluptatis ſtudium, mollitiem et intemperantiam feruntur, alii ad otium ac deſidiam. Cum igitur tot indigenas et miſeras animas videamus, quomodo eorum vitam ejusmodi intemperantiae debitam ludibrio non habeamus? Valde quoque metuo, ne artem tuam medicam ipſi non probent. Propter intemperantiam enim implacide ſe habent ad omnia et ſapientiam inſaniam exiſtimant. Et certe ſuſpicor pleraque in arte tua aut per invidiam aut per ingratitudinem palam contumelia affici. Aegrotantes enim ſimul ac ſervati ſunt, cauſam diis vel fortunae attribuunt. Plerique vero hoc ſuae naturae aſſignantes bene meren-

ψαντες, ἐχθαίρουσι τὸν εὐεργετήσαντα, μικροῦ δεῖν προσαγανακτεῦντες, εἰ νομίζονται χρειοφειλέται, οἵ τε πολλοὶ τὸ τῆς ἀτεχνίης ἐφ᾽ ἑωυτέοις ἔχοντες, ἀΐδριες ἐόντες, καθαίρουσι τὸ κρέσσον. ἐν ἀναισθήτοις γάρ εἰσιν αἱ ψῆφοι, οὔτε δ᾽ οἱ πάσχοντες συνόμιλοι εἶναι θέλουσιν, οὔτε οἱ ὁμοτεχνεῦντες μαρτυρεῖν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος σὺ τῶν τοιουτέων λεσχημάτων, σαφέως δὲ εἰδὼς ταῦτα ἐν ἀξιοπαθείῃσι σὲ πολλάκις γενηθέντα καὶ οὐδὲ αἰ(928)τίην ἢ βασκανίην φιλοτωθάσσοντα. ἀτρεκίης γὰρ οὐδεμία οὔτε γνῶσις οὔτε μαρτυρίη. ἐπεμειδία δὲ λέγων ταῦτα, καί μοι, Δαμάγητε, θεοειδής τις κατεφαίνετο καὶ τὴν προτέρην αὐτέου μορφὴν ἐκλελησμένος, καὶ φημὶ, ὦ Δημόκριτε μεγαλόδοξε, μεγάλας γε τῶν σῶν ξενίων δωρεὰς εἰς Κῶ ἀποίσομαι, πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας, ἀπονοστέω γάρ σου κῆρυξ ἀληθείης ἀνθρωπίνης φύσιν ἐξιχνεύσαντος, καὶ νοήσαντος. θεραπείην δὲ λαβὼν τῆς ἐμῆς διανοίης, παρὰ σεῦ ἀπαλλάσσομαι τῆς ὥρης τοῦτο ἀπαιτούσης καὶ τῆς τοῦ σώματος

tem adio prosequuntur, parumque abest quin indignentur, si eis operam debeant. Multi etiam artis imperitiam praeferentes, cum sint ignorantes, quod melius est damnant. Calculorum enim suffragia stupidis attribuuntur, neque aegrotantes simul approbare volunt, neque ejusdem artis socii testimonio confirmare, cum invidia obstet. Neque tu hujusmodi contumelias non expertus es, cum probe sciam haec, quae in memorabilibus affectionibus fiunt, te per caussam aut invidiam nunquam lubenter convitiis insectatum. Veritatis enim nulla est cognitio, neque testimonii confirmatio. Quae cum diceret, subridebat mihique, Damagete, divina quadam specie prioremque formam oblitus esse videbatur. Tum ego, Democrite praestantissime, magna hospitalitatis tuae munera mecum in Co reportabo, cum multa me sapientiae tuae admonitione compleveris. Praeco enim tuarum laudum revertor, quod naturae humanae veritatem investigasti et mente complexus es. Accepta autem a te mentis curatione discedo, cum id tempus postulet, ut cor-

ἐπιμελείης, αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆς ἐν ταυτῷ γενησόμεθα. ἀνιστάμην ταῦτα εἰπὼν, καὶ ὃς ἦν ἕτοιμος ἀκολουθεῖν, προσελθόντι δέ τινι, οὐκ οἶδ᾽ ὁκόθεν, ἀπεδίδου τὰ βιβλία. κἀγὼ ξυντονώτερον ἤπειξα καὶ πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, ἄνδρες, ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνατώτατον. ταῦτ᾽ ἔχω σοι περὶ Δημοκρίτεω, Δαμάγητε, φράζειν γηθοσύνως πάνυ. ἔῤῥωσο.

(931) [Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.] Ἐπῆλθες ἡμῖν ὡς μεμηνόσιν, ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ᾽ οἷς ὁ πόνος τῆς ἀρετῆς μανίη κρίνεται. ἐτυγχάνομεν δὲ τότε περὶ κόσμου διαθέσεως καὶ πολογραφίης, ἔτι δὲ ἄστρων οὐρανίων ξυγγράφοντες. γνώσας δὲ τὴν ἐπὶ τούτοις φύσιν, ὡς εὐκαίρως κάρτα εἴη ἐπιδεδημιουργημένα καὶ ὡς τηλοῦ μανίης καὶ παραφρονήσιος καθέστηκεν, ἐμοῖο μὲν φύσιν ἐπήνεσας, || ἄφρονας δὲ

pori consulatur. Cras vero ac deinceps ad eundem locum revertemur. Quae cum dixissem surrexi, ille vero me comitari paratus erat. Cumque quidam, haud scio unde, accederet, libros tradidit. Et ego ad Abderitas, qui me speculantes expectabant, concitatiore gressu redii. Viri, inquam, Abderitae, pro vestra ad me legatione magnas habeo gratias. Democritum enim virum sapientissimum vidi, qui solus homines ad sanam mentem reducere potest. Haec habui, Damagete, quae de Democrito tibi laeto admodum animo narrarem. Vale.

[*Democritus Hippocrati S.*] Ad nos venisti, Hippocrates, ut tanquam insanis veratrum exhiberes, a stultis hominibus persuasus, quibus virtutis labor insania reputatur. Tum autem forte de orbis ornatu, polorum ac insuper de astrorum coelestium descriptione scribebamus. Cum autem horum naturam cognovisses, quam valde apte essent fabricata et quam procul ab insania ac dementia essent posita, naturam quidem meam laudasti, illos vero amentes,

Ed. Chart. I. [25.26.] Foës. II. 1286. Ed. Lind. II. (931. 932.)

καὶ ἀπηνέας καὶ μεμηνότας κείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖς διαλλάττοντα ἀνὰ τὸν ἠέρα πλάζει ἡμέας, ἃ δὴ κόσμος ξυνορᾶται καὶ ἀμείβοντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως, εἰς φῶς ἤγαγεν. μάρτυρες δὲ τουτέων βί(932)βλοι ὑπ᾽ ἐμοῖο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ, ὦ Ἱππόκρατες, μὴ τοιουτοτρόποισιν ἀνδράσιν ξυνέρχεσθαι καὶ ξυνομιλέειν, ὧν νόος ἀκρόπλοος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας ἐν ἐλλεβόρῳ, ἡ πινυτὴ μανίη ἂν ἐγεγόνει, καὶ σέο τέχνην κατεμέμψατο, ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν, μεμηνόσι δὲ κάρτα ὠφελεῖν εἴωθεν. ᾠήθην γὰρ εἰ μὴ κατειλήφεις με γρά[26]φοντα, ἀνακείμενον δὲ ἢ σχεδὸν περιπατοῦντα καὶ προσομιλέοντα ἐμαυτῷ, ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ᾽ ἐμοῖο, καὶ τοῖς προσομιλέουσι τῶν γνωρίμων, οὐ προσέχοντα, ἐφιστάντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενον ἐκπάγλως, ᾠήθης ἂν Δημόκριτον, κατά γε ὄψιος κρίσιν ἐκ

immites et insanos judicasti. Quae enim permutata per inane feruntur et simulacris nos decipiunt, quae sane mundus esse conspiciuntur et vicissitudine quadam sibi succedentia fabricata sunt, ea mens nostra, dum naturae veritatem indagatur, in lucem produxit. Harum rerum testes sunt libri a me conscripti. Minime igitur Hippocrates cum hujusmodi viris, quorum mens in summo fluctuat et inconstans est, te congredi aut conversari oportet. Nam si ab his persuasus mihi tanquam insano veratrum propinasses, prudentia in insaniam evasisset artemque tuam velut dementiae causam increpavissent. Veratrum enim sanis exhibitum, menti tenebras offundit, insanis vero multum prodesse consuevit. Existimo enim quod si non me scribentem, sed recumbentem aut forte deambulantem offendisses et mecum cogitantem, modo quidem ea, quae animo agitarem, implacide ferentem, modo etiam ridentem et me convenientibus familiaribus mentem non adhibentem, sed stupendum in modum mente et contemplatione in rem aliquam incumbentem, ex his sane, quae vidisses, Democritum in-

τῶν ὀρεομένων, μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγματι. τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον, καὶ πότερον ἄρχοιτο τὸ πάθος ἢ μεσάζοι ἢ λήγοι, καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηροῦντα ἰητρεύειν τὸ πάθος, οὐλομελίην τε τοῦ σκήνεος. ἐκ γὰρ τουτέων ἁπάντων εὐχερῶς τὴν νοῦσον εὑρήσεις, ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. ἔῤῥωσο.

(345) [Ὁ περὶ μανίης λόγος.] Μαινομένῳ δὲ, ὡς ἔφην ἐν τῷ περὶ ἱερῆς νούσου, ὑπὸ ὑγρότητος τοῦ ἐγκεφάλου, ἐν ᾧ ἐστὶ τὰ τῆς ψυχῆς ἔργα. ὅταν ὑγρότερος τῆς φύσιος ᾖ, ἀνάγκη κινεῖσθαι, κινουμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν μήτε τὴν ἀκοὴν, ἀλλὰ ἄλλοτε ἀλλοῖα ὁρᾷν τε καὶ ἀκούειν, τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὅσον δὲ ἂν ἀτρεμίσῃ ὁ ἐγκέφαλος, τοσοῦτον καὶ φρονεῖ χρόνον ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὰ τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ χολῆς, γνώσῃ δὲ ἑκάτερα ὧδε. οἱ μὲν γὰρ ὑπὸ φλέγματος μαινόμενοι ἥσυ-

ſaniae imaginem prae ſe ferre oculis tuis judicaſſes. Medicum igitur non ſolum ex aſpectu, ſed ex re ipſa affectus judicare decet et modulos ut plurimum, et num morbus incipiat aut in medio ſit aut in fine, diſcernere et conſiderata temporis et aetatis differentia ac univerſa totius corporis natura affectus curare. Ex his enim omnibus facile morbum deprehendas. Tuum autem de inſania ſcriptum ad te remiſi. Vale.

[*De inſania tractatio.*] Inſanienti ob humiditatem cerebri, in quo animi ſunt officia, cum humidius quam pro natura fuerit, moveri neceſſe eſt, velut dixi in libello de morbo ſacro. Quod cum movetur, neque viſionem neque auditionem quieſcere, verum alias varia tum videre tum audire linguamque ea, quae ſigillatim viderit et audierit, diſſerere. Eo autem tempore homo ſapit, quo cerebrum quieſcit. Cerebri vero corruptio ex pituita et bile oritur. Utrumque hoc modo dignoſces. Qui enim ex pituita inſaniunt, quieti ſunt neque clamoſi neque tumultuantes.

Ed. Chart. I. [26.] Foës. II. 1286. Ed. Lind. II. (345. 346.)

χοί τε εἰσὶ καὶ οὐ βοηταὶ οὐδὲ θορυβώδεες. οἱ δὲ ὑπὸ χολῆς, πλῆκται καὶ κακοῦργοι καὶ οὐκ ἠρεμαῖοι. ἢν μὲν ξυνεχῶς μαίνωνται, αὗται αἱ προφάσιες εἰσίν· ἢν δὲ δείματα καὶ φόβοι, ὑπὸ μεταστάσιος γίνεται τοῦ ἐγκεφάλου θερμαινομένου ὑπὸ χολῆς ὁρμώσης ἐπ' αὐτὸν κατὰ φλέβας τὰς αἱματίτιδας. ὅταν δὲ ἀπέλθῃ ἡ χολὴ πάλιν ἐς τὰς φλέβας καὶ τὸ σῶμα πέπαυται, (346) ἀνιῆται δὲ καὶ ἀσῆται καὶ ἐπιλήθεται παρὰ καιρὸν, ψυχομένου τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. ὅταν δὲ ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται ὑπὸ χολῆς κατὰ τὰς φλέβας τὰς εἰρημένας ἐπιζέσαντος τοῦ αἵματος ἐνύπνια ὁρεῦσι φοβερὰ, καὶ ὡς ἐγρηγορότος τὸ πρόσωπον φλογιᾷ, καὶ οἱ ὀφθαλμοὶ ἐρυθραίνονται, καὶ ἡ γνώμη ἐπινοεῖ τι κακὸν ἐργάζεσθαι. τοῦτο καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὅταν δὲ καὶ αἷμα σκεδασθῇ πάλιν ἐς τὰς φλέβας, πέπαυται. ἐν δὲ τῷ πέμπτῳ τῶν ἐπιδημιῶν ἱστορήσας ὡς ἐγίνετο ἀφωνίη, ἄγνοια, παραληρήσεις συχναὶ καὶ ὑποστροφαί. ἡ δὲ γλῶσσα σκληρὴ, καὶ εἰ μὴ διακλύσαιτο, λαλεῖν οὐχ οἷόν τε ἦν, καὶ σφόδρα πικρὴ, τὰ πολλὰ φλεβοτομίη ἔλυσεν, ὑδροποσίη, μελίκρητον, ἐλλεβόρων πόσιες.

Qui vero ex bile, hi verberant, malefici ſunt, neque quieſcunt. Et ſi quidem continenter inſaniant, eae cauſae ſunt. Terrores vero et metus ex transmutatione fiunt, caleſacto cerebro a bile, in ipſum per venas ſanguine plenas irruente. Ubi vero bilis rurſus in venas et corpus diſceſſit, quieſcit. Triſtatur vero et aeſtuat et plus quam commodum ſit obliviſcitur, dum cerebrum a pituita reſrigeratur et praeter naturam concreſcit. Cum vero derepente cerebrum a bile caleſactum fuerit, ſanguine in commemoratis venis ebulliente, horrenda vident inſomnia, ac velut evigilato facies incenditur, oculi rubent, mensque aliquid mali agitat. Idque etiam in ſomno contingit. Ubi vero ſanguis rurſus in venas ſparſus fuerit, quieſcit. Libro quinto de morbis vulgaribus quendam recenſui, in quo vocis defectio contingebat, ignoratio, crebra deliria et morbi reverſiones. Lingua dura erat, ac niſi collueret, loqui non poterat, et plerumque valde amara. Venae ſectio ſolutionem attulit, aquae potio, aqua

οὗτος ὀλίγον ἐπιζήσας χρόνον ἐτελεύτησεν. || ἄλλος ἦν ὃς ὅτε εἰς ποτὸν ὁρμῴη, φόβος τῆς αὐλητρίδος ἐλάμβανεν, εἰ ἀκούσειεν αὐλούσης, ἡμέρης δὲ ἀκούων οὐδὲν ἔπασχε.

[27] (933) [Ἱπποκράτης Δημοκρίτῳ εὖ πράττειν.] Ἰητρικῆς τέχνης, ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινοῦσιν, θεοῖς δὲ πολλάκις προσαρτῶσιν. ἢν δέ τι ἡ φύσις ἀντιπρήξασα ἀπολέσῃ τὸν θεραπευόμενον, ἰητροὺς καταμέμφονται παρέντες τὸ θεῖον. καὶ ἔγωγε δοκέω πλείονα μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι, καί περ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ τῆσδε εὑρετὴς Ἀσκληπιὸς, ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς διεφώνησε, καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἐπισταλεῖσα ἡμῖν ἐπιστολὴ κατεμέμφετο περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν, ὦ Δημόκριτε, ὡς μεμηνότα ἐλλεβοριῶν, οὐ καταμαντευσάμενος ὅστις ποτ᾽ εἴης. ὡς δ᾽ ἐντυχὼν ἔγνων, οὐ μὰ Δία παραφρονήσεως

mulsa et veratri potiones. Hic cum non diu supervixisset, mortuus est. Erat et alius, quem, cum ad convivium procederet, si tibicinam tibia canentem audiret, timor invadebat, interdiu vero si audiret, nihil patiebatur.

[*Hippocrates Democrito S.*] In arte medica quae recte fiunt plerumque quidem hominum vulgus non admodum laudat, saepe vero diis attribuit. At si in aliquo repugnans natura eum qui curatur interemerit, numen praetermittens, medicos incusat. Et ego sane plus reprehensionis quam honoris ex arte mihi consecutus videor. Neque enim quantumvis jam senex, ad artis medicae summam perveni, neque etiam ipsius inventor Aesculapius, sed et ipse a sese in multis dissensit, velut eorum qui scripserunt libri nobis tradiderunt. Tua sane quidem ad nos missa epistola per veratrum medicationem reprehendebat. Accitus igitur sum, Democrite, velut insanientem veratro purgaturus, cum conjicere non possem, qualis tandem esses. Postquam vero tecum versatus, non per Jovem desipientiae opus, sed omni

ἔργον, ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα σὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε φύσεως ἑρμηνευτὴν καὶ κόσμου ἔκρινα, τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ ἔχρηζον. ἐπειδὴ τοίνυν τὸ αὐτόματον ἡμέας εἰς τὸ αὐτὸ συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γραφομένων ξυνταγμάτων. ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. ἔῤῥωσο.

(610) [Ἱπποκράτης Δημοκρίτῳ περὶ ἐλλεβορισμοῦ.] Τοῖς μὴ ῥηϊδίως ἄνω καθαιρομένοις πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα, πλέονι τροφῇ καὶ ἀναπαύσει. ἐπὴν δὲ πίῃ ἐλλέβορον, πρὸς τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν μὴ πρὸς ὕπνους. δηλοῖ δὲ ἡ ναυτιλίη ὅτι κίνησις τὰ σώματα ταράσσει. ἐπὴν βούλῃ μᾶλλον ἄγειν ἐλλέβορον, κινεῖ τὰ σώματα. ἐλλέβορος ἐπικίνδυνος τοῖς σάρκας ὑγιέας ἔχουσι. ὅσοι ἐν ταῖς φαρμακοποσίαις μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται πρὶν ἢ διψήσωσι. σπασμὸς ἐξ ἐλλεβόρου θανάσιμον. ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος κακόν.

prope favore proſequendum cognovi, magnopere ingenium tuum laudavi, teque praeſtantiſſimum naturae et mundi interpretem judicavi, eos vero qui me acciverunt tanquam inſanos accuſavi, cum ipſi medicatione indigerent. Quandoquidem igitur caſu contigit ut nos una conveniremus, recte feceris ſi ad nos crebriores literas dederis, et a te conſcripta commentaria ad nos transmiſeris. Miſi autem etiam ad te de veratri uſu libellum. Vale.

[*Hippocrates de veratri purgatione.*] Qui non facile per ſuperiora purgantur, iis corpora copioſiore cibo et quiete ante potionem humectanda ſunt. Poſt veratri potionem corpora magis ad motionem quam ad ſomnos adducenda. Quo vero motio corpora turbet, id indicat navigatio. Cum voles ut veratrum magis ducat, corpora moveto, veratrum carnes ſanas habentibus periculum creat. Qui in medicamentorum potionibus non ſitiunt, purgari non deſinunt prius quam ſitiant. Ex veratro orta convulſio lethalis. Immodicae purgationi ſuccedens convulſio

ἐν ταῖς ταραχαῖς τῆς κοιλίης καὶ τοῖσι ἐμέτοις τοῖς αὐτομάτοις γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· εἰ δὲ μὴ, τοὐναντίον. ὡς δὲ ἔφην ἐν τῷ προγνωστικῷ, κάθαρσις εὐθετεῖ ἡ ἄνω ἐπ᾽ ἀπυρέτῳ. ἀσιτίη ἢ καρδιωγμὸς ἢ σκοτόδεινος ἢ στόμα ἐπιπικρούμενον καθόλου ταῖς ὑπὲρ τῶν φρενῶν ὀδύναις, ἡ δὲ κάτω, ὅπου χωρὶς πυρετοῦ στρόφος ὀσφύος, ὀδύνη, γουνάτων βάρος, καταμήνια δυσεργοῦντα, ὀδύναι ἐν τοῖς ὑπὸ τὸ διάφραγμα. φυλάσσεσθαι δὲ ἐν ταῖς φαρμακοποσίαις τοὺς ἀστείους τὰ σώματα, μάλιστα δὲ τοὺς μέλανας καὶ ὑγρο-(611)σάρκους, καὶ τοὺς ὑποξήρους δὲ καὶ ψελλοὺς καὶ τραυλούς. ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νούσου, ὡς ἔφην ἐν τῷ περὶ πτισάνης, εὐθέως ἐπιχειροῦσιν λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ὠφελέουσιν. [28] οὐδὲ γὰρ διαδίδωσιν ὠμὸν ἐὸν τὸ πάθος, τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ ξυντήκουσι. ἀσθενέος δὲ τοῦ σώματος γινομένου τὸ νόσημα ἐπικρατεῖ καὶ ἀνιή-

aut ſingultus malo eſt. In alvi perturbationibus et vomitionibus ſponte obortis, ſi qualia purgari convenit purgentur, tum conducit tum facile ferunt, alioqui contra accidit. At velut in praenotionibus dictum eſt, per ſuperiora purgatio accommoda eſt ei, qui ſine febre cibi faſtidio aut ventriculi morſu aut tenebricoſa vertigine torquetur, aut cui os amarum eſt et in ſumma omnibus ſupra ſeptum transverſum doloribus. Per inferiora vero, ubi citra febrem tormina detinent, lumborum dolor, genuum gravitas, menſes aegre prodeunt et dolores ſunt in partibus ſepto transverſo inferioribus. In medicamentorum autem potionibus vitandi ſunt qui corpore probe valent, praecipue vero nigri et humida carne praediti, ſubſicci, balbi et blaeſi. At qui per morbi initia inflammationes confeſtim per medicamenti potionem ſolvere nituntur, ii de diſtento quidem ac inflammato nihil auferunt, velut a me dictum eſt in libro de ptiſana. Crudus enim affectus nihil cedit, quae vero morbo reſiſtunt et ſana ſunt, tabeſaciunt, imbecillo autem reddito corpore morbus ſuperior evadit, et curari nequeunt. Ve-

τως ἔχουσι. ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα, μὴ διδόναι δὲ ἐπὶ ἐμπύων, || μὴ φαρμακεύειν τοὺς ἀχρόους, τοὺς βραγχώδεας, τοὺς σπληνώδεας, τοὺς ἀφαίμους, τοὺς πνευματώδεας καὶ ξηρὰ βήσσοντας, διψώδεας, φυσώδεας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰς καὶ μετάφρενα, τοὺς ἀποναρκωμένους καὶ ἀμαυρὰ βλέποντας καὶ οἷς ἦχοι τῶν ὤτων καὶ τῆς οὐρήθρας ἀκρατεῖς. μηδὲ τοὺς ἰκτερώδεας ἢ κοιλίης ἀσθενέας, ἢ αἱμοῤῥώδεας, ἢ ἐν φύμασιν. ἢν δὲ φαρμακεῦσαι δοκεῖ, ἐλλεβόρῳ ἀσφαλὴς ἄνω κάθαιρε, κάτω δὲ μή. κράτιστον δὲ τούτοις διαιτῶν. ὡς δὲ ἔφην ἐν τῷ προῤῥητικῷ, μὴ φαρμακεύειν μηδὲ τοὺς ἐμανεμοῦντας μέλανα, ἀποσίτους καὶ παραφόρους, καθεύδειν μικρὰ ὀδυνώδεας. ὄμμα θρασὺ κεκλιμένον ἔχοντας, ἀποιδοῦντας, σκοτώ-(612)δεας, ἀχρόους μηδὲ τοὺς ἐν πυρετῷ καυματώδεας κατακεκλασμένους. ὡς δὲ ἔφην περὶ πτισάνης, σησαμοειδὲς ἄνω καθαίρει. ἡ πόσις ἥμισυ δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένῳ. ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πό-

ratrum autem exhibendum quibus de capite fluxio fertur, at ſuppuratis minime dandum. Medicamento minime purgandi decolores, raucedinoſi, lienoſi, ſanguine defecti, ſuſpirioſi et ſicca tuſſi vexati, ſiticuloſi, ſtatulenti, quique praecordia diſtenta habent et latera et dorſum, qui ſtupore affecti hebetius cernunt, quibus aures ſonant, quique urinam minime continent, neque qui morbo regio laborant et alvo ſunt debili, quibus ſanguis erumpit aut qui tubercula habent. Quod ſi medicamento purgandum videatur, veratro per ſuperiora ſecure purgato, at per inſeriora minime. His autem praeſtat victus rationem praeſcribere. Neque vero, quemadmodum in praedictis dixi, medicamento purgandi ſunt, qui nigra vomitione refundunt, cibos averſantur, delirant, quique dolore vexati parum dormiunt, qui aſpectum ferocem oblique deflexum habent, ſubtumidi ſunt, tenebricoſa vertigine vexantur, decolores, neque qui in febre aeſtuant et conſracti ſunt. Seſamoides vero, velut dixi libro de ptiſana, per ſuperiora purgat, potum ad drachmam dimidiam et in aceto mulſo tritum. Admiſcetur etiam veratris

σιος καὶ ἧσσον πνίγει. καθαίρει δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις καὶ τοὺς ἐν λιπυριώδει πυρετῷ χρονίους, καὶ ὧν οὐκ ἔστι δίψος μηδὲ ἀπόκρισις. τούτους δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων, ποτὲ δὲ καὶ πλευριτικοὺς καὶ εἰλεώδεις. ὡς δὲ ἔφην ἐν τῷ περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ μῆτραι καθάρσεος δέωνται.

(914) [*Ἱπποκράτους πρὸς τὸν υἱὸν Θεσσαλόν.*] Ἱστορίης δὲ μελέτω σοι, ὦ παῖ, γεωμετρικῆς, καὶ ἀριθμήσιος. οὐ γὰρ μόνον σέο καὶ τὸν βίον εὐκλέα καὶ ἐπὶ πολλὰ χρήσιμον ἐς ἀνθρωπίνην μοίρην ἐπιτελέσει, ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην τε καὶ τηλαυγεστέρην κατὰ τὸ ἐν ἰητρικῇ ὀνῆσθαι πᾶν ὅ τι χρήζει. καίτοι ἡ μὲν τῆς γεωμετρίης ἱστορίη ἐοῦσα πολύσχημός τε καὶ πολυειδής, καὶ πᾶν μετ᾽ ἀποδείξεως περαινομένη ἔσται χρησίμη πρός τε τὰς τῶν ὀστέων θέσεις καὶ ἐξαρθρήσεις, καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. εἰς τὴν γὰρ τούτων πολυτροπίην εὐεπιγνωστότερον. ἐμβολῇ τε ἄρθρων καὶ τῇ τῶν ὀστέων τῶν συντριβομένων ἀναπρίσει τε καὶ ἐκ-

tertia potionis parte, et minus ſtangulat. Diuturnas etiam quartanas purgat, et longa febre lipyria laborantes et eos quibus neque ſitis neque excretio adeſt, neque tamen ante tres hebdomadas. Interdum etiam morbo laterali et volvulo laborantes. Quin etiam purgandum eſt, ſi uteri purgatione opus habeant, velut dixi libro de morbis mulierum.

[*Hippocrates ad Theſſalum filium.*] Geometriae et arithmetices cognitioni ſtudium adhibeto, mi fili. Neque enim ſolum vitam tuam glorioſam et ad multa in rebus humanis utilem, verum etiam mentem acutiorem et longe ſplendidiorem ad fructum eorum omnium, quae in arte medica uſui ſunt, conſequendum reddet. Quanquam quidem geometriae cognitio, cum multas et varias formas habeat, et omnia cum demonſtratione ad exitum perducat, tum ad oſſium poſitus et articulos ſuis ſedibus emotos, tum etiam ad reliquam membrorum compoſitionem utilis futura eſt. Nam ad horum affectuum variam cognitionem facilius perveniet, tum etiam articulorum repoſitione, tum oſſium con-

Ed. Chart. I. [28. 29.] Foës. II. 1288. Ed. Lind. II. (914. I. 281.)

τρυπήσει καὶ συνθέσει καὶ ἐξαιρέσει, καὶ τῇ λοιπῇ θεραπείῃ χρῆσθαι εἰδότι ὁκοῖόν τε χωρίον ἐστι καὶ τὸ ἐκ τούτου ἐξορευόμενον ὀστέον. ἡ δὲ τῆς ἀριθμήσιος τάξις πρός τε τὰς περιόδους καὶ ἀλόγους τῶν πυρετῶν μεταστάσιας καὶ τὰς κρίσιας τῶν νοσεόντων, καὶ τῆς ἐν νούσοις ἀσφαλείης ἀρκέουσα ἔσται. μάλα γὰρ σεμνὸν ὑπηρεσίαν ἔχειν ἐν ἰητρικῇ τοιήνδε, ἥτις σοι τὰ μέρεα τῆς ἐπιτάσιος καὶ τῆς ἀνέσιος ὅταν ἄνισα ὄντα τὴν μοῖραν εὔγνωστα παρέχεται χωρὶς ἀμπλακίης. διὸ δὴ κάρτα ἐς δύναμιν ἀφικνέο τῆς τοιῆσδε ἐμπειρίης. ἔῤῥωσο.

[29] (281) [Δημόκριτος Ἱπποκράτει περὶ φύσιος ἀνθρώπου.] Χρὴ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι, ὦ Ἱππόκρατες, καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. τουτέων δὲ μάλιστα τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. ἱστορίην σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφὴν καὶ ξύνοικον. σοφίη μὲν γὰρ ψυχὴν ἀναρύεται παθῶν, ἰητρικὴ δὲ νόσους σωμάτων ἀφαιρέεται. αὔξεται δὲ νόος παρεούσης ὑγείης, ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας.

tritorum refectione et perforatione et coaptatione et fubtractione, reliquaque curatione victus, qui locum et os quale fit ex eo emotum cognoverit. Numerorum vero feries, tum ad ambitus tum ad eas mutationes, quae praeter rationem in febribus fiunt, et ad judicandos aegros et ad morborum fecuritatem fatis futura eft. Praeclarem enim eft, id tibi in re medica fubminiftrari, quod intenfionis ac remiffionis partium, quae ex parte inaequales funt, facilem tibi absque errore notitiam praebeat. Quapropter ad hujus experientiae facultatem valde contendito. Vale.

[*Democritus Hippocrati de natura humana.*] Omnes artem medicam noffe convenit, o Hippocrates, cum praeclara fimul res fit et ad vitam conducibilis, tum vero vel maxime eruditionis et eloquentiae peritis. Sapientiae enim cognitionem medicinae fororem et familiarem effe duco. Sapientia fi quidem animi perturbationes exhaurit. At medicina corporum morbos pellit. Mens autem increfcit cum adeft fanitas, cujus curam habere eos qui recte fentiunt

Ed. Chart. I. [29.] Foës. II. 1288. 1289. Ed. Lind. I. (281. 282.)

ἕξεως δὲ σωματικῆς ἀλγεούσης, || οὐδὲ προθυμίην ἄγει νόος, ἐς μελέτην ἀρετῆς. νοῦσος γὰρ παρεοῦσα, δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν ἐς συμπαθείην ἄγουσα. φύσεως δὲ ἀνθρωπίνης ὑπογραφὴ θεωρίην ἔχει τοιήνδε. ὁ μὲν ἐγκέφαλος φρουρέει τὴν ἄκρην τοῦ σώματος, ἀσφάλειαν ἐμπεπιστευμένος, ὑμέσι νευρώδεσι συνεισκατοικέων, ὑπὲρ ὃν ὀστέων διπλῶν φύσιες ἀναγκαῖαι ἀρηρυῖαι, δεσπότην φύλακα διανοίης καλύπτουσιν ἐγκέφαλον. τριχῶν εὐκοσμία χρῶτα κοσμῶσαι, τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν ἐν πολυχίτωνι φωλεῦον ὑγροῦ, ἐνστασίαις ὑπὸ μετώπων κολασίῃ συνίδρυται, θεωρίης δὲ αἴτιον. ἀκριβὴς δὲ (282) κόρη φύλακα ταρσὸν εὐκαιρίης ὑπομένει. διπλοῖ δὲ ῥώθωνες ὀσφρήσιος ἐπιγνώμονες, διορίζουσιν ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἁφὴ στόματι περιπτυσσομένη, ῥημάτων αἴσθησιν ἀκριβῆ τε διάρθρωσιν παρέσχηκε κυβερνωμένη. γένειον δὲ ἀκροτελὲς καὶ χελύνειον γόμφοις συνηρμοσμένον. ἐνδοχεῖα δὲ μύθων ὦτα, δημιουργὸς ἀνέῳγεν.

praeclarum est. Ubi vero corporis habitus dolet, mens ad virtutis exercitationem nullam adhibet diligentiam. Praesens enim morbus animum vehementer hebetat, et intelligentiam in affectus cognationem secum adducit. Humanae vero naturae descriptio hanc habet speculationem. Cerebrum quidem in summa corporis parte praesidio locatum est, ad securitatem sibi concreditam, intra membranas nervosas collocatum, supra quod duplicia ossa ad necessitatem adaptata, dominum mentis custodem cerebrum coeperint. Pilorum concinna ratio cutem exornat. Oculorum vero cernendi vis intra multas tunicas insistentibus humoribus velut in cavo delitescens, sub fronte ad moderationem collocata, cernendi causa est. Pupilla sincera palpebrae extremam oram, ταρσὸν dicunt, ad opportunitatis custodiam sustinet. Nares duplices odoratus arbitrae, oculorum viciniam dirimunt. Labra vero os molli suo contactu circumplexa, verborum sensum et exactam articulationem regunt et efficiunt. Mentum autem in extremitatem desinit et testudinis in modum connexum, dentium clavis coaptatur. At aures opifex ad sermones excipiendos aperuit, in quas cum sermo subit, cer-

οἷς ἐπεὼν ὁ θυμὸς, οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωρεῦσα τὴν γεῦσιν, ὀχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ ἡρμοσμένοι ἀλλήλοις γειτνιῶσιν. ὁ μὲν γὰρ ἐς κέλευθον πνεύματος, ὁ δὲ εἰς βυθὸν κοιλίης τροφὴν προπέμπει. λάβρον ὠθεύμενος, κωνοειδὴς δὲ καρδίη βασιλὶς, ὀργῆς τιθηνὸς, πρὸς πᾶσαν ἐπιβουλὴν ἐνδέδηκε θώρακα. θαμινὰ δὲ πνευμάτων σήραγγες ἠέρι διοδύμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. τὸ δὲ χορηγὸν αἵματος καὶ μεταβάλλον εἰς τροφὴν σὺν λοβοῖς πολλάκις κοίλη περίπλοος ἔσται, ἧπαρ ἐπιθυμίης αἴτιον. χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα καὶ διαφθορὴ σώματος ἀνθρωπηίου ὑπερβλύσασα γίνεται, βλαβερῶς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος, σπλὴν ἀπέναντι εὕδει πρᾶγμα μηδὲν αἰτούμενος. μέση δὲ τουτέων χορηγεῖ πανδέκτειρα κοιλίη. κατευνάζεται διοικέουσα τὴν πέψιν. ἔνοχα δὲ κοιλίης συνθέσεως δημιουργίη συνδονεύμενα, (283) εἱλεῖται περὶ κοιλίην ἔντερα, λήψεως καὶ ἀποκρίσεως αἴτια. δίδυμοι δὲ νεφροὶ ἰσχίοισιν ἐνιδρυσμένοι καὶ ἠμφιε-

tus temeritatis miniſter evadit. Lingua loquentiae mater, animi nuncia, guſtus cuſtodiae praeſecta, tutis dentium ſepimentis munita eſt. Guttur ac gula juxta ſeſe coaptata viciniam habent. Illud enim in ſpiritus viam, haec vero in ventriculi profundum liberaliter propellendo alimentum demittit. Cor regium locum obtinens, coni formam habens, adverſus omnes inſultus thoracem induit. Crebrae autem ſpiritus cavernae, aëri perviae, ſpiritum vocis cauſam pariunt. At hepar quod ſanguinem ſuggerit et in alimentum transmutat, cum fibris plerumque vena cava alluitur, cupiditatisque cauſa eſt. Bilis pallida in hepate manens, ubi in corpore humano redundat, ipſum corrumpit, ejusque noxius et inutilis eſt incola. Splen ex adverſo jacet, nullum negotium exhibens. Horum medius ventriculus omnia ſuſcipiens chorum ducit et recumbit coctionem moderans. Inteſtina vero quae ventris compoſitione continentur, conſtituta uti cum eo agitentur, per ventrem convolvuntur, eorum quae aſſumuntur et excernuntur cauſae. At gemini

Ed. Chart. I. [29. 30.] Foës. II. 1289. Ed. Lind. I. (283.)

σμένοι δημῷ οὔρων ἐκκρίσεως οὐκ ἀλλότριοι πεφύκασι. κύριος δὲ ἁπάσης κοιλίης ὁ καλούμενος ἐπίπλους γαστέρα πᾶσαν ἐμπεριείληφε, μόνου σπληνὸς ἄτερ. ἑξῆς νευρώδης κύστις ἰσχίῳ στόμα ἐνιδρυσμένη συμπεπλεγμένων ἀγγείων οὔρων ἐκκρίσεως αἰτίη γίνεται. ἡ δὲ γειτνιῶσα ταύτῃ μήτηρ βρεφέων, ἡ δεινὸν ἄλγος τῶν ἐν γυναικὶ μόχθων μυρίων παραιτίη, μήτηρ πεφώλευκεν. ἡ πυλωρὸς [30] μυχοῖς ἰσχίων βράσασα σὰρξ σφίγγεται νεύροισιν. ἐκ δὲ πλήθους ἐκχέουσα γαστρὸς φύσιος, ἐκ τόκου προνοίης. ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς, οἰκίην νέμονται ἔκγονοι κτίσται ὄρχεις, πουλιχίτωνες ἐόντες. εὔνοον ἥβη ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, οὔρων ἔκχυσιν ποιεύμενον συνουσίας ὑπουργὸν φύσιος ὑποδεδημιούργηται. ὄρεξιν ἥβης πυκαζόμενον, σκέλη δὲ καὶ βραχίονες καὶ τὰ προσηρτημένα τουτέοις ἄκρα, διηκονίης πᾶσαν ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων τε ἀσφαλῆ λειτουργίην τελέουσιν. ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις ἐξέτευξε

renes coxis insidentes et adipe circumdati, ab urinarum excretione non alieni natura sunt comparati. Omentum vocatum toti ventri dominatur, eumque solo liene excepto complectitur. Vesica deinceps nervosa, coxae ore per complicata vasa insidens, urinarum excretionis causa existit. Huic vicina infantium mater, gravis calamitas, sexcentarum aerumnarum mulieri auctor uterus delitescit. Cujus osculo caro praeficitur, quae ex imis coxarum recessibus erumpens, nervis adstringitur, ex plenitudine naturae ventris effundens, ex partus providentia. Extra corpus pensiles, domum incolunt, ad generationem conditi testes, multiplices tunicas habentes. Pubes autem ex venis et nervis ad benevolentiam contexta, urinarum effusionem facit, ad veneris ministerium a natura condita pubertatis appetentiam coarctat. Crura et brachia hisque annexa extrema, totum officii principium coacervatum habent, totamque nervorum administrationem perficiunt. Incorporea autem in imis recessibus

Ed. Chart. I. [30.] Foës. II. 1289. 1290. Ed. Lind. I. (283. 645.)

παντάμορφα σπλάγχνων γένη, ἃ δὴ θάνατος ἐπισταθεὶς ὠκέως ἔπαυσε λειτουργίης.

|| (645) [Ἱπποκράτους ὑγιεινὸν πρὸς Δημήτριον βασιλέα.] Ἱπποκράτης Κῷος βασιλεῖ Δημητρίῳ χαίρειν. ἡμεῖς καὶ πρότερον σπουδάζοντες, ὦ βασιλεῦ, περὶ τῆς ἀνθρωπίνης φύσεως ἐν κεφαλαίῳ θεωρῆσαι τὰ μέρη, ταῦτα συγγράψαντες καθάπερ ἠξίωσας, ἀπεστείλαμεν. νῦν δὲ περὶ ὧν δεῖ μάλιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς τὰ μὲν καὶ παρὰ τῶν πρότερον παρειληφότες, τὰ δὲ καὶ νῦν αὐτοὶ προσεξευρίσκοντες, γεγράφαμέν σοι. οἷς σὺ τῶν προτέρων ἀῤῥωστημάτων σημείοις γινομένοις ἐπακολουθῶν καὶ χρώμενος πλειστάκις, ἄνουσος ἂν εἴης τὸν ἅπαντα χρόνον. ἔστι δὲ δύο γένη ἀῤῥωστιῶν ἁπάντων ζώων, ἡ μὲν κατὰ γένος, ἡ δὲ κατὰ πάθος ἀνόμοιαι. τὰς δ᾽ ἐπιθυμίας τὰς κατὰ τὴν τροφὴν ἐκ τῶν ὑπεναντίων ὄψει, ξηραινομένων τῶν κενουμένων, τὰ δὲ πλήρη, πληρούντων δὲ κενά. τὰς δὲ νούσους ἁπάσας ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας καὶ νούσους ὑπὸ νούσων γινομένας. ὑπὸ σπασμῶν πυρετὸς ἐπιγινόμενος ἵστησι τὸ

natura viſcerum omne genus fabricavit, quibus ſane mors inſiſtens ea celeriter adminiſtratione ſolvit.

[*Hippocratis ſalubre conſilium ad regem Demetrium.*] Hippocrates Cous regi Demetrio S. Nos cum antea, o rex, operam dederimus ut naturae humanae partes in ſumma conſideraremus, eas ad te conſcriptas velut juſſiſti miſimus. Nunc vero ea quibus ſummo ſtudio prudentes incumbere debent, partim quidem a majoribus excepta, partim vero etiam nunc per nos inventa ad te ſcripſimus. Quae ſi priorum morborum ſignis contingentibus aſſecutus fueris, iisque ſaepius uſus fueris, nullum per omne vitae tempus morbum experieris. Duo autem ſunt aegrotantium genera, quae univerſa animantia affligunt, unum quidem genere, alterum vero affectu inter ſe diſſimilia. At alimentorum cupiditates ex repugnantibus deprehendes, dum quae vacuantur eorum quae plena ſunt, et quae implent vacuorum indicationem faciunt. Morbos autem omnes ex ſubcontrariis conflatos deprehendes, et morbos ex morbis oriundos. Convulſioni-

νόσημα. κεφαλῆς πολλῆς δὲ περιωδυνίας αἷμα κατὰ τὰ ὦτα ῥαγὲν ἢ κατὰ τὰς ῥῖνας. σπασμοὶ πᾶσι τοῖς μελαγχολικοῖς ἐπιγιγνόμενοι παύουσι τὰς μελαγχολίας, καὶ καθόλου μέν ἐστι καὶ ῥίζα τῶν ἀνθρωπίνων νοσημάτων ἡ κεφαλὴ, καὶ τὰ ἀῤῥωστήματα (646) τὰ μέγιστα ἐκ ταύτης παραγίνεται. ἐπικειμένην γὰρ αὐτὴν τῷ σώματι, ὥσπερ σικύαν τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν περιττώματα, καὶ τοὺς λεπτομερεῖς χυμούς. δεῖ δὲ προσέχειν τὸν νοῦν, ἰδίως ζῆν αὐτὸν παρασκευάσαντα εἰς ταῦτα τὰ μέρη, ὅπως μηδεμίαν αὔξησιν λαμβάνοντα τὰ προσπίπτοντα τῶν ἀῤῥωστημάτων, διά τε τῆς ἐπιμελείας καὶ τῆς εὐταξίης τῆς παρὰ σοὶ γινομένης, καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις μήτε ταῖς τῶν διαφόρων ἐδεσμάτων μήτε τοῖς ὕπνοις τοῖς ὑπερκολαστικοῖς ἀγυμνάστου ὄντος τοῦ σώματος χρώμενος, ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι, διατηρεῖν τὸν καιρὸν ἑκάστου σώματος, ὅκως ἂν φυλαξάμενος τὸ ἀῤῥώστημα τὸ μέλλον ἐπιφέρεσθαι ταῖς θεραπηίαις αἷς ἂν ἐγὼ γράφω χρώμενος διατελῇς ἄνουσος ἐών.

bus ſuccedens febris morbum compeſcit. Capitis magnos dolores, ſanguis per aures aut nares copioſe prorumpens. Convulſiones melancholicis omnibus ſuccedentes, melancholias ſedant. Et in ſumma quidem humanorum morborum radix caput eſt, ex eoque maximae aegrotationes adveniunt. Cum enim toti corpori incumbat, eorum omnium quae ingeruntur reliquias et tenues humores non ſecus ac cucurbitulam attrahere contingit. Intendere autem animum oportet ut ipſi in has partes praeparatus peculiariter vivas, et adhibita diligentia tam bene conſtituto ordine omnia apud te fiant, ut nullum ingruentis morbi incrementum accipiat, et neque rerum venerearum neque diverſorum eduliorum intemperantia neque ſomnis maxime noxiis minime exercitato corpore utaris, ſed ſigna quae in corpore fiunt ſecutus, cujusque corporis occaſionem conſerves, ut eo qui ingruit morbo evitato, earum medelarum uſu quas praeſcribo ſine ullo morbo vitam transigas.

[2] (936) [*Δόγμα Ἀθηναίων.*] Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων. ἐπειδὴ Ἱπποκράτης Κῶος ἰατρὸς ὑπάρχων καὶ γεγονὼς ἀπὸ Ἀσκληπιοῦ, μεγάλην εὔνοιαν μετὰ σωτηρίας ἐνδέδεικται τοῖς Ἕλλησι, ὅτε καὶ λοιμοῦ ἰόντος ἀπὸ τῆς βαρβάρων ἐπὶ τὴν Ἑλλάδα, κατὰ τόπους ἀποστείλας τοὺς ἑαυτοῦ μαθητὰς παρήγγειλε τίσι χρὴ θεραπείαις χρωμένους ἀσφαλῶς διαφεύξασθαι τὸν ἐπιόντα λοιμὸν, ὅπως τε ἰητρικὴ δοθεῖσα τοῖς Ἕλλησι ἀσφαλῶς σώζει τοὺς κάμνοντας αὐτῶν. ἐξέδωκε δὲ καὶ συγγράψας ἀκριβῶς τὰ περὶ τῆς ἰητρικῆς τέχνης, πολλοὺς βουλόμενος τοὺς σώζοντας ὑπάρχειν ἰητρούς. τοῦ τε Περσῶν βασιλέως μεταπεμπομένου αὐτὸν ἐπὶ τιμαῖς ταῖς κατ᾽ αὐτὸν ἴσαις καὶ δώροις ἐφ᾽ οἷς ἂν αὐτὸς Ἱπποκράτης αἱρῆται, ὑπερεῖδε τὰς ὑποσχέσεις τοῦ βαρβάρου, ὅτι πολέμιος καὶ κοινὸς ἐχθρὸς ὑπῆρχε τοῖς Ἕλλησι. ὅπως οὖν ὁ δῆμος Ἀθηναίων φαίνηται προαιρούμενος τὰ χρήσιμα διὰ παντὸς ὑπὲρ τῶν Ἑλλήνων καὶ ἵνα χάριν ἀποδῷ πρέπουσαν Ἱπποκράτει ὑπὲρ τῶν εὐεργετημάτων, δεδόκηται τῷ δήμῳ μυῆσαι αὐτὸν τὰ μυστήρια τὰ μεγάλα δημοσίᾳ (937) καθάπερ Ἡρακλέα τὸν Διὸς || καὶ στεφανῶσαι αὐτὸν στεφάνῳ

[*Athenienſium Senatusconſultum.*] Senatus populusque Athenienſium ſic cenſuit. Quandoquidem Hippocrates Cous medicus ab Aeſculapio oriundus ſummam benevolentiam in ſervandis Graecis oſtendit, cum peſte a barbaris in Graeciam pervadente, demiſſis per loca ſuis diſcipulis medelas indicavit, quibus qui uterentur inſtantem peſtem ſecure effugere poſſent quoque modo medicina Graecis tradita, eos laborantes tuto ſervaret. Quin et exacte a ſe ſcripta de re medica in publicum emiſit, cum multos eſſe cuperet medicos, qui ſervare poſſent. Perſarum etiam rege ipſum ad honores ſuos optimatibus aequales, et munera quae ipſe Hippocrates optaret accerſente, barbari pollicitationes, quod hoſtis et communis Graecorum inimicus eſſet, comtempſit. Ut igitur conſtet populum Athenienſem, Graecis ſemper utiliter conſuluiſſe, utque dignam pro meritis Hippocrati gratiam referat, decrevit populus, ut in magnis myſteriis non ſecus ac Hercules Jovis filius publice initiaretur, et corona aurea

Ed. Chart. I. [2. 9.] Foes. II, 1291. Ed. Lind. II. (937. 935.)

χρυσῷ ἀπὸ χρυσῶν χιλίων. ἀναγορεῦσαί τε τὸν στέφανον Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ ἀγῶνι τῷ γυμνικῷ, καὶ ἐξεῖναι πᾶσι Κώων παισὶν ἐφηβεύειν ἐν Ἀθήναις καθάπερ παισὶν Ἀθηναίων, ἐπειδή περ ἡ πατρὶς αὐτῶν ἄνδρα τοιοῦτον ἐγέννησεν. εἶναι δὲ Ἱπποκράτει καὶ πολιτείαν καὶ σίτησιν ἐν Πρυτανείῳ διὰ βίου.

[9] (935) [Ἐπιβώμιος.] Ὦ πολλοὶ καὶ πολλῶν πολίων οἰκηταὶ, ἐν ἀξίῃ μεγάλῃ γεγονότες, κοινὸν οὔνομα Θεσσαλοὶ, πᾶσιν ἀνθρώποισι πικρὴ ἀνάγκη τὰ μεμοιραμένα φέρειν. καρτερεῖ γὰρ βιάζεσθαι ἃ βούληται, ᾗ καὶ νῦν ἐγὼ εἴκων ξὺν ἐμῇ γενεῇ θαλλοὺς στέψας, ἐπ' Ἀθηναίης βωμοῦ ἱκέτης ἵδρυμαι, τίς ἐὼν χρὴ λέγειν τοῖς ἀγνοέουσιν. Ἱπποκράτης, ὦ ἄνδρες, ὁ ἰητρὸς ὁμοίως οὐ διὰ σεμνῆς καὶ καλῆς αἰτίης, ἐμὲ ἑωυτὸν καὶ παῖδας ὑμῖν ξυνίστημι γινώσκεσθαι, ὦ πλῆθος. καὶ γὰρ δὴ, ὦ ἄνδρες, οἰκεῖοι ἐν οἷς ὡς εἰπεῖν ἀληθὲς πολλοῖσιν ὑμέων καὶ πολίων ὑμετέρων γινώσκομαι ὡς τύπῳ εἰπεῖν. οὔνομα δ' ἰδέης καὶ προσωτέρω κεχώρηκε. δοκέῃ δὲ

mille aureorum coronaretur, coronam ipſam Quinquatribus magnis in gymnico certamine praecone proclamante. Et omnibus Coorum liberis liceat, non ſecus ac Athenienſium, Athenis pubertatem agere, quod eorum patria ejusmodi virum procrearit. Hippocrates vero ut civitatis jure et victu in Prytaneo toto vitae tempore donetur.

[*Hippocratis oratio ad aram.*] Vos alloquor o multi et multarum urbium incolae, ſummaque dignitate conſtituti, communi nomine Theſſali. Mortales omnes durae fati neceſſitati ſunt obnoxii, quae quod velit per vim extorquere poteſt. Quam etiam ob cauſam nunc cum prole mea fronde coronatus ad Minervae aram ſupplicanti ſimilis ſedeam, quis ſim his qui me non norunt enarrare oportet. Hippocrates medicus Cous, o viri, gravi et honeſta de cauſa me ipſum et liberos veſtrae multitudini cognoſcendos trado. Vos etiam mihi ſane familiares eſtis, inter quos re vera plurimos et in veſtris urbibus, ut paucis expediam, noti ſumus. Nomen vero meum ulterius quam forma proceſſit. Id autem cauſae

τοῦτο ἐκ τέχνης ἐμῆς ὑγιείης τε καὶ ζωῆς αἴτιον ἀνθρώποισιν, οὐ μόνον τοῖσι τὴν ὑμετέρην οἰκέουσιν, ἀλλὰ καὶ πολλοῖσιν Ἑλλήνων, ἐγγὺς ὑμέων γινώσκομαι. ἤδη δὲ ὅτι ἐγὼ ὑπέμεινα τὸ τηλικοῦτον πρῆγμα, ἔργῳ πρᾶξαι ἐρέω. Ἀθηναῖοι, ὦ ἄνδρες Θεσσαλοὶ, κακῶς ἕξουσι χρεώμενοι μητρόπολιν ἡμετέρην Κῶ, ἐν δούλης μέρει διατίθεται τὰ ἐλεύθερα διὰ προγόνων κτήσιος ἰδιόκτητα ποιεύμενοι, οὔτε ξυγγενείην αἰδεσθέντες, ἥ ἐστιν αὐτέοις ἀπὸ Ἀπόλλωνός τε καὶ Ἡρακλέους, ἥτις ἐς Αἴνιόν τε καὶ Σούνιον τοὺς κείνων παῖδας ἱκνέεται, οὔθ᾽ Ἡρακλέους εὐεργεσιῶν εἵ(936)νεκεν περιήος νόον βαλόμενοι, ἃς ὁ κοινὸς ὑμῖν τε καὶ ἡμῖν ὀρθῶς ποιέων θεὸς, ἐς ἐκείνους κατέθετο. ὑμεῖς τε ἀλλὰ πρὸς Διὸς ἱκεσίου καὶ θεῶν ὁμογνίων ἐξέλθετε. ἀμύνατε, ἐλευθερώσατε τῆς ἰδίης φιλοτομίης μηδὲν ἐλλείποντες.

[3] (937) [*Πρεσβευτικὸς Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ.*] Προσήκειν ἡγέομαι, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν καθιστάμενον εἰς ὑμέας καὶ μὴ γινωσκόμενον παντὶ τῷ πλήθει, πρῶτον δηλῶσαι μὲν ὅστις καὶ ὅθεν ἐστὶ, μετὰ δὲ ταῦτα τῶν ἄλλων

ex arte mea, quae ſanitatem et vitam tuetur, fuiſſe videtur, quod non ſolum hominibus qui veſtram regionem incolunt, verum etiam multis Graecis vobis finitimis notus ſum. Cur autem tantum negotium peragendum ſuſceperim, jam referam. Athenienſibus male vertat, viri Theſſali, qui metropolim noſtram Co in ſervitutem redigentes, libertatem a majoribus acceptam privato ſibi jure vendicant, neque cognationem revereri, quae illis eſt cum Apolline et Hercule, et ad Aenium et Sunium eorum liberos pervenit, neque illis in mentem venit Herculis beneficiorum, quae vobis et nobis communis ille deus et benevolens in illos contulit. At vos per Jovem ſupplicum curam gerentem et per penates deos foras prodite, et veſtrae dignitatis memores in libertatem aſſerite.

[*Theſſali Hippocratis filii oratio.*] Conſentaneum eſſe arbitror, viri Athenienſes, ut is qui apud vos dicturus venit, cum multitudini notus non ſit, primum quidem quinam et unde ſit demonſtret, deinde vero reliquam orationem per-

λόγων ἅπτεσθαι. ἐμοὶ μὲν πατὴρ Ἱπποκράτης. ὃν ὑμεῖς γινώσκετε ἐν ἰητρικῇ ἡλίκην δύναμιν ἔχει. οὔνομα δὲ Θεσσαλός. γινώσκομαι δὲ κἀγὼ οὐκ ἐν δευτέροις ὑμέων, οὐδ᾽ ὀλίγοις, πατρὶς δέ μοι Κῶς. ἣν ὅπως ὑμῖν οἰκείη ἐστὶν ἐξ ἀρχαίων, ἕτεροι ἐροῦσιν οἵ τινες ἱστορίην ἐξηγήσασθαι δυνατώτεροι. ἦλθον δὲ πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, τέσσαρας ἔχων εὐεργεσίας εἰπεῖν παρ᾽ ἡμῶν εἰς ὑμᾶς γεγενημένας. τὴν μέν τινα παλαιὰν ἐπὶ τῶν προγόνων, κοινὴν ἐς ἅπαντας τοὺς Ἀμφικτύονας, ὧν ὑμέες οὐκ ἐλαχίστη μοῖρα. τὴν δὲ ἑτέρην ἔτι μείζω ταύτης καὶ διικνουμένην ἐς Ἑλλήνων τοὺς πλείστους. καὶ αὗται μὲν φανήσονται τῆς πόλιος καὶ τῶν προγόνων τῶν ἐμῶν ἐοῦσαι· ἡ δὲ τρίτη τοῦ πατρὸς (938) ἰδίη, καὶ τηλικαύτη, ὅσην εἷς ἀνὴρ οὐδεὶς ὑμῖν τε καὶ πολλοῖς Ἑλλήνων κατέθετο. ἡ δ᾽ ὑστάτη τῶν τεσσάρων κοινὴ τοῦ πατρὸς καὶ ἐμὴ, καὶ οὐκ ἔτι ἐς πλείονας, ἀλλ᾽ εἰς ὑμᾶς αὐτοὺς διικνεομένη. ἣ πρὸς μὲν τὰς προτέρας εὐεργεσίας μικρὴ ἂν φανείη, πρὸς δὲ ἑτέρων χάριτας μετρεομένη με-

ſequatur. Pater certe mihi eſt Hippocrates, quem quantam habeat in arte medica facultatem, optime noſtis, nomen vero Theſſalus, qui et inter vos non in poſtremis, nec in paucis ſum cognitus. Patria mea Cos eſt, quae qua ratione vobis ab antiquo conjuncta ſit, caeteri dicent qui in enarranda hiſtoria plus valent. Huc autem veni a patre miſſus, quatuor in vos a nobis collata beneficia commemoraturus. Unum quidem vetus quoddam, majorum noſtrorum memoria, in omnes Amphictyones commune, quorum vos non minima pars eſtis. Alterum vero hoc aliquanto majus, quod etiam ad plurimos Graecos permanavit. Et haec quidem ab urbe noſtra et majoribus noſtris profecta deprehendentur. At tertium patris eſt proprium, et tantum quantum nemo unquam hominum, tum apud vos tum apud multos Graecos poſuit. Quartum et ultimum mihi cum patre commune eſt, quod nec jam in multos, ſed in vos ipſos redundavit. Quod quanquam cum prioribus beneficiis comparatum parvum videri queat, ad aliorum tamen beneficia collatum, magnum

Ed. Chart. I. [3. 4.] Foës. II. 1291. 1292. Ed. Lind. II. (938. 939.)

γάλη. αἱ μὲν δὴ εὐεργεσίαι τοιαῦται οὕτως ἔχουσιν ἃς ἔφην εἶναι, ὡς ξυνελόντι εἰπεῖν, δεῖ δὲ μὴ μοῦνον φάναι, || ἀλλὰ καὶ ἀποδεῖξαι ὡς εἰσὶν ἀληθέες. ἀρχὴν οὖν τῷ λόγῳ τὴν ἀρχὴν τῶν ὑπουργιῶν ποιήσομαι, τὰ δὲ ἀρχαιότατα πρῶτα λέξω, ἐν οἷς [4] τάχ' ἄν με καταλάβοιτε μακρότερα καὶ μυθωδέστερα εἰπεῖν. ποθεῖ δὲ πᾶς ἀρχαῖος λέγεσθαι. ἦν γὰρ ὁ χρόνος ὅτ' ἦν Κρίσαιον ἔθνος, ἐῴκεον μὲν περὶ τὸ Πυθικὸν ἱερὸν, γῆν δ' εἶχον ἥ γε νῦν τῷ Ἀπόλλωνι καθιέρωται. καλέεται δὲ τὸ μὲν Κρίσαιον πεδίον ᾧ Λοκροὶ παροικέουσι καὶ ᾧ Μέλαινα πρόσεισι. τὸ δὲ Κίρφιον ὄρος, ᾧ Φωκέες παράκεινται. οὗτοι δὲ οἱ Κρίσαιοι γενόμενοι τότε πολλοὶ καὶ ἰσχυροὶ καὶ πλούσιοι, τουτέοις τοῖς ἀγαθοῖς ἐπὶ κακῷ ἐχρήσαντο. ἐξυβρίσαντες γὰρ πολλὰ δεινὰ καὶ παράνομα πράγματα εἰργάσαντο εἰς τὸν θεὸν ἀσεβοῦντες, Δελφοὺς καταδουλούμενοι, προσοίκους ληϊζόμενοι, γεωργοὺς συλέοντες, γυναῖκας δὲ καὶ παῖδας ἄγειν ἐόντες, καὶ εἰς τὰ σώματα ἐξυβρίζοντες. ἀνθ' ὧν Ἀμφικτύονες ὀργισθέντες καὶ στράτευμα ἐς τὴν γῆν ἐμβαλόντες αὐτέων καὶ (939) μάχῃ νικήσαντες,

est. Atque haec quidem beneficia, ut paucis comprehendam, quemadmodum dixi, ita se habent. Vera autem esse non solum dicere, sed etiam demonstrare convenit. Orationis igitur nostrae exordium ab officiis nostris sumam, ac primum antiquissima referam, in quibus longiora fortasse et fabulosiora narrare videbor. Quivis autem vetus dici desiderat. Olim enim Crisaea gens fuit, et circa Pythicum templum habitabat, terram autem quae nunc Apollini dicata est, incolebat. Crisaeus vero campus vocatur, quem Locri accolunt et in quo sunt Melaena. Cirphius autem mons, cui Phocenses adjacent. Cirsaei vero cum numerosi essent, potentes et divites, his bonis insolentius abutentes, multa gravia et injusta perpetrarunt, in deum etiam impie se gerentes, Delphos subjugantes, vicinos diripientes, colonos depraedantes, uxores et liberos adducentes et in eorum corpora flagitium committentes. Ex quibus ira commoti Amphictyones, immisso in eorum agros exercitu, iisque praelio superatis, regionem devastarunt et urbes expugnarunt.

τὴν χώρην ἐδῄουν καὶ τὰς πόλιας ἐπόρθουν, ἔνθα πολλὰ καὶ ἀνόσια ποιήσαντες σχετλίως ἀπήντησαν καὶ οὐ μείω ὧν ἔπραξαν τίνοντες. μακάριστοι δ᾽ ἦσαν αὐτέων οἱ ἐν χερσὶ τελευτήσαντες, δεύτεροι δὲ οἱ δορυάλωτοι γενόμενοι, οἵ τε ἐς ἑτέρην χώρην καὶ πόλιας ἐπεραιώσθησαν. τὰ γὰρ σφέτερα κακὰ οὐκ εἶχον ἐν ὀφθαλμοῖς. οἱ δὲ αὐτοῦ μείναντες τῶν αἰχμαλώτων ἀτυχέστατοι ἦσαν, ὅσοι οἰκίζοντο ἐν χώρῃ τῇ ἑωυτῶν ξὺν γυναιξὶ καὶ τέκνοις, ἀγρούς τε καὶ ἄστεα πυρὶ παραδιδόμενα ἐθεώρουν. ἔτι δὲ τουτέων κάκιον διῆγον οἱ ἐν τοῖς τείχεσι διαρκέοντες, ὁκότε τῶν εἰρημένων κακῶν ἃ μὲν ἔβλεπον, ἃ δ᾽ ἐπυνθάνοντο, πλέον ἀκούοντες τῶν ἀληθέων. οὕτω γάρ που ἔθος γίνεσθαι, καὶ δὴ κακὰς ἐλπίδας σωτηρίης εἶχον. ἦν δέ σφι πόλις ἐγγὺς τούτου τοῦ τόπου μεγίστη, ὅκου νῦν ὁ ἱππικὸς ἀγὼν τίθεται, ἧς τὰ τείχη ἐπεσκευάζοντο καὶ τοὺς ἐκ τῶν ἄλλων πόλεων διαφεύγοντας ἐδέχοντο, τὰ δὲ ἀχρεῖα ἐξέβαλον καὶ τὰ ἀναγκαῖα ἐσεκομίζοντο καὶ διενοοῦντο ὑπομένειν, ἐλπίσαντες μήτε ἐφ᾽ ὧν μάχῃ τὴν πόλιν αἱρεθῆναι, μήτε κατὰ μῆκος χρόνου. οἱ δ᾽ Ἀμφικτύονες τὰ

Ubi qui multa et nefaria perpetrarunt, in miſerabiles calamitates inciderunt, neque minores poenas quam aliis inflixerant, perſolverunt. Ex quibus feliciſſimi fuerunt, qui hoſtium manibus perierunt. Deinde qui bello capti ſunt, quique ad aliam regionem et urbes transmiſſi ſunt. Neque enim ſua mala ob oculos habuerunt. At qui captivi illic remanſerunt, infeliciſſimi fuerunt, qui ſuam regionem incolentes cum uxoribus et liberis agros et urbes igne conflagrantes aſpexerunt. His autem adhuc pejus degebant qui intra moenia perdurabant, cum commemorata mala partim quidem videbant, partim vero ſciſcitando reſciſcebant, veris majora audientes, ſic enim contingere ſolet, et ſane ſuae ſaluti diffidebant. Erat autem illis urbs prope hunc locum maxima, ubi nunc equeſtre certamen celebratur, in quam moenibus extructis aliarum urbium exules receperunt, inutilibus vero ejectis neceſſaria comportarunt et de ſuſtinendo bello cogitabant, ſperantes neque hoſtili manu neque longa temporis obſidione urbem capi poſſe. Amphictyones

ἄλλα τε καθεῖλον, καὶ ἐπὶ ταύτῃ τῇ πόλει φρούριον ποιησάμενοι καὶ ἐς πολιορκίην σκευάσαντες τὸ ἄλλο στράτευμα, κατὰ πόλιας ἀφῆκαν, προϊόντος δὲ τοῦ χρόνου καὶ λιμοῦ ἐς τὸ στρατόπεδον ἐμπεσόντος καὶ τῶν στρατιωτῶν νοσεόντων, τινῶν δὲ καὶ ἀποθνησκόντων, τῶν δὲ καὶ ἐκλιπόντων (940) τὸ φρούριον διὰ τὴν νοῦσον, οἱ Ἀμφικτύονες ἐταράσσοντο, καὶ ἄλλοι ἄλλα ἐβουλεύοντο. φιλεῖ δὲ τὰ κοινὰ οὕτω πως γίνεσθαι. τέλος δὲ ἀγανακτέοντες τῷ πάθει καὶ ἀπογνωσιμαχήσαντες τῷ θεῷ ἐπέτρεψαν καὶ ἤροντο ὅ τι χρὴ ποιεῖν. ὁ δ' ἐκέλευσε πολεμεῖν καὶ ὑπισχνεῖτο κρατήσειν, ἢν ἐς Κῶ ἐλθόντες ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγάγωνται, ξὺν χρυσῷ σπεύσαντες, ὡς μὴ πρότερον οἱ Κρισαῖοι ἐν τῷ ἀδύτῳ τὸν τρίποδα συλήσωσιν, εἰ δὲ μὴ, τὴν πόλιν οὐχ ἁλώσεσθαι. οἱ δὲ ταῦτα ἀκούσαντες καὶ ἐλθόντες ἐς Κῶ, τὰ μαντευθέντα ἀπήγγειλαν. ἀπορεύντων δὲ τῶν Κώων καὶ ἀγνοεύντων τὸ ἀπομάντευμα, ἀνέστη ἀνὴρ, γένος μὲν Ἀσκληπιάδης, πρόγονος δὲ ἡμέτερος, ἰητρὸς δὲ Ἑλλήνων κράτιστος ὁμολογούμενος τῶν τότε, ὄνομά οἱ ἦν Νεβρὸς, ὅστις

vero tum reliqua destruxerunt, tum praesidio urbi imposito et ad obsidionem comparato, reliquum exercitum per urbes dimiserunt. Successu vero temporis, cum pestis castra invasisset, militibus aegrotantibus, quibusdam etiam morientibus, aliis quoque propter morbum praesidium deserentibus, Amphictyones turbati sunt et varia inter se consultabant. Sic autem in rebus communibus quodammodo fieri solet. Demum vero morbum indigne ferentes et bellum desperantes, rem deo commiserunt et quid agendum foret interrogaverunt. At ille bellum gerere jussit et victoriam pollicitus, si Co peterent, cervique filium cum auro in subsidium adducerent, idque festinabundi, prius quam Crisaei in adyto tripodem diriperent, alioqui urbem capi non posse. Quibus auditis Co profecti oraculum renunciaverunt. Haerentibus autem Cois et vaticinium ignorantibus, surrexit ex Asclepiadarum genere quidam ex majoribus nostris medicus inter Graecos ejus temporis procul omni dubio praestantis-

ὀνομάζειν ἔφη τὸ θέσφατον ἥκειν πρὸς ἑωυτόν. εἴπερ ὁ θεὸς οὕτως παρῄνεσεν ὑμῖν, ἐλθόντας ἐς Κῶ || ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγαγεῖν. Κῶς μὲν γὰρ αὕτη, τὰ δὲ ἐλάφων ἔκγονα νεβροὶ καλέονται, Νεβρὸς δέ μοι οὔνομα, ἐπικουρίη δ᾽ ἂν ἄλλη τίς προτέρα γένοιτο στρατοπέδῳ νοσέοντι ἰητροῦ; καὶ μὴν τότε εὐθὺ ἐχόμενον οὐ δοκέω, ὅτι τοὺς τοσοῦτον Ἑλλήνων ὄλβῳ ὑπερέχοντας ἐς Κῶ προελθόντας ἔταξεν ὁ θεὸς, νόμισμα χρυσοῦν αἰτεῖν. ἀλλὰ τοῦτο τὸ θέσφατον ἐς τὴν ἐμὴν οἰκίην ἔρχεται· Χρυσὸς γάρ μοι κεκλέαται ἀῤῥένων παίδων ὁ νεώτατος. ἔστι δὲ πάντῃ καὶ ἰδέῃ [5] καὶ ἐς ψυ(941)χὴν ἀρετὴ, ὥσπερ θεὸς λέγει, διὰ πάντων τῶν πολιτῶν. ἐγὼ μὲν οὖν, εἰ μὴ ὑμῖν ἄλλο δοκέῃ, αὐτός τε εἶμι καὶ τὸν παῖδα ἄξω, πεντηκόντορον πληρώσας τοῖς ἐμοῖς τελίσμασιν, ὑπηρεσίας τε ἰητρικὰς καὶ πολεμικὰς, ἵνα εἰς ἀμφότερα βοηθῶμεν. ὁ μὲν εἶπε, τοῖς δὲ ἔδοξεν, οἵ δὲ ἀπεστάλησαν. συνανέβησε δὲ ὁ Νεβρὸς οὕτως, καὶ Καλυδώνιον ἄνδρα παρ᾽ ἑωυτέῳ τρεφόμενον, ὑπὲρ οὗ τὸ αὐτίκα ὁ λό-

ſimus, ei nomen erat Nebrus, qui dixit oraculum praecipere ut ad ſe venirent. Siquidem deus vobis conſuluit ut Co profecti cervi filium in ſubſidium adduceretis. Haec equidem eſt Cos, cervorum foetus Nebri appellantur, Nebrus autem mihi nomen eſt. Quodnam vero ſubſidium male habenti exercitui potius fuerit quam medicus? Et certe recte conſentaneum non exiſtimo ut eos qui in tantum Graecos divitiis ſuperant, deus Co venire juſſerit, uti aureos nummos peterent. Verum oraculum iſtud in familiam meam venit. Chryſus enim mihi vocatur filiorum meorum natu minimus. Hic autem omnino et ſpecie et animi virtute, ſi patri dicere licet, omnibus civibus praecellit. Ego igitur, niſi quid aliud vobis videatur, navi actuaria quinquaginta remorum, meis ſumptibus auxiliis medicis et bellicis inſtructa, et ipſe veniam et filium meum deducam, ut utroque modo vobis auxilium feramus. Quae cum dixiſſet, his qui miſſi fuerant placuerunt. Hic vero Nebrus Calydonium apud ſe educatum, cujus ſtatim, cum res tulerit, mentio fiet, ſe-

γος δηλώσει, ὅταν ἡ χρῆσις ἔλθῃ. ὅτε δ' οὖν ἀφίκοντο οὗτοι οἱ ἄνδρες οὗ τὸ στρατόπεδον ἐπετελεῖτο, ὁ θεὸς ἔχαιρεν, οἵ τε γὰρ θάνατοι τῶν στρατιωτῶν ἔληξαν, καὶ θείῃ τύχῃ ἵππου τοῦ Εὐρυλόχου, ὃς ἡγεῖτο τοῦ πολέμου Θεσσαλὸς ἐὼν καὶ ἄνωθεν ἐξ Ἡρακλειδῶν, κρούσαντος τὸν σωλῆνα τῇ ὁπλῇ δι' οὗ τὸ ὕδωρ ἤγετο ἐς τὸ τεῖχος, ὁκότε διακονίεσθαι ἤθελεν, Νεβρὸς φαρμάκοισιν ἐμίηνε τὸ ὕδωρ, ἔνθεν αἱ κοιλίαι τῶν Κρισαίων ἐφθάρησαν, καὶ μεγάλα δή τι ξυνεβάλετο πρὸς τὸ ἁλῶναι τὴν πόλιν, καὶ ἐντεῦθεν αἱ γνῶμαι ἐπήρθησαν τῶν πολιορκεόντων, ὡς τοῦ θεοῦ ἐπικουρέοντος ἤδη σαφῶς. προσβολὰς δὲ ποιευμένων καὶ ἆθλα προτιθέντων τοῖς πρώτοις ἐπὶ τὸ τεῖχος ἀναβήσασιν, ὁ ἀγὼν ἦν ὁ καρτερώτατος, καὶ ἡ πόλις ἡρεῖτο. ἀνέβη γὰρ πρῶτος ἐπὶ τὸ τεῖχος Χρυσὸς καὶ κατέλαβε τὸν πύργον, ξυνείπετο δὲ αὐτέῳ ἐκ ποδὸς ξυνασπίζων ὁ ἀνὴρ ὁ Καλυδώνιος, περὶ οὗ προέλεξα. ὁ μὲν Χρυσὸς δόρατι πληγεὶς ἔπεσε κατ' ἄκρα ἐκ τοῦ πύργου ὑπὸ Μερμοδέω, τοῦ (942) Λύκου δὲ ἀδελφεοῦ, ὃς ἀπέθανεν λευσθεὶς, ὅτε ἦλθεν εἰς τὸ ἄδυτον τὸν τρίποδα

cum navem conſcendere juſſit. Cum igitur ad locum caſtrorum hi perveniſſent, deus laetatus eſt: Nam et militum mortes ceſſarunt, cumque divina quadam fortuna equus Eurylochi, qui belli dux et Theſſalus erat et originem ex Heraclide altius repetebat, in pulvere volutatus, canalem ex quo aqua in urbem deducebatur, ungula percuſſiſſet, Nebrus eam venenis refecit, ex quo Criſaeorum ventres in exitium adducti ſunt, idque multum certe ad capiendam urbem contulit. Indeque velut deo aperte auxilium ferente, obſidentium animi ſublati ſunt. Cum autem impetum in muros facerent et his qui in moenia conſcendiſſent praemia proponerent, validiſſimum certamen fuit, urbsque capta eſt. Chryſus enim primus in murum conſcendit et turrim occupavit. Eum autem e veſtigio ſequebatur ſimul dimicans vir ille Calydonius, de quo ante dixi. Chryſus quidem ex ſumma turri decidit, haſta percuſſus a Mermode Lyci fratre, qui cum tripodem direpturus in adytum veniſſet, la-

συλήσων. οἱ δ' οὖν πόλιν οὕτως ἥλων, ἥ τε τοῦ Νεβροῦ ἐπικουρίη σὺν Χρυσῷ ὀρθῶς ἀπήντησεν καὶ κατὰ τὰ ἰατρικὰ καὶ κατὰ τὰ πολεμικὰ, ὅ τε θεὸς ἠλήθευσε, καὶ ἃ ὑπέσχετο ἐποίησεν. ἐφ' οἷς οἱ Ἀμφικτύονες τῷ μὲν Ἀπόλλωνι νηὸν ἀνέθεσαν, τὸν νῦν ἐόντα ἐν Δελφοῖς. ἀγῶνά τε γυμνικὸν καὶ ἱππικὸν πρότερον οὐ τιθέντες νῦν τιθέασι, τήν τε τῶν Κρισαίων χώρην ἅπασαν καθιερώσαντο, δόντι ἃ δέδωκε διδόντες καθ' ὅ τι ἔχρησε, τόν τε τοῦ Νεβροῦ παῖδα Χρυσὸν ἔθαψαν ἐν τῷ ἱπποδρόμῳ, καὶ ξυνέταξαν δημοσίῃ Δελφοὺς ἐναγίζειν. Ἀσκληπιάδαις δὲ τοῖς ἐν Κῷ ἐδόθη Νεβροῦ χάριτι προμήθεια πρὸς μαντείην, καθάπερ τοῖσιν ἱερομνήμοσι, Καλυδωνίοις δὲ ἀπ' ἐκείνου τοῦ ἀνδρὸς καὶ ἐκείνης τῆς ὑπουργίης καὶ νῦν ἐν Δελφοῖς προμαντείη καὶ διασιτίη δέδοται. ἀλλ' ἐπάνειμι ἐπὶ τὰ ἡμέτερα. ὅτι γὰρ ἀληθέα λέγω τοῦ πατρὸς καὶ ἐμεῦ ἐπελθόντων Ἀμφικτύονες ἀνενεώσαντο ταῦτα καὶ ἀπέδοσαν καὶ ἐν στήλῃ ἀναγράψαντες ἐν Δελφοῖς ἀνέθεσαν. καὶ τούτου μέν μοι τοῦ λόγου τέλος. ἐνταῦθα καθα-

pidibus obrutus periit. Sic igitur urbem ceperunt, Nebrique auxilium cum Chryſo, tum in medicis, tum in bellicis rebus bene reſpondit, deusque verax fuit et quae promiſerat praeſtitit. Quibus de cauſis Amphictyones Apollini templum, quod nunc Delphis eſt, dicarunt, certamenque gymnicum et equeſtre, quod nunquam antea, nunc conſtituerunt, totamque Criſaeorum regionem conſecrarunt, ea quae dederat ob editum oraculum reddentes, Chryſumque Nebri filium in circo equeſtri ſepelierunt et ſtatuerunt ut ei Delphi publice parentarent. Aſclepiadis vero in Co in Nebri gratiam vaticinandi prudentia conceſſa eſt, quemadmodum iis qui ſacrorum rituum memoriae praefecti ſunt. Calydoniis autem ob illius viri et officii meritum etiam nunc apud Delphos primae vaticinandi partes et victus publicus conceduntur. Verum ad noſtra redeo, quodque vera refero inde patet, quod cum pater et ego acceſſiſſemus, Amphictyones haec renovarunt et confirmarunt, Delphisque columnae inſcripta legenda propoſuerunt. Atque hujus quidem ora-

ρῶς δείκνυσιν τοὺς ἡμετέρους προγόνους ὑμέων εὐεργέτας. τοῦτον δὲ καθέμενος, ἄλλον αἱρήσομαι περὶ τῶν αὐτῶν, οὐ τὸν αὐτόν. ὅτε γὰρ βασιλεὺς ὁ μέγας ξὺν Πέρσαισι καὶ τοῖς ἄλλοις βαρβάροις ἐστράτευσεν ἐπὶ τοὺς μὴ διδόντας (943) ὕδωρ || καὶ γῆν Ἑλλήνων, ἡ πατρὶς ἡ ἡμετέρη εἵλετο μᾶλλον πανδημεὶ ἀπολέσθαι, ὡς μὴ καθ᾽ ὑμέων τε καὶ τῶν ταὐτὰ ὑμῖν γινωσκόντων ὅπλα πολέμια λάβῃ καὶ ἐν νεῦσι στρατείην ἀποστείλῃ, ἀλλ᾽ ἀνένευσε καλόν τι καὶ ἄξιον πατέρων μεγαλοφρονευμένη, οἳ λέγονται γηγενέες τε εἶναι καὶ Ἡρακλεῖδαι. ἔδοξεν οὖν σφιν τεσσάρων ἐόντων τειχέων ἐν τῇ νήσῳ, πάντ᾽ ἐκλείπειν καὶ ἐς τὰ ὄρεα καταφυγοῦσιν ἀντέχεσθαι σωτηρίης. ὅθεν δὴ τί κακὸν οὐκ ἀπήντησε χώρης ληϊλατευομένης καὶ σωμάτων ἐλευθέρων ἀνδραποδιζομένων καὶ κτεινομένων ἐχθρῷ νόμῳ, τῆς δὲ πόλιος καὶ τῶν ἄλλων ἐρυμάτων καὶ ἱερῶν καταιθαλουμένων. [6] ἔτι δὲ καὶ τῇ θυγατρὶ τοῦ Λυγδάμιος Ἀρτεμισίῃ κατὰ πατέρων νῖκος δοθέντων ἐκσαγηνεῦσαι πάντα ὅσα λοιπὰ ἦν. ἀλλὰ γὰρ ὡς ἔοικε θεοῖς οὐκ ἠμελεύμεθα, χειμώνων δὲ γενομένων ἐξαισίων,

tionis exitus liquido oſtendit majores noſtros de vobis eſſe bene meritos. Ea vero dimiſſa, aliam de iisdem, non tamen eandem aſſumam. Cum enim magnus ille rex cum Perſis et barbaris in Graecos, qui eum aqua et terra arcerent, exercitum duceret, patria noſtra maluit cum toto populo perire, ut ne in vos et eos qui vobiscum ſentirent arma ſumeret et expeditionem navalem mitteret, ſed excelſo animo renuit honeſtum quid et majoribus ſuis dignum ſentiens, qui terra editi et Heraclidae dicuntur. Ipſis igitur placuit, ut quatuor quae erant in inſula omnibus relictis urbibus, in montes confugerent et ſalutem viribus omnibus retinerent. Ex quo ſane quid non mali obtigit, regione devaſtata, liberis corporibus in ſervitutem abductis et hoſtili jure interfectis, urbeque et caeteris praeſidiis ac templis in cinerem redactis. Quin etiam Artemiſiae Lygdamis filiae pro patrum victoria permiſſum erat omnia quae reliqua erant aſportare. At enim a diis, ut res docuit, derelicti

αἵ τε νῆες τῆς Ἀρτεμισίης ἐκινδύνευσαν ἅπασαι ἀπολέσθαι, πολλαὶ δὲ ἀπώλλοντο. ἔς τε τὸ στράτευμα αὐτέης πολλοὶ κεραυνοὶ ἐνέπεσον, σπάνιόν τι τῆς νήσου κεραινουμένης. λέγεται δὲ καὶ φάσματα ἡρώων τῇ γυναικὶ ὀφθῆναι, ἃ δὴ πάντα φοβηθεῖσα, ἀπέστη ἔργων ἀνηκέστων, ὁμολογίην πικρὴν ποιησαμένη, καὶ λίην πικρὴν λέγεσθαι, ὥστε ἀφείσθω. ἀποδώσω δὲ καὶ ἐνταῦθα προγόνοις τοῖς ἐμοῖς κυριώτατα οὐ ψευδέα, τοῦ μήτ᾽ ἐφ᾽ ὑμέας μήτ᾽ ἐπὶ Λακεδαιμονίους μήθ᾽ ἑτέρους ἄλλους Ἑλλήνων Κώους ἑκούσια ὅπλα λαβεῖν, καίπερ πολλῶν τῶν ὁμοῦ νήσους τε καὶ Ἀσίην οἰκεόντων συναψαμένων τοῖς βαρ(944)βάροις τοῦ πολέμου οὐ βίῃ. οἱ γὰρ προεστῶντες τότε τῆς πόλεως ἦσαν Κάδμος τε καὶ Ἱππόλοχος, ἐπ᾽ ἀληθεῖ δὲ κεῖται προγόνους ἐμοὺς εἶναι τόν τε Κάδμον καὶ τὸν Ἱππόλοχον. ὁ μὲν γὰρ Κάδμος, ὃς καὶ τὴν βουλὴν αὐτὴν ἤρτυσεν, ἔστι τῆς ἐμῆς μητρὸς, ὁ δ᾽ Ἱππόλοχος ἐξ Ἀσκληπιαδέων τέταρτος ἀπὸ Νέβρου τοῦ Κρισαίους συγκαθελόντος, ἡμεῖς δ᾽ Ἀσκληπιάδαι κατ᾽ ἀνδρογένειαν. ὥστε καὶ τοῦτο τὸ καλὸν τῶν ἡμετέρων προγόνων προελέσθαι. ἐπά-

non ſumus. Sed immanibus exortis tempeſtatibus naves omnes in periculum adductae ſunt, pleraeque etiam perierunt et in ejus exercitum crebra fulmina deciderunt, inſula noſtra raro fulmine appetita. Feruntur etiam heroum ſpectra mulieri eſſe viſa, quibus omnibus perterrita, atrocibus coeptis poſt acerbam confeſſionem deſtitit, quae quod dictu acerba ſint, etiam a me dimittantur. Hoc vero loco majoribus etiam meis quae ſint iliis valde propria neque falſa reddam, Coos nunquam adverſus vos neque Lacedaemonios neque alios Graecos ſponte arma ſumpſiſſe, quamvis multi qui ſimul inſulas et Aſiam incolunt, bello cum barbaris nulla vi coacti conjuncti eſſent. Tunc enim urbi praeerant Cadmus et Hippolochus, qui re vera ex noſtris ſunt majoribus. Nam Cadmus, qui ſenatum etiam regebat, ex matris meae majoribus eſt; Hippolochus vero ex Aſclepiadum familia a Nebro, qui Criſaeos ſimul evertit, quartus eſt. Nos autem Aſclepiadae ex virili ſtirpe ſumus. Proinde praeclarum hoc majorum noſtrorum facinus am-

Ed. Chart. I. [6.] Foëſ. II. 1294. Ed. Lind. II. (944. 945.)

νειμι δ' ἐπὶ τὸν Κάδμον. οὗτος γὰρ δὴ ὁ ἀνὴρ οὕτως ἔσπευδε τὰ τῶν Ἑλλήνων καλὰ, ὥστε ὁκότε ἔληξεν ἡ χώρη πολιορκεομένη ὑπὸ Ἀρτεμισίης, αὐτοῦ καταλιπὼν τὴν γυναῖκα καὶ γενεὴν, ᾤχετο ξὺν τοῖς τὰ αὐτὰ αἱρεομένοις ἐπὶ Σικελίης, ὅπως Γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσει φιλίην ξυνθέσθαι κατὰ Ἑλλήνων πρὸς τοὺς βαρβάρους. διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ πρόσκαιρον. αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπουργίαι ἐς ὑμέας καὶ ἐπὶ ἄλλους Ἕλληνας, αὗται καὶ τοιαῦται. καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. ἔρχομαι δ' ἤδη οὐκ εἰδόσιν, εὐεργεσίην Ἱπποκράτους πατρὸς ἐμέο προσέχεσθαι· λέγων δ' ἂν ἀληθεύοιμι οὕτως. ὁκότε λοιμοῦ ῥέοντος διὰ τῆς βαρβάρου, ἣ ὑπέρκειται Ἰλλυρίων καὶ Παιόνων, ὁκότε δὲ ἐπὶ ταύτην τὴν χώρην ἧκεν τὸ κακὸν, οἱ τούτων τῶν ἐθνέων βασιλῆες κατὰ δόξαν ἰητρικὴν, ἣ ἀληθὴς ἐοῦσα πανταχόθεν ἴσχυεν ἔρχεσθαι καὶ κατὰ πατρὸς τοῦ ἐμέο πέμπουσιν ἐπὶ Θεσσαλίης. ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἴ(945)κησιν εἶχε, καλέοντες αὐτὸν ἐς ἐπικουρίην χρυσοῦ τε καὶ ἀρ-

plecti vos decet. Nunc autem ad Cadmum redeo. Hic certe ornamenti Graeciae adeo ſtudioſus fuit, ut cum regio Artemiſiae obſidione ſoluta eſſet, ut relicta iſthic uxore et familia, cum iis qui eadem ſentiebant, in Siciliam profectus ſit, uti Gelonem ejusque fratres ab amicitia cum barbaris contra Graecos contrahenda diverteret, multaque alia praeclara facinora perpetravit, quae verbis exaggerare tempeſtivum non eſt. Ac certe quidem haec et ejusmodi ſunt publica noſtrorum in vos et reliquos Graecos officia, ut me dicendi facultas deficiat. Jam vero eo devenio, ut Hippocratis patris mei beneficium vobis in mentem reducam; quod cum recenſeo, verum me dicere ſic comperietis. Cum peſtis ex barbarorum regione, quae ſupra Illyrios et Paeonas ſita eſt, decurreret, cumque malum ad hanc regionem perveniſſet, iſtarum nationum reges, pro rei medicae fama, quae re vera vires ſuas quocumque extenderat, ad patrem meum in Theſſaliam mittunt, qui illic ſane, ut prius, etiam nunc domum habet, ipſum ut auxilium ferret accerſentes.

γύρου καὶ ἄλλων κτεάνων οὐ μόνον ἔφασαν πέμψειν ἔχειν, ἀλλὰ καὶ ἀποίσασθαι ὁκόσα αὐτὸς ἐθέλει ἐπαμύναντα. ὁ δὲ ἐρώτησιν ποιησάμενος ὁκοῖαί τινες ἐν μέρει κινήσιες γίνονται, καὶ τά τε καύματα καὶ ἀνέμους καὶ ἀχλύας καὶ τἄλλα ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός. ὁκότε δὴ πάντων μαθήσιας ἀνείλετο, || τοὺς μὲν χωρεῖν ἐκέλευσεν ὀπίσω, ἀποφηνάμενος μὴ οἷός τε εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι. ὅκως δὲ εἶχε ταχέως, αὐτὸς μὲν Θεσσαλοῖς ἡρεῖτο παραγγέλλειν ὁκοίοις χρὴ τρόποις κακοῦ τοῦ προσιόντος εὐλαβείην ποιέεσθαι, καὶ ξυγγράφων θεραπείην ἐξετίθει περὶ τὰς πόλιας. ἐμὲ δὲ ἐπὶ Μακεδονίης ἐξαπέστειλε, βασιλεῦσι γὰρ Ἡρακλειδέων, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχεν ἡμῖν. κἀγὼ μὲν ἤειν ἵνα με ὁ πατὴρ ἐκέλευσεν, ἀπὸ Θεσσαλίας, ἀρήξων τοῖς ἐκεῖ. συνετέτακτο δέ μοι ξυμβαλεῖν ἐς πόλιν τὴν ὑμετέρην. ἀδελφεὸν δὲ τὸν ἐμὸν Δράκοντα ἐκ Παγασέων ὁρμηθέντα, πλοῦν ποιέεσθαι ἐφ᾽ Ἑλλησπόντου ἐκέλευσε, παραπλησίην δοὺς ὑποθήκην ᾗ αὐτὸς ἔπρησσεν. οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα, διὰ τὸ μὴ

Neque aurum solum et argentum reliquasque opes se missuros receperunt, verum etiam si succurreret, quaecunque vellet reportaturum. Ille vero percontatus, quaenam apud eos peculiares agitationes contingerent et aestus, ventos et aëris perturbationes, reliquaque quae corporum habitus ex praesenti statu agitare queunt. Quae certe omnia edoctus, eos redire jussit, responso dato se non posse ad illorum regionem proficisci. Quam citissime autem potuit, ipsos quidem Thessalos admonere constituit, quibusnam modis ab ingruente malo sibi caverent et conscriptam medelam per urbes proposuit. Me autem in Macedoniam misit. Cum regibus enim Heraclidarum, qui illic regnum obtinent, nobis paterni officii familiaritas intercedit. Et ego quidem ex Thessalia, quo me pater ire jussit, discessi auxilium illis laturus. Mihi vero constitutum erat, ut ad vestram urbem accederem. Draconem autem fratem meum ex Pagasis profectum, Hellespontum navigare jussit, consimili praeceptione instructum quam ipse dederat. Neque enim loca omnia eadem

πάντα τὰ περιέχοντα ἐξ ἀέρος ὅμοια εἶναι. Πολύβιον δὲ τὴν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεὴν καὶ ἄλλους [7] τῶν μαθητέων, διέπεμπεν ἐς ἑτέρας ἑτέρων καὶ πρὸς ἀγορὰς καὶ ὁδοὺς πορευσομένους, ὅπως ὅτι πλείστοις ἐπαρῆξαι, ὡς δὲ δὴ τὰ κατὰ Θεσσαλίην ἠνύσατο, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων. ἐπὶ Πύλας δὲ ἐλθὼν, Δωριεῦσι καὶ (946) τοῖς ἄλλοις ὁμοῦ Φωκέων ἐπήρκεσε, καὶ ὁκότε δὴ ἐς Δελφοὺς ἀφίκετο, ὑπὲρ Ἑλλήνων ἱκεσίην ἔθετο τῷ θεῷ, καὶ θύσας ἤνυε τὴν ἐπὶ Βοιωτῶν, τοῖς δ' ἐκεῖ ἐπαμύνας ἀναλόγως, ἐν τῇ ὑμετέρῃ ἥει, καὶ ἱκανὰ ἃ νῦν ἐγὼ ἐπαγορεύω τὰ ὑμῖν σωτήρια ἐκ θυμοῦ πάντως εἶπε. δοκέω δ' ὑμῶν ὅτι ἀληθεύω πολλοὺς γινώσκειν. οὐ γὰρ πάλαι, ἀλλ' ἔτος ἐστὶ τοῦτο ἔνατον, ἐξ οὗ διελήλυθα καὶ ἐπὶ Πελοπόννησον ἐσταλλόμην, καὶ τοῖς ἐκείνην οἰκέουσι βοηθήσων. πάντοθεν δ' ἡμῖν καὶ λόγῳ καὶ ἔργῳ ἀξίη τιμὴ ἀπήντα, ὥστε μὴ μεταμελέεσθαι ὅτι οὐκ ἠλλαξάμεθα χρηματισμοῦ τοῦ ἐξ Ἰλλυριῶν καὶ Παιόνων, παρὰ δὲ τὰς ἄλλας πόλιας τὰ παρ' ὑμέων δο-

ferunt auxilia, quod ex aëre ambiente similia non sint omnia. At Polybium, cui filiam suam sororem meam locaverat, et reliquos discipulos ad diversas urbes misit, ut ad fora et compita profecti quam plurimis subvenirent. Rebus autem in Thessalia confectis ad vicinas nationes, ut illis auxilio esset, se conferebat. In Pylas vero profectus, Doriensibus et reliquis simul Phocensibus auxilium suppeditavit. Cumque Delphos pervenisset, pro Graecis deo supplicavit et sacrificio peracto ad Boeotos se contulit, iisque simili modo suppetias ferens, ad vos profectus, plurima quae ad salutem satis essent, quaeque ego nunc adjicio, penitus ex animo dixit. Quae autem dico vera esse, multos ex vobis nosse arbitror. Neque enim ita pridem id contigit, sed nonus hic annus agitur, ex quo in Peloponnesum missus profectus sum, iis qui eam incolunt auxilium allaturus. Nobis autem undique et verbis et re dignus honor obveniebat, adeo ut minime nos poeniteat cum Illyriorum aut Paeonum lucro non commutasse. At quae a vobis sunt concessa, ad reliquas

Ed. Chart. I. [7.] Foës. II. 1295. Ed. Lind. II. (946. 947.)

θέντα μεγάλα ἦν. ἥ τε γὰρ πολιτείη ἡ ὑμετέρη ὑπερῆγε τὰς ἑτέρων. αἱ γὰρ Ἀθῆναι ὑψηλότερόν τι τῶν ἄλλων πόλεων ἐς δόξαν, καὶ ὁ ἐν τῷ ὑμετέρῳ θεάτρῳ χρύσεος στέφανος ἐπιτεθεὶς ζήλου πρὸς τὸ ἄκρον ἦγεν. ἀλλὰ καὶ τοῦτο τὸ καλὸν ὑπερβάλεσθε, μυήσαντες τὰ Δήμητρος καὶ κόρης μυστήρια καὶ ὄργια καὶ τὸν πατέρα καὶ ἐμὲ δημοσίᾳ. τρεῖς μὲν αὗται μοι οἷον ἀνύοντι ἐξέλκειν τε τοὺς λόγους καὶ σχοινίων προέχεσθαι πόλιός τε καὶ προγόνων καὶ πατρὸς τοῦ ἐμέο χάριτας ξὺν πολλοῖς Ἑλλήνων, τετάρτην δ᾽ ἀναλήψομαι λέγειν ὑπουργίην, ἣν ὡς ὑπεθέμην εἰς ὑμᾶς ἐγὼ καὶ ὁ πατὴρ ὁ ἐμὸς κατεθέμεθα. ὅτε γὰρ Ἀλκιβιάδην ἐξέπεμπεν ἐπὶ Σικελίης πολλῇ μὲν δυνάμει, οὐχ οὕτω δὲ πολλῇ ὡς θαυ(947)μαστῇ, εἰ γὰρ ὡς ἔργα λόγου, ἐν ἐκκλησίῃ ὑπὲρ ἰητροῦ προσπεσόντος ὃν δέοι ἀκολουθεῖν τῷ στρατεύματι, παρελθὼν ὁ πατὴρ ὑπέσχετο ἐμὲ ἐπὶ τὰ ὑμέτερα σώματα δώσειν, τοῖς ἰδίοις δαπανήμασι κατεσκευασμένον καὶ ἄτερ μισθῶν αἰτήσιος ἕως ἂν ὁ στόλος ἀποδημῇ, ἐν ἐλάσσονι τι-

urbes collata, magna ſunt. Veſtra enim respublica reliquis praeſtat. Athenae enim ad gloriam neſcio quid reliquis urbibus ſublimius habent. Quin etiam corona illa aurea in theatro veſtro impoſita ad ſummum gloriae culmen ipſum perduxit. Sed et bonum illud cumulaſtis, dum patrem meque publice Cereris et Proſerpinae myſteriis ac ſacris initiaſtis. Atque haec quidem tria ſunt tum urbis, tum majorum noſtrorum et patris mei in vos cum multis Graecis beneficia, quae quantum licuit verbis velut fune evoluto extenſa, vobis obtendere tentavi. Quartum vero beneficium oratione mea repetam, quod, velut propoſui, in vos ego paterque meus collocavimus. Cum enim Alcibiadem urbs in Siciliam cum multis copiis mitteret, neque tamen tam multis quam admirandis, ſiquidem facta ſpectentur, cumque in concione ſermo de medico incidiſſet, quem exercitum ſequi oporteret, in medium progreſſus pater meus, me quoad claſſis abeſſet, ſuis ſumptibus inſtructum, citra ullam mercedem ad curanda veſtra corpora daturum rece-

Ed. Chart. I. [7.] Foës. II. 1295. 1296. Ed. Lind. II. (947.)

θέμενος τὸ λυσιτελὲς ἀξιόχρεως ἐὼν τῆς ὑμῶν χρείης ἐσομένης. ἐγὼ γὰρ οὐχ ὅπως ἂν τὰ ὑπάρχοντα κατεδαπάνων, ὃ ἐποίεον ὑμῖν ὑπουργέων, ἀλλὰ καὶ ἐν ἄλλοισι μεγάλοισιν ἔργοισιν ἐτετάγμην. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι, προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείᾳ σαλεύειν καὶ κατὰ θάλασσαν καὶ κατὰ κινδύνους πολεμικοὺς, καὶ κατὰ ἀῤῥωστίας, || αἳ τοῖς ἐν πλανώδεσι βίοις εἰθισμέναι εἰσὶ μᾶλλον προσκαθίζειν ἢ τοῖς ἐν τεταγμένῃ ζωῇ. ἠπίστατο γὰρ χάριτα χάριτι μετρεῖσθαι, καὶ μὴ οἷόν πέρ τι ὠνευμένοις, ἐκ χειρὸς εἰς χεῖρας συναλλάξας ἅπαξ ἀπιέναι. ὁ μὲν δὴ τοιούτων ὑπῆρξεν. ἐγὼ δὲ ἅτε παῖς ἐὼν ἐκείνου, οὐδὲν ἐλλείπων φιλοτιμίης καὶ τέχνης βοηθέων καὶ κινδυνεύων σὺν ὑμῖν ὁκότε που καιρὸς εἴη, καὶ ἐς ταῦτά με ἀμφότερα οὔτε νοῦσος οὔτε κακοπαθείη οὔτε φόβος ἐν θαλάσσῃ καὶ ὁ ἐν χερσὶ πολεμίων εἴργει. μαρτυρίη δὲ οὐκ ἐν ἄλλοις τισὶν, ἐν δ᾽ ὑμῖν αὐτοῖς κεῖται. ὥστε εἴ τῳ ἀντιλεκτέον, ἀναστήτω μηδὲν ὀκνήσας, ἀλλ᾽ οὐ δοκέω ψεύδεσθαι. ταῦτα δὲ πρήξας ἐπὶ τρία ἔτεα, στεφανωθείς τε χρυσέῳ στε-

pit, parvi ſuam utilitatem exiſtimans, quod certo ſciret id vobis uſui fore. Ego enim non tantum dum vobis inſervio facultates meas inſumpſi, verum etiam aliis magnis operibus praefectus eram. Idque eorum quae dicturus ſum eſt minimum. Maluit enim pater in me filio et in terra aliena fluctuare et maritima ac bellica morborumque pericula experiri, quae iis qui errabundam vitam degunt magis incumbere ſolent quam iis qui certam vitae rationem ſequuntur. Noverat enim gratiam gratia remetiri et non veluti re aliqua empta et ex manu in manum ſemel tradita diſcedere. Et haec quidem praeſtitit. Ego autem cum illius ſim filius, ut vobis auxilium ferrem nihil diligentiae neque artis praetermiſi, meque ſi quando occaſio tuliſſet vobiscum periculis objeci, neque ad haec ambo praeſtanda aut morbus aut labor aut maris et hoſtilis manus metus deterruit. Cujus rei teſtimonium non ab aliis quibusdam, ſed a vobis ipſis petendum eſt. Quare ſi qui contradicere velit, confeſtim ſurgat, ſed me mentiri non exiſtimo. Haec autem per trien-

φάνῳ, καὶ ἔτι κάλλιον εὐφημεύμε(948)νος, ἐς τὴν ἰδίην ἀπῆλθον ἐπὶ γάμον, ὡς διαδόχους καταστήσαιμι καὶ τέχνης καὶ γενεῆς ἡμετέρης. ἃ μὲν δὴ παρὰ πόλιος προγόνων, πατρός τε καὶ ἐμέο ὑμῖν ὑπάρχει, ταῦτ' ἐστίν. εἴρηται δὲ καὶ ὧν ἡμεῖς παρ' ὑμέων ἐπαυράμεθα, δοκέω δὲ πολλοὺς ὑμέων θαυμάζειν, ὅτεων χάριν ταῦτα ἀναμεμέτρηται. ὡς οὖν καὶ ὑμέες εἴδητε καὶ ἐμοὶ γίνηται ἃ ἐγὼ ἐπιθυμέω, καιρὸς λέγειν. ὁ πατὴρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐγὼ αἰτεόμεθα ὑμέας. [8] οὕτω γὰρ εἰπεῖν ἐλευθέρους καὶ φίλους παρὰ φίλων τυχεῖν ἐλευθέρων, ἐκ πατρίδος τῆς ἡμετέρης ὅπλα πολέμια μὴ ἄρασθαι. εἰ δὲ δεῖ, ὥσπερ ἴσως δεῖ, τοὺς ὑπὲρ τῆς αὐτῶν προεληλυθότας καὶ δεόμεθα μὴ ἡμέας ἐόντας ἀξιωμάτων μεγάλων καὶ τοιουτέων προϋπάρξαντας, ἐν δούλων μοίρῃ τιθήσεσθαι. ἔτι δὲ, καὶ γὰρ οὕτως ἁρμόσει λέγειν, ἱκετεύομεν μὴ ποιήσεσθαι τὰ ἡμέτερα ὑμῖν αὐτοῖς δουρίκτητα, πολὺ μειόνων ἢν ἐπάνω γενήσεσθαι, ἀλλ' ὑπιδέσθαι καὶ τοῦτο ὅτι ἑτέρως ἕτερα ἡ τύχη ταχύνει, καὶ ποτὲ μικρῶν μεγάλοι προσεδεήθησαν, καὶ οἱ καρτεροὶ δι' ἀσθενέας σωτηρίης ἔτυχον.

nium praestiti, corona vero aurea donatus et longe honorificentius acceptus, domum ad nuptias redii, ut et artis et generis nostri successores relinquerem. Et haec quidem a civitate, majoribus nostris et patre, a meque in vos profecta sunt. Dictum etiam est quibus commodis affecti a vobis fuerimus. Multos autem ex vobis mirari arbitror, quorsum haec a me recenseantur. Ut igitur et vos sciatis et quae cupio mihi eveniant, dicendi tempus est. Pater meus et ego, viri Arthenienses, a vobis petimus, hac enim oratione amici et liberi a vobis amicis et liberis impetrare debemus, ue contra patriam nostram arma hostilia feratis. Quod si deceat, quemadmodum sane eos decet, qui suae salutis causa in medium prodierunt, etiam rogamus, ne nos, quos talibus ac tantis honoribus antea dignos censuistis, servorum loco habeatis. Ad haec etiam, sic enim dicere conveniet, supplicamus, ne res nostras vobis belli jure subditas possideatis, si nobis longe inferioribus superiores fueritis, sed istud consideretis, quod alia aliter fortuna cito prae-

δοκέω δὲ σύνδηλον ὡς μὴ ἐνδηλότερον εἴπω ὅτι ἐφ' ἑνὶ ἀνδρὶ οὐ πόλις, ἀλλὰ πολλὰ ἔθνεα ἤδη ποτὲ ὤφθη ὠφεληθέντα ἐν πολεμικοῖς, καὶ ἔνθα τέχνη ἰσχύει, μηδὲ ἡμέας ἀποβάλησθε. καὶ γὰρ οὐδὲ ἀπόβλητοι ἐσμὲν, ὡς ἐν ὑμῖν μαρτυρίη κεῖται, ἀλλ' ἀρχὴν μὲν οἱ θεοὶ, ἔνθεν γένος (949) εὐχόμεθ' εἶναι, Ἀσκληπιὸς καὶ Ἡρακλῆς, ἐπ' ὠφελείῃ ἀνθρώπων ἐγένοντο. καὶ τούτους δι' ἀρετῆς τῆς ἐνταῦθα ἐν θεῶν χώρῃ ἔχουσι πάντες. πόλις δὲ ἐμὴ καὶ ἐγὼ ὁ λέγων ἐς τοιούτους ἀνερχόμεθα, ὡς ἀνθρώπων λόγοι κατέχουσιν. ὅθεν δὴ καὶ ὑπὲρ Ἑλλήνων φανεύμεθα ἀμφότεροι ταύτῃ προϊστάμενοι καὶ ἐπὶ παντὶ καλλίστῳ. οὐ γὰρ μῦθος τὰ Τρωϊκὰ ἀλλ' ἔργα. ἐν οἷς ἡ Κῶς σὺν τοῖς ἑωυτοῖσιν νήσοισιν οὐ πολλοστὴ, μεγίστη δ' ἐς συμμαχίην ἐστίν. οὕτως δὲ καὶ Ἀσκληπιοῦ παῖδες οὐ τέχνῃ μόνον, ἀλλὰ καὶ ὅπλοις ἐπήρκεσαν Ἕλλησι. Μαχάων γέ τοι ψυχὴν κατέθετο ἐν τῇ Τρωάδι, ὅτε, ὡς οἱ ταῦτα γράφοντες λέγουσιν, ἐξ ἵππου ἐς πόλιν τὴν

cipitat et quandoque magni parvorum opem implorarunt, potentioresque per debiles salutem consecuti sunt. Manifestum vero arbitror, ut ne clarius quidem mihi demonstrandum sit, quod in rebus bellicis ab uno homine, nec civitas solum, verum etiam multae nationes jam aliquando utilitatem consequi visae fuerint et ubi ars valet, ne nos despiciatis. Neque enim despiciendi sumus, velut hujus rei testimonium penes vos est. At principio quidem, dii illi a quibus nos oriundos gloriamur, Aesculapius et Hercules, ad hominum utilitatem nati sunt, eosque ob virtutem qua, cum isthic agerent erant praediti, deorum loco omnes habent. Urbs autem mea et ego qui apud vos dico, velut hominum sermones continent, ab ejusmodi originem repetimus. Ex quo sane etiam pro Graecis utrosque hac in parte et in praeclarissimo quoque facinore stetisse planum erit. Neque enim res Trojanae fabulis sed factis continentur, in quibus Cos non una de multis, sed maxima in auxilio ferendo fuit. Sic vero etiam Aesculapii filii non arte solum, verum etiam armis Graecis auxilium suppeditarunt. Machaon certe animam in Troade reliquit, velut de his scribentes tradunt,

Πριάμου |εἰσῆλθε. μὴ δὴ μήτε καθότι ἔμφυλοι μήτε καθότι ἐξ ἐπαρηγόντων ἐπαρήγοντες γεγόναμεν Ἕλλησιν, ἀδικήσητε ἡμέας.§οὐ μιανέω δὲ οὐδὲ τὰ Κρισαῖα αὖθις οὔτε τὰ Περσικὰ λέγων, ὁκότε καὶ ἀκηκόατε καὶ ἐν χερσὶν μᾶλλον τῶν ἀρτίως εἰρημένων ἐστίν. ἐν θυμῷ δὲ λάβετε καὶ οὕτως εὐεργέτας μὴ ὅσιον ἀδικεῖν. || ἡμέας δὲ εὐεργέτας ὡς τὰ ἔργα φησί. τίνες φανεῖσθε εἰ πατέρων γεγονότες, οἵων οἱ μυθολόγοι εἶπον τὸ ἀδικεῖν ἀντὶ τοῦ χρηστοὶ εἶναι, αἱρεῖσθε; οὐ γὰρ ἐθέλω πικρότερον λέγειν, κεῖνοι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, Ἡρακλείδαις μὲν ἔτινον χάρι(950)τας, ἑτέροις δὲ πολλοῖς εὐεργετηθέντες ἐπήρκεσαν. ὑπολείποι δ᾽ ἄν με ἡ ἡμέρη μακρὰ λέγοντα, εἰ διεξίοιμι ὁκόσοις ὁκόσα ἀπήντηκεν ἀγαθὰ οὐδὲν ἐν χρείῃ ὑμῖν ἐγγεγονόσι. περιβλέψατε δὲ ἑωυτοὺς, καὶ μηδὲ ἐμεῦ εἰπόντος γνῶτε ὁκοῖα πρήσσεται. κακὸν ἐξουσίη, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ γὰρ ἐπίσταται τὰ ἑωυτῆς μέτρῳ ταμιεύεσθαι, ἀλλὰ δή τινας καὶ πόλιας καὶ ἔθνεα ἐλυμή-

cum ex equo Priami urbem intraret. Ne nos fane vel ex eo quod contribules fumus, vel ex eo quod inter auxiliares Graecis auxilium tulimus, inique opprimatis. Non producam longius, neque Crifaeorum res, neque Perfarum repetam, quandoquidem ea audiviftis, magisque funt in manibus quam nuper commemorata. Quin etiam fic in animo reponite, impium effe de fe bene meritos contumelia afficere. Nos autem de vobis bene meritos cum facta teftentur, quales vos effe conftabit, fi ex majoribus orti, quales fabularum fcriptoros ferunt, injuria laceffere quam benefici effe malueritis? Neque enim quicquam atrocius dicere volo. Illi enim, viri Athenienfes, Heraclidis quidem gratias retulerunt, aliis autem multis, a quibus beneficia acceperant, auxilio fubvenerunt. Dies me fane deficiat, fi longa ennarratione enumerem, quanta bona iis obvenerint, qui nulla in re de vobis funt bene meriti. In vosmetipfos intueamini, meque vel tacente cognofcite qualia perpetretis. Mala res eft potentia, viri Athenienfes, neque enim novit quae fua funt intra modum in aliud tempus afſervare, verum et ur-

ται. ἐς ἑτέρους δὲ οἷον ἐς κάτοπτρον βλέψαντες ἴδετε αὐτοὶ ἃ ποιέετε, καὶ ἐγὼ ἀληθέα λέγω. καὶ νέος δὲ νόμος ὅστις εὐτυχίῃ πεποιθὼς, μὴ καὶ ἐς τὰ δυσπετέα βλέπειν, οὐχ ὑμέτερον. πολλὰ γὰρ καὶ ὧδε δαίμονος πεπείρησθε. οὐδὲν ὑμέας ἀδικέομεν. εἰ δὲ καὶ ἀδικέομεν, μὴ ὅπλοις, ἀλλὰ λόγῳ κριθῶμεν. παραιτέομαι δὲ ὑμέας καὶ τοῦτο, μὴ ποιῆσαι χάριν ἑτέροις ὀφλῆσαι, ἐπικουρήσασιν ἡμῖν. ἐπικουρήσουσι γὰρ, ἢν ὀρθῶς ποιέωσιν, οἵ τε ἐντὸς Θεσσαλίης, Ἄργεος, Λακεδαίμονος, Μακεδονίης βασιλεῖς, εἴκου ἕτεροι Ἡρακλεῖδαι, ἢ Ἡρακλειδέων συγγενέες οἰκέουσι. κρεῖσσον ἄτερ βίης τὰ δίκαια ποιέειν ἢ βιασθέντας, οὐκ εἶπον δ᾽ ἐπανάστασιν. τοῦτο δὲ φανερὸν ποιέω, ὅτι πολλοῖσι μελόμεθα ἢ μελησόμεθα, εἰ μὴ πανταχόθεν οἴχεται τὸ χρηστοὺς ἀνθρώπους ἔτι εἶναι. ἐγὼ μὲν οὖν, μικρὴ γάρ μοι δύναμις λόγου, ἅτε πρὸς ἑτέρων ἐπιμέλειαν ἡρμοσμένῳ, ἐν(951)ταῦθα καταπαύσω. [9] ἀξιῶ δὲ πρὸς ξένους ἡμετέρους καὶ τοὺς ἡμῖν

bibus quibusdam et gentibus exitio fuit. In alios autem tanquam in ſpeculum intuentes videte quae ipſi facitis et me vera dicere intelligite. Et nova lex eſt, quae eum qui ſibi rerum proſperum ſucceſſum perſuadet, vetat etiam ad difficilia reſpicere. Non hoc eſt veſtrum. Plerumque enim ſic etiam fortunam eſtis experti. Nulla vos laeſimus injuria, quod ſi laeſimus, non armis, ſed verbis judicium experiamur. Iſtud etiam a vobis peto, ne efficiatis ut aliis qui nobis auxilium ferent hoc beneficium debeamus. Auxilium enim ferent, ſi quidem recte faciant, qui intra Theſſaliam, Argo, Lacedaemona, Macedoniam ſunt reges et ſicubi alii Heraclidae aut Heraclidis cognatione conjuncti. Praeſtat citra vim quam vi coactos jura exercere. Nihil dico de his qui nos ad defectionem ſolicitant, verum hoc vobis aperio, nos multis curae eſſe aut certe fore, niſi hominum benevolentia de medio omnino ſublata eſt. Ego igitur, cum mihi ſit exilis dicendi facultas et me ad aliarum rerum ſtudium adjunxerim, hic finem dicendi faciam. Peto autem a vobis per hoſpites noſtros et eos qui nobis conſulere con-

συμβούλους εἰθισμένους εἶναι καὶ θεῶν καὶ ἡρώων ἕνεκα καὶ χαρίτων, αἳ ἀνθρώποις παρ᾽ ἀνθρώπων γίνονται, ἔχθρας μὲν εἴργειν τὰς ἡμῶν ἐς ἡμέας, εἰς δὲ φίλα προτρέπεσθαι. εἰ γὰρ μὴ ἐν τῇ ὑμετέρῃ πόλει τουτέων ἐπιτευξόμεθα, οὐκ οἶδ᾽ ὅκου ἐλθόντες ὧν ἱμείρομεν ἐγκυρήσομεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ ΚΑΤΑ ΣΩΡΑΝΟΝ.

[1] (951) Ἱπποκράτης γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων, ἀφ᾽ οὗ μὲν εἰκοστὸς, ἀφ᾽ οὗ δὲ ἐννεακαιδέκατος. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης καὶ Φερεκύδης καὶ Ἀπολλόδωρος καὶ Ἄρειος ὁ Ταρσεύς. μαθητὴς δὲ γέγονεν Ἡρακλείδου τοῦ ἰδίου πατρὸς, εἶτα Ἡροδίκου, κατά δέ τινας καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος, φιλοσόφου δὲ Δημοκρίτου Ἀβδηρίτου. κατὰ δὲ τοὺς Πελοποννησιακοὺς ἤκμασε χρόνους γεννηθεὶς, ὥς φησιν Ἰστόμα-

ſueverunt, deorum et heroum gratia et beneficiorum quae homines inter ſe conferunt, ut depoſitis inimicitiis, quas adverſus nos geritis, vos ad amicitiam convertatis. Quae ſi in hac civitate veſtra nobis non ſucceſſerint, haud ſcio undenam quae cupimus conſequamur.

HIPPOCRATIS GENVS ET VITA EX SORANO.

Hippocrates genere quidem Cous fuit, Heraclidae et Phaenaretes filius, ab Hercule et Aeſculapio ortum ducens, ab uno quidem vigeſimus, ab altero vero decimusnonus. Ejus autem generis ſeriem commemorant Eratoſthenes et Pherecydes et Apollodorus et Arius Tarſenſis. Heraclidae vero parentis ſui diſcipulus extitit, deinde Herodici et ex quorundam opinione etiam Gorgiae Leontini oratoris et Democriti philoſophi Abderitani. Peloponneſiacis temporibus viguit, natus, ut tradit Iſtomachus in primo de Hippo-

Ed. Chart. I. [1.] Foës. II. 1297. 1298. Ed. Lind. II. (951. 952.)

γος ἐν τῷ πρώτῳ περὶ τῆς Ἱπποκράτους (952) αἱρέσεως κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς Ὀλυμπιάδος, ὡς δὲ Σωρανὸς ὁ Κῶος ἐρευνήσας τὰ ἐν Κῷ γραμματοφυλακεῖα προστίθησι, μοναρχοῦντος Ἀβριάδα, μηνὸς Ἀγριανοῦ ἕκτῃ καὶ εἰκοστῇ, παρ᾽ ὃ καὶ ἐναγίζειν ἐν αὐτῇ μέχρι νῦν Ἱπποκράτει φησὶ τοὺς Κώους. συνασκηθεὶς δὲ ἐν τῇ ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι τῶν γονέων αὐτοῦ || τελευτησάντων, μετέστη τῆς ἰδίας πατρίδος, ὡς μὲν κακοήθως Ἀνδρέας φησὶν ἐν τῷ περὶ τῆς ἰητρικῆς γενεαλογίας, διὰ τὸ ἐμπρῆσαι τὸ ἐν Κνίδῳ γραμματοφυλακεῖον· ἄλλοι δὲ φασὶν ὅτι προθέσει τοῦ τὰ κατὰ τόπους ἀποτελούμενα θεάσασθαι καὶ συγγυμνασθῆναι ποικιλώτερον. ὡς δὲ Σωρανὸς ὁ Κῶος ἱστορεῖ, ὄνειρος αὐτῷ παρέστη κελεύων τὴν Θεσσαλῶν γῆν κατοικεῖν. τὴν δὲ σύμπασαν Ἑλλάδα θεραπεύων ἐθαυμάσθη, ὥστε καὶ ὑπὸ Περδίκκα τοῦ Μακεδόνων βασιλέως φθισικοῦ νομισθέντος παρακληθέντα δημοσίᾳ πρὸς αὐτὸν ἐλθεῖν μετ᾽ Εὐρυφῶντος, ὃς καθ᾽ ἡλικίαν πρεσβύτερος ἦν αὐτοῦ, καὶ σημειώσασθαι ψυχῆς εἶναι τὸ πάθος. ἤρα γὰρ μετὰ τὸν τοῦ

ratis secta, primo octogesimae Olympiadis anno, ut vero oranus Cous literarum monimenta in Co perscrutatus addit, egnante Abriada, mensis Agriani sexto et vigesimo die, uo etiam in hunc usque diem Coos Hippocrati parentare t. Arte autem medica et vulgaribus disciplinis excultus, ita functis parentibus patria excessit, quod tabularium in nido incendisset, ut eum quidem contumeliose criminatur ndreas in suo de artis medicae origine libro. Alii vero eo proposito fecisse dicunt, ut quae in pluribus locis conciebantur spectaret, et in ea varietate se magis exerceret: vero Soranus Cous narrat, per somnum admonitus ut hessaliam incoleret. Per totam autem Graeciam medicium faciens admirationi fuit, adeo ut ad Perdiccam Maceonum regem, qui tabe laborare existimabatur, publice ocatus cum Euryphonte, qui eum aetate excedebat, pererit, et animi morbum esse indicarit. Cum enim post

Ed. Chart. I. [1. 2.] Foës. II. 1298. Ed. Lind. II. (952. 953.)

πατρὸς Ἀλεξάνδρου θάνατον Φίλας τῆς παλλακίδος αὐτοῦ, πρὸς ἣν δηλώσαντα τὸ γεγονὸς, ἐπειδὴ παρεφύλαξεν ταύτης βλεπομένης παντελῶς ἐκεῖνον τρέπεσθαι, λῦσαι μὲν τὴν νόσον, ἀνακτήσασθαι δὲ τὸν βασιλέα. παρεκλήθη δὲ ὑπὸ τῶν Ἀβδηριτῶν πρὸς αὐτοὺς ἀπελ(953)θεῖν καὶ Δημόκριτον μὲν ὡς ἐν μανίᾳ θεραπεῦσαι, ῥύσασθαι δὲ λοιμοῦ τὴν πόλιν ὅλην. ἀλλὰ καὶ εἰς τὴν Ἰλλυριῶν καὶ Παιόνων βαρβάρων γῆν λοιμοῦ κατασκήψαντος καὶ δεομένων τῶν ἐκεῖ βασιλέων πρὸς αὐτοὺς ἐλθεῖν, παρὰ τῶν πρεσβέων τίνα ἦν ἐκεῖ [2] τὰ πολλὰ τῶν πνευμάτων μαθὼν, ἐκείνους μὲν ἀπράκτους ἀπέπεμψε, συλλογισάμενος δὲ τὴν νόσον ἐπὶ τὴν Ἀττικὴν ἥξειν, προειπὼν τὸ γενησόμενον καὶ τῶν πόλεων καὶ τῶν μαθητῶν ἐπεμελήθη. τοσοῦτον δὲ φιλέλλην ὑπῆρξεν, ὥστε τῆς δόξης αὐτοῦ μέχρι Περσῶν διαπτύστου γενομένης, καὶ διὰ τοῦτο καὶ τοῦ Ἀρταξέρξου διὰ Ἱστάνιδος τοῦ Ἑλλησποντίων ὑπάρχου ἐπὶ μεγάλαις δωρεαῖς δεομένου πρὸς αὐτὸν ἐλθεῖν, διὰ τὸ σεμνὸν καὶ ἀφιλάργυρον καὶ φιλοικεῖον ἀρνή-

Alexandri patris mortem, Philam ejus pellicem amore de periret, ad eamque re delata, poſtquam ex ejus conſpect illum prorſus immutari animadvertit, propulſato quidem morbo, regem ſanitati reſtituit. Ab Abderitanis etiam vocatus eſt, ut eo ſe conferret et Democritum quidem inſani laborantem curaret, totam vero urbem peſte liberaret. Quin etiam cum in Illyrios, Paeonas et barbarorum regionem peſtis ingrueret, earum gentium regibus rogantibus ut ſeſe ad illos conferret, a legatis edoctus quinam illic venti ut plurimum perflarent, illos re infecta dimiſit. Cum vero recta conjectura indicaſſet morbum in Atticam perventurum, id quod futurum erat praevidens, tum urbium tum diſcipulorum curam ſuſcepit, in tantumque Graecos dilexit, ut cum ejus nominis gloria ad Perſas fama perveniſſet, eaque de cauſa Artaxerxes per Hiſtanidem Helleſponti praefectum cum magnis muneribus ab eo peteret, uti ad ſeſe venire id ob gravitatem, pecuniae contemptum et propinquorum

Ed. Chart. I. [2.] Foës. II. 1298. Ed. Lind. II. (953. 954.)

σασθαι, ὡς καὶ τοῦτο διὰ τῆς πρὸς αὐτὸν ἐπιστολῆς δηλοῦται. ἐῤῥύσατο δὲ τὴν ἑαυτοῦ πατρίδα πολεμεῖσθαι μέλλουσαν ὑπὸ Ἀθηναίων, Θεσσαλῶν δεηθεὶς ἐπιβοηθῆσαι. διὸ καὶ λαμπρῶν ἔτυχε τιμῶν παρὰ Κώοις, ἀλλὰ καὶ Θεσσαλοῖς καὶ Ἀργείοις καὶ Ἀθηναίοις, οἵτινες καὶ δεύτερον αὐτὸν ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς Ἐλευσινίοις ἐμύησαν καὶ πολίτην ἔγραψαν καὶ τὴν ἐν Πρυτανείῳ σίτησιν ἔδοσαν εἰς ἐκγόνους. ἀφθόνως δὲ τοὺς ἐπιτηδείους ἐδίδασκε τὴν τέχνην μετὰ τοῦ προσήκοντος ὅρκου. ἐτελεύτα δὲ παρὰ Λαρισσαίοις, ὅτε καὶ Δημόκριτος φέρεται τελευτήσας, καὶ οἱ μὲν (954) ἐνενήκοντα ἐτῶν, οἱ δὲ πε' φασὶν, ἄλλοι ρδ', τινὲς ρθ'. τέθαπται δὲ μεταξὺ Γυρτῶνος καὶ Λαρίσσης, καὶ δείκνυται ἄχρι δεῦρο τὸ μνῆμα, ἐν ᾧ μέχρι πολλοῦ σμῆνος ἦν ἐργαζόμενον μέλι, ἀφ' οὗ τὰ ἀφθῶντα παιδάρια χρίουσαι παρὰ τῷ τάφῳ ῥαδίως ἀπήλλαττον αἱ τίτθαι. ἐν δὲ ταῖς πολλαῖς εἰκόσιν ἐσκεπασμένος τὴν κεφαλὴν αὐτοῦ γράφεται, ὡς μὲν

amorem recuſarit, velut per epiſtolam ad eum ſcriptam oſtenditur. Patriam etiam a bello quod ei inferre parabant Athenienſes liberavit, Theſſalis in auxilium vocatis, ideoque ſplendidos honores apud Coos conſecutus eſt. Quin etiam a Theſſalis, Argivis et Athenienſibus honorifice acceptus eſt, qui eum ab Hercule ſecundum publice ſacris Eleuſiniis initiarunt, civitate donarunt, victumque ei publicum in Prytaneo ejusque poſteris dederunt. Candide et liberaliter ſtudioſos artem docuit, debito addito jurejurando. Obiit apud Lariſſaeos, quo tempore Democritus mortuus eſſe fertur, ut quidam tradunt, aetatis anno nonageſimo, ut alii vero octuageſimo quinto, alii centeſimo quarto, quidam etiam centeſimo nono. Inter Gyrtonem et Lariſſam ſepultus eſt. Et in hunc usque diem monumentum oſtenditur, in quo multo tempore examen fuit, quod mel conſiciebat, quo nutrices infantes ſuperficiariis oris ulceribus, aphthas dicunt, laborantes apud tumulum illinebant et facile liberabant. In multis autem ejus imaginibus capite velato pingitur, cum

Ed. Chart. I. [2.] Foes. II. 1298. 1299. Ed. Lind. II. (954. 955.)

τινες λέγουσι, ἐν πίλῳ παράσημον εὐγενείας, καθάπερ Ὀδυσσεὺς, ἄλλοι δὲ τῷ ἱματίῳ· καὶ τούτων οἱ μὲν δι' εὐπρεπείην, ἐπεὶ φαλακρὸς ἦν, οἱ δὲ διὰ τὸ ἀσθενὲς τῆς κεφαλῆς, οἱ δὲ δὴ ἔμφασιν τοῦ δεῖν τὸ τοῦ ἡγεμονικοῦ χωρίον φρουρεῖν, οἱ δὲ τοῦ φιλαποδήμου τεκμήριον, οἱ δὲ τῆς ἐν τοῖς συγγράμμασιν ἀσαφείας, οἱ δὲ πρὸς παράστασιν τοῦ δεῖν κἂν τῷ ὑγιαίνειν φυλάσσεσθαι τὰ βλάπτοντα, τινὲς δὲ ὅτι χειρίζων πρὸς τὸ τῶν χειρῶν ἀπαραπόδιστον, συμπεριλαμβάνων τὸ τοῦ ἱματίου περικεχυμένον ἐπετίθει τῇ κεφαλῇ. || περὶ δὲ τῶν συγγραμμάτων αὐτοῦ πολλὴ γέγονε διαφωνία ἄλλων ἄλλα δοξασάντων. ὅθεν οὐκ εὐμαρὲς τὸ περὶ αὐτῶν ἀποφήνασθαι, διὰ τὸ πολλὰς αἰτίας ἐπισκοτεῖν τῇ (955) κρίσει, πρῶτον τὴν ἐπωνυμίαν. δεύτερον τὸ δύνασθαι τὸν χαρακτῆρα τῆς φράσεως τηρῆσαι, τρίτον διὰ τὸ ἕνα καὶ τὸν αὐτὸν ποτὲ μὲν ῥωμαλεώτερον, ἄλλοτε ἀσθενέστερον διὰ τὴν ἡλικίαν συγγράφειν. καὶ ἄλλας δὲ μετὰ τούτων αἰτίας ἔστιν εἰπεῖν. ἀφιλάργυρος δὲ καὶ τρόποις σεμνὸς καὶ

pileo, ut quidam dicunt, velut Ulysses, quod est nobilitatis insigne, alii vero cum pallio; et ex his alii quidem id fieri propter decorum volunt, quod calvus esset, alii vero propter capitis imbecillitatem, alii autem expressa sane significatione, quod principis animae sedem probe munitam esse oporteat, alii peregrinationis amorem indicare istud dicunt, alii scriptorum obscuritatem, alii vero, ut demonstretur etiam sanitatis tempore quae nocent vitari oportere. Quidam vero, quod ne manuum administratio impediretur, comprehensam circumfluentem vestimenti laciniam in caput rejiciebat. De ipsius autem scriptis magna est dissensio, cum alii alia sentiant. Unde cum variae causae judicio tenebras offundant, de his non est facile certum quid statuere. Primum quidem agnominatio. Secundum dicendi stilum servare posse. Tertium quod unus et idem quandoque robustius, alias remissius per aetatem scribat, aliasque praeter haec causas recensere liceat. Pecunias neglexit, morum gravitate excelluit, Graecos maxime dilexit, quare etiam

Ed. Chart. I. [2.] Foës. II. 1299. Ed. Lind. II. (955. I. 607.)

φιλέλλην ὑπῆρχεν, ὅτι καὶ τοὺς ὁμοεθνεῖς ἐθεράπευσε συμπάσῃ σπουδῇ, ὡς καὶ λοιμῶν ὅλας ῥύσασθαι πόλεις καθάπερ εἴρηται. ὅθεν καὶ λαμπρῶν ἔτυχε τιμῶν οὐ παρὰ Κώοις μόνον, ἀλλὰ καὶ Ἀργείοις καὶ Ἀθηναίοις. παῖδας δὲ κατέλιπε θανὼν δύο, Θεσσαλὸν καὶ Δράκοντα, καὶ μαθητὰς παμπληθεῖς. ἐπιφανεστάτους δὲ τοὺς ἑαυτοῦ παῖδας λέγεται καταλιπών.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΑΡΜΑΚΩΝ.

Τὰ περὶ φαρμάκων πρήγματα οὐχ οἷα νομίζεταί ἐστι.

Τῷ γὰρ αὐτῷ φαρμάκῳ καθαίρονται καὶ οὐ καθαίρονται. ἔσθ᾽ ὅτε δὲ ἄλλα καθαίρει ἢ οἷα εἴωθε καθαίρειν, ἔσθ᾽ ὅτε δὲ ὑπερκαθαίρει· ἔστι δὲ ὅτε καὶ τὰ δέοντα ἐποίησεν.

Ὥστε οὐχ οἷόν τε πεποιθότα τοῖσι φαρμάκοισι εἰκῇ διδόναι.

Ὑπολαμβάνειν γὰρ χρὴ καὶ τὰ σιτία τὰ τρέφοντα ἡμᾶς φάρμακα εἶναι, ἧσσον δὲ ἐκείνων.

gentiles ſuos omni ſtudio coluit, adeo ut totas civitates, quemadmodum dictum eſt, peſtilentia liberaverit. Ex quo et praeclaros honores non apud Coos tantum, ſed et Argivos et Athenienſes adeptus eſt. Mortuus duos reliquit filios, Theſſalum et Draconem, at diſcipulorum magnum numerum. Clariſſimos autem ſuos filios reliquiſſe dicitur.

HIPPOCRATIS DE PVRGANTIBVS.

Medicamentorum purgantium res non ita ſe habet quemadmodum vulgo putatur.

Eodem enim medicamento purgantur et non purgantur. Quandoque vero alia purgat quam quae purgare ſolet, aliquando nimium purgat: aliquando ea quae debet facit.

Quare fieri non poteſt ut quis medicamentis confiſus ea temere exhibeat.

Nam et cibos nos alentes medicamenta eſſe putandum eſt, verum minus quem illa.

Οἱ γὰρ ἄνθρωποι ταῦτ᾽ ὀρθῶς μὲν σιτευόμενοι ὑγιαίνουσι, μὴ ὀρθῶς δὲ, κάμνουσιν.

Ὑπερβαλλόντως δὲ καθαίρονται μὲν ὥσπερ ἀπὸ τῶν εἰλικρινέων φαρμάκων, ἧσσον δὲ καὶ βραδύτερον τῶν εἰλικρινέων φαρμάκων.

Δῆλον οὖν ὅτι ἐστὶ καὶ ταῦτα φάρμακα.

Ὅμως δὲ ταῦτα βραδύτερα καὶ ξυνήθη ἐόντα ἡμῖν, ἑκάστην ἡμέραν ἐσιόντα ἐς τὸ σῶμα, εἰκῆ (608) καὶ ἀμελῶς διδόμενα, εἰκῆ ταράσσει τοὺς ἀνθρώπους, καὶ νοσοποιεῖ πως.

Καὶ τὰ εἰλικρινέα καὶ τὰ ὀξέα, ἢν ἀπαθῶς καὶ ἀπερισκέπτως διδῷ τις, οὐ μέλλει διαπράξεσθαί τι σύμφορον.

Χρὴ οὖν πρῶτον διδόναι τοῖσι μὲν χολώδεσιν ὅ τι χολὴν καθαίρει, τοῖσι δὲ φλεγματώδεσιν ὅ τι φλέγμα, τοῖσι δὲ ὑδρωπώδεσιν ὅ τι ὕδωρ, τοῖσι δὲ μελαγχολώδεσιν ὅ τι μέλαιναν χολήν.

Ἢν δὲ τούτων ἔξω καθαίρῃς, τὰ μὲν δέοντα οὐ καθαι-

Homines enim qui his recte in cibo utuntur ſani ſunt, qui non recte, aegrotant.

Qui vero modum excedunt purgantur quidem velut a ſinceris medicamentis, verum minus et tardius quam a ſinceris medicamentis.

Clarum igitur eſt quod et cibi medicamenta exiſtunt.

At vero hi tardiores, qui et familiares nobis ſunt, et quotidie in corpus ingrediuntur, ſi temere et negligenter exhibeantur, temere homines turbant, et quodammodo morbos inducunt.

Quin et ſinceros et acidos cibos ſi quis citra delectum et inconſiderate exhibeat, nihil commodi perficient.

Oportet igitur primum bilioſis dare quod bilem purgat, pituitoſis quod pituitam, hydropicis quod aquam, atrabiliariis quod bilem atram.

Si vero extra haec purgaveris, quae quidem purgari

ρεῖς· τὰ δὲ μὴ δέοντα κενώσεις· ὥστ' ἐς ἀμφότερα ἁμαρτάνειν.

Ὅταν οὖν μέλλεις τινὶ φάρμακον διδόναι, ἤν τε κάτω ἤν τε ἄνω, ἐπερωτᾷν αὐτὸν χρὴ, εἰ δή τι ἔπιε φάρμακον, καὶ πότερον ἡ κοιλίη ἐν τοῖσι κατωτερικοῖσι φαρμάκοισιν ὀξεῖα καὶ ὑπακούει ταχέως, ἢ σκληρή.

Καὶ ἢν φῇ ὀξεῖαν καὶ εὔλυτον εἶναι, μαλακωτέρων τε καὶ ἐλασσόνων τῶν φαρμάκων δεῖται· ἢν δὲ σκληρὴ ἔῃ, ἰσχυροτέρων.

Ὁ αὐτὸς δὲ τρόπος καὶ πρὸς τὰ ἀνωτερικά.

Ἢν δὲ μηδέποτε φῇ μήτε ἄνω μήτε κάτω κεκαθάρθαι, ἢ πεπωκέναι φάρμακον, ἐγνωκέναι χρὴ, εἰ πρὸς τὰ ἐνιόντα ὑγιαίνοντι εὔλυτος ἡ κοιλίη πρὸς τὰ κάτω, ἢ εὐήμετος πρὸς τὰ ἄνω, καὶ εἰ πρὸς πλησμονήν τινα γενόμενος ἡ διάῤῥοια ἐπεγένετο αὐτῷ.

Ταῦτα πάντα ἀνερέσθαι χρὴ, ὡς ἂν δυνηθῇς ὀρθῶς

debent, non purgabis: quae vero non debent, ea evacuabis. Quare in utramque partem peccabis.

Quum itaque pharmacum alicui dare voles, ſive deorſum ſive ſurſum purgans, interrogare ipſum oportet, an biberit medicamentum, et an alvus ex deorſum purgantibus cita fiat et celeriter obediat; ſi vero dura fuerit, fortioribus indiget.

Idem modus in ſurſum purgantibus requiritur.

At ſi nunquam neque ſurſum, neque deorſum ſe purgatum eſſe dixerit, neque medicamentum bibiſſe: cognoſcere oportet, an ad ea quae ſanus in corpus ingeſſit, alvus deorſum ſolutu facilis fuerit, aut ſurſum verſus appoſita ad vomitionem, et an ad repletionem aliquam alvi profluvium ipſi ſucceſſerit.

Haec omnia interrogare oportet, quo recte conſulere poſſis. Turpis enim eſt calamitas, medicamento purgante dato hominem occidere.

Quicunque igitur a febribus magnis corripiuntur, his

βουλεύεσθαι. αἰσχρὰ γὰρ ξυμφορὰ φάρμακον δόντα ἀνθρώπῳ ἀποκτεῖναι.

Ὁκόσοι μὲν οὖν ὑπὸ πυρετῶν ἰσχυρῶν λαμβάνονται, οὐ χρὴ (609) τούτοισι φάρμακα διδόναι καθαρτήρια, ἔστ' ἂν μεθῇ ὁ πυρετός. εἰ δὲ μὴ, μὴ ἐντὸς τεσσάρων καὶ δέκα ἡμερῶν.

Θερμαὶ γὰρ αἵ τε σάρκες ἐοῦσαι αὐτέων καὶ αἱ κοιλίαι ἀναλαμβάνουσι τὸ φάρμακον καὶ ἀποκαθαίρονται οὐδέν.

Καὶ τότε πυρετὸς γίνεται πλείων, καὶ τὸ χρῶμα ἐκτρέπεται, καὶ ἰκτερώδεις γίνονται. κινηθείσης γὰρ τῆς χολῆς καὶ μὴ καθαρθείσης οὔτε ῥοφέειν θέλει οὔτε πίνειν, ἀλλὰ πάντα βδελύσσεται καὶ ὡς τὰ πολλὰ ἀπόλλυται.

Ἢν δὲ κατάσχῃ τὸ φάρμακον, τὸ μὲν πρὸ μέσου ἡμέρης καθαιρόμενος, ὑπέῤῥινος γίνεται, καὶ ἅμα τῇ καθάρσει μεθῇ ὁ πυρετός, ὑγιὴς γίνεται. οὐκοῦν οὐ χρὴ τοῖς ἰσχυροῖς τῶν πυρετῶν φάρμακα καθαρτήρια προσφέρειν· ἀλλ' ἄν τινα δέῃ, ὑποκλύζειν χρὴ, ὁποσάκις ἂν βούλῃ· ἀκινδυνότερον γάρ. κατὰ τὸν αὐτὸν λόγον καὶ ἐν τῇ θερινῇ ὥρᾳ

medicamenta purgantia dare non oportet, donec remiserit febris, fin minus, faltem non intra quatuordecim dies.

Carnes enim ipforum et ventres cum calidi funt, medicamentum affumunt et nihil depurgantur.

Tunc magis incandefcit, et color evertitur, et morbi regii fpeciem prae fe ferunt. Commota enim bile et non purgata non forbere vult aegrotus neque bibere, fed omnia abominatur, et plerumque perit.

Caeterum fi pharmacum fuperarit, ante meridiem nulla fiet purgatio; a meridie vero nimium purgatur et perit. At fi hac die fuperftes maneat, et una cum purgatione remittat febris, fanus fit. Quapropter in febribus vehementibus medicamenta purgatoria exhibere non oportet. Verum fi alicui opus fuerit, infufum per clyfterem adhibere potes, quotiescunque volueris. Hoc enim minoris periculi eft. Juxta eandem rationem etiam tempore aeftatis, [maxime] a canis

[μάλιστα] ἀπὸ κυνὸς ἀνατολῆς ἡμέρας πεντήκοντα φυλάσσεσθαι χρὴ, καὶ μὴ διδόναι φάρμακον, ἀλλὰ κλυσμοῖσι χρέεσθαι. ὁ γὰρ αὐτὸς κίνδυνος.


ortu, per dies quinquaginta vitare oportet, et non dare medicamentum, ſed infuſis per clyſterem uti. Idem enim periculum imminet.

INDEX.

A

C.

D.


W. H. M. M.
LIBRARY